DIONIS CHRYSOSTOMI

ORATIONES

EX RECENSIONE

IO. IACOBI REISKE

CVM EIVSDEM ALIORVMQVE

ANIMADVERSIONIBVS

VOLVMEN PRIMVM

LIPSIAE

IMPENSIS VIDVAE REISKII

1784.



ILLVSTRISSIMO EXCELLENTISSIMO

DOMINO

WILHELMO PITT

MAGNAE BRITANNIAE REGI A CONSILIIS
SVMMO AERARII PRAEFECTO.

HVNC ORATOREM GRAECVM

VENERABVNDA OFFERT

ERNESTINA CHRISTINA REISKIA
GENTIS MÜLLERIAE.

uod vltra mare munuſculum hoc ad TE mittere non dubitaui, in eo, quaeſo TE, VIR ILLVSTRISSIME, impetum agnoſcas pectoris; ſumma TVI admiratione incenſi,

ſenſumque eius quomodocunque geſtientis ex- promere.

A teneris ego miro quodam Anglicanae gentis ſtudio atque amore flagraui; ſaepe mihi pectus incaluit, intuenti decora Veſtra, admi- ranti virtutes, praeclare facta, opera praeſer- tim Parentis TVI immortalia; nunquam deſi- tura ſum Britanniae TVAE, tot magna-

rum animarum procreatrici, laeta omnia precari.

Jam in TE, VIR ILLVSTRISSIME, cum omnium hoc tempore ſint oculi conuerſi, ipſa quoque pulcherrimo virtutum TVARVM ſpectaculo paſcor. Quem enim admiratio non capiat TVI, qui tanti Patris gloriam tantam per TE TIBI vindices, eadem, qua Ille,

via ad immortalitatem contendens, eadem, qua Ille, omnium in pectora influens, omnium TIBI, non TVI populi solum, sed qui uspiam sunt, bonorum animos concilians! Nostratium optimi quique TE in deliciis habent, TVI non nisi cum ardore quodam amoris et admirationis mentionem faciunt.

Hunc TIBI triumphum, omnium nobilissimum, dignum viro magno, debitum animi TVI

generoſi incorruptae bonitati, excelſae magnitudini, ſapientiae, conſtantiae; hunc TIBI triumphum, DOMINE, hoc tempore tacita ſaepe mente gratulata ſum; huic jam, quin publice applauderem, non potui impetrare ab animo meo, dudum profundere nitente ſenſum venerationis erga TE ſuae.

Cuius libertatis meae, oro TE, DOMINE, vt mihi des veniam, et beneuole accipias hoc,

non munus, ſed veriſſimae erga TE reuerentiae pignus. Quod ſi feceris, ſummo me beneficio affectam, ſummo honore habitam, arbitrabor. Scripſi in villa Bornum prope Brunſwigam, d. 12 Apr. 1784.

LECTORI

ERNESTINA CHRISTINA REISKIA.

S.

Quam operam Dioni Chryſoſtomo Maritus meus Animaduerſionibus ſuis an. 1757. editis, tum alii ante eum adhibuerint, ipſe expoſuit et editiones Dionis diligenter recenſuit in Praefatione Animaduerſionibus illis praepoſita; quam propterea hic repetere non alienum putaui, vt ex ipſo illa cognoſcere lectores poſſent. Sed mihi de poſterioribus eius in Dionem curis, et hac ipſa editione nonnulla praemonenda ſunt.

De nouo tractandum et recenſendum ſumſit hunc oratorem Reiskius meus anno 1767, cum ſpes edendi facta eſſet; quae poſtea eum fefellit.

fellit. Tum vero textum vniuerſum ita recognouit, vt animaduerſiones, quas decennio ante edidiſſet, retractaret, recoqueret, locupletaret, omniaque ad edendum parata et maturata haberet. Atque his eius curis nouiſſimis ornatus in lucem nunc prodit Dio Chryſoſtomus, mihi nihil aliud debens, niſi diligentiam, quae Schedis Mariti in ordinem componendis vſuique operarum accommodandis adhibita eſt.

Textus huius editionis ad Pariſinam et Venetam conformatus eſt, ita, vt illa pro baſi eſſet, haec autem ſaepius in ſubſidium vocaretur. Textui animaduerſiones ſubieci Reiskianas omnes, quibus et variantes Venetae lectiones inſertae ſunt, itemque Caſauboni et aliorum coniecturae maximam partem. Reliquas Caſauboni et Morelli obſeruationes nimis longas ad calcem orationum addendas ſeruaui, notatis, quo ſingulae pertineant, paginis et verſibus. Paginas quoque et verſus editionis Morellianae ad marginem textus notari iuſſi, in vſum eorum, quibus commodum eſſet, huius ed. cum illa conſenſum noſſe.

Reiskius meus ſaepe reprehenſus eſt ob nimiam in corrigendo audaciam, illatasque in tex-

textum auctorum coniecturas ſuas; quanquam nunquam praetermittebat de mutatione facta monere lectores. Sed ea res me permouit, vt vitandae huius reprehenſionis cauſa, eas tantum Reiskii emendationes in textu ſeruarem, quas vel aliis quoque doctis viris probari, vel editione Veneta confirmari vidiſſem, vel quibus manifeſta operarum vitia tollerentur. Ad omnia autem loca mutata, ipſaque adeo typothetarum vitia correcta, diligenter notaui lectiones edd. Venetae et Pariſinae.

Sed cum illam, quam memoraui, legem mihi dixiſſem, accidit interdum, vt emendationem Reiskii ita bonam et neceſſariam, vt iure videretur in textum inferenda, ei tantum ſubiicere cogerer, quod alios vulgata lectione quanquam manifeſto falſa, contentos viderem. Feci hoc, fateor, inuita admodum et indignabunda, ſed feci tamen, timens, ne, quae olim inuidia Reiskianae criticae facta eſſet, iam per eius obtrectatores renouaretur. Qua in re fortaſſe iuſto timidior fui, vt mihi verendum ſit, ne Maritum a crimine audaciae liberatura, ipſa timoris culpam ſubierim. Sed malui ab hac, quam ab illa parte, relinquere locum reprehen-

hensioni, quam omnino me effugisse, non ausim sperare.

Haec pro me dicta sufficiant. Mariti caussam, quam ipse defendere aduersus reprehensores non potest, scriptis eius et operibus ipsis secura permitto. Opera ipsa artificem suum et auctorem laudent, commendent, vindicent, vtcunque possunt. Nec defuturos spero aequos et sapientes iudices, qui, tacente reo, bonae causae defensionem, vbi opus fuerit, suscipiant.

Ita valere Lectorem, et alterum Dionis Volumen ad auctumnalem huius anni mercatum Lipsiensem exspectare iubeo.

Scripsi in villa Bornum prope Brunswigam.

IOH. IAC. REISKII

AD ANIMADVERSIONES SVAS

IN

DIONEM CHRYSOSTOMVM

PRAEFATIO

Dionem Chryſoſtomum, non ſine cauſa, neque immerito ſic dictum, non niſi bis typis excuſum in publicam lucem prodiiſſe, primum Graece Venetiis, tum Pariſiis vtroque ſermone, dudum eſt, quod docti homines queſti ſunt. Primus optimum auctorem Graece edidit *Franciſcus Turriſanus*, Andreae filius, affinitate Aldo Manutio coniunctus, vt ipſe in Praefatione ad Rudolphum Pium Carpenſem Cardinalem *) ſignificat; qua in praefatione ſuum patris-

*) Rudolphus hic A. 1536. a Paulo III. Pont. Max. Cardinalis dictus, Anno 1553. a Iulio III. epiſcopatu Tuſculano fuit donatus. vixit adhuc ſub Pio IV. circa A. 1560. Hunc Rudolphum magnis laudibus afficit Petrus Victorius in praefatione ad Clementem Alexandrinum p. 2.

patrisque ſtudium ergo Rudolphum, et huius de ſua gente Aldoque merita et prolixam voluntatem in adiuuandis eorum conatibus literariis celebrat. Vnde conſtiterit Fabricio, hanc editionem Anno 1551 prodiiſſe, (id enim Tomo IV. Bibliothecae p. 318. perhibet) mihi non conſtat. Meus quidem Dionis codex Venetus nuſquam locorum anni notam prodit. Apparet in eo codice viri docti, neſcio cuius, manus emendatrix paſſim locorum: atque is eſt, quem interdum *V. D. in margine Venetae* elogio cito. Similem codicem Dionis erudita manu emendatum vidi apud V. C. Erneſtum noſtrum. Non deeſt quidem huic primae editioni mendarum ſeges, at non paucas rurſus bonas lectiones ex ea ſublegi, diligenterque in hoc opuſculo annotaui, pro quibus prauas *Morellus* ſuppoſuerat.

Is enim alter a Turriſano fuit Graeci Dionis editor, quem Anno 1604. Pariſiis in folio, nitidis typis excuſum dedit, cum Latina *Thomae Naogeorgi*, ſeu *Kirchmaieri*, interpretatione. Continere me non potui, quin paſſim locorum huius opuſculi in profeſſorem linguae Graecae regium ſtomacharer, hominem, quem ſiniſtra ſua ſors ad edendos auctores Graecos, eosque non proletarios, velut ad ſcopulum, appegit, quos non intelligebat, rei fortaſſis alii omni bene gerendae, praeter hanc vnam, aptus natus. Sanatos ab eo locos Dionis haud paucos fuiſſe diffi-

diffiteri nolim: inſtructus enim erat codicibus manu exaratis; quos ſi licuiſſet alii inſpicere, Graecarum literarum magis callenti, dubium non eſt, quin emendatiorem et integriorem habituri eſſemus Dionem. At Dioni perſanando, eiuſque interpretationi emaculandae non magis par erat Morellus, quam Libanio edendo et interpretando. Saepe quoque deprehendi operas eius pro vna Venetae menda, a Morello correcta, aliud nouum vitium creaſſe, quod ſocordiam eius in recenſendis ſpeciminibus typographicis demonſtrat. Habet tamen nihilominus Morelli editio, quo palmam Venetae eripuit, doctiſſimam puta *Iſaaci Caſauboni* diatriben, vt auctor inſcripſit, parente ſuo digniſſimam, optimae notae animaduerſionibus refertam, vt ſunt diuini hominis omnia. Qui ſi Dionem edendum et emendandum ſuſcepiſſet et fuiſſet profeſſus, vix videtur nobis, quod ageremus, reliquum facturus fuiſſe.

Pariſina haec editio Dionis ad hunc diem eſt nouiſſima. Sunt quidem eius exemplaria nonnulla, quorum tituli annum 1623. praeferunt. Verum ea fraus fuit librarii cuiuſdam inſtitoris, qui, vt mercem frigentem promtius extunderet, vetus elogium nouo, caeterorum nihil mutauit.

Fuerunt interea viri aliquot docti, qui Dionem ſcriptis illuſtrandum ſuſcepere. fuerunt

 quo-

quoque, qui eum a ſe rurſus edendum promitterent, ſed abſque effectu. Poſt Caſaubonum nemini plus debet Dio, quam *Henrico Valeſio*, viro ſummo. Hoc eſt illud par virorum, a quo tantum in literis me profeciſſe, quantum ab alio nemine, profiteor. Valeſius igitur et alibi ſuorum operum, vt e. c. Ammianum Marcellinum, nullam omittit occaſionem cauſſamque de Dione bene merendi, et totum ſecundum librum ſuarum Emendationum in eo emendando et explanando conſumſit. quas Emendationes munus egregium et ſummi faciendum, *Petro Burmanno* iuniori, V. C. grati debemus. Non inutile duxi illas Valeſii ad Dionem pertinentes emendationes, ni fallor, omnes, ſuo quamque loco, in hoc opuſculo noſtro breuiter repetere, prout res exigeret, probandas aut damnandas.

Eundem honorem non habui emendationibus, ſeu potius coniecturis illis ignoti hominis *Angli*, quas vir de bonis literis et de me quondam optime meritus, *Io. Chriſtophorus Wolfius*, tomo primo Anecdotorum Graecorum ſua cura cum eruditis communicatorum e Bibliotheca Bodleiana edidit. Quis earum auctor ſit, multae diuerſaeque feruntur coniecturae, omnes incertae. Certius ferri poteſt de earum pretio iudicium. Sunt in illis non multae haud ſpernendae; ſed numero plurimae malae ſunt, et auctori ſuo relinquendae, longeque infra Caſauboni et Valeſii doctrinam atque acumen ſubſident.

dent. Poſtquam igitur mihi conſtitit, illas Angli coniecturas magni faciendas non eſſe, operae pretium non duxi, vt cum ipſis eandem inirem viam, quam cum Caſauboni diatribe inii. Haec enim diligenter cum ſchedis meis contuli, et ſi quid in illis occurreret, quod ſummus Vir iam notaſſet, id illico expunxi, ne inuentis illius, quibus tuendis vel ſolum Caſauboni nomen ſufficit, ab auctoritate mea pondus aliquod adiicere velle viderer. At cum Anglo non videbam quare laborem eundem ſuſciperem, cuius quae bona eſſet ſeges, non ſine moleſtia ex aceruo vitioſae eſſet eruenda. Quare ſi contingat, quod futurum praeuideo, vt lectores huius opellae in ea nonnulla deprehendant mihi cum Anglo communia, rogatos eos volo, vt id Anglo a me furtim ſurreptum habere nolint.

E Fabricii loco paullo ante iudicato, circa Annum 1716. cepiſſe *Wilhelmum Piers*, collegii Emanuelis apud Cantabrigiam quondam ſocium, eoque de conſilio ſuo viros doctos edito ſpecimine certiores feciſſe. Quod ſpecimen Fabricio ita placuit, vt de Pierſii inſtituto bene ominaretur. Sed ſucceſſu res caruit, neque ſpecimen vidi.

Wolfius in fine praefationis ad primum Anecdotorum Graecorum volumine ſignificat, idem ſaxum ſe quoque circa Annum 1710.

voluiſſe: verum et ille pariter conſilium hoc, quacunque tandem de cauſa, abiecit; quod prudenter eum feciſſe dicerem, niſi memoria caritatis, qua me amplexus fuit, nudum amici latus a me tegi ſuaderet.

Quinquennium eſt, ex quo prodire ceperunt Francico ſermone conſcriptae vitae oratorum Graecorum, ignoto auctore; noluit enim nomen ſuum edere. Annus 1751. primum volumen, ſequens alterum tulit. Illud Iſocratis, hoc Dionis noſtri vitam enarrat, et ingenii monumenta, quae ad nos peruenerunt, recenſet atque iudicat. Praeclarum inſtitutum, tantoque magis continuari dignum, quanto rarius Francica natio hac aetate noſtra ad hoc literarum genus defertur. Triuit ſane Dionem vir ille doctus, quiſquis fuerit. quae de vita et ſcriptis Noſtri tradidit, valde mihi placuerunt. Eius autem interpretationem Francicam orationis primae, ſeptimae et vndecimae (hae enim ſunt, quas illi patrio ſermone reddere placuit) cum Graecis comparare non libuit, intellecto, me ex ea re aut nullum vſum aut exiguum eſſe laturum. Nullibi eum Valeſianarum emendationum mentionem feciſſe miratus ſum. Francus homo Franco notus eſſe poterat et debebat. Miror quoque viri iudicium, cui putidum nugacis monachi et omnis hiſtoriae rudis commentum de vita Dionis ita arridere potuit, vt non tantum typis et luce publica dignum id putaret,

ſed

ſed etiam pro pretioſo et incomparabili priſci aeui monumento, omnibusque veneribus exornato, lectoribus obtruderet, atque diligenter et accurate commendaret. Nubem pro Iunone.

Ad me iam venio. Ipſemet in Dione palaeſtrae huius Graecae tyrocinium poſui. Anni iam ierunt octodecim, ex quo in tomo tertio voluminis noni obſeruationum Miſcellanearum Amſtelodamenſium p. 375 - 379. obſeruationes meae ad Dionis orationem tertiam et trigeſimam prodierunt. Agebam eam tum temporis aetatem, quae deformes tantummodo et immaturos ingenii foetus veniaque, non lande, dignos eniti valet. Quantas tum habebam optimo Doruillio gratias pro inculto iſti abortui loco in Collectione illa, cui edendae praeerat: (tumebam enim ambitione, et cupiditate in publicum prodeundi moraeque omnis impatientia flagrabam:) tantas ei nunc habiturus eſſem gratias, ſi ſalutari ſaeuitie maluiſſet, quam lenitate noxia, erga me vti, locumque mihi negaſſet in arena, in qua me caſurum bene norat. Vtinam dedecus illud mei nominis aeternis tenebris damnaſſet! Iaceat deformis foetus, a patre repudiatus, et, ſi nullum alium, eum ſaltem praeſtet vſum, vt doceat, me immatura adhuc aetate Dionem amaſſe et lectitaſſe.

Quae nunc in eum edo, perfectiora ſunt et magis maturata, quamuis omnes Dionis men-

doſos et obſcuros locos a me neque emendatos neque illuſtratos fuiſſe probe teneam vltroque profitear, nihilo tamen minus confidam, hanc meam operam futuro Dionis editori, lectoribusque vtilitatis haud parum allaturam eſſe. Scr. Lipſiae d. 8. Febr. 1757.


SVBSCRIPTORES.

Ill. Comes *Thott*, Consil. intim. Reg. Dan.
Ill. Comes *Moltke*, Consil. intim. R. D.
Excell. *Hoegh de Guldberg*, Consil. intim. R. D.
Excell. *Lupdorph*, Consil. intim. R. D.
Excell. *de Suhm*, Cubicularius nobilis primi ord. R. D.
Treschow, Professor Hafniensis.
Kall, Prof. Hafn.
Schlaeger, Consil. Aul. Goth. intim. 4 Exemplaria.
Peter den Hengst, Librarius Amstelod. 10 Ex.
Eichhorn, Consil. Aul. Weim. et Prof. Ienensis 2 Ex.
Heyne, Consil. Aul. R. M. Br. et Prof. Goetting. 3 Ex.
Cramer, Cancellarius Acad. Kilonensis.
Biblioth. Academ. Kilon.
Heinze, Professor Kilon.
Eckermann, Prof. Kilon.
Volborth, A. M. et Minister eccl. S. Nicol. Goetting.
Kleuker, Rector Gymnasii Osnabrug.
Fortlage, Conrector Gymn. Osnab.
Falk, Consil. Aul. et Consist. Hannover.
Wernsdorf, Consil. Aul. Brunsw. et Prof. Helmstad.
Ebert, Consil. Aul. et Prof. Brunsw.
Eschenburg, Prof. Brunsw.
Drude paedagogus in ludo ad S. Cathar. Brunsw.
Niclas, Gymnasii Luneburg. Rector.
Havemann, paedagogus Gymn. ill. Luneb.
Harles, Consil. Aul. Onolsb. et Prof. Erlang.
de Murr, Patricius Noribergensis.

Gott-

Gottleber, Rector Misnensis. 2 Ex.
Muller, Conrector Misn.
White, Librarius Londinensis 12 Ex.
Heimbach, Helmstadiensis.
Gurlitt, Praeceptor Publ. Phil. et bonarum litt. in Caenobio Montis prope Magdeburgum.
Lademann, Procurator ibid.
Neide, Subrector Gymnasii Magdeb.
Steffen, Hallensis.
Niemeyer, Professor Hallensis.
Langer, Biblioth. Brunsw. Wolfenbüttelae.
Reiz, Prof. Lipsiensis.
Scharfenberg, Prof. Lips.
Scacerna, Ferrariensis
Dionysi, Canonicus Veronensis.
Penzel, Abbas Cracoviensis.
Libraria Eruditorum Lips. 6 Ex.

ΕΚ ΤΗΣ



ΕΚ ΤΗΣ ΤΟΥ ΦΩΤΙΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ.

Ἀνεγνώσθη Δίωνος βιβλίον ἐν λόγοις ὀγδοήκοντα. οὗτός ἐστι μὲν τὴν πατρίδα Προυσαεύς· φυγὰς δ' ἐγεγόνει, τὴν τῆς τυραννίδος ἐκκλίνων δουλείαν· καὶ πολλὴν ἐπῆλθε πλανώμενος γῆν. δεξιὸς δὲ περὶ τοὺς λόγους ἔδοξεν εἶναι, καὶ μάλιστα τοὺς ὅσοι ῥυθμίζειν συμβουλεύουσι τὰ ἤθη. ἤκμασε δὲ κατὰ τοὺς χρόνους τοῦ βασιλέως Τραϊανοῦ, καὶ πλεῖστον διέτριψε χρόνον παρ' αὐτῷ, καὶ τῆς ὅτι μάλιστα τιμῆς καὶ δεξιώσεως ἔτυχεν, ὡς καὶ συγκαθέζεσθαι αὐτὸν τῷ βασιλείῳ ὀχήματι. παῖς μὲν ἦν οὗτος Πασικράτους, σοφιστὴς δὲ καὶ φιλόσοφος τὸ ἐπιτήδευμα. ἐπὶ τοσοῦτον δ' αὐτὸν τῆς κατὰ τὸ σχῆμα φασὶ σεμνότητος ἀντιποιεῖσθαι, ὡς καὶ λεοντῆν πολλάκις ἐνημμένον ποιεῖσθαι τὴν πρόοδον. φωνὴν δ' ἠρεμαίαν ἠφίει καὶ σταθεράν· καὶ σχολαῖον μὲν, ἀλλ' οὐκ ἀναβεβλημένον βάδισμα. καὶ τὰ λοιπὰ δὲ τῶν κινημάτων οὐκ ἀσύμφωνα· ἰσχνός τε ἦν, καὶ οὐδὲ μέγας τὸ σῶμα. τοῦτον πολλοὺς φασι καὶ ποικίλους γράψαι λόγους· οἱ δ' εἰς ἡμετέραν φθάσαντες γνῶσιν, τὸν ὀγδοήκοντα ἐπλήρουν ἀριθμόν. Χρυσόστομον δ' αὐτὸν οἱ λόγοι τῇ κατ' αὐτὸν γενεᾷ δεδώκασιν ἐπονομάζειν. ἔστι μὲν οὖν, ὅπερ ἔφην, τὸ πλεῖστον αὐτοῦ τῶν λόγων, οὓς ἡμεῖς ἴσμεν, συμβουλευτικόν. οἷα δ' εἰκὸς καὶ τῷ συμ-

βουλευτικῷ παραπλεκόμενον τὸ οἷον δικανικὸν, παραπλήσιον τὴν ἀρετὴν κἀν τῷ μέρει τῷδε τοῦ λόγου δεικνύει, καὶ μάλιστα τῶν ἄλλων ὁ Ῥοδιακός. δριμύς τε γάρ ἐστι τοῖς ἐνθυμήμασι, καὶ τὸ συνεστραμμένον, πρός γε τὸν αὐτοῦ χαρακτῆρα τῶν λόγων ἔχων, καὶ τὸ ἔντονον μετὰ τοῦ γονίμου πλουτῶν. ἄριστος δὲ τοῖς παραδείγμασι, καὶ πολύς ἐστι πανταχοῦ, καὶ ποικίλης ὕλης λαμβάνων αὐτὰ, καὶ προσφυῶς ἁρμοζόμενος. χαίρει δὲ μάλιστα καὶ μυθολογήμασι τὰς παραινέσεις συνδιαπλέκειν, διὸ καὶ τὸ ἀφελὲς διώκειν δοκεῖ. σπάνιον γὰρ εἴ τις εὕροι κατὰ τὸν Πλατωνικὸν ζῆλον τοῖς δίαρμα καὶ ὄγκον ἐνεργαζομένοις τῷ λόγῳ, ὥσπερ ἐν τῷ Βορυσθενικῷ, μύθοις αὐτὸν ἀποχρώμενον. ἀφελὴς μὲν οὖν ἐστι τὰ πολλὰ, ὡς ἔφθην εἰπὼν, ταῖς ἐννοίαις· καὶ τῶν τε καθωμιλημένων αὐτῷ καὶ ἐπιπολαζουσῶν αἱ λέξεις· καὶ οὐδὲν οὐδ᾽ ἡ σύνταξις οὐδ᾽ ἐπὶ τὸ βαθύτερον, οὐδ᾽ ἐπὶ τὸ καθηδυνόμενον, ἐκνεωτερίζει. καὶ τό γε ἐπὶ τοῖς ῥήμασι καὶ τῇ συμπλοκῇ τῶν ὀνομάτων, τοῦ σαφοῦς ἄν τις ἐλπίσειε τὸν συγγραφέα κατεστοχάσθαι. ἀλλὰ τό γε διὰ μακροῦ τὴν τῆς διανοίας ἀπόδοσιν προϊέναι, καὶ ταῖς ἐπιβολαῖς ἐκ τοῦ ἐπὶ πλεῖστον τὸν λόγον διαπεπλέχθαι, οὐκ ἐπὶ μικρῷ τῆς τοιαύτης αὐτὸν ἐκκλείει ἰδέας. ἀλλὰ ταῦτα μὲν παραλλαγὴ[1]) ἰδέας, καὶ χαρακτῆρος ἰδίωμα, ἀλλ᾽ οὐκ αἰτίας ἴσως ἔνδειξιν ἕξει. τὸ δ᾽ ἐπὶ μακρότατον ἀποτείνειν τὰ προοίμια, ἢ τὰ οἷον προοίμια, οὐκ ἔτι ἀφίησιν αὐτὸν τὸ μὴ ἀντὶ οὐχὶ πολιτικοῦ καὶ συγγραφικοῦ τύπου τὸν ἐπὶ ταῖς συνουσίαις ἀλλάξασθαι παραδεδυκότα, καὶ μείζω τὴν κεφαλὴν, ὡς ἐν τῷ λόγῳ, τοῦ λοιποῦ σώματος διαπλάττειν. τῶν τοίνυν λόγων αὐτοῦ τέσσαρες, περὶ βασιλείας μέν εἰσιν εἰρημένοι. καὶ ὁ πέμπτος δὲ, λιβυκὸς ἐπιγραφόμενος, μῦθον μὲν λίβυν ἀπαγγέλλει, ἐκείνων δ᾽ ἐστὶν ἐξημμένος. ὁ δ᾽ ἕκτος, καὶ περὶ τυραννίδος δίεισι. καὶ περὶ

ἀρε-

1) Παραλλαγῆς margo Morell.

ἀρετῆς ὁ ἐπὶ τούτῳ. ὁ δὲ ὄγδοος, Διογένης μὲν ἢ Ἰσθμικὸς ἐπιγραφὴν ἔχει, πρᾶξιν δέ τινα καὶ λόγους Διογένους κατὰ τὰ Ἴσθμια διαγγέλλει. καὶ ὁ Θ', Διογένης, ἢ περὶ οἰκετῶν. καὶ παραινεῖ μὲν ἅπαντας δι' ἑνὸς προσώπου (αὐτοῦ) ἕκαστον μὲν πολλὴν ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖσθαι αὐτοῦ, ὀλίγην δὲ τῶν ἔξωθεν συμπιπτόντων· καὶ μὴ χρῆναι φεύγοντα διώκειν οἰκέτην. ἄτοπον γὰρ ἐκείνους μὲν κακοὺς ὄντας ἐλπίζειν ἄνευ τῶν δεσποτῶν ἄμεινον βιώσεσθαι, τοὺς δεσπότας δὲ μὴ ἀξιοῦντας φαύλους εἶναι, μὴ νομίζειν ἄμεινον διάξειν, εἰ μὴ παραπολαύοιεν τῆς τῶν δραπετῶν σκαιότητος. ὁ δὲ δέκατος, Τρωϊκὸς μὲν ἕλκει τὴν ἐπιγραφὴν, ὑπὲρ τοῦ μὴ ἁλῶναι δὲ τὸ Ἴλιον, διεσπούδασται· Ὁμήρῳ τε κατὰ τὸ τραχύτερον προσφέρεται. καὶ ὅσα ἄλλα κατὰ τὴν Ἰλιάδα αὐτῷ πεποίηται, τἀναντία τούτοις πραγματεύεται. ὁ δὲ Ὀλυμπικὸς, ἢ περὶ τῆς πρώτης τοῦ θεοῦ ἐννοίας· αὐτὸ τοῦτο πειρώμενος ἐπιδεικνύειν, ἑνδέκατός ἐστιν. ὁ δὲ δωδέκατος ἐν Ἀθήναις περὶ φυγῆς ἐπιγραφὴν ἔχων, εἴρηται μὲν ἐν αὐταῖς, δίεισι δὲ, ὡς οὐδὲν ἡ φυγὴ χαλεπόν· καὶ ὅτι πλοῦτος μὲν καὶ δόξα καὶ δυναστεία θᾶττον ἀπὸ τῶν ἐχόντων ἐπὶ τοὺς μηδ' ἐλπίσαντας μεταῤῥεῖ· τὸ δὲ φιλοσοφεῖν, καὶ τὴν ἀρετὴν ἀσκεῖν, διὰ βίου τε κτῆμα διαμένει ἀγαθὸν, καὶ ἀποιχομένοις συνέπεται. ὁ δὲ τρισκαιδέκατος Εὐβοϊκὸς ἢ κυνηγετικὸς ἔλαχεν ἐπιγραφήν. εἰσάγει δέ τινας ἐν Εὐβοίᾳ τοιοῦτον βίον βιοῦντας· δι' ὧν κατασκευάζει, ὡς ὁ ἀπράγμων βίος, εἰ καὶ πενόμενος εἴη, πολλῷ τῶν ἐν ἄστει θορυβουμένων τε καὶ τρυφώντων ἡδίων τε καὶ λυσιτελέστερος. Ῥοδιακὸς δὲ ὁ ιδ' ἐπιγράφεται. ἐν τούτῳ ἔθος ἄλογον παρὰ Ῥοδίοις ἐπιτιμᾷ ἐπιπολάζον [2]). τὸ δ' ἦν, οὓς ἐβούλοντο τιμᾶν ἀνδριάσι, τούτοις μὲν ἀνδριάντα ἀνίστασαν οὐδένα· τοὺς δὲ τοῖς πάλαι ἀνεστηκότας, τούτων ἄρα ἢ τὰς ἐπιγραφὰς μεταξέοντες, εἰς τὰ

2) ἐπιπολάσων margo Morell.

τὰ τῶν μελλόντων τιμηθῆναι ὀνόματα· ἢ τῷ χρόνῳ μηδὲ φαινομένων ἐπιγράφοντες· τῶν τε οἰχομένων, τόγε ἐπ' αὐτοῖς, τιμὴν ἐλυμαίνοντο· καὶ ὓς τιμᾷν ὑπεπλάττοντο, ἀλλοτρίαις καὶ κατ' ὐδὲν ἐοικυίαις εἰκόσιν ἐνύβριζον. ἐν τῷδε τῷ λόγῳ μεγάλη τῦ ἀνδρὸς τῆς ἀνασκευαστικῆς ἰσχὺς διαφαίνεται. ὁ δὲ πεντεκαιδέκατος πρὸς Ἀλεξανδρεῖς μὲν ἐπιγέγραπται· δήμυ δὲ φύσιν ἀναπτύσσων, ταύτης κατατρέχει· καὶ ὅτι μὴ χρὴ τὸν Ἀλεξανδρέων δῆμον, ἴδια πολλὰ, τὰ πρὸς ἀρετὴν παρακαλῦντα ἔχοντα, τῆς ἐν τῷ κοινῷ ἐπιπολαζύσης ταραχῆς καὶ ἀταξίας καὶ αὐτὸν εἶναι ἀνδράποδον· μάλιστα δὲ παραφυλάττεσθαι τὸ ἁμάρτημα, κατὰ τὰς δημοτελεῖς πανηγύρεις, καὶ τὰ θέατρα. Ταρσικοὶ δὲ δύο ἐφεξῆς ἐπιγραφῆς ἔτυχον. ὧν ὁ μὲν πρῶτος ἔπαινόν τινα τῆς πόλεως ἐπιτρέχων, ὐκ εὐδαίμονας ἐκείνας ἀποφαίνει τῶν πόλεων, ὅσαι κρήνας καὶ ποταμὺς καὶ κάλλη ϛοῶν, καὶ οἰκοδομημάτων, καὶ καρπῶν ἀφθονίας καὶ τὰ παραπλήσια προβάλλονται· ἀλλ' ἐν ὅσαις τάξις καὶ ἀρετὴ τῶν πολιτευομένων διαδείκνυται. ὗτος ὁ λόγος καὶ παράλογόν τι καὶ ἐφύβριϛον ἔθος κατὰ φωνῆς ἀπήχησιν τοῖς Ἀλεξανδρεῦσι πραττόμενον εὐθύναις ὑπάγει, παραινῶν ἀπέχεσθαι[3]) τὺς χρωμένυς, ἢ μᾶλλον αὐτὸς πληκτικώτερον καθαπτόμενος. ὁ δὲ δεύτερος παραινεῖ, μὴ συκοφαντικῶς πρὸς τὺς ἄρχοντας διακεῖσθαι, μηδ' ἐπὶ τοῖς βραχέσι τῶν παραλυπύντων, εὐθὺς ἀνερεθίζεσθαι, καὶ ἐπαιτιᾶσθαι τὕτυς. ὁ δὲ ιή, ὃς ὐκ ἐπιγέγραπται, ἐν Κελαιναῖς ἐῤῥήθη τῆς Φρυγίας. διαλαμβάνει δὲ, ὡς ὐκ ἀρετῆς εἴη σημεῖον τὸ κομᾷν, ὥσπερ ὐδ' ἄλλό τι τῶν σχημάτων (τῶν) περὶ τὸ σῶμα, ὥσπερ ὐδὲ τύτων τὰ ἐναντία. διαπλέκεται δ' αὐτῷ καὶ τῆς πόλεως ἔπαινος. τὸν δὲ ιθ' μηνύει ἡ ἐπιγραφὴ, ῥηθῆναι μὲν ἐν τῷ Βορυσθένει, ἀναγνωσθῆναι δὲ ἐν τῇ πατρίδι· ἐν ᾧ ἄλλά

τυ

3) ἀποσχέσθαι margo Morell.

τε δίεισιν ὁ συγγραφεὺς, καὶ κατὰ τὸν Πλατωνικὸν συνομολογεῖ ζῆλον περὶ τοῦ δημιουργοῦ τῶν ὅλων τοῖς Βορυσθενίταις διειλέχθαι, τῆς τε τοῦ παντὸς διακοσμήσεως καὶ κινήσεως, καὶ τῶν ἐν αὐτῷ στοιχείων. ἔχεται δὲ τινος λαμπρότητος καὶ σεμνότητος οὗτος ὑπὲρ τοὺς ἄλλους ὁ λόγος. καὶ ὁ Κορινθιακὸς δὲ κ' ὢν, ἐν Κορίνθῳ μὲν ἐῤῥήθη, ἐπιτίμησιν δ' αὐτῶν διαπεραίνει· ἀνθ' ὧν εἰκόνι τὰ πρῶτα τιμήσαντες αὐτὸν, ὕστερον ἀποδημήσαντος, ἐκ διαβολῆς οὐ δικαίας περιείλοντο τὸ γέρας. ἐγγὺς δ' ἐστὶ τοῦ Ῥοδιακοῦ κατὰ τὴν ἐν λόγοις ῥώμην καὶ ἀρετὴν οὗτος. ἡ δὲ τοῦ οἷον προοιμίου παράτασις κἀνταῦθα, ὡς καὶ παρὰ μικρὸν πανταχοῦ, τῆς ἀρετῆς οὐ μετέχει. τοῦ δὲ εἰκοστοῦ πρώτου ἡ ἐπιγραφὴ περὶ τῆς πρὸς Νικαεῖς ὁμονοίας τῶν Νικομηδέων ἐστί· καὶ τοῦτον ὑπέρχεται τὸν ἀγῶνα ὁ λόγος, εὐκαίρως διὰ τῆς ἡδονῆς προενηνεγμένος. μᾶλλον γὰρ οὕτω ταῖς ψυχαῖς τὸ πιθανὸν ἐθέλει διαδύειν. τὸν δὲ δεύτερον καὶ εἰκοστὸν ἐν Νικαίᾳ εἰρῆσθαι ἡ ἐπιγραφὴ δηλοῖ, περὶ ὁμονοίας, πεπαυμένης τῆς στάσεως· αὐτὸ δὲ τοῦτο διατίθησιν ὁ ἀνὴρ, ἔπαινον τοῦ γεγονότος. ὁ δὲ κγ', περὶ τῆς πρὸς Ἀπαμεῖς ὁμονοίας εἴρηται ἐν τῇ πατρίδι· αὐτὸ δὲ διαπράττεται τοῦτο. καὶ ὁ ἐφεξῆς δὲ περὶ ὁμονοίας, πρὸς τοὺς Προυσαεῖς παρακαλεῖ τοὺς Ἀπαμέας. ὁ δὲ κέ, διάλεξίς ἐστιν ἐν τῇ πατρίδι· ἄγνοιαν δὲ ὑποπλάττεται τῆς αἰτίας ὁ διαλεγόμενος, δι' ἣν μηδὲν χρήσιμον αὐτοῦ τῶν λόγων προβεβλημένων, ἡδέως καὶ ποθοῦντες ἀκούουσι. πολιτικὸς δέ ἐστι τῷ εἰκοστῷ ἕκτῳ ἡ ἐπιγραφή· (καὶ) εἴρηται ἐν τῇ πατρίδι. ὥσπερ καὶ ὁ ἐφεξῆς φιλοφρονητικὸς ὑπάρχων αὐτῇ, ἀνθ' ὧν τιμαῖς τὸν φιλοφρονούμενον ἐδεξιοῦτο. ἀπολογισμὸς δέ ἐστιν ὁ μετ' αὐτοὺς, ὅπως διέκειτο πρὸς τὴν πατρίδα. ὁ δὲ κθ', πρὸ τοῦ φιλοσοφεῖν μὲν ἐν τῇ πατρίδι ἐπιγράφεται, τοὺς δ' ἐπιχειρήσαντας καταλεύειν αὐτόν τε καὶ σὺν αὐτῷ ἕτερον· εἶτα δὲ καὶ πυρὶ τὴν οἰκίαν δοῦναι. τούτους ἠρέμα πως ἐπιτιμῶν, τὸ πλανᾶσθαι ἐπὶ τῆς ξένης, τῆς οἴκοι δια-

διατριβῆς[4]), (διὰ) τὰς ἐν πόλει ἀταξίας ἄμεινον κατασκευάζει. ἡ δὲ τῶν πολιτῶν ὀργὴ κατ' αὐτȣ̃, διότι φησὶ καταῤῥέȣσαν ἐπὶ τὸ βέλτιον ἀνέλαβε τὴν οἰκίαν. καὶ ὁ λ' δὲ δημηγορία ἐν τῇ πατρίδι, τὴν ἐπιγραφὴν φέρων, εἰς τὴν αὐτὴν ὑπόθεσιν ἀποβλέπει. καὶ ὁ πρῶτος καὶ τριακοςὸς ἐν τῇ πατρίδι μὲν ἐλέχθη, πολιτικὸς δ' ἐπιγέγραπται ἐν ἐκκλησίᾳ· καὶ συμβȣλεύει τῶν εἰς ἀλλήλȣς ὕβρεων ἀποσχομένȣς καὶ προπηλακισμῶν, τὴν ςάσιν εἰς ὁμόνοιαν διαλύειν. ὡσαύτως ἐν τῇ πατρίδι μὲν ἐλέχθη καὶ ὁ ἐφεξῆς. ὃ δὲ ἐπιγράφεται, παραίτησις ἀρχῆς ἐν τῇ βȣλῇ, τȣ̃το καὶ ἐνδείκνυται. ἐκ ψηφίσματος γὰρ ἀρχὴν ὁ συγγραφεὺς ᾑρημένος παραιτεῖται. ὁ δὲ λγ', περὶ τῶν ἔργων ἐν βȣλῇ τὴν ἐπιγραφὴν παρέχων, ἔπαινον μέν τινα τῆς βȣλῆς ἐπιτρέχει, ἀπολογεῖται δὲ ὑπὲρ ὧν ὁ Δίων ὑπενοεῖτο, ὡς μὴ τὰ τȣ̃ παιδὸς ἔργα καὶ αἱ πράξεις αἱ κατὰ τὴν πόλιν τῆς πατρικῆς εἰσὶ βȣλῆς ἐξημμέναι. ὁ ἐφεξῆς δὲ πρὸς Διόδωρον ἐπιγραφόμενος, προτροπὴν μέν τινα ἐπ' ἀρετὴν εἰσάγει. ἐπαινεῖν δὲ τὴν πόλιν φησὶ, δι' ὧν τὸν ἐγκωμιάσαντα Διόδωρον ἐπαίνοις περιβάλλει. ὁ δὲ λέ, περὶ Αἰσχύλȣ καὶ Σοφοκλέȣς, καὶ Εὐριπίδȣ, ἢ περὶ τῶν Φιλοκτήτȣ τόξων ἐπιγεγραμμένος, τὴν τȣ̃ Φιλοκτήτȣ πλάττει ἐξαπάτην, ἣν προβεβλημένος Ὀδυσσεὺς, λαβὼν ᾤχετο τὰ τόξα. τῷ δὲ ϛ' καὶ λ' λόγῳ ἡ μὲν ἐπιγραφὴ περὶ Ὁμήρȣ λέγει, ἔπαινός τις δὲ τȣ̃ ποιητȣ̃ διϋφαίνεται· ὥσπερ καὶ τῷ περὶ Σωκράτȣς ἐπιγραφομένῳ τȣ̃ φιλοσόφȣ. ὁ δὲ περὶ Ὁμήρȣ καὶ Σωκράτȣς λη' λόγος ὢν, ζηλωτὴν Ὁμήρȣ Σωκράτην καὶ μαθητὴν ἐπιδεικνύει[5])· καὶ τό, τȣ̃ οἰκεῖον τῆς (τῶν παραδειγμάτων) μεταχειρήσεως ἐκεῖθεν ἀναμαθεῖν τὸν φιλόσοφον ἐπιδεικνύει, καὶ τὴν ἄλλην τȣ̃ λόγȣ χάριν καὶ δύναμιν ἐναπομάξασθαι. ὁ δὲ λθ',

4) διατριβῆς τὰς ἐν πόλει εὐταξ. margo Morell.
5) al. ἐπιδείκνυσι in. Morell.

λθ΄, Ἀγαμέμνων ἢ περὶ βασιλέως ἐπιγραφόμενος, διέξεισιν, ὡς δεῖ συμβούλων τοῖς ἀρίστοις τὸν βασιλέα κεχρημένον, ἐκείνοις τε πείθεσθαι, καὶ μὴ κατὰ τὸ δοκοῦν ἀπαυθαδιάζειν. καὶ ᾧ δὲ Νέστωρ ἡ ἐπιγραφὴ, ὅπως κεχρῆσθαι προσῆκε τῇ πρὸς τοὺς βασιλεῖς παραινέσει περιλαμβάνεται. ὁ δὲ ἐφεξῆς, Ἀχιλλεὺς οὐ πειθόμενος τῷ Χείρωνι, προνοίᾳ καὶ τέχνῃ, ἀλλὰ μὴ θράσει καὶ χειρῶν ἰσχύϊ συμβουλεύοντι μεταχειρίζεσθαι πόλεμον, ὕστερον οὐκ ἀπώνατο τῆς ἀπειθείας. καὶ ὁ Φιλοκτήτης δὲ, παράφρασίς ἐστι τοῦ κατ' αὐτὸν ἀτυχήματος· ἐφ' οἷς ὁ Νέσος 6) καὶ ἡ Δηϊάνειρα, τῶν ἀπιθάνως περὶ αὐτοὺς πεπλασμένων διά τινος θεραπείας 7), εἰς εἱρμόν τινα καὶ τάξιν δοκεῖ τὸ ἀπίθανον μεταῤῥυθμίζειν. καὶ ὁ Χρυσηῒς, ἔπαινός ἐστι Χρυσηΐδος. ὁ δὲ περὶ βασιλείας καὶ τυραννίδος, περὶ αὐτῶν τούτων διαλαμβάνει. καὶ οἱ ἐφεξῆς δὲ τρεῖς περὶ τύχης λόγοι, χαρίεντά τινα καὶ φιλοσοφίας ἅμα ἐχόμενα θεωρήματα διατυποῦσιν. ὡσαύτως καὶ οἱ μετὰ τούτους περὶ δόξης τρεῖς λόγοι, συμβουλεύουσι καὶ παραινοῦσι, μηδένα λόγον τῆς τῶν πολλῶν δόξης ποιεῖσθαι· καλὰ δὲ καὶ ὠφέλιμα τῇ παραινέσει συνδιαπλέκεται 8) θεωρήματα. ὁ δὲ νβ΄, περὶ ἀρετῆς καὶ ἐπιγράφεται καὶ δίεισι. περὶ φιλοσοφίας δὲ ἔστιν ὁ νγ΄. καὶ ὁ μὲν νδ΄, περὶ τοῦ φιλοσόφου· ὁ δὲ νε΄, περὶ τοῦ σχήματος ἐπιγεγραμμένος, δείκνυσιν, ὡς οὐ χιτῶνι καὶ ὑποδήματι φιλοσόφων, οὐ 9) κατεσχηματισμένῳ εἴδει, φιλόσοφός ἐστιν. ὁ δὲ νϛ΄, περὶ πίστεως ἐπιγραφῆς τυχὼν, καὶ ὁ ἐφεξῆς περὶ ἀπιστίας, προτρέπονται φυλάσσεσθαι τὸ θαῤῥεῖν, καὶ καταπιστεύειν καὶ τοῖς μάλιστα φιλεῖν δοκοῦσι. πολλοῖς γὰρ πιστεύσασι μὲν, μεγάλη ἀπήντησε συμφορά· ἀπιστίᾳ δὲ φραξαμένοις λαμπρὰ περιγέγονε σωτηρία. ἀλλὰ ταῦτα μὲν ὁ περὶ ἀπιστίας λόγος· ὁ δὲ πρὸ αὐτοῦ διέξει-

6) al. Νέσσος m. Mor.
7) ἴσ. Τερατείας m. Mor.
8) al. συμπλέκεται et
9) al. οὐδὲ m. Mor.

διέξεισιν, ὡς καὶ τὸ πιστεύεσθαι ὡς ἐπίπαν, μεγάλα τοὺς πιστευομένους ἐζημίωσεν. ἡ δ' ὑπόθεσις τοῦ νή λόγου, ὥσπερ καὶ ἡ ἐπιγραφὴ, περὶ νόμου ἐστίν· ὡς καὶ ἡ τοῦ νθ' περὶ ἔθους· ὃ πράττειν μὲν ὅσα ὁ νόμος, ἀποδείκνυσι· μεθ' ἡδονῆς δὲ καὶ πειθοῦς μᾶλλον, ἢ βίας, καὶ ἀσφαλέστερον. δύο δὲ οἱ ἐφεξῆς περὶ φθόνου διαλαμβάνουσι. καὶ ὁ ξβ' περὶ πλούτου, τὸ σκληρὸν αὐτοῦ καὶ ἐπίβουλον στηλιτεύων, καὶ πολλῷ λυσιτελεστέραν αὐτοῦ παριστῶν τὴν μετὰ δικαιοσύνης πενίαν. ὁ δὲ ξγ' ἐπιγράφεται, τῶν ἐν Κιλικίᾳ, περὶ ἐλευθερίας. ἐκεῖνον δὲ ἐλεύθερον παριστᾷ, ὃς τῶν ἐν αὐτῷ κύριος εἴη παθῶν, κἂν μυρίοι ἔξωθεν αὐτοῦ τοῦ σώματος ὦσι δεσπόται· καὶ δοῦλον ἐκεῖνον, ὃς ἀνδράποδόν ἐστι παθῶν, εἰ καὶ πάσης[10]) ἄρχειν τῆς οἰκουμένης δοκεῖ. εἰς τὴν αὐτὴν δ' ἀναφέρεται[11]) διάνοιαν καὶ ὁ ἐφεξῆς, περὶ δουλείας καὶ ἐλευθερίας ἐπιγραφὴν ἔχων· ὥσπερ καὶ ὁ ἐφεξῆς δεύτερος, περὶ δούλων ὤν. καὶ ὁ μετ' αὐτὸν δὲ, περὶ λύπης, ὡς οὐ χρὴ παρεγγυᾶται τὸν γενναῖον καὶ νοῦν ἔχοντα ἄνδρα ὑποκατακλίνεσθαι[12]) τῷ πάθει, περιορᾶν δὲ μᾶλλον, καὶ ἀποτρίβεσθαι. καὶ ὁ ξζ', περὶ πλεονεξίας ὤν, ἀποτρέπεσθαι ταύτην παρεγγυᾷ. καὶ ὁ ξή, ὥσπερ ἐπιγέγραπται περὶ λόγου καὶ ἀσκήσεως, τοιαύτην καὶ τὴν ὑπόθεσιν ὑποβάλλει. περὶ δὲ τῆς αὐτοῦ φιληκοΐας ὁ ξθ', καὶ ἐπιγράφεται καὶ διαλαμβάνει. ὁ δὲ ο, ἐπιγραφῆς μὲν περὶ ἀναχωρήσεως τυγχάνει· κατασκευάζει δὲ, ὡς οὐχὶ τὸ τὰς ἐρήμους διώκειν, ἀναχώρησίς ἐστι παθῶν καὶ τῶν ἐν βίῳ θορύβων· ἀλλὰ τὸ εἰς ἑαυτὸν ἐπεστράφθαι, καὶ σπεύδειν γνῶναι ἑαυτὸν τῆς ἀπὸ τῶν ἄλλων κακίας παρ' ὀλίγον ἔχοντα λόγον. περὶ κάλλους δὲ ὁ μετὰ τοῦτον λόγος, ὃν ἐπιγέγραπται τρόπον, τὸν αὐτὸν καὶ περὶ νεανίσκου διέξεισιν· ἐν ᾧ ὡς οὐ παρὰ πᾶσιν ἔθνεσι καὶ βαρβάροις τὸ αὐτὸ

10) al. συμπάσης. 11) δὲ φέρεται et
12) al. κατακλίνεσθαι m. Morell.

αὐτὸ νομίζεται κάλλος, ἄλλο δὲ παρ' ἄλλοις νικᾷ. ὁ δὲ οβ΄. περὶ εἰρήνης, καὶ πολέμου, τήν τε ἐπιγραφὴν προβάλλεται, καὶ διαλαμβάνει. ὁ δὲ ογ΄, ὅτι εὐδαίμων ὁ σοφός. καὶ ὁ ἐπ' αὐτῷ, περὶ εὐδαιμονίας. ὁ δὲ ἐπὶ τούτοις, περὶ τοῦ δαίμονος· δαίμονας δὲ καλεῖ, τοὺς ὅσοι λαχόντες ἀρχὴν ἑτέρων, ἄμεινον πράττειν τοὺς ἀρχομένους ἢ καὶ χεῖρον μετεσκεύασαν. περὶ δὲ τοῦ βουλεύεσθαι 13) ὁ οϛ΄ διαλαμβάνει. ὁ δὲ οζ΄, διατριβὴ περὶ τῶν ἐν συμποσίῳ τὴν ἐπιγραφὴν πεποιημένος, τινὰ τῶν ἐν αὐτῷ διέξεισι συμπιπτόντων· καὶ ὡς ὁ πολὺς ἄνθρωπος τηνικαῦτα πρὸς φιλοσοφίαν ὁρᾷν εἴωθεν, ἡνίκα αὐτοῦ ὁ βίος ἀνίαις περιῤῥεῖται. ὁ δὲ οη΄, καὶ ὁ μετ' αὐτὸν μελαγκόμας, α΄ καὶ β΄ ἐπιγεγραμμένοι, ἔπαινόν τε διαγράφουσι τοῦ νεανίσκου, καὶ μνήμην ἐπὶ χρηστοῖς τελευτήσαντος καὶ λύπην. ὁ δὲ π΄, Χαρίδημος μὲν αὐτῷ ἡ ἐπιγραφή· ἔπαινον δὲ καὶ πένθος ἐπὶ τελευτήσαντι συνδιαπλέκει τῷ νέῳ.

ΕΚ ΤΩΝ ΣΟΥΙΔΑ.

Δίων ὁ Πασικράτους, Προυσαεὺς, σοφιστὴς καὶ φιλόσοφος· ὃν Χρυσόστομον ἐκάλεσαν· ἀντεποιεῖτο δὲ σεμνότητος, ὡς καὶ λεοντῆν φοροῦντα προϊέναι. ἦν δὲ λεπτὸς τὸ σῶμα· καὶ διέτριψε τὸ πλεῖστον παρὰ Τραϊανῷ Καίσαρι· ὡς καὶ συγκαθέζεσθαι ἐν τῷ βασιλικῷ ὀχήματι. ἔγραψεν, εἰ φθαρτὸς ὁ κόσμος· ἐγκώμιον Ἡρακλέους καὶ Πλάτωνος· ὑπὲρ Ὁμήρου πρὸς Πλάτωνα, δ΄. περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν, η΄.

13) al. βούλεσθαι m. Mor.

ΕΚ ΤΩΝ ΦΙΛΟΣΤΡΑΤΟΥ, ΠΕΡΙ ΔΙΩΝΟΣ.

Δίωνα δὲ τὸν Πρȣσαῖον, ȣ̓κ οἶδ᾽ ὅ, τι χρὴ προσειπεῖν, διὰ τὴν ἐς πάντα ἀρετήν. ἀμαλθείας γὰρ κέρας ἦν, τὸ τȣ̃ λόγȣ, ξυγκείμενος μὲν τῶν ἄριϛα εἰρημένων τοῖς ἀρίϛοις, βλέπων δὲ πρὸς τὴν Δημοσθένȣς ἠχὼ, καὶ Πλάτωνος, ᾗ καθάπερ αἱ μαγάδες τοῖς ὀργάνοις προσηχεῖ ὁ Δίων τὸ ἑαυτȣ̃ ἴδιον ξὺν ἀφελείᾳ ἐπεϛραμμένη. ἀρίϛη δὲ ἐν τοῖς Δίωνος λόγοις καὶ ἡ τȣ̃ ἤθȣς κρᾶσις. ὑβριζȣ́σαις τε γὰρ πόλεσι πλεῖϛα ἐπιπλήξας, ȣ̓ φιλολοίδορος, ȣ̓δὲ ἀηδὴς ἔδοξεν, ἀλλ᾽ οἷον ἵππων ὕβριν χαλινῷ καταρτύνων μᾶλλον ἢ μάϛιγι· πόλεών τε εὐνομȣμένων ἐς ἐπαίνȣς καταϛὰς, ȣ̓κ ἐπαίρειν αὐτὰς ἔδοξεν, ἀλλ᾽ ἐπιϛρέφειν μᾶλλον ὡς ἀπολȣμένας, εἰ μεταβάλοιντο. ἦν δὲ αὐτῷ καὶ τὸ τῆς ἄλλης φιλοσοφίας ἦθος ȣ̓ κοινὸν, ȣ̓δ᾽ εἰρωνίζον, καὶ ἐμβριθῶς μὲν ἐγκείμενον, κεχρωσμένον δὲ οἷον ἡδύσματι, τῇ πρᾳότητι. ὡς δὲ καὶ ἱϛορίαν ἱκανὸς ἦν συγγράφειν, δηλοῖ τὰ Γετικά. καὶ γὰρ δὴ καὶ ἐς Γέτας ἦλθεν, ὁπότε ἠλᾶτο. τὸν δὲ Εὐβοέα, καὶ τὸν τȣ̃ Ψιττακȣ̃ ἔπαινον, καὶ ὁπόσα ȣ̓χ ὑπὲρ μεγάλων ἐσπȣ́δαϛαι τῷ Δίωνι, μὴ μικρὰ ἡγώμεθα, ἀλλὰ σοφιϛικά. σοφιϛȣ̃ γὰρ τὸ καὶ ὑπὲρ τοιȣ́των σπȣδάζειν. γενόμενος δὲ κατὰ χρόνȣς, ȣ̔́ς Ἀπολλώνιός τε ὁ Τυανεὺς, καὶ Εὐφράτης ὁ Τύριος ἐφιλοσόφȣν, ἀμφοτέροις μὲν ἐπιτηδείως εἶχε, καίτοι διαφερομένοις πρὸς ἀλλήλȣς, ἔξω τȣ̃ φιλοσοφίας ἤθȣς. τὴν δὲ ἐς τὰ Γετικὰ ἔθνη πάροδον τȣ̃ ἀνδρὸς, φυγὴν μὲν ȣ̓κ ἀξιῶ ὀνομάζειν, ἐπεὶ μὴ προσετάχθη αὐτῷ φυγεῖν, ȣ̓δὲ ἀποδημίαν, ἐπειδὴ τȣ̃ φανερȣ̃ ἐξέϛη, κλέπτων ἑαυτὸν ὀφθαλμῶν τε, καὶ ὤτων, καὶ ἄλλα ἐν ἄλλῃ γῇ πράττων, δέει τῶν κατὰ τὴν Ῥωμαίων τυραννίδα, ὑφ᾽

ὧν

ὧν ἠλαύνετο φιλοσοφία πᾶσα. Φυτεύων δὲ, καὶ σκάπτων, καὶ ἐπαντλῶν βαλανείοις, καὶ κήποις, καὶ πολλὰ τοιαῦτα ὑπὲρ τροφῆς ἐργαζόμενος, ἐδὲ τῦ σπεδάζειν ἠμέλει, ἀλλ᾽ ἀπὸ δυοῖν βιβλίοιν ἑαυτὸν ξυνεῖχε· ταυτὶ δὲ ἦν ὅ, τε Φαίδων ὁ τῦ Πλάτωνος, καὶ Δημοσθένης ὁ κατὰ τῆς πρεσβείας. Θαμίζων δὲ ἐς στρατόπεδα, ἐν οἷσπερ εἰώθει τρύχεσθαι, καὶ τὲς στρατιώτας ὁρῶν ἐς νεώτερα ὁρμῶντας ἐπὶ Δομετιανῷ ἀπεσφαγμένῳ, ἐκ ἐφείσατο, ἀταξίαν ἰδὼν ἐκραγεῖσαν, ἀλλὰ γυμνὸς ἀναπηδήσας ἐπὶ βωμὸν ὑψηλὸν, ἤρξατο τῦ λόγε ὧδε·

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς·

καὶ εἰπὼν ταῦτα, καὶ δηλώσας ἑαυτὸν, ὅτι μὴ πτωχὸς, μηδ᾽ ὃν ᾤοντο, Δίων δὲ εἴη ὁ σοφὸς, ἐπὶ μὲν τὴν κατηγορίαν τῦ τυράννε πολὺς ἔπνευσε, τὲς δὲ στρατιώτας ἐδίδαξεν ἄμεινον φρονεῖν τὰ δοκῦντα Ῥωμαίοις πράττοντας. καὶ γὰρ καὶ ἡ πειθὼ τῦ ἀνδρὸς, οἵα καταθέλξαι καὶ τοὺς μὴ τὰ Ἑλλήνων ἀκριβοῦντας. Τραϊανὸς γῦν αὐτοκράτωρ ἀναθέμενος αὐτὸν ἐπὶ τῆς Ῥώμης ἐς τὴν χρυσῆν ἅμαξαν, ἐφ᾽ ἧς οἱ βασιλεῖς τὰς ἐκ τῶν πολέμων πομπὰς πομπεύεσιν, ἔλεγε θαμὰ ἐπιστρεφόμενος πρὸς τὸν Δίωνα, τί μὲν λέγεις ἐκ οἶδα· φιλῶ δέ σε ὡς ἐμαυτόν· σοφιστικώτατον δὲ τῦ Δίωνος αἱ τῶν λόγων εἰκόνες, ἐν αἷς εἰ καὶ πολὺς, ἀλλὰ καὶ ἐναργὴς, καὶ τοῖς ὑποκειμένοις ὅμοιος.

ΣΥΝΕΣΙΟΥ ΔΙΩΝ, Η ΠΕΡΙ ΤΗΣ ΚΑΤ' ΑΥΤΟΝ ΔΙΑΓΩΓΗΣ.

Φιλόστρατος μὲν ὁ Λήμνιος ἀναγράφων τοὺς βίους τῶν μέχρις αὐτοῦ σοφιστῶν, ἐν ἀρχῇ τοῦ λόγου δύο μερίδας ποιεῖ, τῶν τε αὐτὸ τοῦτο σοφιστῶν, καὶ τῶν ὅσοι φιλοσοφήσαντες διὰ τὴν εὐστομίαν ὑπὸ τῆς φήμης ἐς τοὺς σοφιστὰς ἀπηνέχθησαν· καὶ τάττει τὸν Δίωνα μετὰ τούτων· ἐν οἷς Καρνεάδην τε καταλέγει τὸν Ἀθηναῖον, καὶ Λέοντα τὸν Βυζάντιον, καὶ συχνοὺς ἄλλους καταβιώσαντας μὲν ἐπὶ φιλοσόφου προαιρέσεως· λόγου δὲ ἰδέαν σοφιστικὴν ἡρμοσμένους· ἐν οἷς ἀριθμεῖ καὶ τὸν Κνίδιον Εὔδοξον, ἄνδρα τὰ πρῶτα τῶν Ἀριστοτέλους ὁμιλητῶν, ἀλλὰ καὶ ἀστρονομίας εὖ ἥκοντα, ὁπόσην ὁ τότε χρόνος ἐπρέσβευεν. ἡμῖν δὲ ὁ Δίων τῇ μὲν περιβολῇ τῆς γλώττης, ἣν χρυσῆν εἶχεν, ὥσπερ καὶ λέγεται, σοφιστὴς ἔστω διὰ πάντων τῶν ἑαυτοῦ, εἴ τις ἀξιοῖ τὴν ἐπιμέλειαν τῆς φωνῆς σοφιστικὸν ἀγώνισμα οἴεσθαι· καίτοι καὶ τοῦτο μετὰ μικρὸν ὁποῖόν ἐστιν ἐξετάσομεν· τὴν δὲ προαίρεσιν οὐχ εἷς ὁ Δίων, οὐδὲ μετὰ τούτων τακτέος, ἀλλὰ μετὰ Ἀριστοκλέους, ἀπεναντίας μέντοι κἀκείνῳ. ἄμφω μέν γε μεταπεπτώκασιν· ἀλλ' ὁ μὲν ἐκ φιλοσόφου καὶ μάλα ἐμβριθοῦς, καὶ πρόσω καθεικότος τὸ ἐπισκύνιον, ἐτέλεσεν εἰς σοφιστάς, καὶ τρυφῆς ἁπάσης οὐχ ἥψατο μόνον, ἀλλὰ καὶ ἐς ἄκρον ἐλήλακεν· ἐννεάσας δὲ τῇ προστασίᾳ τῶν ἐκ τοῦ περιπάτου δογμάτων, καὶ συγγράμματα ἐξενηνοχὼς εἰς τοὺς Ἕλληνας, ἄξια φιλοσόφου σπουδῆς, οὕτω τι ἥττων ἐγένετο δόξης σοφιστικῆς, ὡς μεταμέλειν μὲν αὐτῷ γηρῶντι τῆς ἐν ἡλικίᾳ σεμνότητος· κόψαι δὲ τὰ Ἰταλικά τε, καὶ Ἀσιανὰ θέατρα μελέταις ἐναγωνιζόμενον. ἀλλὰ καὶ κοττάβοις ἐδεδώκει, καὶ αὐλητρίδας ἐκόμιζε· καὶ ἐπήγγελλεν ἐπὶ τούτοις συσσίτια· ὁ δὲ

Δίων

Δίων ἐξ ἀγνώμονος σοφιςῦ, φιλόσοφος ἀπετελέσθη· τύχη δὲ μᾶλλον ἢ γνώμη χρησάμενος, τὴν τύχην αὐτὸν διηγήσατο. ἦν δὲ δὴ καὶ τῦ γράφοντος βίον διηγήσασθαι τὴν περὶ τὸν ἄνδρα διπλόην· ἀλλὰ μὴ ἁπλῶς ὕτω συγκαταριθμῆσαι τοῖς ἀμφὶ Καρνεάδην καὶ Εὔδοξον· ὧν ἥντινα ἂν λάβῃς ὑπόθεσιν, φιλόσοφός ἐςι μετακεχειρισμένη σοφιςικῶς, τῦτ᾽ ἔςι λαμυρῶς ἀπηγγελμένη καὶ δεξιῶς, καὶ πολλὴν τὴν ἀφροδίτην ἐπαγομένη. ταύτῃ καὶ παρὰ τῶν ἀνθρώπων, ὓς λέγοντες ἐκήλυν τῷ κάλλει τῶν ὀνομάτων, ἠξιῦντο τῆς προσηγορίας τῦ σοφιςῦ· αὐτοὶ δ᾽ ἂν ἀπαξιῶσαι [1]) ἐμοὶ δοκῦσι καὶ ὡς διδόμενον δέξασθαι, φιλοσοφίας ἐν ὀνείδει τὸ τοιῦτο τιθείσης, ἄρτι τῦ Πλάτωνος ἐπαναςάντος τῷ ὀνόματι. ὁ δὲ, πρέπει τε λαμπρῶς τοῖν βίοιν ἑκατέρυ χωρὶς, καὶ ταῖς ὑποθέσεσι μάχεται αὐτὸς ἑαυτῦ, λόγυς ἐξενεγκὼν ἀπὸ τῶν ἐναντίων ἐνςάσεων. χρὴ δή πυ καὶ δι᾽ αὐτὴν ὐχ ἥκιςα τὴν ἐν τοῖς λόγοις διαφορὰν μὴ σεσιγῆσθαι τὰ περὶ τὸν ἄνδρα. ὅπερ γὰρ ἐν τοῖς μετὰ ταῦτά φησιν, ἀπολύων αὐτὸν αἰτίας συνθέντα ἔπαινον ἐπὶ ψιττακῷ τῷ ὄρνιθι· σοφιςῦ γὰρ εἶναι μηδὲ τύτων ὑπεριδεῖν· αὐτῦ μὲν ἂν ἔλεγχος εἶναι δόξειε, προειπόντος, ὅτι τῶν συκοφαντυμένων ἐςὶν ὁ ἀνὴρ, ὅστις φιλόσοφος ὢν, εἰς τὸν σοφιςὴν ἕλκεται. λέγει γὰρ ὕτω· Σοφιςὰς δὲ οἱ παλαιοὶ ἐπωνόμαζον, ὐ μόνον τῶν ῥητόρων τὺς ὑπερφωνῦντάς τε καὶ λαμπρὺς, ἀλλὰ καὶ τῶν φιλοσόφων τὺς σὺν εὐροίᾳ ἑρμηνεύοντας, ὑπὲρ ὧν ἀνάγκη πρότερον εἰπεῖν· ἐπειδὴ ὐκ ὄντες σοφιςαὶ, δόξαντες δὲ, παρῆλθον εἰς τὴν ἐπωνυμίαν ταύτην· εἶτα σαφῶς φιλοσόφυς ἄνδρας ἐξαριθμεῖται· μεθ᾽ ὧν δὴ καὶ τὸν Δίωνα, καὶ μετὰ Δίωνα ἄλλυς, ὧν περὶ τῦ τελευταίυ παυόμενος, Τοσαῦτα, φησὶ, περὶ τῶν φιλοσοφησάντων ἐν δόξῃ τῦ σοφιςεῦσαι, ταυτὸν ἑτέρως εἰπὼν, ὅτι μὴ ὄντες σοφιςαὶ, τῦ ὀνόματος ἐπεβάτευσαν. καὶ

1) γρ. ἂν ἐπιεικῶς margo Morell.

καίτοι μεταξύ που φησὶν ἀπορεῖν, οἷ χοροῦ τάξει τὸν ἄνδρα, περιδέξιον δή τινα ὄντα. τί οὖν προεῖπας· τί δὲ ἐπεῖπας, ὅτι τοῦτο μέν ἐστιν, ἐκεῖνο δὲ φαίνεται. ἀλλ' ἔγωγε οὐ μικρολογοῦμαι πρὸς τὰς ἐναντιολογίας· συγχωρῶ δὲ τὸν Δίωνα φιλόσοφον ὄντα παῖξαι τὰ σοφιστῶν, εἰ μόνον πρᾶός ἐστι καὶ ἵλεως φιλοσοφία, καὶ μηδαμοῦ μηδὲν ἐπηρέακεν αὐτῇ· μηδὲ ἐπ' αὐτῇ ξυντέθεικε λόγους ἰταμούς τε καὶ κακοήθεις. ἀλλ' οὗτός γε πλεῖστα δὴ καὶ μάλιστα σοφιστῶν εἰς φιλοσόφους τε καὶ φιλοσοφίαν ἀπηναισχύντηκεν. ἅτε γάρ, οἶμαι, φύσεως λαχὼν ἐχούσης ἰσχὺν, καὶ τὸ ῥητορεύειν αὐτὸν ἠλήθευεν, ἄμεινον ἀναπεπεισμένος εἶναι τοῦ ζῆν κατὰ φιλοσοφίαν, τὸ ζῆν κατὰ τὰς κοινὰς ὑπολήψεις· ὅθεν ὅ, τε κατὰ τῶν φιλοσόφων αὐτῷ λόγος ἐσπουδάσθη σφόδρα ἀπεικονισμένος, καὶ οὐδὲν σχῆμα ὀκνήσας· καὶ ὁ πρὸς Μουσώνιον ἕτερος τοιοῦτος· οὐ προγυμναζομένου τῷ τόπῳ τοῦ Δίωνος, ἀλλ' ἐκ διαθέσεως γράφοντος, ὡς ἐγὼ σφόδρα διισχυρίζομαι· πείσαιμι δ' ἂν καὶ ἄλλον, ὅστις εὔστοχος ἤθους εἰρωνείαν τε καὶ ἀλήθειαν ἐκ παντοδαποῦ λόγου φωράσαι· ἐπειδὴ δὲ ἐφιλοσόφησεν, ἐνταῦθα δὴ καὶ μάλιστα ἡ ῥώμη τῆς φύσεως αὐτοῦ διεδείχθη. ὥσπερ γὰρ ἐπιγνούσης ὀψὲ τῆς φύσεως τὸ οἰκεῖον ἔργον, οὐ κατὰ μικρὸν, ἀλλ' ὅλοις τοῖς ἱστίοις ἀπηνέχθη τῆς σοφιστικῆς προαιρέσεως· ὅς γε καὶ τὰς ῥητορικὰς τῶν ὑποθέσεων οὐκ ἔτι ῥητορικῶς, ἀλλὰ πολιτικῶς μετεχειρίσατο· εἴ τις ἀγνοεῖ τὴν ἐν ταυτῷ προβλήματι διαφορὰν τοῦ πολιτικοῦ καὶ τῶν ῥήτορος, ἐπελθέτω μετὰ νοῦ τὸν Ἀσπασίας τε καὶ Περικλέους ἐπιτάφιον, Θουκυδίδου καὶ Πλάτωνος· ἑκάτερος θατέρου παραπολὺ καλλίων ἐστὶ, τοῖς οἰκείοις κανόσι κρινόμενος. ὁ δ' οὖν Δίων ἔοικε, θεωρήμασι μὲν τεχνικοῖς ἐν φιλοσοφίᾳ μὴ προσταλαιπωρῆσαι[2]), μηδὲ προσανασχεῖν φυσικοῖς δόγμασιν, ἅτε ὀψὲ τοῦ καιροῦ μετατεθειμένος· ὄνασθαι δὲ τῆς στοᾶς

ὅσα

2) γρ. πρὸς τὸ μὴ ταλ. m. Mor.

ὅσα ἐς ἦθος τείνει, καὶ ἠῤῥενῶσθαι παρ᾽ ὁντινοῦν τῶν ἐφ᾽ ἑαυτοῦ· ἐπιθέσθαι δὲ τῷ νουθετεῖν ἀνθρώπους, καὶ μονάρχους καὶ ἰδιώτας, καὶ καθ᾽ ἕνα καὶ ἀθρόους, εἰς ὃ χρήσασθαι προαποκειμένῃ τῇ παρασκευῇ τῆς γλώττης. διό μοι δοκεῖ καλῶς ἔχειν ἐπιγράφειν ἅπασι τοῖς Δίωνος λόγοις, ὅτι πρὸ τῆς φυγῆς, ἢ μετὰ τὴν φυγὴν, οὐχ οἷς ἐμφαίνεται μόνοις ἡ φυγὴ, καθάπερ ἐπέγραψαν ἤδη τινὲς, ἀλλ᾽ ἁπαξάπασιν. οὕτω γὰρ ἂν εἴημεν, τούς τε φιλοσόφους, καὶ τοὺς αὐτὸ τοῦτο σοφιστικοὺς λόγους διειληφότες ἑκατέρους χωρὶς, ἀλλ᾽ οὐχ ὥσπερ ἐν νυκτομαχίᾳ περιτευξόμεθα αὐτῷ, νῦν μὲν βάλλοντι Σωκράτην καὶ Ζήνωνα τοῖς ἐκ Διονυσίων σκώμμασι, καὶ τοὺς 3) ἀπ᾽ αὐτῶν ἀξιοῦντι πάσης ἐλαύνεσθαι γῆς καὶ θαλάττης, ὡς ὄντας κῆρας πόλεών τε καὶ πολιτείας· νῦν δὲ στεφανοῦντί τε αὐτοὺς, καὶ παράδειγμα τιθεμένῳ γενναίου βίου καὶ σώφρονος. Φιλόστρατος δὲ καὶ τοῦτο ἀπεριμερίμνως, τὸν ἔπαινον τοῦ Ψιττακοῦ καὶ τὸν Εὐβοέα τῆς αὐτῆς προαιρέσεως οἴεται, καὶ ὑπὲρ ἀμφοῖν ὁμοίως εἰς ἀπολογίαν καθίσταται τὴν ὑπὲρ τοῦ Δίωνος, ὡς μὴ ἐπὶ τοῖς τυχοῦσιν ἐσπουδακέναι δοκεῖν· τοῦτο δ᾽ ἤδη πλέον ἐστὶ ποιήσασθαι θάτερον. ὁ γὰρ ἀναγορεύσας αὐτὸν ἐν τοῖς δι᾽ ὁλοκλήρου τοῦ βίου φιλοσοφήσασι, προϊὼν οὐ μόνον ἐνδέδωκε πρὸς τὸ καὶ σοφιστικόν τι ἔργον εἰργάσθαι τὸν Δίωνα, ἀλλὰ καὶ προσαποστερεῖ τὸν ἄνδρα καὶ τῶν ὄντων ἐκ τῆς φιλοσόφου μερίδος, προσνέμων αὐτὰ τοῖς σοφιστικοῖς. εἰ γὰρ Εὐβοέα τὶς ἀφαιρήσεται τοῦ σπουδαῖον εἶναι, καὶ ὑπὲρ σπουδαίων συγκεῖσθαι, οὔ μοι δοκεῖ ῥᾷστ᾽ ἂν 4) ὁ τοιοῦτος ἐγκρῖναι τινὰ λόγον τῶν Δίωνος, ὥς γε καὶ φιλόσοφον ὑπ᾽ αὐτοῦ προσειρῆσθαι. ὡς οὗτός γε 5) ὁ λόγος ὑποτύπωσίς ἐστιν εὐδαίμονος βίου, πένητι καὶ πλουσίῳ τοῦ παντὸς ἀνάγνωσμα ἀξιώτατον. ᾠδηκός τε γὰρ ἦθος ὑπὸ

πλούτου

3) γρ. καὶ τὸ τοὺς. 4) γρ. ῥᾷστον ἂν et
5) γρ. καὶ οὗτός γε m. Mor.

πλούτου καταστέλλει, τὸ εὔδαιμον ἑτέρωθι δείξας· καὶ τὸ καταπεπτωκὸς ὑπὸ πενίας ἐγείρει, καὶ αταπείνωτον εἶναι παρασκευάζει· τοῦτο μὲν, τῷ καταμελιτοῦντι τὰς ἁπάντων ἀκοὰς διηγήματι, ὑφ᾽ οὗ κἂν Ξέρξης ἀνεπείσθη, Ξέρξης ἐκεῖνος ὁ τὴν μεγάλην στρατείαν ἐλάσας ἐπὶ τοὺς Ἕλληνας, μακαριώτερον ἑαυτοῦ γεγονέναι κυνηγέτην ἄνδρα ἐν τῇ ὀρεινῇ τῆς Εὐβοίας κέγχρους ἐσθίοντα· τοῦτο δὲ ταῖς ἀρίσταις ὑποθήκαις, αἷς χρώμενος, οὐδεὶς αἰσχύνεται πενίαν, εἰ μή γε καὶ φεύξεται· διὸ βελτίους οἱ τάττοντες αὐτὸν μετὰ τὸν ἔσχατον περὶ βασιλείας, ἐν ᾧ τέτταρας ὑποθέμενος βίους καὶ δαίμονας [6]), τὸν φιλοχρήματόν τε καὶ τὸν ἀπολαυστικὸν, καὶ τρίτον τὸν φιλότιμον, τελευταῖον δὲ καὶ ἐπὶ πᾶσι τὸν εὔφρονα καὶ σπουδαῖον· ἐκείνους μὲν τοὺς κατὰ τὴν ἀναλογίαν ἅπαντας γράφει τε καὶ σχηματίζει, παύεται δὲ τοῦ βιβλίου, τὸ λοιπὸν ἐπαγγειλάμενος αὐτίκα ἀποδώσειν, ὅτε ποτὲ πεπρωμένος ἐκ θεῶν ἐγένετο. χωρὶς οὖν τιθέντι τοὺς ἐν τοῖς συχνοῖς λόγοις Διογένεις τε καὶ Σωκράτεις, οἳ καὶ περιττοὶ τὴν φύσιν ἔδοξαν· καὶ οὐχ ἅπαντός ἐστιν ὁ τοῖν ἀνδροῖν τούτοιν ζῆλος· ἀλλ᾽ ὅστις εὐθὺς αἵρεσίν τινα τῶν κατὰ φιλοσοφίαν ὑπέσχετο· τὸν δὲ κατὰ τὴν κοινὴν φύσιν ζητοῦντι, καὶ τὸν ἅπασιν ἐγχειροῦν τι δίκαιον, ὅσιον, αὐτουργὸν, ἀπὸ τῶν ὄντων φιλάνθρωπον, οὐκ ἂν ἕτερος ἀντὶ τοῦ Εὐβοέως ἀποδεδομένος εἴη βίος εὐδαιμονικὸς. ὅτι καὶ τοὺς Ἐσσηνοὺς ἐπαινεῖ που, πόλιν ὅλην εὐδαίμονα τὴν παρὰ [7]) τὸ νεκρὸν ὕδωρ ἐν τῇ μεσογείᾳ τῆς Παλαιστίνης κειμένην παρ᾽ αὐτά που τὰ Σόδομα. ὁ γὰρ ἀνὴρ ὅλως ἐπειδὴ τοῦ φιλοσοφεῖν ἤρξατο, καὶ εἰς τὸ νουθετεῖν ἀνθρώπους ἀπέκλινεν, οὐδένα λόγον ἄκαρπον ἐξενήνοχε. τῷ δὲ μὴ παρέργως ἐντυγχάνοντι, δήλη καὶ ἡ τῆς ἑρμηνείας ἰδέα διαλλάττουσα, καὶ οὐκ οὖσα μία τῷ Δίωνι, κατά τε τὰς σοφιστικὰς ὑποθέσεις, καὶ κατὰ πολιτικάς. ἐν ἐκείναις

6) γρ. βίους εὐδαίμονας m. Mor. 7) γρ. περὶ m. Mor.

νοις μὲν γὰρ ὑπτιάζει καὶ ὡραΐζεται, καθάπερ ὁ ταὼς περιαθρῶν ἑαυτὸν, καὶ οἷον γαννύμενος ἐπὶ ταῖς ἀγλαΐαις τοῦ λόγου, ἅτε πρὸς ἓν τοῦτο ὁρῶν, καὶ τέλος τὴν εὐφωνίαν τιθέμενος. ἔστω παράδειγμα ἡ τῶν Τεμπῶν φράσις, καὶ ὁ Μέμνων· ἐν τούτῳ μέν γε, καὶ ὑπότυφός ἐστιν ἡ ἑρμηνεία. τὰ δὲ τοῦ δευτέρου χρόνου βιβλία, ἥκιστ' ἂν ἐν αὐτοῖς ἴδοις χαῦνόν τι καὶ διαπεφρονημένον. ἐξελαύνει γάρ τοι φιλοσοφία καὶ ἀπὸ τῆς γλώττης τρυφὴν τὸ ἐμβριθές τε καὶ κόσμιον κάλλος ἀγαπῶσα, ὁποῖόν ἐστι τὸ ἀρχαῖον καὶ κατὰ φύσιν ἔχον, καὶ τοῖς ὑποκειμένοις οἰκεῖον, οὗ μετὰ τοὺς λίαν ἀρχαίους καὶ Δίων ἐπιτυγχάνει διὰ τῶν πραττομένων ἰὼν, κἂν λέγῃ, κἂν διαλέγηται. ἔστω παράδειγμα τῆς ἀσφαλῶς καὶ κυρίως ἐχούσης ἑρμηνείας, ὁ ἐκκλησιαστικός τε καὶ ὁ βουλευτικός. εἰ δὲ βούλει, καὶ ὁντινοῦν τῶν πρὸς τὰς πόλεις εἰρημένων τε καὶ ἐγνωσμένων προκεχειρισμένος, ἴδοις ἂν ἑκατέραν ἰδέαν ἀρχαϊκήν· ἀλλ' οὐ τῆς νεωτέρας ἤχους τῆς ἐπιποιούσης τῷ κάλλει τῆς φύσεως, ὁποῖαι διαλέξεις ὧν πρόσθεν ἐμνήσθημεν, ὁ Μέμνων τε καὶ 8) τὰ Τέμπη· λόγος δὲ οὗτος ὁ κατὰ τῶν φιλοσόφων. κἂν γὰρ οὐ προσποιῆται 9), πάνυ τοῦ θεάτρου γίνεται καὶ τῆς χάριτος· καὶ οὐκ ἂν εὕροις ῥητορείαν ἐπαφροδιτωτέραν παρὰ τῷ Δίωνι· ὃ καὶ θαυμάσας ἔχω τὴν τύχην φιλοσοφίας, εἰ μήτε κωμῳδία τῶν νεφελῶν μᾶλλον εὐδοκιμεῖ. οὐδὲ γάρ ἐστιν ἥντινα μετὰ τῆς ἴσης δυνάμεως Ἀριστοφάνης ἀπήγγελκε, τεκμήριον ποιῶν τοῦ στρογγύλως καὶ σὺν εὐροίᾳ προσενηνέχθαι,

Κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν,
Ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε·
Κᾆτα ψυγείσῃ περιέφυσαν περσικαί.
Ταύτας ἀπολύσας, ἀνεμέτρει τὸ χωρίον.

Ἀριστεί-

8) γρ. ἐμνημονεύσαμεν ὁ Μ. ἐστὶ καὶ, et
9) γρ. ἀποπροσ. m. Mor.

Ἀριςείδην δὲ ὁ πρὸς Πλάτωνα λόγος ὑπὲρ τῶν τεσσάρων, πολὺν ἐκήρυξεν ἐν τοῖς Ἕλλησιν. ἕτος μὲν καὶ τέχνης ἁπάσης ἀμοιρῶν, ὅν γε ἐδ᾽ ἂν ἐπαγάγοις εἴδει ῥητορικῆς, ἕκεν ἐκ τε δικαίε καὶ 10) τῶν νόμων τῆς τέχνης· συγκείμενος δ᾽ ἐν ἀποῤῥήτῳ κάλλει καὶ θαυμαςῇ τινι χάριτι, εἰκῇ πως ἐπιτερπέσῃ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν. ἕτός τε ὁ Δίων ἤκμασε μάλιςα ἐν τῷ κατὰ τῶν φιλοσόφων, ἥντινα καὶ καλῦσιν ἀκμὴν οἱ νεώτεροι· τετ᾽ ἔςιν ἡρμόσατο πανηγυρικώτερον ἀνδρὸς ἀσφαλεῦς, καὶ μέντοι γε εἰς τὴν τοιαύτην ἰδέαν αὐτὸς αὑτῦ ταύτῃ κράτιςος ἔδοξεν. ἐ μέντοι τοσῦτον ὁ Δίων ἐξωρχήσατο τὴν ἀρχαίαν ῥητορικὴν, ἐν οἷς καὶ δοκεῖ σαφῶς ἀναχωρεῖν τῶν οἰκείων ἠθῶν, ὡς ἂν καὶ λαθεῖν, ὅτι Δίων ἐςὶν παρακινήσας ἐς τὸ νεώτερον· ἀλλ᾽ εὐλαβῶς ἅπτεται τῆς παρανομίας, καὶ αἰσχυνομένῳ γε ἔοικεν, ὅταν τι παρακεκινδυνευμένον καὶ νεανικὸν προενέγκηται· ὥςε κἂν αἰτίαν φύγοι δειλίας, εἰ πρὸς τὴν ὕςερον ἐπιπολάσασαν τῶν ῥητόρων τόλμαν αὐτὸν ἐξετάζοιμεν, τοῖς πλείςοις δὲ τῶν ἑαυτῦ, καὶ παραβραχὺ τοῖς ἅπασι, μετ᾽ ἐκείνων ταττέσθω τῶν ἀρχαίων τε καὶ ςασίμων ῥητόρων, παρ᾽ ὅντιν᾽ ἐν καὶ δήμῳ διαλεχθῆναι καὶ ἰδιώτῃ τῦ παντὸς ἄξιος. οἵ τε γὰρ ῥυθμοὶ τῦ λόγε κεκολασμένοι, καὶ τὸ βάθος τῦ ἤθες, οἷον σωφρονιςῇ τινι καὶ παιδαγωγῷ πρέπον πόλεως ὅλης ἀνοήτως διακειμένης. ὥσπερ δὲ τὴν ἑρμηνείαν οὔτε μίαν ἔφαμεν πάντως 11), ἐδὲ ἀνεπίγνωςον, ὅτι Δίωνός ἐςιν ἑκατέρα, νῦν μὲν ῥήτορος ἀνδρὸς, νῦν δὲ πολιτικῦ· ἕτω καὶ τὰς διανοίας, ὅςις ἐκ αὐτὸς δίχα διανοίας ἐπιβάλλοι τὰς ὄψεις, ὅτω δὴ τῶν βιβλίων αὐτῦ, ἐπιγνώσεται Δίωνος ἔσας, ἐν ταῖν δυοῖν ἰδέαιν τῶν ὑποθέσεων· κἂν τὸ φαυλότατον προχειρίσῃ τὸν Δίωνα ὄψει τὸν πορίμώτατον τῇ ῥητορείᾳ παντὸς ἐξευρεῖν λόγους. μακρῷ γὰρ δὴ σοφιςῶν κατὰ τὸ ἐπιχειρῆσαι διήνεγκεν· εἰ δέ τις καὶ ἕτερος σοφι-

10) γρ. δικαίε γε καὶ m. Mor. 11) γρ. παντοίω m. Mor.

σοφιστὴς ἦν εὔπορος, ἀλλὰ πολλοῦ γε καὶ δεῖ παραβάλλεσθαι πρὸς τὴν τοῦδε πυκνότητα· ἅμα δὲ καὶ θαυμαστή τις ἰδιότης χαρακτηρίζει τὰς Δίωνος ἐπινοίας. δηλούτω σοὶ τὸν ἄνδρα ὁ Ῥοδιακός τε καὶ ὁ Τρωϊκός· εἰ δὲ βούλει, καὶ ὁ τοῦ κώνωπος ἔπαινος. ἐσπουδάσθη γὰρ τῷ Δίωνι καὶ τὰ παίγνια, πανταχοῦ τῇ φύσει χρωμένῳ· καὶ οὐκ ἂν ἀπιστήσαις αὐτὰ τῆς αὐτῆς παρασκευῆς εἶναι καὶ δυνάμεως. ταῦτά μοι περὶ Δίωνος εἰπεῖν ἐπῆλθε, πρὸς τὸν ὕστερόν ποτε παῖδα ἐσόμενον· ἐπεί μοι καὶ διεξιόντι τοὺς παντοδαποὺς αὐτοῦ λόγους μεταξὺ τὸ μάντευμα γέγονε· πατρικὸν δὴ πέπονθα, καὶ ἤδη συνεῖναι τῷ παιδὶ βούλομαι, καὶ διδάσκειν ἅττα μοι φρονεῖν ἔπεισι περὶ ἑκάστου συγγραφέως τε καὶ συγγράμματος, συνιστὰς αὐτῷ φίλους ἄνδρας, μετὰ τῆς προσηκούσης ἑκάστου κρίσεως· ἐν οἷς ἔστω καὶ Δίων ὁ Προυσαεὺς, περιττὸς ἀνὴρ εἰπεῖν τε καὶ γνῶναι. καὶ τοῦτον οὖν ἐπαινέσας αὐτῷ παραδίδωμι, ἵνα μοι μετὰ τοὺς τῆς γενναίας φιλοσοφίας προστάτας ἀπάρχοιτό ποτε καὶ τοῖς πολιτικοῖς τοῦ Δίωνος γράμμασι, μεθόριον αὐτὰ ἡγούμενος τῶν προπαιδευμάτων τε καὶ τῆς ἀληθινωτάτης παιδείας. καὶ καλόν γε, ὦ παῖ, θεωρήμασιν ἐπιστημονικοῖς προσταλαιπωρήσαντα, καὶ καταπεπυκνωμένον τὴν γνώμην, ἢ δόγμασι βάρος ἔχουσιν ἐστοιβασμένης τῆς διανοίας, εἶτα ἀποκλῖναι δεήσαν, μὴ εὐθὺς ἐπὶ κωμῳδίαν, ἢ ψιλήν τινα ῥητορείαν ἀΐξαι· τοῦτο γάρ ἐστιν οὐκ ἐν τάξει· καὶ ταχὺ πρόσω τοῦ μετρίου ῥαστωνεῦσαι· ἀλλὰ κατὰ [12]) μικρὸν ἐκλυτέος ὁ τόνος, μέχρις ἂν, εἰ δοκεῖ, δόξειε δὲ, κἂν εἰς τὸ ἀντικείμενον ἥκῃς, ἐπεξιὼν ἅπασιν, ὅσα Μουσῶν ἑταίροις ἀνδράσιν ἐῤῥαθύμηταί τε καὶ πέπαικται· πάλιν δὲ τὴν σπουδὴν ἐπιτείνων, ἀναβιβασμῷ [13]) χρήσῃ, τοῖσδέ τε καὶ ἀδελφοῖς τισι τούτων ἀναγνώσμασιν· οὕτως

12) γρ. ῥαστωνεύσασθαι, ἀλλὰ καὶ κ. et

13) γρ. βουλὴν ἐπ' ἀναβασμῷ m. Mor.

τως ἂν ἄριστα δρῴης, διατρέχων[14]) τὸν κάλλιστον δίαυλον παρὰ μέρος, ἐν βιβλίοις ἀεὶ παίζων τε καὶ σπουδάζων. ἀξιῶ γὰρ ἐγὼ τὸν φιλόσοφον, μηδ᾽ ἄλλο τι κακὸν, μηδ᾽ ἀγροῖκον εἶναι, ἀλλὰ καὶ τὰ ἐκ χαρίτων μυεῖσθαι, καὶ ἀκριβῶς Ἕλληνα εἶναι, τοῦτ᾽ ἔστι δύνασθαι τοῖς ἀνθρώποις ἐξομιλῆσαι, τῷ μηδενὸς ἀπείρως ἔχειν ἐλλογίμου συγγράμματος. ἔοικε γὰρ οὐδ᾽ ἄλλο τι γεγονέναι προοίμιον φιλοσοφίας, ἡ πολυπραγμοσύνη γνώσεως, καὶ ἐν παισὶν ἡ φιλόμυθος φύσις, ὑπόσχεσίς ἐστι φιλοσόφου τέλους. καὶ δῆτα τίνος ἂν εἴη τέχνη καὶ ἐπιστήμη τέχνης ἢ ἐπιστήμης, ἧς ἐν τῷ λόγῳ τοῦ εἶναι, τὸ πάσαις ἐποχεῖσθαι παραλαμβάνεται· εἰ μὴ φιλοκρινοίητε αὐτὰς, καὶ τὴν μὲν ἐκ περιωπῆς ἀποσκοποῖτο, τὴν δὲ καὶ πρόσω ἰοῦσαν περιεργάζοιτο, δορυφοροῖτο δ᾽ ὑφ᾽ ἁπασῶν, ὥσπερ ἔοικε τῇ βασιλίδι. τὰς δὲ Μούσας οὐχ ὁμοῦ τε οὔσας ἐμφαίνει τὸ ὄνομα, θεῶν καλεσάντων, ἢ ἀνθρώπων γε θεοῦ φήμῃ χρωμένων; χορός τέ εἰσι, διὰ αὐτὴν δήπου τὴν σύνοδον· μία δὲ αὐτῶν οὐδεμιᾶς χωρὶς, οὔτε ἐν συμποσίῳ θεῶν ἐπιδείκνυται τὸ οἰκεῖον ἔργον, οὔτε τυγχάνει παρὰ ἀνθρώποις βωμοῦ καὶ νεώ. καίτοι τινὲς ἤδη φύσεως ἐνδείᾳ κατακερματίζουσιν αὐτῶν τὰ χωρίζεσθαι μὴ δυνάμενον, καὶ ἕτερος ἑτέρας ἐπήβολος γέγονεν· ἀλλὰ φιλοσοφία, τὸ ἐπὶ πάσαις ἐστί. καίτοι τοῦτο αἰνίττεται τὸ τῇ συμφωνίᾳ τῶν Μουσῶν, εὐθὺς τὸν Ἀπόλλω παρεῖναι· ὁ δὲ λόγος οὗτος, τεχνίτην μὲν καὶ ἐπιστήμονα καλεῖ τὸν ἀποτεμνόμενον ἡντινοῦν εἴδησιν, ἄλλον ἄλλῃ προσήκοντα δαίμονι· φιλόσοφον δὲ τὸν ἡρμοσμένον ἐκ τῆς ἁπασῶν συμφωνίας, καὶ ἓν τὸ πλῆθος ποιήσαντα. ἢ τοῦτον μὲν οὔπω, προσεῖναι δὲ δεῖ τὸ καὶ ἔχειν αὐτὸν ἴδιον ἔργον ὑπερκείμενον τοῦ χοροῦ, ὥσπερ τὸν Ἀπόλλω λόγος ἔχει. νῦν μὲν ταῖς Μούσαις συνᾴδειν αὐτὸν ἐξάρχοντα, καὶ ἐνδιδόντα ῥυθμὸν τῷ συστήματι, νῦν δὲ αὐτὸν κατὰ μόνας ᾄδειν· ἐκεῖνο δ᾽ ἂν εἴη τὸ μέλος τὸ

14) γρ. ὡς ἂν ἀρ. ἀνατρέχων m. Morell.

τὸ ἱερὸν, καὶ ἀπόῤῥητον. καὶ ὁ φιλόσοφος ὁ καθ' ἡμᾶς, συνέσαι μὲν ἑαυτῷ τε καὶ τῷ θεῷ διὰ φιλοσοφίας· συνέσαι δὲ τοῖς ἀνθρώποις διὰ τῶν ὑφειμένων τῦ λόγυ δυνάμεων. ἐπισήσεται μὲν ὖν, ὡς φιλολόγος· κρινεῖ δὲ, ὡς φιλόσοφος, ἕκασόν τε καὶ πάντα· οἱ δὲ ἀσεμφεῖς ὖτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως, ὖ μοι δοκῦσιν ὐδὲ ἑκόντες εἶναι τοιῦτοι· πενίᾳ δὲ φύσεως μηδὲ τὰ σμικρὰ ἱκανοὶ, ὧν θᾶττον ἂν ἴδοις τὴν καρδίαν, ἢ τὰ ἐν τῇ καρδίᾳ, ἀδυνατύσης τῆς γλώττης ἐξερμηνεῦσαι τὴν γνώμην. ἐγὼ μὲν ὖν καὶ ἀπισεῖν αὐτοῖς βύλομαι, καὶ ὐδ' ἂν φαίην ἀπόῤῥητόν τι κρύπτειν αὐτὺς, ὥσπερ τὰς ἐσιάδας τὸ πῦρ· πρῶτον μὲν ὅτι μηδὲ ὅσιόν ἐσι τὰ μεγάλα σοφὸν γενέσθαι, τὸν τὰ μικρὰ μὴ δυνάμενον. ἔπειτα ὥσπερ ὁ θεὸς τῶν ἀφανῶν ἑαυτῦ δυνάμεων εἰκόνας ἐμφανεῖς ὑπεσήσατο τῶν ἰδεῶν τὰ σώματα, ὕτως ἔχυσα κάλλος ψυχὴ καὶ γόνιμος ὖσα τῶν ἀρίσων, διαδόσιμον ἔχει μέχρι τῶν ἔξω τὴν δύναμιν· ὐδὲν γὰρ ἐθέλει τῶν θείων ἔσχατον εἶναι· εἰ δὲ καὶ κρύπτειν ἐπιτηδειότερος τὰ ἀβέβηλα ὁ παντοδαπῶς ἔχων τῦ λόγυ, καὶ περιβαλλόμενος δύναμιν τῦ διατίθεσθαι τὰς συνυσίας ᾗ βύλεται· καὶ ὕτω μειονεκτεῖν ἀνάγκη τὸν ἄνδρα ἐκεῖνον, ὃς ὐ προετελέσθη τῷ κύκλῳ, καὶ τὰ Μυσῶν ὐκ ὠργίασε. δυοῖν γὰρ αὐτὸν καταλαμβάνει τὸ ἕτερον, ἤτοι σιγᾶν, ἢ λέγειν, ὅσα νόμος σιγᾶσθαι. ἢ γὰρ δὴ τὰς τῶν ἐν ἄσει τύχας, διαλέξεων ὑποθέσεις ποιήσεται, καὶ φορτικὸς τοῖς ἀνθρώποις συνέσαι, ὁ μηδεὶς ἂν ἐλεύθερος ἀξιώσειεν· ἢ βιώσει ἐν σχολῇ γε ὁ τὴν σοφίαν[15]) κορυφαῖος εἶναι ποιύμενος. τυχὸν μὲν γὰρ ὐδ' ἂν εἰ βύλοιτο δύναιτο· πάντως δὲ ὐδ' ἂν δύναιτο, εἰ βύλοιτο. ἄγαμαι δὲ ἐγὼ καὶ τὸν Πρωτέα τὸν Φάριον, εἰ σοφὸς ἂν τὰ μεγάλα σοφισικήν τινα θαυματολογίαν[16]) πρυβέβλητο, καὶ παντοδαπῶς τοῖς ἐντυγχάνυσι συνεμίγνυ-

15) γρ. τὴν φιλοσοφίαν. et
16) γρ. θαυμασολογίαν m. Mor.

καὶ περὶ τούτων ἄν τις εἰπὼν, οὐ πόῤῥω βάλλοι τἀληθοῦς· ἀλλ' οὐδὲ οὗτοι μέντοι λαμπρῶς οὕτως ἐπαναστάντες τῇ φύσει, καὶ ὡς ἂν ἡμεῖς φαῖμεν δικαιότατοι τυχεῖν ὄντες τῆς ἀρίστης ζωῆς, ἀκμῆτες αὐτῆς ἀπολαύουσιν. ἀλλ' ἐπανάγει καὶ τούτους ἡ ἐπίκηρος φύσις, μικρὸν ἱδρυθέντας [24] ἐν τῷ μακαρίῳ τῆς οὐσίας αὐτῶν· καὶ οὐ δήπου πάντα ἑξῆς τὸν χρόνον ἐπιπολῆς ἔχουσι τὸν νοῦν, καὶ ἐμφοροῦνται τοῦ κάλλους τοῦ νοητοῦ, οἷς ποτε καὶ γέγονε προστυχές. ἀκούω γὰρ ἐγὼ μηδὲ τούτοις ἅπασι παραγίνεσθαι τὸ τοιοῦτον, ἀλλ' οὐδὲ τοῖς πλείοσιν, ἀλλὰ καὶ τῶν ὀλίγων ἐλάττοσιν, οἷς ἡ πρώτη τε ὁρμὴ γέγονεν ἔνθεος· καὶ μένουσιν ἐπ' αὐτῆς ὅσον ἀνθρώπου φύσις χωρεῖ, πρὸς οὐδεμίαν ἀνθολκὴν τῆς φύσεως μειλισσόμενοι.

Πολλοὶ μὲν γὰρ ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι· οὐδ' οὗτοι μέντοι διαρκῶς ἀνέχονται τῆς βακχείας. ἀλλὰ νῦν μὲν ἐν τῷ θεῷ κεῖνται, νῦν δὲ ἐν τῷ κόσμῳ καὶ ἐν τοῖς σώμασι· καὶ ἴσασιν ὄντες ἄνθρωποι μικραὶ μερίδες τοῦ κόσμου, καὶ ἔχοντες ὑποκειμένας ζωὰς ἐλάττους, ἃς ὑποπτεύουσι· καὶ προκαταλαμβάνουσιν, ὡς μὴ κινοῖντό τε καὶ κατεξανίσταιντο. ἢ τί αὐτοῖς οἱ κάλαθοι βούλονται, καὶ τὰ πλεγμάτια ἅττα μεταχειρίζονται [25], εἰ μὴ πρῶτον μὲν ἐν ὅ, τι ἦσαν [26] ἄνθρωποι, τοῦτ' ἔστιν ἐπιστροφὴν πρὸς τὰ τῇδε ποιούμενοι [27]. οὐ γὰρ δὴ θεωροῦσί τε ἅμα καὶ σοφίζονται περὶ τὰ πλέγματα [28]· ἔπειτα τὴν σχολὴν ὑφεωρῶντο, ἧς ἡ φύσις ἡμῶν οὐκ ἀνέχεται, πολλὰς ἀρχὰς ἐνδιδοῦσα κινήσεων. ἵν' οὖν μὴ ἄλλο τι δρῶεν, ἀμφὶ ταῦτα ἔχειν νόμον [29] ἐν σφίσι πεποίηνται [30], καὶ ταύτῃ τὴν φύσιν προτρέπονται.

24) γρ. μακρὸν ἱδρυνθ.
25) γρ. τὰ πραγμάτια ἅτ. μεταχειρίσθαι.
26) γρ. ἐν τῷ τότε ἦσ. 27) γρ. πεποιημένη.
28) γρ. τὰ πράγματα. 29) γρ. ἔχει ὅμοιον et
30) γρ. τῇ φύσει προστρέπονται m. Mor.

ται. καὶ γὰρ δὴ καὶ ἥδονται ταλασιουργοῦντες, καὶ μᾶλλον ὅσῳ πλείω τε καὶ καλλίω. δεῖ γὰρ ἡμῶν εἶναί τι καὶ περὶ τὰ τῇδε· μὴ μέντοι τοῦτό γε ἰσχυρὸν, ἵνα μὴ πλέον καθέλκῃ, καὶ λίαν ἀντιλαμβάνηται· καίτοι τοῦ γε Ἑλληνικοῦ τὸ βάρβαρον ἔνστασιν τηρῆσαι ῥωμαλεώτερον· ᾗ γὰρ ἂν ὁρμήσῃ, σφοδρόν τέ ἐστι καὶ ἀνένδοτον· τὰ δὲ ἀστείως τε ἔχει, καὶ ἡμερώτερον κέκραται· ὥστε κἂν θᾶττον ἐκλύοιτο. ἐγὼ δὲ βουλοίμην μὲν ἂν εἶναι τῆς φύσεως ἡμῶν, καὶ ἀεὶ πρὸς θεωρίαν ἀνατετάσθαι· ἀμηχάνου δὲ ὄντος τε καὶ πεφηκότος, βουλοίμην ἂν ἐν τῷ μέρει μὲν ἔχεσθαι τῶν ἀρίστων, ἐν τῷ μέρει δὲ κατιὼν εἰς τὴν φύσιν, ἅπτεσθαί τινος εὐφροσύνης, καὶ ἐπαλείφειν εὐθυμίᾳ τὸν βίον. ἐπίσταμαι γὰρ ἄνθρωπος ὢν, καὶ οὔτε θεὸς, ἵνα δὴ καὶ ἀκλινὴς εἴην πρὸς ἅπασαν ἡδονήν· οὔτε θηρίον, ἵνα τὰς σώματος ἡδοίμην ἡδονάς· λείπεται δή τι τῶν ἐν μέσῳ ζητεῖν· τί δ᾽ ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ, νοῦ διέξοδος· κᾆτα εἰς λόγον ἦλθεν ἄλλον ἀπ᾽ ἄλλου, δι᾽ ὃν καὶ προῆλθε. τί δ᾽ ἂν εἴη λόγου νῷ συγγενέστερον; τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς. εἰ δὲ μὴ, πάντως τὶς εἴδησις ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε, καὶ ποιητικὰ, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι ταῦτα πάντα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει, καταβραχὺ προσεθίζοντα τοῖς ὁράμασιν· ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. οὕτω μὲν ἀνὴρ Ἕλλην, καὶ οἷς τρυφᾷ τὴν ἐπιβολὴν γυμνάζει, καὶ ἀπὸ τῆς παιδιᾶς εἰς τὴν πρώ-

πλέτε κατασέλλει, τὸ εὔδαιμον ἑτέρωθι δείξας· καὶ τὸ καταπεπτωκὸς ὑπὸ πενίας ἐγείρει, καὶ ἀταπείνωτον εἶναι παρασκευάζει· τῦτο μὲν, τῷ καταμελιτῦντι τὰς ἁπάντων ἀκοὰς διηγήματι, ὑφ᾽ ῦ κἂν Ξέρξης ἀνεπείσθη, Ξέρξης ἐκεῖνος ὁ τὴν μεγάλην ςρατείαν ἐλάσας ἐπὶ τὺς Ἕλληνας, μακαριώτερον ἑαυτῦ γεγονέναι κυνηγέτην ἄνδρα ἐν τῇ ὀρεινῇ τῆς Εὐβοίας κέγχρυς ἐσθίοντα· τῦτο δὲ ταῖς ἀρίςαις ὑποθήκαις, αἷς χρώμενος, ὐδεὶς αἰσχύνεται πενίαν, εἰ μή γε καὶ φεύξεται· διὸ βελτίυς οἱ τάττοντες αὐτὸν μετὰ τὸν ἔσχατον περὶ βασιλείας, ἐν ᾧ τέτταρας ὑποθέμενος βίυς καὶ δαίμονας [6]), τὸν φιλοχρήματόν τε καὶ τὸν ἀπολαυςικὸν, καὶ τρίτον τὸν φιλότιμον, τελευταῖον δὲ καὶ ἐπὶ πᾶσι τὸν εὔφρονα καὶ σπυδαῖον· ἐκείνυς μὲν τὺς κατὰ τὴν ἀναλογίαν ἅπαντας γράφει τε καὶ σχηματίζει, παύεται δὲ τῦ βιβλίυ, τὸ λοιπὸν ἐπαγγειλάμενος αὐτίκα ἀποδώσειν, ὅτε ποτὲ πεπρωμένος ἐκ θεῶν ἐγένετο. χωρὶς ὖν τιθέντι τὺς ἐν τοῖς συχνοῖς λόγοις Διογένεις τε καὶ Σωκράτεις, οἳ καὶ περιττοὶ τὴν φύσιν ἔδοξαν· καὶ ὐχ ἅπαντός ἐςιν ὁ τοῖν ἀνδροῖν τύτοιν ζῆλος· ἀλλ᾽ ὅστις εὐθὺς αἵρεσίν τινα τῶν κατὰ φιλοσοφίαν ὑπέσχετο· τὸν δὲ κατὰ τὴν κοινὴν φύσιν ζητῦντι, καὶ τὸν ἅπασιν ἐγχειρῦν τι δίκαιον, ὅσιον, αὐτυργὸν, ἀπὸ τῶν ὄντων φιλάνθρωπον, ὐκ ἂν ἕτερος ἀντὶ τῦ Εὐβοέως ἀποδεδομένος εἴη βίος εὐδαιμονικός. ὅτι καὶ τὺς Ἐσσηνὺς ἐπαινεῖ πυ, πόλιν ὅλην εὐδαίμονα τὴν παρὰ [7]) τὸ νεκρὸν ὕδωρ ἐν τῇ μεσογείᾳ τῆς Παλαιςίνης κειμένην παρ᾽ αὐτά πυ τὰ Σόδομα. ὁ γὰρ ἀνὴρ ὅλως ἐπειδὴ τῦ φιλοσοφεῖν ἤρξατο, καὶ εἰς τὸ νυθετεῖν ἀνθρώπυς ἀπέκλινεν, ὐδένα λόγον ἄκαρπον ἐξενήνοχε. τῷ δὲ μὴ παρέργως ἐντυγχάνοντι, δήλη καὶ ἡ τῆς ἑρμηνείας ἰδέα διαλλάττυσα, καὶ ὐκ ὖσα μία τῷ Δίωνι, κατά τε τὰς σοφιςικὰς ὑποθέσεις, καὶ κατὰ πολιτικάς. ἐν ἐκείναις

6) γρ. βίυς εὐδαίμονας m. Mor. 7) γρ. περὶ m. Mor.

ναις μὲν γὰρ ὑπτιάζει καὶ ὡραΐζεται, καθάπερ ὁ ταὼς περιαθρῶν ἑαυτὸν, καὶ οἷον γαννύμενος ἐπὶ ταῖς ἀγλαΐαις τȣ̃ λόγȣ, ἅτε πρὸς ἓν τȣ̃το ὁρῶν, καὶ τέλος τὴν εὐφωνίαν τιθέμενος. ἔςω παράδειγμα ἡ τῶν Τεμπῶν φράσις, καὶ ὁ Μέμνων· ἐν τȣ́τῳ μέν γε, καὶ ὑπότυφός ἐςιν ἡ ἑρμηνεία. τὰ δὲ τȣ̃ δευτέρȣ χρόνȣ βιβλία, ἥκις' ἂν ἐν αὐτοῖς ἴδοις χαῦνόν τι καὶ διαπεφρονημένον. ἐξελαύνει γάρ τοι φιλοσοφία καὶ ἀπὸ τῆς γλώττης τρυφὴν τὸ ἐμβριθές τε καὶ κόσμιον κάλλος ἀγαπῶσα, ὁποῖόν ἐςι τὸ ἀρχαῖον καὶ κατὰ φύσιν ἔχον, καὶ τοῖς ὑποκειμένοις οἰκεῖον, ὃ μετὰ τȣ̀ς λίαν ἀρχαίȣς καὶ Δίων ἐπιτυγχάνει διὰ τῶν πραττομένων ἰὼν, κἂν λέγῃ, κἂν διαλέγηται. ἔςω παράδειγμα τῆς ἀσφαλῶς καὶ κυρίως ἐχȣ́σης ἑρμηνείας, ὁ ἐκκλησιαςικός τε καὶ ὁ βȣλευτικός. εἰ δὲ βȣ́λει, καὶ ὁντινȣ̃ν τῶν πρὸς τὰς πόλεις εἰρημένων τε καὶ ἐγνωσμένων προκεχειρισμένος, ἴδοις ἂν ἑκατέραν ἰδέαν ἀρχαϊκήν· ἀλλ' ȣ̓ τῆς νεωτέρας ἠχȣ̃ς τῆς ἐπιποιȣ́σης τῷ κάλλει τῆς φύσεως, ὁποῖαι διαλέξεις ὧν πρόσθεν ἐμνήσθημεν, ὁ Μέμνων τε καὶ [8]) τὰ Τέμπη· λόγος δὲ ȣ̃τος ὁ κατὰ τῶν φιλοσόφων. κἂν γὰρ ȣ̓ προσποιῆται [9]), πάνυ τȣ̃ θεάτρȣ γίνεται, καὶ τῆς χάριτος· καὶ ȣ̓κ ἂν εὕροις ῥητορείαν ἐπαφροδιτωτέραν παρὰ τῷ Δίωνι· ὃ καὶ θαυμάσας ἔχω τὴν τύχην φιλοσοφίας, εἰ μήτε κωμῳδία τῶν νεφελῶν μᾶλλον εὐδοκιμεῖ. ȣ̓δὲ γάρ ἐςιν ἥντινα μετὰ τῆς ἴσης δυνάμεως Ἀριςοφάνης ἀπήγγελκε, τεκμήριον ποιȣ̃ν τȣ̃ ςρογγύλως καὶ σὺν εὐροίᾳ προσενηνέχθαι,

Κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν,
Ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε·
Κᾆτα ψυγείσῃ περιέφυσαν περσικαί.
Ταύτας ἀπολύσας, ἀνεμέτρει τὸ χωρίον.

Ἀριςεί-

8) γρ. ἐμνημονεύσαμεν ὁ Μ. ἐςὶ καὶ, et
9) γρ. ἀποπροσ. m. Mor.

Ἀριστείδην δὲ ὁ πρὸς Πλάτωνα λόγος ὑπὲρ τῶν τεσσάρων, πολὺν ἐκήρυξεν ἐν τοῖς Ἕλλησιν. οὗτος μὲν καὶ τέχνης ἁπάσης ἀμοιρῶν, ὅν γε οὐδ' ἂν ἐπαγάγοις εἴδει ῥητορικῆς, οὔκουν ἐκ τοῦ δικαίου καὶ [10] τῶν νόμων τῆς τέχνης· συγκείμενος δ' οὖν ἀποῤῥήτῳ κάλλει καὶ θαυμαστῇ τινι χάριτι, εἰκῆ πως ἐπιτερπέσῃ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν. οὗτός τε ὁ Δίων ἤκμασε μάλιστα ἐν τῷ κατὰ τῶν φιλοσόφων, ἥντινα καὶ καλοῦσιν ἀκμὴν οἱ νεώτεροι· τοῦτ' ἔστιν ἡρμόσατο πανηγυρικώτερον ἀνδρὸς ἀσφαλοῦς, καὶ μέντοι γε εἰς τὴν τοιαύτην ἰδέαν αὐτὸς αὑτοῦ ταύτῃ κράτιστος ἔδοξεν. οὐ μέντοι τοσοῦτον ὁ Δίων ἐξωρχήσατο τὴν ἀρχαίαν ῥητορικὴν, ἐν οἷς καὶ δοκεῖ σαφῶς ἀναχωρεῖν τῶν οἰκείων ἠθῶν, ὡς ἂν καὶ λαθεῖν, ὅτι Δίων ἐστὶ παρακινήσας ἐς τὸ νεώτερον· ἀλλ' εὐλαβῶς ἅπτεται τῆς παρανομίας, καὶ αἰσχυνομένῳ γε ἔοικεν, ὅταν τι παρακεκινδυνευμένον καὶ νεανικὸν προενέγκηται· ὥστε κἂν αἰτίαν φύγοι δειλίας, εἰ πρὸς τὴν ὕστερον ἐπιπολάσασαν τῶν ῥητόρων τόλμαν αὐτὸν ἐξετάζοιμεν, τοῖς πλείστοις δὲ τῶν ἑαυτοῦ, καὶ παραβραχὺ τοῖς ἅπασι, μετ' ἐκείνων ταττέσθω τῶν ἀρχαίων τε καὶ στασίμων ῥητόρων, παρ' ὅντιν' οὖν καὶ δήμῳ διαλεχθῆναι καὶ ἰδιώτῃ τοῦ παντὸς ἄξιος. οἵ τε γὰρ ῥυθμοὶ τοῦ λόγου κεκολασμένοι, καὶ τὸ βάθος τοῦ ἤθους, οἷον σωφρονιστῇ τινι καὶ παιδαγωγῷ πρέπον πόλεως ὅλης ἀνοήτως διακειμένης. ὥσπερ δὲ τὴν ἑρμηνείαν οὔτε μίαν ἔφαμεν πάντως [11], οὐδὲ ἀνεπίγνωστον, ὅτι Δίωνός ἐστιν ἑκατέρα, νῦν μὲν ῥήτορος ἀνδρὸς, νῦν δὲ πολιτικοῦ· οὕτω καὶ τὰς διανοίας, ὅστις οὐκ αὐτὸς δίχα διανοίας ἐπιβάλλοι τὰς ὄψεις ὅτῳ δὴ τῶν βιβλίων αὐτοῦ, ἐπιγνώσεται Δίωνος οὔσας, ἐν ταῖν δυοῖν ἰδέαιν τῶν ὑποθέσεων· κἂν τὸ φαυλότατον προχειρίσῃ τὸν Δίωνα ὄψει τὸν ποριμώτατον τῇ ῥητορείᾳ παντὸς ἐξευρεῖν λόγους. μακρῷ γὰρ δὴ σοφιστῶν κατὰ τὸ ἐπιχειρῆσαι διήνεγκεν· εἰ δέ τις καὶ ἕτερος σοφι-

10) γρ. δικαίου γε καὶ m. Mor. 11) γρ. παντοίῳ m. Mor.

σοφιςὴς ἦν εὔπορος, ἀλλὰ πολλȢ γε καὶ δεῖ παραβάλλεσθαι πρὸς τὴν τȢδε πυκνότητα· ἅμα δὲ καὶ θαυμαςή τις ἰδιότης χαρακτηρίζει τὰς Δίωνος ἐπινοίας. δηλȢτω σοὶ τὸν ἄνδρα ὁ Ῥοδιακός τε καὶ ὁ Τρωϊκός· εἰ δὲ βȢλει, καὶ ὁ τȢ κώνωπος ἔπαινος. ἐσπȢδάσθη γὰρ τῷ Δίωνι καὶ τὰ παίγνια, πανταχȢ τῇ φύσει χρωμένῳ· καὶ Ȣκ ἂν ἀπιςήσαις αὐτὰ τῆς αὐτῆς παρασκευῆς εἶναι καὶ δυνάμεως. ταῦτά μοι περὶ Δίωνος εἰπεῖν ἐπῆλθε, πρὸς τὸν ὕςερόν ποτε παῖδα ἐσόμενον· ἐπεί μοι καὶ διεξιόντι τȢς παντοδαποὺς αὐτȢ λόγȢς μεταξὺ τὸ μάντευμα γέγονε· πατρικὸν δὴ πέπονθα, καὶ ἤδη συνεῖναι τῷ παιδὶ βȢλομαι, καὶ διδάσκειν ἅττα μοι φρονεῖν ἔπεισι περὶ ἑκάςȢ συγγραφέως τε καὶ συγγράμματος, συνιςὰς αὐτῷ φίλȢς ἄνδρας, μετὰ τῆς προσηκȢσης ἑκάςον κρίσεως· ἐν οἷς ἔξω καὶ Δίων ὁ ΠρȢσαεὺς, περιττὸς ἀνὴρ εἰπεῖν τε καὶ γνῶναι. καὶ τȢτον ἐν ἐπαινέσας αὐτῷ παραδίδωμι, ἵνα μοι μετὰ τȢς τῆς γενναίας φιλοσοφίας προςάτας ἀπάρχοιτό ποτε καὶ τοῖς πολιτικοῖς τȢ Δίωνος γράμμασι, μεθόριον αὐτὰ ἡγȢμενος τῶν προπαιδευμάτων τε καὶ τῆς ἀληθινωτάτης παιδείας. καὶ καλόν γε, ὦ παῖ, θεωρήμασιν ἐπιςημονικοῖς προσταλαιπωρήσαντα, καὶ καταπεπυκνωμένον τὴν γνώμην, ἢ δόγμασι βάρος ἔχȢσιν ἐςοιβασμένης τῆς διανοίας, εἶτα ἀποκλῖναι δεήσαν, μὴ εὐθὺς ἐπὶ κωμῳδίαν, ἢ ψιλήν τινα ῥητορείαν ἀῖξαι· τȢτο γὰρ ἐςιν Ȣκ ἐν τάξει· καὶ ταχὺ πρόσω τȢ μετρίȢ ῥαςωνεῦσαι· ἀλλὰ κατὰ [12]) μικρὸν ἐκλυτέος ὁ τόνος, μέχρις ἂν, εἰ δοκεῖ, δόξειε δὲ, κἂν εἰς τὸ ἀντικείμενον ἥκῃς, ἐπεξιὼν ἅπασιν, ὅσα ΜȢσῶν ἑταίροις ἀνδράσιν ἐῤῥαθύμηταί τε καὶ πέπαικται· πάλιν δὲ τὴν σπȢδὴν ἐπιτείνων, ἀναβιβασμῷ [13]) χρήσῃ, τοῖσδέ τε καὶ ἀδελφοῖς τισι τȢτων ἀναγνώσμασιν· Ȣ-

 τως

12) γρ. ῥαςωνεύσκεσθαι, ἀλλὰ καὶ κ. et

13) γρ. βȢλὴν ἐπ' ἀναβασμῷ m. Mor.

τως ἂν ἄριστα δρῴης, διατρέχων 14) τὸν κάλλιστον δίαυλον παρὰ μέρος, ἐν βιβλίοις ἀεὶ παίζων τε καὶ σπουδάζων. ἀξιῶ γὰρ ἐγὼ τὸν φιλόσοφον, μηδ᾽ ἄλλο τι κακὸν, μηδ᾽ ἀγροῖκον εἶναι, ἀλλὰ καὶ τὰ ἐκ χαρίτων μυεῖσθαι, καὶ ἀκριβῶς Ἕλληνα εἶναι, τοῦτ᾽ ἔστι δύνασθαι τοῖς ἀνθρώποις ἐξομιλῆσαι, τῷ μηδενὸς ἀπείρως ἔχειν ἐλλογίμου συγγράμματος. ἔοικε γὰρ οὐδ᾽ ἄλλο τι γεγονέναι προοίμιον φιλοσοφίας, ἡ πολυπραγμοσύνη γνώσεως, καὶ ἐν παισὶν ἡ φιλόμυθος φύσις, ὑπόσχεσίς ἐστι φιλοσόφου τέλους. καὶ δῆτα τίνος ἂν εἴη τέχνη καὶ ἐπιστήμη τέχνης ἢ ἐπιστήμης, ἧς ἐν τῷ λόγῳ τοῦ εἶναι, τὸ πάσαις ἐποχεῖσθαι παραλαμβάνεται· εἰ μὴ φιλοκρινοίητε αὐτὰς, καὶ τὴν μὲν ἐκ περιωπῆς ἀποσκοποῖτο, τὴν δὲ καὶ πρόσω ἰοῦσαν περιεργάζοιτο, δορυφοροῖτο δ᾽ ὑφ᾽ ἁπασῶν, ὥσπερ ἔοικε τῇ βασιλίδι. τὰς δὲ Μούσας οὐχ ὁμοῦ τε οὔσας ἐμφαίνει τὸ ὄνομα, θεῶν καλεσάντων, ἢ ἀνθρώπων γε θεοῦ φήμῃ χρωμένων; χορός τέ εἰσι, διὰ αὐτὴν δήπου τὴν σύνοδον· μία δὲ αὐτῶν οὐδεμιᾶς χωρὶς, οὔτε ἐν συμποσίῳ θεῶν ἐπιδείκνυται τὸ οἰκεῖον ἔργον, οὔτε τυγχάνει παρὰ ἀνθρώποις βωμοῦ καὶ νεώ. καίτοι τινὲς ἤδη φύσεως ἐνδείᾳ κατακερματίζουσιν αὐτῶν τὰ χωρίζεσθαι μὴ δυνάμενον, καὶ ἕτερος ἑτέρας ἐπήβολος γέγονεν· ἀλλὰ φιλοσοφία, τὸ ἐπὶ πάσαις ἐστί. καίτοι τοῦτο αἰνίττεται τὸ τῇ συμφωνίᾳ τῶν Μουσῶν, εὐθὺς τὸν Ἀπόλλω παρεῖναι· ὁ δὲ λόγος οὗτος, τεχνίτην μὲν καὶ ἐπιστήμονα καλεῖ τὸν ἀποτεμνόμενον ἥντινοῦν εἴδησιν, ἄλλον ἄλλῃ προσήκοντα δαίμονι· φιλόσοφον δὲ τὸν ἡρμοσμένον ἐκ τῆς ἁπασῶν συμφωνίας, καὶ ἓν τὸ πλῆθος ποιήσαντα. ἢ τοῦτον μὲν οὔπω, προσεῖναι δὲ δεῖ τὸ καὶ ἔχειν αὐτὸν ἴδιον ἔργον ὑπερκείμενον τοῦ χοροῦ, ὥσπερ τὸν Ἀπόλλω λόγος ἔχει, νῦν μὲν ταῖς Μούσαις συνᾴδειν αὐτὸν ἐξάρχοντα, καὶ ἐνδιδόντα ῥυθμὸν τῷ συστήματι, νῦν δὲ αὐτὸν κατὰ μόνας ᾄδειν· ἐκεῖνο δ᾽ ἂν εἴη τὸ μέλος τὸ

14) γρ. ὡς ἂν ἄρ. ἀνατρέχων m. Morell.

τὸ ἱερὸν, καὶ ἀπόῤῥητον. καὶ ὁ φιλόσοφος ὁ καθ᾽ ἡμᾶς, συνέσαι μὲν ἑαυτῷ τε καὶ τῷ θεῷ διὰ φιλοσοφίας· συνέσαι δὲ τοῖς ἀνθρώποις διὰ τῶν ὑφειμένων τῦ λόγυ δυνάμεων. ἐπιςήσεται μὲν ὖν, ὡς φιλολόγος· κρινεῖ δὲ, ὡς φιλόσοφος, ἕκαςόν τε καὶ πάντα· οἱ δὲ ἀσεμφεῖς ὖτοι καὶ ὑπερόπται ῥητορικῆς καὶ ποιήσεως, ὔ μοι δοκῦσιν ὐδὲ ἑκόντες εἶναι τοιῦτοι· πενίᾳ δὲ φύσεως μηδὲ τὰ σμικρὰ ἱκανοὶ, ὧν θᾶττον ἂν ἴδοις τὴν καρδίαν, ἢ τὰ ἐν τῇ καρδίᾳ, ἀδυνατῦσης τῆς γλώττης ἐξερμηνεῦσαι τὴν γνώμην. ἐγὼ μὲν ὖν καὶ ἀπιςεῖν αὐτοῖς βύλομαι, καὶ ὐδ᾽ ἂν φαίην ἀπόῤῥητόν τι κρύπτειν αὐτὺς, ὥσπερ τὰς ἑςιάδας τὸ πῦρ· πρῶτον μὲν ὅτι μηδὲ ὅσιόν ἐςι τὰ μεγάλα σοφὸν γενέσθαι, τὸν τὰ μικρὰ μὴ δυνάμενον. ἔπειτα ὥσπερ ὁ θεὸς τῶν ἀφανῶν ἑαυτῦ δυνάμεων εἰκόνας ἐμφανεῖς ὑπεςήσατο τῶν ἰδεῶν τὰ σώματα, ὕτως ἔχυσα κάλλος ψυχὴ καὶ γόνιμος ὖσα τῶν ἀρίςων, διαδόσιμον ἔχει μέχρι τῶν ἔξω τὴν δύναμιν· ὐδὲν γὰρ ἐθέλει τῶν θείων ἔσχατον εἶναι· εἰ δὲ καὶ κρύπτειν ἐπιτηδειότερος τὰ ἀβέβηλα ὁ παντοδαπῶς ἔχων τῦ λόγυ, καὶ περιβαλλόμενος δύναμιν τῦ διατίθεσθαι τὰς συνυσίας ᾗ βύλεται· καὶ ὕτω μειονεκτεῖν ἀνάγκη τὸν ἄνδρα ἐκεῖνον, ὃς ὐ προετελέσθη τῷ κύκλῳ, καὶ τὰ Μυσῶν ὐκ ὠργίακε. δυοῖν γὰρ αὐτὸν καταλαμβάνει τὸ ἕτερον, ἤτοι σιγᾶν, ἢ λέγειν, ὅσα νόμος σιγᾶσθαι. ἢ γὰρ δὴ τὰς τῶν ἐν ἄςει τύχας, διαλέξεων ὑποθέσεις ποιήσεται, καὶ φορτικὸς τοῖς ἀνθρώποις συνέςαι, ὃ μηδεὶς ἂν ἐλεύθερος ἀξιώσειεν· ἢ βιώσει ἐν σχολῇ γε ὁ τὴν σοφίαν[15]) κορυφαῖος εἶναι ποιύμενος. τυχὸν μὲν γὰρ ὐδ᾽ ἂν εἰ βύλοιτο δύναιτο· πάντως δὲ ὐδ᾽ ἂν δύναιτο, εἰ βύλοιτο. ἄγαμαι δὲ ἐγὼ καὶ τὸν Πρωτέα τὸν Φάριον, εἰ σοφὸς ὢν τὰ μεγάλα σοφιςικήν τινα θαυματολογίαν[16]) πρυβέβλητο, καὶ παντοδαπῶς τοῖς ἐντυγχάνυσι συνεμίγνυ-

15) γρ. τὴν φιλοσοφίαν. et
16) γρ. θαυμασολογίαν m. Mor.

μίγνυτο[17]). ᾤχοντο γὰρ ἂν τὴν περὶ αὐτὸν τραγῳδίαν τεθαυμακότες, ὡς μὴ ἐπιζητῆσαι τὴν ἀλήθειαν περὶ ὧν πραγματεύοιντο. ἔσω δέ τι τοῦ νεὼ προτεμένισμα τοῖς ἀτελέστοις· ὁ δὲ καθάπαξ ἀποσεμνυνόμενος, οὐ κρύπτει μᾶλλον ἢ ἐρεθίζει καὶ ἀναῤῥιπίζει τὴν ἐν τῇ φύσει λιχνείαν, ὑφ᾽ ἧς ἕκαστός ἐστι πολυπράγμων τοῦ ἀποῤῥήτου. εἰ δὲ μὴ ὁ Ἰξίων ἀντὶ τῆς Ἥρας τὴν νεφέλην ἠρήκει, καὶ ἠγαπήκει συνὼν τῷ εἰδώλῳ, οὐκ ἄν ποτε ἑκὼν εἶναι μεθεῖτο τῆς ἀτόπου διώξεως. παρασκευαστέον οὖν ἀντὶ λόγου λόγον, ἀντὶ τοῦ μείζονος τὸν ἐλάττω· καλὸν μέντοι τινὰ καὶ τοῦτον, ᾧ προεντυχόντες, ὁ μὲν πολὺς ἐνσχεθήσεται καὶ τοῦτον ἀσπάσεται, καὶ οὐδ᾽ εἶναι πρεσβύτερον ἄλλον οἰήσεται· ὁ δὲ λαχὼν φύσεως θείας, ἐντεῦθεν, ἀρθεὶς περινοήσει κἀκεῖνον· ὃν δὲ ὁ θεὸς κινεῖ, τούτῳ καὶ παρ᾽ ἡμῶν ἀνεῴξεται τὰ ἀνάκτορα· οὐδὲ ὁ Μενέλεως ἠγνόησε τὸν ὄντως Πρωτέα, Ἕλλην γὰρ ἀνὴρ ἦν, καὶ τοῦ Διὸς κηδεστὴς ἄξιος, ᾧ μηδὲ τὴν πρώτην ἐπὶ φαύλοις συνῆν. τὸ γὰρ πῦρ, καὶ τὸ δένδρον, καὶ τὸ θηρίον, λόγοι τινὲς ἦσαν περὶ ζώων τε καὶ φυτῶν, ἀλλὰ καὶ περὶ τῶν πρώτων στοιχείων, ὧν σύγκειται τὰ γινόμενα. ὁ δὲ οὐδὲ ταῦτα ἠγάπησεν, ἀλλ᾽ ἐνδοτέρω φύσεως ἠξίου χωρεῖν. θεῖον οὖν ἀτεχνῶς τὸ πᾶσι ἀρκεῖν, ὡς ἕκαστος ἀπολαύειν αὐτοῦ δύναται· ὁ δὲ γενόμενος τῶν ἄκρων ἐπιτυχὴς, μεμνήσθω καὶ ἄνθρωπος ὢν, καὶ δυνάσθω συνεῖναι πρὸς μέτρον ἑκάστῳ. τί οὖν ἄν τις ἀποκηρύττοι τὰς Μούσας, δι᾽ ὧν ἐστὶ καὶ τοῖς ἀνθρώποις ἀρέσκειν[18]), καὶ τὰ θεῖα τηρεῖν ἀκηλίδωτα[19]), χρωμένους ἐπικαλύμματι. εἰ δὲ καὶ ποικίλον ἡ φύσις ἡμῶν, καμεῖται δήπου πρὸς τὴν ἐν θεωρίᾳ ζωήν· ὥστε ὑφήσει τοῦ μεγέθους καὶ καταβήσεται. οὐ γάρ ἐσμεν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζώου ψυχῇ· καὶ ἡμῶν οὖν αὐτῶν ἕνεκα μετιτέον τοὺς ἀνθρωπινωτέρους τῶν λόγων, ὑποδοχήν

τινα

17) γρ. συνεγίγνετο. 18) γρ. ἐξαρέσκ. et
19) γρ. ἀκηλίδωτα, ἄλλως ἀκηλιδώτῳ m. Mor.

τινὰ μηχανωμένους κατιούσῃ τῇ φύσει. ἀγαπητὸν γὰρ ἔχοντά πού πλησίον ἀπονεῦσαι, καὶ ἀφοσιώσασθαι τῇ ψυχικῇ συστάσει δεομένῃ γλυκυθυμίας, μὴ πόῤῥω πεσεῖν, μηδὲ κατὰ πᾶσαν ζῆσαι τὴν ποικιλίαν τῆς φύσεως. ὁ γὰρ θεὸς τὴν ἡδονὴν περόνην ἐποίησε τῇ ψυχῇ, δι᾽ ἧς ἀνέχεται τὴν προσεδρείαν τοῦ σώματος. τοιοῦτον οὖν τὸ ἐν λόγοις κάλλος· οὐ βαθύνεται πρὸς ὕλην, οὐδὲ ἐμβαπτίζει τὸν νοῦν ταῖς ἐσχάταις δυνάμεσιν, ἀλλὰ δίδωσιν ἀνανεῦσαι δι᾽ ἐλαχίστου, καὶ εἰς τὴν οὐσίαν ἀναδραμεῖν· ἄνω γάρ ἐστι καὶ τὸ κάτω τῆς τοιαύτης ζωῆς. ᾧ δὲ μὴ ἔστιν ἡσθῆναι καθαρὰν ἡδονήν· δεῖ δὲ τοῦ μειλιχίου τῇ φύσει· τί καὶ ποιήσει, ποῦ καὶ τρέψεται; ἆρα οὐ πρὸς ἃ μηδὲ εἰπεῖν ἄξιον; οὐ γὰρ δὴ τὴν φύσιν ὑπερφρονήσουσι, καὶ πρὸς θεωρίαν ἀτρύτως 20) ἔχειν, ἐροῦσιν ἀπαθεῖς εἶναι ποιούμενοι, θεοὶ σαρκία περικείμενοι· εἰ δὲ λέγοιεν, ἴσων ἀντὶ θεῶν ἢ σοφῶν τε καὶ θείων ἀνδρῶν, χαῦνοι καὶ ἀλαζόνες πόῤῥω γενόμενοι· ἀμείνους δ᾽ ἂν ἦσαν, διαστέλλοντες εὖ τὸ προσῆκον ἑκατέρῳ τῷ γένει. ἀπάθεια μὲν γὰρ ἐν θεῷ 21) φύσει· ἀρετῇ δὲ ἄνθρωποι κακίαν ἀμειβόμενοι, μετριοπαθεῖς γίνονται· καὶ τὸ φυγεῖν τὴν ἀμετρίαν, αὐτὸ τοῦτ᾽ ἂν εἴη τοῦ σοφοῦ τὸ ἀγώνισμα. ἤδη δὲ ἐγὼ κατενόησα καὶ βαρβάρους ἀνθρώπους ἐξ ἀμφοῖν τῶν ἀρίστων γενῶν, θεωρίαν μὲν ὑπεσχημένους, καὶ κατὰ τοῦτο ἀπολιτεύτους τε καὶ ἀκοινωνήτους ἀνθρώπους, ἅ τε αἴξαντας ἑαυτοὺς ἐκλύσαι 22) τῆς φύσεως· καὶ ἦσαν αὐτοῖς σεμναί τε ᾠδαὶ καὶ ἱερὰ σύμβολα, καὶ τακταί τινες πρόσοδοι πρὸς τὸ θεῖον· ταῦτα πάντα ἀποκόπτει κατὰ 23) τῆς ἐπιστροφῆς τῆς εἰς ὕλην· καὶ βιοτεύουσι χωρὶς ἀπ᾽ ἀλλήλων, τοῦ μή τι χάριεν ἰδεῖν ἢ ἀκοῦσαι.

Οὐ γὰρ σῖτον ἔδουσ᾽, οὐ πίνουσ᾽ αἴθοπα οἶνον.

20) γρ. ἀτρώτως. 21) γρ. ἐν θεῶν.
22) γρ. ἑλκύσαι et
23) ἢ (κατὰ παρέλκειν δοκεῖ) m. Morell.

καὶ περὶ τούτων ἄν τις εἰπὼν, οὐ πόῤῥω βάλλοι τἀληθοῦς· ἀλλ' οὐδὲ οὗτοι μέντοι λαμπρῶς οὕτως ἐπαναστάντες τῇ φύσει, καὶ ὡς ἂν ἡμεῖς φαῖμεν δικαιότατοι τυχεῖν ὄντες τῆς ἀρίστης ζωῆς, ἀκμῆτες αὐτῆς ἀπολαύουσιν. ἀλλ' ἐπανάγει καὶ τούτους ἡ ἐπίκηρος φύσις, μικρὸν ἱδρυθέντας [24]) ἐν τῷ μακαρίῳ τῆς οὐσίας αὐτῶν· καὶ οὐ δήπου πάντα ἑξῆς τὸν χρόνον ἐπιπολῆς ἔχουσι τὸν νοῦν, καὶ ἐμφοροῦνται τοῦ κάλλους τοῦ νοητοῦ, οἷς ποτε καὶ γέγονε προστυχές. ἀκούω γὰρ ἐγὼ μηδὲ τούτοις ἅπασι παραγίνεσθαι τὸ τοιοῦτον, ἀλλ' οὐδὲ τοῖς πλείοσιν, ἀλλὰ καὶ τῶν ὀλίγων ἐλάττοσιν, οἷς ἡ πρώτη τε ὁρμὴ γέγονεν ἔνθεος· καὶ μένουσιν ἐπ' αὐτῆς ὅσον ἀνθρώπου φύσις χωρεῖ, πρὸς οὐδεμίαν ἀνθολκὴν τῆς φύσεως μειλισσόμενοι.

Πολλοὶ μὲν γὰρ ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι· οὐδ' οὗτοι μέντοι διαρκῶς ἀνέχονται τῆς βακχείας. ἀλλὰ νῦν μὲν ἐν τῷ θεῷ κεῖνται, νῦν δὲ ἐν τῷ κόσμῳ καὶ ἐν τοῖς σώμασι· καὶ ἴσασιν ὄντες ἄνθρωποι μικραὶ μερίδες τοῦ κόσμου, καὶ ἔχοντες ὑποκειμένας ζωὰς ἐλάττους, ἃς ὑποπτεύουσι· καὶ προκαταλαμβάνουσιν, ὡς μὴ κινοῖντό τε καὶ κατεξανίσταιντο. ἢ τί αὐτοῖς οἱ κάλαθοι βούλονται, καὶ τὰ πλεγμάτια ἅττα μεταχειρίζονται [25]), εἰ μὴ πρῶτον μὲν ἐν ὅ, τι ἦσαν [26]) ἄνθρωποι, τοῦτ' ἔστιν ἐπιστροφὴν πρὸς τὰ τῇδε ποιούμενοι [27]). οὐ γὰρ δὴ θεωροῦσί τε ἅμα καὶ σοφίζονται περὶ τὰ πλέγματα [28])· ἔπειτα τὴν σχολὴν ὑφεωρῶντο, ἧς ἡ φύσις ἡμῶν οὐκ ἀνέχεται, πολλὰς ἀρχὰς ἐνδιδοῦσα κινήσεων. ἵν' οὖν μὴ ἄλλο τι δρῷεν, ἀμφὶ ταῦτα ἔχειν νόμον [29]) ἐν σφίσι πεποίηνται [30]), καὶ ταύτῃ τὴν φύσιν προτρέπονται.

24) γρ. μακρὸν ἱδρυνθ.
25) γρ. τὰ πραγμάτια ἄτ. μεταχειρίσθαι.
26) γρ. ἐν τῷ τότε ἦσ.
27) γρ. πεποιημένη.
28) γρ. τὰ πράγματα.
29) γρ. ἔχει ὅμοιον et
30) γρ. τῇ φύσει προστρέπονται m. Mor.

ται. καὶ γὰρ δὴ καὶ ἥδονται ταλασιουργοῦντες, καὶ μᾶλλον ὅσῳ πλείω τε καὶ καλλίω. δεῖ γὰρ ἡμῶν εἶναί τι καὶ περὶ τὰ τῇδε· μὴ μέντοι τοῦτό γε ἰσχυρὸν, ἵνα μὴ πλέον καθέλκῃ, καὶ λίαν ἀντιλαμβάνηται· καίτοι τοῦ γε Ἑλληνικοῦ τὸ βάρβαρον ἔνστασιν τηρῆσαι ῥωμαλεώτερον· ᾗ γὰρ ἂν ὁρμήσῃ, σφοδρόν τέ ἐστι καὶ ἀνένδοτον· τὰ δὲ ἀστείως τε ἔχει, καὶ ἡμερώτερον κέκραται· ὥστε κἂν θᾶττον ἐκλύοιτο. ἐγὼ δὲ βουλοίμην μὲν ἂν εἶναι τῆς φύσεως ἡμῶν, καὶ ἀεὶ πρὸς θεωρίαν ἀνατετάσθαι· ἀμηχάνου δὲ ὄντος τε καὶ πεφηνότος, βουλοίμην ἂν ἐν τῷ μέρει μὲν ἔχεσθαι τῶν ἀρίστων, ἐν τῷ μέρει δὲ κατιὼν εἰς τὴν φύσιν, ἅπτεσθαί τινος εὐφροσύνης, καὶ ἐπαλείφειν εὐθυμίᾳ τὸν βίον. ἐπίσταμαι γὰρ ἄνθρωπος ὢν, καὶ οὔτε θεὸς, ἵνα δὴ καὶ ἀκλινὴς εἴην πρὸς ἅπασαν ἡδονήν· οὔτε θηρίον, ἵνα ταῖς σώματος ἡδοίμην ἡδοναῖς· λείπεται δή τι τῶν ἐν μέσῳ ζητεῖν· τί δ' ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ, νοῦ διέξοδος· κᾆτα εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὃν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον· τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς. εἰ δὲ μὴ, πάντως τὶς εἴδησις ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε, καὶ ποιητικά, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι ταῦτα πάντα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει, καταβραχὺ προσεθίζοντα τοῖς ὁράμασιν· ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. οὕτω μὲν ἀνὴρ Ἕλλην, καὶ οἷς τρυφᾷ τὴν ἐπιβολὴν γυμνάζει, καὶ ἀπὸ τῆς παιδιᾶς εἰς τὴν πρώ-

τὴν ὑπόθεσιν ὄφελος ἄρνυται. καὶ γὰρ τὸ κρῖναι, καὶ συνθεῖναι λόγον, ἢ ποίησιν, οὐκ ἔξω νοῦ· καὶ τὸ λέξιν καθῆραί τε καὶ ἀποσμιλεῦσαι, καὶ τὸ κεφάλαιον ἐξευρεῖν τε καὶ τάξαι, καὶ ἑτέρου τάξαντος αὐτὸν ἐπιγνῶναι, πῶς ταῦτα καὶ ἀσπούδαστα καὶ παίγνια; οἱ δὲ τὴν ἑτέραν ὁδὸν τὴν ἀξιουμένην ἀδαμαντίνην εἶναι βαδίσαντες· ὑποκείσθω δὲ ὅπερ ἐστὶν, ἐνίους αὐτῶν τυγχάνειν τοῦ τέλους· ἀλλ' ἔμοιγε οὐδὲ ὁδὸν δοκοῦσι βεβαδικέναι. πῶς γὰρ, ἐν ᾗ μηδεμία φαίνεται καταβραχὺ πρόοδος, μηδὲ πρῶτον καὶ δεύτερον, μηδὲ τάξις; ἀλλ' ἔοικε γὰρ τὸ κατ' αὐτοὺς πρᾶγμα, βακχείᾳ καὶ ἅλματι μανικῷ δή τινι καὶ θεοφορήτῳ, καὶ τὸ μὴ δραμόντας εἰς τὸν ἔσχατον ἥκειν, καὶ μὴ κατὰ λόγον ἐνεργήσαντας, εἰς τὸ ἐπέκεινα λόγου γενέσθαι. οὐδὲ γάρ ἐστιν οἷον ἐπιστασία τις γνώσεως, ἡ διέξοδος νοῦ, τὸ χρῆμα τὸ ἱερόν· οὐδὲ οἷον ἄλλο ἐν ἄλλῳ· ἀλλ' ὡς μικρῷ μεῖζον εἰκάσαι, καθάπερ Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους, οὐ μαθεῖν τι δεῖ 31), ἀλλὰ παθεῖν καὶ διατεθῆναι, γινομένους δηλονότι 32) ἐπιτηδείους· καὶ ἡ ἐπιτηδειότης δὲ ἄλογος· εἰ δὲ μηδὲ λόγος αὐτὴν παρασκευάζοι, πολὺ μᾶλλον. τούτοις οὖν καὶ ἡ κάθοδος εὐθὺς ἐπὶ σμικράν τινα πρᾶξιν, ἄμεσος αὐτη, καὶ πολὺ πόῤῥω, καὶ ἔοικε πτώματι, καθάπερ τὴν ἀναδρομὴν εἰκάζομεν ἅλματι. οὓς γὰρ οὐ προὔπεμψε λόγος, τούτους οὐδὲ ἐπανιόντας ἐδέξατο. πῶς οὖν ταῦτα ἀλλήλοις ἂν πρέψειε, νῦν μὲν ἐπαφὴν ἔχειν τοῦ πρώτου, νῦν δὲ ἐπὶ ῥῶπας καὶ λύγους ἐστράφθαι. ἀλλ' ὅγε ἄνθρωπος κατὰ τὴν μέσην καὶ ἐπιστατικὴν δύναμιν λογικός ἐστί τε καὶ προσαγορεύεται, ἣν οὐδέποτε γεγυμνάκασιν· οὔκουν ὅσα γε φαίνονται. τὸ μὲν οὖν τέλος, καὶ ὃ δεῖ γενέσθαι, κοινὸν ἀμφοῖν, καὶ τυχόντες οὐδὲν ἂν ἀλλήλων διαφέροιμεν· τἀν μέσῳ δὲ ὁ ἡμεδαπὸς φιλόσοφος ἄμεινον ἔσκεπται· ὁδὸν γὰρ παρεσκευάσατο, καὶ κλιμακηδὸν ἄνεισιν, ὥστε καὶ παρ'

ἑαυτοῦ

31) γρ. τι δεῖν, et 32) γρ. δηλονότι γενομένους m. Mor.

ἑαυτῦ τι ποιῆσαι· προϊόντα γὰρ εἰκὸς ἐντυχεῖν ποι τῷ ἐραστῷ, καὶ μὴ τυχὼν δὲ, πρὸ οὐδῦ γέγονε, καὶ ὐδὲ τῦτο μέντοι σμικρόν· ἀλλὰ διαφέροι ἂν τῶν πολλῶν ἀνθρώπων πλέον, ἢ ὅσον ἐκεῖνοι τῶν βοσκημάτων. ταύτῃ καὶ πλείυς ἂν εἶεν οἱ παρ' ἡμῶν ἀφικνύμενοι, κατὰ φύσιν ἐχύσης τῆς ἐπιχειρήσεως. ἐκείνη δ', εἰ μή τις εὐγένεια τύχοι ψυχῆς, ἄνωθεν ἕλκυσα τὴν πρώτην καταβολὴν, καὶ νῦ χρῆμα ἐξαίσιον, οἷον αὔταρκες εἶναι καὶ παρ' ἑαυτῦ κινηθῆναι. ὁποῖος Ἀμῦς ὁ Αἰγύπτιος ὐκ ἐξεῦρεν, ἀλλ' ἔκρινε χρείαν γραμμάτων. τοσῦτον αὐτῷ τῦ νῦ περιῆν. ὁ δὲ δὴ τοιῦτος, καὶ δίχα τῆς φιλοσόφυ μεθόδυ, θᾶττον ἀναλύσειεν. ὁ γάρ τοι φυσικὸς ἀρκεῖ. πολὺ δή πυ μᾶλλον, εἰ καί τις αὐτὸν 33) παραθήξειέ τε καὶ ἐκκαλέσαιτο. τὸ γὰρ ἔνδοθεν σπέρμα 34) δεινὸς αὐξῆσαι, καὶ σμικρὸν σπινθῆρα λόγυ παραλαβὼν, πυρκαϊὰν ὅλην ἀνάψαι· τύτοις μὲν ὖν ὐδὲν παρὰ τῦτο μεῖον, εἰ μήγε καὶ πρῦργυ ποιήσει. τὰ τῆς Ἑλληνικῆς δὲ ἀγωγῆς ἢ καὶ τὺς ἧττον ἀδρὺς, προάγει τε καὶ ἀναῤῥιπίζει, καὶ τὸ ἐν αὐτοῖς θεῖον ἐκθάλπει· ἐκεῖ δὲ, μόνοι 35) τοῖς οἴκοθεν μακαρίοις τὸ τέλος ἐπιτυγχάνεται· σπανιώτερον δὲ δήπυ τὸ γένος τῶν τοιύτων ψυχῶν, ἢ τὸ τῦ φοίνικος, ᾧ τὰς περιόδυς μετρῦσιν Αἰγύπτιοι· οἱ δὲ πολλοὶ μάτην ἂν πονοῖεν καὶ ἀποτρύχοιντο, δίχα νῦ τὴν νοητὴν ὐσίαν θηρώμενοι, καὶ μάλιστα ὓς ὐχ ἡ πρώτη φύσις ἐπὶ τόνδε τὸν βίον ἐξώρμησεν. ὗτοι γὰρ ἂν ὄναιντο τῆς ὁρμῆς· μᾶλλον δὲ αὐτὴν ἐγὼ τὴν ὁρμὴν, νῦ κινυμένυ γνώρισμα ποιῦμαι· οἱ δὲ πλείυς ὐδ' οἴκοθεν ἐκινήθησαν, ἀλλ' ὐδὲ τὸν δεύτερον λεγόμενον πλῦν ὑπὸ τῆς σχολῆς εἰς νῦν διεγείρονται· ὥσπερ δὲ ἄλλο τι τῶν εὐδοκιμύντων, τὴν γενναίαν αἵρεσιν ἐζηλώκασι παντοδαποί τε ὄντες τὰ γένη, καὶ κατὰ χρείαν ἕκαστοι συνιστάμενοι. περὶ τύτων δὴ καὶ σαφῶς

33) γρ. αὐτῷ m. Mor. 34) γρ. πνεῦμα et
35) γρ. μόνοις m. Mor.

σαφῶς διατείνομαι, ὅτι μάτην ἂν ἔτοι πονοῖεν καὶ τρύχοιντο, οἷς ὅτε αὐτοφυὴς ἐστὶ νοῦς, ὅτε ἐπίκτητος. κινδυνεύει γὰρ οὐδ᾽ εἶναι θεμιτὸν ἄλλῳ τῳ τῶν ἐν ἡμῖν τὸν θεὸν οἴεσθαι ἐνδημήσειν ἀντὶ τοῦ νοῦ. νεὼς γὰρ οὗτος οἰκεῖος θεῷ. ταῦτ᾽ ἄρα καὶ τὰς καθαρτικὰς ἀρετὰς σπουδάζεσθαι παραδεδώκασιν Ἕλληνες σοφοὶ καὶ βάρβαροι, ἀποτειχίζοντες ἅπασαν τὴν πραγματείαν τῆς φύσεως, ἵνα μηδὲν ἐμπόδιον παρέχοιτο ταῖς νοήσεσιν. αὕτη μὲν ἡ διάνοια τῶν πρώτων κατασησαμένων ἑκατέραν φιλοσοφίαν· οἱ δὲ καὶ τὰς ἀρετὰς ἔθεσι[36]) μᾶλλον ἢ λόγῳ κρατύνουσι, καὶ τρεῖς αὐτὰς ἥγηνται· φρόνησιν γὰρ οὐ προσίενται, εἴ γε καὶ σωφροσύνην εἶναι τὸ κατ᾽ αὐτοὺς συγχωρήσομεν. ὡς οὐκ εἰσιέναι[37]) τε καὶ συναιρεῖσθαι τὰς ἀρετὰς, διὰ τὴν ἀναγκαίαν ἀντακολούθησιν[38])· ἀλλ᾽ οἴονταί γε δεῖν σωφρονεῖν, οὐ διό τι σωφρονητέον εἰδότες, ἀλλ᾽ ἐπίταγμα λαβόντες, ὥσπερ νόμον ἀναίτιον, ὃν ὁ μὲν θεὶς οἶδεν ὅτι τοῦτο δι᾽ ἄλλο, διὰ τὰς διανοήσεις[39]), καὶ ὅτι προὔργου πρὸς ἄνοδον, τὸ πρὸς μηδὲν τῶν ἐν ὕλῃ παθαίνεσθαι. οἱ δὲ ἀπέχονται μίξεων, αὐτὸ δι᾽ αὐτὸ τεθαυμακότες, καὶ μέγιστον ἄγοντες τὸ σμικρότατον, τὴν παρασκευὴν τέλος ἡγούμενοι· ὑμεῖς δὲ τὰς ἀρετὰς, ὥσπερ στοιχεῖα τῆς ὅλης φιλοσοφίας, θαυμάζομεν[40]). τὸ μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ, Πλάτωνος ἀπεδεξάμεθα· ἀρεταὶ δὲ καθαίρουσι τὸ ἀλλότριον ῥυπτοῦσαι· ἀλλ᾽ εἰ μὲν ἦν ἡ ψυχὴ τἀγαθὸν, ἤρκει καθήρασθαι, καὶ ἦν ἀγαθὸν ἤδη, τὸ μόνη γενέσθαι· νῦν δὲ, οὐ γάρ ἐστιν ἀγαθόν· οὐ γὰρ ἂν ἐγένετο ποτὲ ἐν κακῷ· ἀλλ᾽ ἀγαθοειδής ἐστι καὶ μέση τὴν φύσιν. ῥέψασαν οὖν εἰς τὸ χεῖρον, ἐπανήγαγεν ἡ ἀρετὴ, καὶ τῆς κηλῖδος ἀπέλουσε[41]), καὶ πάλιν μέσην ἐποίησε. δεῖ δὴ καὶ προελθεῖν

36) γρ. θέσει. 37) γρ. οὐκ ἔτι γε μὴ εἰσ.
38) γρ. οἱ δὲ καὶ τὰς ἀρετὰς ἔθεσι μᾶλλον ἢ λόγῳ κρατύνουσι· καὶ οἱ. 39) γρ. νοήσεις καὶ.
40) γρ. σπουδάζομεν et 41) γρ. ἀπέλυσε m. Mor.

ελθεῖν ἐπὶ τἀγαθόν· τȣ̃το δὲ ἤδη διὰ λόγȣ. νȣ̃ς γάρ ἐστι τὸ σύζυγον ὄνομα τῶν νοητῶν. οἷον εἰ τέλος εἴη τὸ πρὸς ȣ̓ρανὸν ἰδεῖν, ȣ̓κ ἀπόχρη μὴ κεκυφέναι πρὸς τȣ̃δαφος, ἀλλὰ δεῖ μετὰ τὴν ἐν μέσῳ στάσιν τῆς ὄψεως, ἐπὶ τὰ ἄνω νεῦσαι. καὶ δῆτα τῶν ἀρετῶν ὄναιτο ἄν τις, τὸ ἀπηλλάχθαι τῆς ὑλικῆς προσπαθείας· δεῖ δὲ καὶ ἀναγωγῆς. ȣ̓ γὰρ ἀπόχρη μὴ κακὸν εἶναι, ἀλλὰ δεῖ καὶ θεὸν εἶναι, καὶ ἔοικεν εἶναι τὸ μὲν, οἷον ἀπεστράφθαι τὸ σῶμα, καὶ ὅσα τȣ̃ σώματος· τὸ δὲ, οἷον ἐπεστράφθαι 42) διὰ νȣ̃ πρὸς θεόν. ἡμεῖς ȣ̓̃ν τιμῶντες τὰς ἀρετὰς, ἴσμεν, ἥντιν᾽ ἔχȣσι τάξιν, ἣν αἱ τῶν στοιχείων γραμμαὶ πρὸς ἐπιστήμην βιβλίȣ. πρῶται γάρ εἰσιν ἀνιόντων ἐπὶ τὸν νȣ̃ν, ἀλλ᾽ ȣ̓ τὸ πᾶν ἔχομεν ἔχοντες τὰς ἀρετὰς, ἀλλ᾽ ἀφήκαμεν τὸ ἐμπόδιον, καὶ ὧν χωρὶς, ȣ̓δὲ ὅσιόν ἐστιν ἐλπίσαι τυχεῖν τȣ̃ τέλȣς, τȣ̃το τέως παρεσκευάκαμεν· ταυτὶ δὲ ȣ̓κ ἀπογινώσκοντες, ἤδη μέτιμεν αὐτὸ διὰ νȣ̃, σὺν τάξει παλαιοῖς τε καὶ μακαρίοις ἀνδράσιν ἐξευρημένῃ· καὶ ζητȣ̃ντες ȣ̓κ οἶδα εἴ ποτε ἕλοιμεν, σχολῇ γε ἂν περιτύχοι τῷ μήτε ἐρασθέντι, μήτ᾽ εἰ ζητητέον εἰδότι· καίτοι κάλλιστα ἀπαλλάττȣσιν αὐτῶν οἱ μένοντες ἐπὶ τȣ́τȣ, καὶ μηδὲν προσπεριεργαζόμενοι. εἶεν γὰρ ἂν ȣ̓ κακοὶ, καθηράμενοι· οἷς δὲ ἐπῆλθε διενέγκαι τȣ̃ πλήθȣς κατὰ τύχην μαθȣ̃σιν, ὅτι ὁ λόγος ἐστὶ τȣ̃ ἀνθρώπȣ καλὸν, εἶτα παιδείαν μὲν ἅπασαν ἠτιμάκασιν, ὑφ᾽ ἧς ὁ νȣ̃ς ἀναῤῥώννυται 43)· κινȣ̃νται δὲ παρ᾽ ἑαυτῶν ἀτόπȣς κινήσεις, καὶ ἀποσεμνύνονται μὲν πρὸς φιλοσοφίαν· ὅ, τι δ᾽ ἂν εἰς αὐτȣ̀ς ἐμπέσῃ 44) παράκȣσμα, τȣ̃το ταῖς παρ᾽ αὐτῶν προσθήκαις πονηρὸν ἀπέδωκαν καὶ κακόηθες, τυφλὰ γεννήματα, νȣ̃ μὲν ȣ̓κ ἄξιον εἰπεῖν, ἀλλ᾽ ȣ̓δὲ διανοίας· δόξης δὲ ἀτόπȣ καὶ φαντασίας ἡμαρτημένης ἐκφέροντες. τȣ́τȣς ἂν ἴδοις γελοίως διακειμένȣς, μᾶλλον δὲ λίαν ἐλεεινῶς. ἄξιον γὰρ ἀνθρώπȣς

42) γρ. ἀπεστράφθαι m. Mor. 43) γρ. ἀναχώννυται et 44) γρ. ἐκπέσῃ m. Mor.

ὁ Ἴκαρος, ἐπειδὴ τοῖν ποδοῖν ἀπηξίου κεχρῆσθαι, ταχὺ μάλα καὶ ἀέρος καὶ γῆς ἀπετύγχανεν, ὧν τῆς μὲν ὑπερεῖδε, τοῦ δὲ οὐκ ἐφίκετο. ταῦτα οὖ πρὸς τοὺς ἐκ τῆς ἑτέρας ἀγωγῆς μᾶλλον, ἢ καὶ πρὸς τοὺς παρ' ἡμῖν σὺν ἀλογίᾳ μεγαλοφώνους, οἳ καὶ παρέσχον ἀφορμὴν τῷ λόγῳ βοηθῆσαι τοῖς προπαιδεύμασιν· ὧν τί ἂν τις καὶ δοίη ἀνθρώπων ἀλαζόνων καὶ ἀνοήτων· πολλοῦ μέντ' ἂν εἶεν τρεῖς τοῦ ὀβολοῦ· ἐγὼ δὲ χάριν οἶδα καὶ ποιηταῖς δεξιοῖς, καὶ ῥήτορσιν ἀγαθοῖς, καὶ ὅστις ἱστορίαν τινὰ κατεβάλλετο λόγου ἀξίως· καὶ ἁπαξαπλῶς οὐδένα τῶν συνεισενεγκόντων εἰς κοινὸν τοῖς Ἕλλησιν, ὅ, τις καὶ εἶχεν ἀγαθὸν, ἀγέραστον[53]) εἶναι βούλομαι, ὅτι παῖδάς τε παραλαβόντες ἡμᾶς ἐτιθηνήσαντο, καὶ ἀσθενεῖς ὄντας ἔτι τὴν γνώμην ἐνοσοκόμησαν, τοῖς ὠφελίμοις ἐγκαταμιγνύντες ἡδύσματα. ἄκρατα γὰρ οὐδεὶς ἂν ταῦτα παρεδέξατο, διά τε συφότητα, καὶ τὴν τότε τῶν αἰσθήσεων ἁπαλότητα· καθ' οὓς τὰ ῥώσαντες, καὶ παραπέμψαντες ἄλλος δι' ἄλλου, ταῖς ἐπιστήμαις παρέδοσαν· αἱ δὲ παρεσκεύασαν οἵους εἶναι τῶν ἄκρων ἐπορέξασθαι. ἐκεῖ τε[54]) γενομένων ὅταν αἴσθωνται τὰς ψυχὰς ῥαινομένας ἱδρῶτι, καὶ τὴν φύσιν ἡμῶν ἀπαγορεύουσαν, αὖθις ἀνεκαλέσαντο πρᾴως· καὶ ἡ Καλλιόπη παραλαβοῦσα ἥκοντας αὐχμοῦ πλέως, ἀνέπαυσέ τε εἰς ἀνθηροὺς ἀγαγοῦσα λειμῶνας, ὡς μὴ διακναισθῆναι τῷ πόνῳ, καὶ πανδαισίαν παρέθηκεν Ἀττικῶν καταγλωττισμάτων καὶ καρυκείας ποιητικῆς· ὑφ' ὧν τὴν μὲν πρώτην διέχεεν· ἔπειτα ἐμυώπισε[55]) λαθοῦσα, καὶ κατὰ μικρόν πως ἐπέστρεψε· τελευτῶσα δὲ ἐπὶ τὸν αὖθις ἐγύμνασεν ἀγῶνα. καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μούσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν ταύταις εἶναι[56]), καὶ οὐδ' εἴ τι περιττὸν αἰνίττονταί ποτε, καὶ παραδηλοῦσι συνιέναι

53) γρ. ἄπρακτον.
54) τῶν γεν.
55) γρ. ἐμυωπίασε et
56) γρ. ἐστὶ in. Mor.

ἰέναι βȣ́λεται· τὸ δὲ ἐγκείμενον αὐτῶν κάλλος ἠγάσθη, καὶ εἰς αὐτὸ κέχηνε, καὶ ὑπὸ τȣ́τȣ κατέχεται· ȣ̓δὲ ȣ̃τος μέντοι δεινὸν ȣ̓δὲν εἴργασαι, ἀλλὰ καὶ πολλὰ ἀγαθά γε αὐτῷ γένοιτο, μȣσικῷ τε ἀνδρὶ καὶ χαρίεντι. καὶ γὰρ εἰ μὴ τεθήπαμεν τȣ̀ς κύκνȣς, ὥσπερ τȣ̀ς ἀετȣ̀ς αἰρομένȣς ὑψȣ̃ ὑπὲρ[57] πᾶν τὸ ὁρώμενον· ἀλλὰ γαννύμεθά γε καὶ ὁρῶντες αὐτȣ̀ς καὶ ἀκȣ́οντες τῆς ᾠδῆς· καὶ ἐμȣ̃ γε ἕνεκα, μηδείς ποτε κύκνων τὸ ἔσχατον ᾄσειεν. εἰ δὲ βασίλειοί τε εἰσὶν ἐκεῖνοι, καὶ διαιτῶνται παρὰ τὰ τȣ̃ Διὸς σκῆπτρα, καὶ τȣ́τȣς εἴληχέ τις θεῶν ἐκ Διὸς γεγονὼς, καὶ ȣ̓κ ἀπαξιȣ̃νται τȣ̃ τρίποδος. ἀετὸν δὲ ἅμα καὶ κύκνον γενέσθαι, καὶ τὰ ἀμφοῖν ἔχειν πλεονεκτήματα, ὄρνισι μὲν ἡ φύσις ȣ̓ ξυνεχώρησεν· ἀνθρώπῳ δὲ ἔδωκεν ὁ θεὸς, ὅτῳ καὶ ἔδωκε, γλώττης τε εὖ ἥκειν, καὶ φιλοσοφίας ἐπήβολον εἶναι. ἠγώνισαί γε πρὸς τȣ̀ς ἀμȣ́σȣς ὑπὲρ Μȣσῶν, οἳ καὶ κακοήθως ἀποδιδράσκȣσι τὸν ἔλεγχον τῆς ἀμαθίας, τῷ καταφεύγειν ἐπὶ τὴν λοιδορίαν ὧν ἠγνοήκασιν. εἰ δή τι καὶ σπȣδαιότερον εἴρηται παρὰ τὴν πρώτην ὑπόσχεσιν, τί μὲν ἂν γένοιτο καὶ σπȣδαῖον[58] παιζόντων· ȣ̓ μὴν ἔστι τὶ ποιεῖν, μὴ ἀπὸ πάσης τῆς ἕξεως· ἀλλ' εἰ τῷ πλέονι παίζομεν, ȣ̓ τȣ̃ παντὸς ἁμαρτάνομεν. παιδιᾷ γὰρ παρεμβαλλόμεθα, ἐνδοθείσῃ μὲν, ἀπὸ τȣ̃ δεῖν εὑρέσθαι τινὰ παρ' ἐμȣ̃ μαρτυρίαν τὸν Δίωνα, ἵνα μὴ γένοιτο καὶ τῆς παιδείας[59] αὐτȣ̃ κληρονόμος ὁ παῖς ὁ μοιρίδιος· δραμȣ́σῃ δὲ ἐπὶ πολλὰ, καὶ δρόμȣς παντοίȣς. „ἀόριστοι γὰρ αἱ τῶν παιζόντων ὁρμαί· τοιȣ̃τόν „ἐστιν ἀγρὸς καὶ ἐλευθερία, καὶ τὸ μὴ πρὸς ὕδωρ εἰρησομένȣς γράφειν τȣ̀ς λόγȣς. ὡς εἶδον ἐγὼ δικαστὴν ἐφέτην μετρȣ̃ντα τὸν χρόνον τοῖς ἀγορεύȣσιν· αὐτὸς μέντοι τȣ̃ προσμεμετρημένȣ, τὸ μέν τι κατεδάρθανε, τὸ δὲ μάτην ἐγρηγόρει, καὶ ἀπῆν ὡς ποῤῥωτάτω τοῦ πραγ-

57) καὶ ὑπὲρ. 58) σπȣδαίων et 59) τῆς φιλίας in. Mor.

μίγνυτο[17]). ᾤχοντο γὰρ ἂν τὴν περὶ αὐτὸν τραγῳδίαν τεθαυμακότες, ὡς μὴ ἐπιζητῆσαι τὴν ἀλήθειαν περὶ ὧν πραγματεύοιντο. ἔσω δέ τι τοῦ νεὼ προτεμένισμα τοῖς ἀτελέστοις· ὁ δὲ καθάπαξ ἀποσεμνυνόμενος, οὐ κρύπτει μᾶλλον ἢ ἐρεθίζει καὶ ἀναρριπίζει τὴν ἐν τῇ φύσει λιχνείαν, ὑφ᾽ ἧς ἕκαστός ἐστι πολυπράγμων τοῦ ἀποῤῥήτου. εἰ δὲ μὴ ὁ Ἰξίων ἀντὶ τῆς Ἥρας τὴν νεφέλην ᾑρήκει, καὶ ἠγαπήκει συνὼν τῷ εἰδώλῳ, οὐκ ἄν ποτε ἑκὼν εἶναι μεθεῖτο τῆς ἀτόπου διώξεως. παρασκευαστέον οὖν ἀντὶ λόγου λόγον, ἀντὶ τοῦ μείζονος τὸν ἐλάττω· καλὸν μέντοι τινὰ καὶ τοῦτον, ᾧ προεντυχόντες, ὁ μὲν πολὺς ἐνσχεθήσεται καὶ τοῦτον ἀσπάσεται, καὶ οὐδ᾽ εἶναι πρεσβύτερον ἄλλον οἰήσεται· ὁ δὲ λαχὼν φύσεως θείας, ἐντεῦθεν, ἀρθεὶς περινοήσει κἀκεῖνον· ὃν δὲ ὁ θεὸς κινεῖ, τούτῳ καὶ παρ᾽ ἡμῶν ἀνεῴξεται τὰ ἀνάκτορα· οὐδὲ ὁ Μενέλεως ἠγνόησε τὸν ὄντως Πρωτέα, Ἕλλην γὰρ ἀνὴρ ἦν, καὶ τοῦ Διὸς κηδεστὴς ἄξιος, ᾧ μηδὲ τὴν πρώτην ἐπὶ φαύλοις συνῆν. τὸ γὰρ πῦρ, καὶ τὸ δένδρον, καὶ τὸ θηρίον, λόγοι τινὲς ἦσαν περὶ ζώων τε καὶ φυτῶν, ἀλλὰ καὶ περὶ τῶν πρώτων στοιχείων, ὧν σύγκειται τὰ γινόμενα. ὁ δὲ οὐδὲ ταῦτα ἠγάπησεν, ἀλλ᾽ ἐνδοτέρω φύσεως ἠξίου χωρεῖν. θεῖον οὖν ἀτεχνῶς τὸ πᾶσι ἀρκεῖν, ὡς ἕκαστος ἀπολαύειν αὐτοῦ δύναται· ὁ δὲ γενόμενος τῶν ἄκρων ἐπιτυχής, μεμνήσθω καὶ ἄνθρωπος ὤν, καὶ δυνάσθω συνεῖναι πρὸς μέτρον ἑκάστῳ. τί οὖν ἄν τις ἀποκηρύττοι τὰς Μούσας, δι᾽ ὧν ἐστὶ καὶ τοῖς ἀνθρώποις ἀρέσκειν[18]), καὶ τὰ θεῖα τηρεῖν ἀκηλίδωτα[19]), χρωμένους ἐπικαλύμματι. εἰ δὲ καὶ ποικίλον ἡ φύσις ἡμῶν, καμεῖται δήπου πρὸς τὴν ἐν θεωρίᾳ ζωήν· ὥστε ὑφήσει τοῦ μεγέθους καὶ καταβήσεται. οὐ γάρ ἐσμὲν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζώου ψυχῇ· καὶ ἡμῶν οὖν αὐτῶν ἕνεκα μετιτέον τοὺς ἀνθρωπινωτέρους τῶν λόγων, ὑποδοχήν τινα

17) γρ. συνεγίγνετο. 18) γρ. ἐξαρέσκ. et
19) γρ. ἀκηλίδωτα, ἄλλως ἀκηλιδώτῳ m. Mor.

τινα μηχανωμένους κατιούση τῇ φύσει. ἀγαπητὸν γὰρ ἔχοντά που πλησίον ἀπονεῦσαι, καὶ ἀφοσιώσασθαι τῇ ψυχικῇ συστάσει δεομένῃ γλυκυθυμίας, μὴ πόῤῥω πεσεῖν, μηδὲ κατὰ πᾶσαν ζῆσαι τὴν ποικιλίαν τῆς φύσεως. ὁ γὰρ θεὸς τὴν ἡδονὴν περόνην ἐποίησε τῇ ψυχῇ, δι' ἧς ἀνέχεται τὴν προσεδρείαν τοῦ σώματος. τοιοῦτον οὖν τὸ ἐν λόγοις κάλλος· οὐ βαθύνεται πρὸς ὕλην, οὐδὲ ἐμβαπτίζει τὸν νοῦν ταῖς ἐσχάταις δυνάμεσιν, ἀλλὰ δίδωσιν ἀνανεῦσαι δι' ἐλαχίστου, καὶ εἰς τὴν οὐσίαν ἀναδραμεῖν· ἄνω γάρ ἐστι καὶ τὸ κάτω τῆς τοιαύτης ζωῆς. ᾧ δὲ μὴ ἔστιν ἡσθῆναι καθαρὰν ἡδονήν· δεῖ δὲ τοῦ μειλιχίου τῇ φύσει· τί καὶ ποιήσει, ποῦ καὶ τρέψεται· ἆρα οὐ πρὸς ἃ μηδὲ εἰπεῖν ἄξιον; οὐ γὰρ δὴ τὴν φύσιν ὑπερφρονήσουσι, καὶ πρὸς θεωρίαν ἀτρύτως [20]) ἔχειν, ἐρῶσιν ἀπαθεῖς εἶναι ποιούμενοι, θεοὶ σαρκία περικείμενοι· εἰ δὲ λέγοιεν, ἴστων ἀντὶ θεῶν ἢ σοφῶν τε καὶ θείων ἀνδρῶν, χαῦνοι καὶ ἀλαζόνες πόῤῥω γενόμενοι· ἀμείνους δ' ἂν ἦσαν, διαστέλλοντες εὖ τὸ προσῆκον ἑκατέρῳ τῷ γένει. ἀπάθεια μὲν γὰρ ἐν θεῷ [21]) φύσει· ἀρετῇ δὲ ἄνθρωποι κακίαν ἀμειβόμενοι, μετριοπαθεῖς γίνονται· καὶ τὸ φυγεῖν τὴν ἀμετρίαν, αὐτὸ τοῦτ' ἂν εἴη τοῦ σοφοῦ τὸ ἀγώνισμα. ἤδη δὲ ἐγὼ κατενόησα καὶ βαρβάρους ἀνθρώπους ἐξ ἀμφοῖν τῶν ἀρίστων γενῶν, θεωρίαν μὲν ὑπεσχημένους, καὶ κατὰ τοῦτο ἀπολιτεύτους τε καὶ ἀκοινωνήτους ἀνθρώπους, ἅ τε αἴξαντας ἑαυτοὺς ἐκλύσαι [22]) τῆς φύσεως· καὶ ἦσαν αὐτοῖς σεμναί τε ᾠδαὶ καὶ ἱερὰ σύμβολα, καὶ τακταί τινες πρόσοδοι πρὸς τὸ θεῖον· ταῦτα πάντα ἀποκόπτει κατὰ [23]) τῆς ἐπιστροφῆς τῆς εἰς ὕλην· καὶ βιοτεύουσι χωρὶς ἀπ' ἀλλήλων, τοῦ μή τι χάριεν ἰδεῖν ἢ ἀκοῦσαι.

Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον.

 καὶ

20) γρ. ἀτρώτως. 21) γρ. ἐν θεῶν.
22) γρ. ἑλκύσαι et
23) ἡ (κατὰ παρέλκειν δοκεῖ) m. Morell.

καὶ περὶ τούτων ἄν τις εἰπὼν, οὐ πόῤῥω βάλλοι τἀληθοῦς· ἀλλ᾽ οὐδὲ οὗτοι μέντοι λαμπρῶς οὕτως ἐπαναστάντες τῇ φύσει, καὶ ὡς ἂν ἡμεῖς φαῖμεν δικαιότατοι τυχεῖν ὄντες τῆς ἀρίστης ζωῆς, ἀκμῆτες αὐτῆς ἀπολαύουσιν. ἀλλ᾽ ἐπανάγει καὶ τούτους ἡ ἐπίκηρος φύσις, μικρὸν ἱδρυθέντας [24]) ἐν τῷ μακαρίῳ τῆς οὐσίας αὐτῶν· καὶ οὐ δήπου πάντα ἑξῆς τὸν χρόνον ἐπιπολῆς ἔχουσι τὸν νοῦν, καὶ ἐμφορεῦνται τοῦ κάλλους τοῦ νοητοῦ, οἷς ποτε καὶ γέγονε προστυχές. ἀκούω γὰρ ἐγὼ μηδὲ τούτοις ἅπασι παραγίνεσθαι τὸ τοιοῦτον, ἀλλ᾽ οὐδὲ τοῖς πλείοσιν, ἀλλὰ καὶ τῶν ὀλίγων ἐλάττοσιν, οἷς ἡ πρώτη τε ὁρμὴ γέγονεν ἔνθεος· καὶ μένουσιν ἐπ᾽ αὐτῆς ὅσον ἀνθρώπου φύσις χωρεῖ, πρὸς οὐδεμίαν ἀνθολκὴν τῆς φύσεως μειλισσόμενοι.

Πολλοὶ μὲν γὰρ ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι· οὐδ᾽ οὗτοι μέντοι διαρκῶς ἀνέχονται τῆς βακχείας. ἀλλὰ νῦν μὲν ἐν τῷ θεῷ κεῖνται, νῦν δὲ ἐν τῷ κόσμῳ καὶ ἐν τοῖς σώμασι· καὶ ἴσασιν ὄντες ἄνθρωποι μικραὶ μερίδες τοῦ κόσμου, καὶ ἔχοντες ὑποκειμένας ζωὰς ἐλάττους, ἃς ὑποπτεύουσι καὶ προκαταλαμβάνουσιν, ὡς μὴ κινοῖντό τε καὶ κατεξανίσταιντο. ἢ τί αὐτοῖς οἱ κάλαθοι βούλονται, καὶ τὰ πλεγμάτια ἄττα μεταχειρίζονται [25]), εἰ μὴ πρῶτον μὲν ἐν ὅ, τι ἦσαν [26]) ἄνθρωποι, τοῦτ᾽ ἔστιν ἐπιστροφὴν πρὸς τὰ τῇδε ποιούμενοι [27]). οὐ γὰρ δὴ θεωροῦσί τε ἅμα καὶ σοφίζονται περὶ τὰ πλέγματα [28])· ἔπειτα τὴν σχολὴν ὑφεωρῶντο, ἧς ἡ φύσις ἡμῶν οὐκ ἀνέχεται, πολλὰς ἀρχὰς ἐνδιδοῦσα κινήσεων. ἵν᾽ οὖν μὴ ἄλλο τι δρῶεν, ἀμφὶ ταῦτα ἔχειν νόμον [29]) ἐν σφίσι πεποίηνται [30]), καὶ ταύτῃ τὴν φύσιν προτρέπονται.

24) γρ. μακρὸν ἱδρυνθ.
25) γρ. τὰ πραγμάτια ἀτ. μεταχειρίσθαι.
26) γρ. ἐν τῷ τότε ἦσ.
27) γρ. πεποιημένη.
28) γρ. τὰ πράγματα.
29) γρ. ἔχει ὅμοιον et
30) γρ. τῇ φύσει προστρέπονται m. Mor.

ται. καὶ γὰρ δὴ καὶ ἥδονται ταλασιεργοῦντες, καὶ μᾶλλον ὅσω πλείω τε καὶ καλλίω. δεῖ γὰρ ἡμῶν εἶναί τι καὶ περὶ τὰ τῇδε· μὴ μέντοι τοῦτό γε ἰσχυρὸν, ἵνα μὴ πλέον καθέλκῃ, καὶ λίαν ἀντιλαμβάνηται· καίτοι τοῦ γε Ἑλληνικοῦ τὸ βάρβαρον ἔνστασιν τηρῆσαι ῥωμαλεώτερον· ᾗ γὰρ ἂν ὁρμήσῃ, σφοδρόν τέ ἐστι καὶ ἀνένδοτον· τὸ δὲ ἀστείως τε ἔχει, καὶ ἡμερώτερον κέκραται· ὥστε κἂν θᾶττον ἐκλύοιτο. ἐγὼ δὲ βουλοίμην μὲν ἂν εἶναι τῆς φύσεως ἡμῶν, καὶ ἀεὶ πρὸς θεωρίαν ἀνατετάσθαι· ἀμηχάνου δὲ ὄντος τε καὶ πεφηκότος, βουλοίμην ἂν ἐν τῷ μέρει μὲν ἔχεσθαι τῶν ἀρίστων, ἐν τῷ μέρει δὲ κατιὼν εἰς τὴν φύσιν, ἅπτεσθαί τινος εὐφροσύνης, καὶ ἐπαλείφειν εὐθυμία τὸν βίον. ἐπίσταμαι γὰρ ἄνθρωπος ὢν, καὶ οὔτε θεὸς, ἵνα δὴ καὶ ἀκλινὴς εἴην πρὸς ἅπασαν ἡδονήν· οὔτε θηρίον, ἵνα τὰς σώματος ἠδοίμην ἡδονάς· λείπεται δή τι τῶν ἐν μέσω ζητεῖν· τί δ' ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ, νοῦ διέξοδος· κάτω εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὃν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον· τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς. εἰ δὲ μὴ, πάντως τὶς εἴδησις ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε, καὶ ποιητικὰ, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι ταῦτα πάντα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει, καταβραχὺ προσεθίζοντα τοῖς ὁράμασιν· ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. οὕτω μὲν ἀνὴρ Ἕλλην, καὶ οἷς τρυφᾷ τὴν ἐπιβολὴν γυμνάζει, καὶ ἀπὸ τῆς παιδιᾶς εἰς τὴν πρώ-

τὴν ὑπόθεσιν ὄφελος ἄρνυται. καὶ γὰρ τὸ κρῖναι, καὶ συνθεῖναι λόγον, ἢ ποίησιν, οὐκ ἔξω νοῦ· καὶ τὸ λέξιν καθῆραί τε καὶ ἀποσμιλεῦσαι, καὶ τὸ κεφάλαιον ἐξευρεῖν τε καὶ τάξαι, καὶ ἑτέρου τάξαντος αὐτὸν ἐπιγνῶναι, πῶς ταῦτα καὶ ἀσπέδαστα καὶ παίγνια; οἱ δὲ τὴν ἑτέραν ὁδὸν τὴν ἀξιουμένην ἀδαμαντίνην εἶναι βαδίσαντες· ὑποκείσθω δὲ ὅπερ ἐστὶν, ἐνίους αὐτῶν τυγχάνειν τοῦ τέλους· ἀλλ᾽ ἔμοιγε οὐδὲ ὁδὸν δοκοῦσι βεβαδικέναι. πῶς γὰρ, ἐν ᾗ μηδεμία φαίνεται καταβραχὺ πρόοδος, μηδὲ πρῶτον καὶ δεύτερον, μηδὲ τάξις; ἀλλ᾽ ἔοικε γὰρ τὸ κατ᾽ αὐτοὺς πρᾶγμα, βακχείᾳ καὶ ἅλματι μανικῷ δή τινι καὶ θεοφορήτῳ, καὶ τὸ μὴ δραμόντας εἰς τὸν ἔσχατον ἥκειν, καὶ μὴ κατὰ λόγον ἐνεργήσαντας, εἰς τὸ ἐπέκεινα λόγου γενέσθαι. οὐδὲ γάρ ἐστιν οἷον ἐπιστασία τις γνώσεως, ἢ διέξοδος νοῦ, τὸ χρῆμα τὸ ἱερόν· οὐδὲ οἷον ἄλλο ἐν ἄλλῳ· ἀλλ᾽ ὡς μικρῷ μεῖζον εἰκάσαι, καθάπερ Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους, οὐ μαθεῖν τι δεῖ[31]), ἀλλὰ παθεῖν καὶ διατεθῆναι, γινομένους δηλονότι[32]) ἐπιτηδείους· καὶ ἡ ἐπιτηδειότης δὲ ἄλογος· εἰ δὲ μηδὲ λόγος αὐτὴν παρασκευάζοι, πολὺ μᾶλλον. τούτοις οὖν καὶ ἡ κάθοδος εὐθὺς ἐπὶ σμικράν τινα πρᾶξιν, ἄμεσος αὕτη, καὶ πολὺ πόῤῥω, καὶ ἔοικε πτώματι, καθάπερ τὴν ἀναδρομὴν εἰκάζομεν ἅλματι. οὓς γὰρ οὐ προὔπεμψε λόγος, τούτους οὐδὲ ἐπανιόντας ἐδέξατο. πῶς οὖν ταῦτα ἀλλήλοις ἂν πρέψειε, νῦν μὲν ἐπαφὴν ἔχειν τοῦ πρώτου, νῦν δὲ ἐπὶ ῥῶπας καὶ λύγους ἐστράφθαι. ἀλλ᾽ ὅγε ἄνθρωπος κατὰ τὴν μέσην καὶ ἐπιστατικὴν δύναμιν λογικός ἐστί τε καὶ προσαγορεύεται, ἣν οὐδέποτε γεγυμνάκασιν· οὔκουν ὅσα γε φαίνονται. τὸ μὲν οὖν τέλος, καὶ οὗ δεῖ γενέσθαι, κοινὸν ἀμφοῖν, καὶ τυχόντες οὐδὲν ἂν ἀλλήλων διαφέροιμεν· τἀν μέσῳ δὲ ὁ ἡμεδαπὸς φιλόσοφος ἄμεινον ἐσκέπται· ὁδὸν γὰρ παρεσκευάσατο, καὶ κλιμακηδὸν ἄνεισιν, ὥστε καὶ παρ᾽

ἑαυτοῦ

31) γρ. τι δεῖν, et 32) γρ. δηλονότι γενομένους m. Mor.

ἑαυτοῦ τι ποιῆσαι· προϊόντα γὰρ εἰκὸς ἐντυχεῖν ποι τῷ ἐραστῷ, καὶ μὴ τυχὼν δὲ, πρὸ οὐδοῦ γέγονε, καὶ οὐδὲ τοῦτο μέντοι σμικρόν· ἀλλὰ διαφέροι ἂν τῶν πολλῶν ἀνθρώπων πλέον, ἢ ὅσον ἐκεῖνοι τῶν βοσκημάτων. ταύτῃ καὶ πλείους ἂν εἶεν οἱ παρ᾽ ἡμῶν ἀφικνούμενοι, κατὰ φύσιν ἐχούσης τῆς ἐπιχειρήσεως. ἐκείνῃ δ᾽, εἰ μή τις εὐγένεια τύχοι ψυχῆς, ἄνωθεν ἕλκουσα τὴν πρώτην καταβολὴν, καὶ νοῦ χρῆμα ἐξαίσιον, οἷον αὔταρκες εἶναι καὶ παρ᾽ ἑαυτοῦ κινηθῆναι. ὁποῖος Ἀμοῦς ὁ Αἰγύπτιος οὐκ ἐξεῦρεν, ἀλλ᾽ ἔκρινε χρείαν γραμμάτων. τοσοῦτον αὐτῷ τοῦ νοῦ περιῆν. ὁ δὲ δὴ τοιοῦτος, καὶ δίχα τῆς φιλοσόφου μεθόδου, θᾶττον ἀναλύσειεν. ὁ γάρ τοι φυσικὸς ἀρκεῖ. πολὺ δή που μᾶλλον, εἰ καί τις αὐτὸν 33) παραθήξειέ τε καὶ ἐκκαλέσαιτο. τὸ γὰρ ἔνδοθεν σπέρμα 34) δεινὸς αὐξῆσαι, καὶ σμικρὸν σπινθῆρα λόγου παραλαβὼν, πυρκαϊὰν ὅλην ἀνάψαι· τούτοις μὲν οὖν οὐδὲν παρὰ τοῦτο μεῖον, εἰ μήγε καὶ περιέργου ποιήσει. τὰ τῆς Ἑλληνικῆς δὲ ἀγωγῆς ἢ καὶ τοὺς ἧττον ἁδροὺς, προάγει τε καὶ ἀναῤῥιπίζει, καὶ τὸ ἐν αὐτοῖς θεῖον ἐκθάλπει· ἐκεῖ δὲ, μόνοι 35) τοῖς οἴκοθεν μακαρίοις τὸ τέλος ἐπιτυγχάνεται· σπανιώτερον δὲ δήπου τὸ γένος τῶν τοιούτων ψυχῶν, ἢ τὸ τοῦ Φοίνικος, ᾧ τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι· οἱ δὲ πολλοὶ μάτην ἂν πονοῖεν καὶ ἀποτρύχοιντο, δίχα νοῦ τὴν νοητὴν οὐσίαν θηρώμενοι, καὶ μάλιστα οὓς οὐχ ἡ πρώτη φύσις ἐπὶ τόνδε τὸν βίον ἐξώρμησεν. οὗτοι γὰρ ἂν ὄναιντο τῆς ὁρμῆς· μᾶλλον δὲ αὐτὴν ἐγὼ τὴν ὁρμὴν, νοῦ κινουμένου γνώρισμα ποιοῦμαι· οἱ δὲ πλείους οὐδ᾽ οἴκοθεν ἐκινήθησαν, ἀλλ᾽ οὐδὲ τὸν δεύτερον λεγόμενον πλοῦν ὑπὸ τῆς σχολῆς εἰς νοῦν διεγείρονται· ὥσπερ δὲ ἄλλο τι τῶν εὐδοκιμούντων, τὴν γενναίαν αἵρεσιν ἐζηλώκασι παντοδαποί τε ὄντες τὰ γένη, καὶ κατὰ χρείαν ἕκαστοι συνιστάμενοι. περὶ τούτων δὴ καὶ σαφῶς

33) γρ. αὐτῷ m. Mor. 34) γρ. πνεῦμα et
35) γρ. μόνοις m. Mor.

σαφῶς διατείνομαι, ὅτι μάτην ἂν οὔτοι πονοῖεν καὶ τεύχοιντο, οἷς οὔτε αὐτοφυὴς ἐστι νοῦς, οὔτε ἐπίκτητος. κινδυνεύει γὰρ οὐδ᾽ εἶναι θεμιτὸν ἄλλῳ τῳ τῶν ἐν ἡμῖν τὸν θεὸν οἴεσθαι ἐνδημήσειν ἀντὶ τοῦ νοῦ. νεὼς γὰρ οὗτος οἰκεῖος θεῷ. ταῦτ᾽ ἄρα καὶ τὰς καθαρτικὰς ἀρετὰς σπουδάζεσθαι παραδεδώκασιν Ἕλληνες σοφοὶ καὶ βάρβαροι, ἀποτειχίζοντες ἅπασαν τὴν πραγματείαν τῆς φύσεως, ἵνα μηδὲν ἐμπόδιον παρέχοιτο ταῖς νοήσεσιν. αὕτη μὲν ἡ διάνοια τῶν πρώτων καταστησαμένων ἑκατέραν φιλοσοφίαν· οἱ δὲ καὶ τὰς ἀρετὰς ἔθεσι[36]) μᾶλλον ἢ λόγῳ κρατύνουσι, καὶ τρεῖς αὐτὰς ἥγηνται· φρόνησιν γὰρ οὐ προσίενται, εἴ γε καὶ σωφροσύνην εἶναι τὸ κατ᾽ αὐτοὺς συγχωρήσομεν. ὡς οὐκ εἰσιέναι[37]) τε καὶ συναιρεῖσθαι τὰς ἀρετὰς, διὰ τὴν ἀναγκαίαν ἀντακολούθησιν[38])· ἀλλ᾽ οἴονταί γε δεῖν σωφρονεῖν, οὐ διό τι σωφρονητέον εἰδότες, ἀλλ᾽ ἐπίταγμα λαβόντες, ὥσπερ νόμον ἀναίτιον, ὃν ὁ μὲν θεὶς οἶδεν ὅτι τοῦτο δι᾽ ἄλλο, διὰ τὰς διανοήσεις[39]), καὶ ὅτι προὔργου πρὸς ἄνοδον, τὸ πρὸς μηδὲν τῶν ἐν ὕλῃ παθαίνεσθαι. οἱ δὲ ἀπέχονται μίξεων, αὐτὸ δι᾽ αὐτὸ τεθαυμακότες, καὶ μέγιστον ἄγοντες τὸ σμικρότατον, τὴν παρασκευὴν τέλος ἡγούμενοι· ὑμεῖς δὲ τὰς ἀρετὰς, ὥσπερ στοιχεῖα τῆς ὅλης φιλοσοφίας, θαυμάζομεν[40]). τὸ μὴ καθαρῷ γὰρ καθαροῦ ἐφάπτεσθαι μὴ οὐ θεμιτὸν ᾖ, Πλάτωνος ἀπεδεξάμεθα· ἀρεταὶ δὲ καθαίρουσι τὸ ἀλλότριον ῥυπτοῦσαι· ἀλλ᾽ εἰ μὲν ἦν ἡ ψυχὴ τἀγαθὸν, ἤρκει καθήρασθαι, καὶ ἦν ἀγαθὸν ἤδη, τὸ μόνη γενέσθαι· νῦν δὲ, οὐ γάρ ἐστιν ἀγαθόν· οὐ γὰρ ἂν ἐγένετο ποτὲ ἐν κακῷ· ἀλλ᾽ ἀγαθοειδής ἐστι καὶ μέση τὴν φύσιν. ῥέψασαν οὖν εἰς τὸ χεῖρον, ἐπανήγαγεν ἡ ἀρετὴ, καὶ τῆς κηλῖδος ἀπέλουσε[41]), καὶ πάλιν μέσην ἐποίησε. δεῖ δὴ καὶ προελθεῖν

36) γρ. θέσει. 37) γρ. οὐκ ἔτι γε μὴ εἰσ.
38) γρ. οἱ δὲ καὶ τὰς ἀρετὰς ἔθεσι μᾶλλον ἢ λόγῳ κρατύνουσι· καὶ οἱ. 39) γρ. νοήσεις καὶ.
40) γρ. σπουδάζομεν et 41) γρ. ἀπέλυσε m. Mor.

ελθεῖν ἐπὶ τἀγαθόν· τοῦτο δὲ ἤδη διὰ λόγου. νοῦς γάρ ἐστι τὸ σύζυγον ὄνομα τῶν νοητῶν. οἷον εἰ τέλος εἴη τὸ πρὸς οὐρανὸν ἰδεῖν, οὐκ ἀπόχρη μὴ κεκυφέναι πρὸς τοὔδαφος, ἀλλὰ δεῖ μετὰ τὴν ἐν μέσῳ στάσιν τῆς ὄψεως, ἐπὶ τὰ ἄνω νεῦσαι. καὶ δῆτα τῶν ἀρετῶν ὄναιτο ἄν τις, τὸ ἀπηλλάχθαι τῆς ὑλικῆς προσπαθείας· δεῖ δὲ καὶ ἀναγωγῆς. οὐ γὰρ ἀπόχρη μὴ κακὸν εἶναι, ἀλλὰ δεῖ καὶ θεὸν εἶναι, καὶ ἔοικεν εἶναι τὸ μὲν, οἷον ἀπεστράφθαι τὸ σῶμα, καὶ ὅσα τοῦ σώματος· τὸ δὲ, οἷον ἐπεστράφθαι[42] διὰ νοῦ πρὸς θεόν. ἡμεῖς οὖν τιμῶντες τὰς ἀρετὰς, ἴσμεν, ἥντιν᾽ ἔχουσι τάξιν, ἣν αἱ τῶν στοιχείων γραμμαὶ πρὸς ἐπιστήμην βιβλίου. πρῶται γάρ εἰσιν ἀνιόντων ἐπὶ τὸν νοῦν, ἀλλ᾽ οὐ τὸ πᾶν ἔχομεν ἔχοντες τὰς ἀρετὰς, ἀλλ᾽ ἀφήκαμεν τὸ ἐμπόδιον, καὶ ὧν χωρὶς, οὐδὲ ὅσιόν ἐστιν ἐλπίσαι τυχεῖν τοῦ τέλους, τοῦτο τέως παρεσκευάκαμεν· ταυτὶ δὲ οὐκ ἀπογινώσκοντες, ἤδη μέτιμεν αὐτὸ διὰ νοῦ, σὺν τάξει παλαιοῖς τε καὶ μακαρίοις ἀνδράσιν ἐξευρημένῃ· καὶ ζητοῦντες οὐκ οἶδα εἴ ποτε ἕλοιμεν, σχολῇ γε ἂν περιτύχοι τῷ μήτε ἐρασθέντι, μήτ᾽ εἰ ζητητέον εἰδότι: καίτοι κάλλιστα ἀπαλλάττουσιν αὐτῶν οἱ μένοντες ἐπὶ τούτου, καὶ μηδὲν προσπεριεργαζόμενοι. εἶεν γὰρ ἂν οὐ κακοὶ, καθηράμενοι· οἷς δὲ ἐπῆλθε διενέγκαι τοῦ πλήθους κατὰ τύχην μαθοῦσιν, ὅτι ὁ λόγος ἐστὶ τοῦ ἀνθρώπου καλὸν, εἶτα παιδείαν μὲν ἅπασαν ἠτιμάκασιν, ὑφ᾽ ἧς ὁ νοῦς ἀναῤῥώννυται[43]· κινοῦνται δὲ παρ᾽ ἑαυτῶν ἀτόπους κινήσεις, καὶ ἀποσεμνύνονται μὲν πρὸς φιλοσοφίαν· ὅ, τι δ᾽ ἂν εἰς αὐτοὺς ἐμπέσῃ[44]) παράκουσμα, τοῦτο ταῖς παρ᾽ αὐτῶν προσθήκαις πονηρὸν ἀπέδωκαν καὶ κακόηθες, τυφλὰ γεννήματα, νοῦ μὲν οὐκ ἄξιον εἰπεῖν, ἀλλ᾽ οὐδὲ διανοίας· δόξης δὲ ἀτόπου καὶ φαντασίας ἡμαρτημένης ἐκφέροντες. τούτους ἂν ἴδοις γελοίως διακειμένους, μᾶλλον δὲ λίαν ἐλεεινῶς. ἄξιον γὰρ ἀνθρώ-

πους

42) γρ. ἀπεστράφθαι m. Mor. 43) γρ. ἀναχώννυται et 44) γρ. ἐκπέσῃ m. Mor.

τους ὄντας ἐπ' ἀνθρώπων συμφοραῖς μὴ γελᾶν, ἀλλ' ὀλοφύρεσθαι. Φεῦ τῶν λόγων· φεῦ τῶν δογμάτων! εἰ γὰρ ἐπέλθοι φιλοσοφεῖν τοῖς κριοῖς, οὐκ οἶδα ἅττ' ἂν ἀντὶ τούτων πρεσβεύσειαν· ἀλλ' ἡμεῖς αὐτοῖς εἴπωμεν· ἄξιον γάρ· ὦ τολμηρότατοι πάντων, εἰ μὲν ἠπιστάμεθα ὑμᾶς εὐμοιρήσαντας ἐκείνην τῆς ψυχῆς τὴν ἀξίαν, ἢ Ἀμοῦς, ἢ Ζωροάστρης, ἢ Ἑρμῆς, ἢ Ἀντώνιος, οὐκ ἂν ἠξιοῦμεν φρενοῦν, οὐδὲ διὰ μαθήσεως ἄγειν, νοῦ μέγεθος ἔχοντας, τῷ, προτάσεις εἰσὶ[45]) καὶ τὰ συμπεράσματα· ἀλλὰ κἂν ἐντυχεῖν ποτε τῷ τοιούτῳ γένοιτο, σεβοίμεθά τε ἂν αὐτὸν καὶ ἀζοίμεθα· ὑμᾶς δὲ ὁρῶμεν τῆς κοινῆς φύσεως ὄντας ἥττονας, καὶ οὐ μᾶλλον ἀγχίνους ἢ παχεῖς· ὑμᾶς οὖν ἀξιοῦμεν καὶ νουθετεῖν, ἐν κοινῷ τιθέντες, ὅ, τι ἂν ἄριστον ἡμῖν ἐξευρίσκωμεν. ἢ τοίνυν ἐπὶ τῶν πρώτων ὑποθέσεων μένετε· παρέδοσαν γὰρ αὐτὰς ἄνδρες ἀγχίποροι τοῦ θεοῦ· καὶ οὕτως[46]) ἂν εἴητε κατὰ Πλάτωνα μέσας ἔχοντες, οὐκ ἔτι μὲν ἀμαθεῖς, οὔπω δέ γε σοφοί, δόξαν ὀρθὴν πρεσβεύοντες, δίχα λόγου καὶ ἀποδείξεων. τό τε[47]) γὰρ ἀληθὲς, οὐχ ὅσιον ἀμαθὲς οἴεσθαι, καὶ τὸ ἄλογον εἶναι σοφὸν, οὐδεὶς ἐπιτρέψει λόγος. ταύτην ἀγαπῶντες τὴν τάξιν, μετρίως ἂν ἦτε πεπραγότες, καὶ ἀναίτιοι μὲν παρὰ θεοῦ, ἀναίτιοι δὲ καὶ παρὰ ἀνθρώπων· ἀλλὰ κἂν ἐπαίνου δικαίου τυγχάνοιτε· δήμου γὰρ ἀνδρὶ, καὶ τὸ ὅτι, αὐταρκές. εἰ δὲ μὴ κατὰ χώραν μένοιτε[48]), ἀλλ' ἔτι ὀρέξεσθε τοῦ πρόσω, καὶ τὸ διότι πολυπραγμονήσετε· καλῶς μὲν ἂν ποιοίητε[49]) σοφίας ἐρῶντες, ἱεροῦ χρήματος, ἀλλὰ μὴ ἐφ' ἑαυτῶν ποιῆσθε[50]) τὴν θήραν. ἀγύμναστοι γὰρ ἐστέ· καὶ κίνδυνος εἰς ἄβυσσόν τινα φλυαρίας ἐμπεσόντας[51]), διαφθαρῆναι· ὃ καὶ Σωκράτης ἐφοβήθη παθεῖν,

45) γρ. εἰσὶ ποιεῖν.
46) καὶ ὅλως.
47) γρ. τόγε.
48) γρ. μένετε.
49) γρ. ποιοῖτε. (
50) γρ. ποιεῖτε et
51) γρ. τινα φιλαργυρίας ἐμπεσοῦσι, in. Mor.

θεῖν, καὶ τὸ πάθος ἐκ ἀπεκρύψατο. φίλες ἄνδρας Παρμενίδην, καὶ Ζήνωνα. καίτοι Σωκράτης ἐκεῖνος ἦν. ὑμεῖς δὲ, οἵπερ ἐςὲ· δεινὴ δὲ ὅμως ἡ τόλμα, δόγμασιν ἀποῤῥήτοις ἀξιέντων ἐνάλλεσθαι· καὶ ταῦτα ἐν λέξεσι τριοδίτισιν. ὁ μὲν ἐν Κάδμε σπόρος αὐθημερὸν ὁπλίτας, φησὶν, ἀνεδίδε σπαρτὲς· σπαρτὲς δὲ θεολόγες, ἐδείς πω μῦθος ἐτερατεύσατο. ἐ γάρ ἐςιν ἡ ἀλήθεια πρᾶγμα ἐκκείμενον, ἐδὲ καταβεβλημένον, ἐδὲ θήρα ληπτόν. τί ἐν; ἐνταῦθα καλείσθω φιλοσοφία σύμμαχος· καὶ παρασκευαζέσθωσαν ἀνεξόμενοι πάσης ἐκείνης τῆς διεξόδε, μῆκος ἐχέσης μυρίον, παιδευόμενοι καὶ προπαιδευόμενοι. δεῖ γάρ τοι πρῶτον ἀποδῦναι τὴν ἀγροικίαν, καὶ τὰ μικρὰ ἐποπτεῦσαι πρὸ τῶν μειζόνων, καὶ χορεῦσαι πρὶν δαδεχῆσαι, καὶ δαδεχῆσαι πρὶν ἱεροφαντῆσαι. ἔκεν ἐθελήσετε πόνων ἐπὶ πόνοις ἀνέχεσθαι; ἀλλ᾽ ἐδὲ τὰ μεγάλα ἀκονιτὶ παραγίνεται. καίτοι γε εἰ σὺν ὥρᾳ τε πράγματος ἥψασθε, καὶ ἡδονῆς ἄν τι τῷ ἔργῳ προσῆν, ἧς οἱ προελθόντες ἀντιλαμβάνονται· ὑμεῖς δὲ ὀψιμάθειαν αἰσχύνεσθε· ἀλλ᾽ ἔτοι τῦτο αἰσχρόν· ἡ δὲ ἀμαθία, καὶ τέτε μεῖζον τῦτο αἰσχρόν· ἐν ᾗ κείμενοι, τῆς μὲν ἁπλῆς ἐκ ἀνέχεσθε· πάλαι γὰρ ἂν εἴητε μετρίως διακείμενοι, ἔτε εἰδότες, ἔτε εἰδέναι προσποιέμενοι, τετέςιν ἐξ ἡμισείας εἰδότες· αὐτὸ γὰρ ἂν τῦτο ἠπίςασθε, τὸ μηδενὸς ὑμῖν ἐπιςήμην παρεῖναι· τὴν δὲ διπλῆν ἄγνοιαν μεγαλοπρεπῶς ἐφ᾽ ἑαυτὲς ἕλκετε. φρονήματος γὰρ ἀντὶ φρονήσεως ὑποπλησθέντες, καὶ πρὶν μαθεῖν διδάσκειν ἐπιβαλλόμενοι, πάλιν ἐρῶ, φεῦ τῶν λόγων· φεῦ τῶν δογμάτων· οἷα καὶ τίκτεται παρ᾽ ὑμῶν τέρατα ἀτεχνῶς διεσπασμένα καὶ πολυκέφαλα, οἷά φασιν ἐπαναςῆναί ποτε τοῖς θεοῖς. καὶ ταῦτα τί ἂν εἴποι τὶς, ἢ σπαράττειν τὸ θεῖον ἅπαν, ταῖς ἀτόποις ὑπονοίαις περὶ αὐτῦ. ἐκ ἂν, εἴ γε τὸν ἰδιώτην καλῶς ἐτηρήσατε, ἀλλ᾽ ἦν ἐκεῖ τὸ κατορθῦν ἐν τῷ μετρίῳ [52]).

52) γρ. μέτρῳ m. Mor.

ὁ Ἴκαρος, ἐπειδὴ τοῖν ποδοῖν ἀπηξίε κεχρῆσθαι, ταχὺ μάλα καὶ ἀέρος καὶ γῆς ἀπετύγχανεν, ὧν τῆς μὲν ὑπερεῖδε, τῆ δὲ ἐκ ἐφίκετο. ταῦτα ἐ πρὸς τὲς ἐκ τῆς ἑτέρας ἀγωγῆς μᾶλλον, ἢ καὶ πρὸς τὲς παρ' ἡμῖν σὺν ἀλογίᾳ μεγαλοφώνες, οἳ καὶ παρέσχον ἀφορμὴν τῷ λόγῳ βοηθῆσαι τοῖς προπαιδεύμασιν· ὧν τί ἂν τις καὶ δοίη ἀνθρώπων ἀλαζόνων καὶ ἀνοήτων· πολλὲ μέντ' ἂν εἶεν τρεῖς τῦ ὀβολῦ· ἐγὼ δὲ χάριν οἶδα καὶ ποιηταῖς δεξιοῖς, καὶ ῥήτορσιν ἀγαθοῖς, καὶ ὅςις ἱςορίαν τινὰ κατεβάλλετο λόγε ἀξίως· καὶ ἁπαξαπλῶς ἐδένα τῶν συνεισενεγκόντων εἰς κοινὸν τοῖς Ἕλλησιν, ὅ, τις καὶ εἶχεν ἀγαθὸν, ἀγέραςον [53]) εἶναι βέλομαι, ὅτι παῖδάς τε παραλαβόντες ἡμᾶς ἐτιθηνήσαντο, καὶ ἀσθενεῖς ὄντας ἔτι τὴν γνώμην ἐνοσοκόμησαν, τοῖς ὠφελίμοις ἐγκαταμιγνύντες ἡδύσματα. ἄκρατα γὰρ ἐδεὶς ἂν ταῦτα παρεδέξατο, διά τε ςυφότητα, καὶ τὴν τότε τῶν αἰσθήσεων ἁπαλότητα· καθ' ἕτω ῥώσαντες, καὶ παραπέμψαντες ἄλλος δι' ἄλλε, ταῖς ἐπιςήμαις παρέδοσαν· αἱ δὲ παρεσκεύασαν οἵες εἶναι τῶν ἄκρων ἐπορέξασθαι. ἐκεῖ τε [54]) γενομένων ὅταν αἴσθωνται τὰς ψυχὰς ῥαινομένας ἱδρῶτι, καὶ τὴν φύσιν ἡμῶν ἀπαγορεύεσαν, αὖθις ἀνεκαλέσαντο πρᾳέως· καὶ ἡ Καλλιόπη παραλαβεσα ἥκοντας αὐχμοῦ πλέως, ἀνέπαυσέ τε εἰς ἀνθηρὲς ἀγαγεσα λειμῶνας, ὡς μὴ διακναισθῆναι τῷ πόνῳ, καὶ πανδαισίαν παρέθηκεν Ἀττικῶν καταγλωττισμάτων καὶ καρυκείας ποιητικῆς· ὑφ' ὧν τὴν μὲν πρώτην διέχεεν· ἔπειτα ἐμυώπισε [55]) λαθεσα, καὶ κατὰ μικρὸν πως ἐπέςρεψε· τελευτῶσα δὲ ἐπὶ τὸν αὖθις ἐγύμνασεν ἀγῶνα. καὶ ὅστις δὲ ἐ προτέλειον ἡγεῖται τὰς Μέσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν ταύταις εἶναι [56]), καὶ ἐδ' εἴ τι περιττὸν αἰνίττονταί ποτε, καὶ παραδηλεσι συνιέναι

53) γρ. ἄπρακτον.
54) τῶν γεν.
55) γρ. ἐμυωπίασε et
56) γρ. ἐςὶ m. Mor.

ἰέναι βύλεται· τὸ δὲ ἐγκείμενον αὐτῶν κάλλος ἠγάσθη, καὶ εἰς αὐτὸ κέχηνε, καὶ ὑπὸ τύτυ κατέχεται· ὐδὲ ὗτος μέντοι δεινὸν ὐδὲν εἴργασαι, ἀλλὰ καὶ πολλὰ ἀγαθά γε αὐτῷ γένοιτο, μυσικῷ τε ἀνδρὶ καὶ χαρίεντι. καὶ γὰρ εἰ μὴ τεθήπαμεν τὺς κύκνυς, ὥσπερ τὺς ἀετὺς αἰρομένυς ὕψυ ὑπὲρ[57]) πᾶν τὸ ὁρώμενον· ἀλλὰ γανυνύμεθά γε καὶ ὁρῶντες αὐτὺς καὶ ἀκύοντες τῆς ᾠδῆς· καὶ ἐμῦ γε ἕνεκα, μηδείς ποτε κύκνων τὸ ἔσχατον ᾄσειεν. εἰ δὲ βασίλειοί τε εἰσὶν ἐκεῖνοι, καὶ διαιτῶνται παρὰ τὰ τῦ Διὸς σκῆπτρα, καὶ τύτυς εἴληχέ τις θεῶν ἐκ Διὸς γεγονὼς, καὶ ὐκ ἀπαξιῦνται τῦ τρίποδος. ἀετὸν δὲ ἅμα καὶ κύκνον γενέσθαι, καὶ τὰ ἀμφοῖν ἔχειν πλεονεκτήματα, ὄρνισι μὲν ἡ φύσις ὐ ξυνεχώρησεν· ἀνθρώπῳ δὲ ἔδωκεν ὁ θεὸς, ὅτῳ καὶ ἔδωκε, γλώττης τε εὖ ἥκειν, καὶ φιλοσοφίας ἐπήβολον εἶναι. ἠγώνισαί γε πρὸς τὺς ἀμύσυς ὑπὲρ Μυσῶν, οἳ καὶ κακοήθως ἀποδιδράσκυσι τὸν ἔλεγχον τῆς ἀμαθίας, τῷ καταφεύγειν ἐπὶ τὴν λοιδορίαν ὧν ἠγνοήκασιν. εἰ δή τι καὶ σπυδαιότερον εἴρηται παρὰ τὴν πρώτην ὑπόσχεσιν, τὶ μὲν ἂν γένοιτο καὶ σπυδαῖον[58]) παιζόντων· ὐ μὴν ἔστι τὶ ποιεῖν, μὴ ἀπὸ πάσης τῆς ἕξεως· ἀλλ᾽ εἰ τῷ πλέονι παίζομεν, ὐ τῦ παντὸς ἁμαρτάνομεν. παιδιᾷ γὰρ παρεμβαλλόμεθα, ἐνδοθείσῃ μὲν, ἀπὸ τῦ δεῖν εὑρέσθαι τινὰ παρ᾽ ἐμῦ μαρτυρίαν τὸν Δίωνα, ἵνα μὴ γένοιτο καὶ τῆς παιδείας[59]) αὐτῦ κληρονόμος ὁ παῖς ὁ μοιρίδιος· δραμύσῃ δὲ ἐπὶ πολλὰ, καὶ δρόμυς παντοίυς. „ἀόριστοι γὰρ αἱ τῶν παιζόντων ὁρμαί· τοιῦτόν „ἐστιν ἀγρὸς καὶ ἐλευθερία, καὶ τὸ μὴ πρὸς ὕδωρ εἰρησομένυς γράφειν τὺς λόγυς. ὡς εἶδον ἐγὼ δικαστὴν ἐφέτην μετρῦντα τὸν χρόνον τοῖς ἀγορεύυσιν· αὐτὸς μέντοι τῦ προσμεμετρημένυ, τὸ μέν τι κατεδάρθανε, τὸ δὲ μάτην ἐγρηγόρει, καὶ ἀπῆν ὡς πορρωτάτω τοῦ πραγ-

57) καὶ ὑπὲρ. 58) σπυδαίων et

59) τῆς φιλίας m. Mor.

πράγματος· ἀλλ᾽ ὐδὲν ἧττον ὁ ῥήτωρ ἠγόρευεν, ὡς ὑπ᾽ ἀνάγκης σιωπησόμενος αὐτίκα· ἐμὲ δὲ ἀφίησι καὶ οὐ στενοχωρεῖ προθεσμία, τῷ μήτε πρὸς ὕτως ἄτοπον παρασκευάζεσθαι δικαστὴν, ἀλλὰ μηδὲ μέλλει εἰς δικαστήριον ἀγνωμονέστερον εἰσιέναι τὸ θέατρον, θυροκοπήσαντα, καὶ ἐπαγγείλαντα τοῖς ἐν ἄστει μειρακίοις ἀκρόαμα ἐπιδέξιον· ὡς σχέτλιά γε τῶν δεικνύντων ἐν τοῖς θεάτροις τὺς λόγυς. ὃν γὰρ δεῖ τοσύτοις ἀρέσκειν ἀνομοίως διακειμένοις, πῶς ὐκ ἀνεφίκτων ἐρᾷ; ὗτος οὖν ἐστὶν ὁ δημολόγος 60) ἀτεχνῶς, ὁ δῦλος ὁ δημόσιος, ὁ πᾶσιν ἐκκείμενος, ὃν ἔξεστι τῷ βυλομένῳ διαθεῖναι κακῶς. κἂν γελοῖός τις 61), ὁ σοφιστὴς τέθνηκε, καὶ τὸν σκυθρωπὸν ὑποπτεύει. σοφιστὴς γάρ ἐστι κἂν ὁτιῦν γένος λόγων προστήσεται, δόξαν ἀντ᾽ ἀληθείας ἐρανιζόμενος. λυπεῖ δὲ αὐτὸν καὶ ὁ πάνυ προσέχων τὸν νῦν, ὡς λαβὴν θηρώμενος· ἀλλ᾽ ὐδὲν ἧττον ὁ περιδινῶν ἁπανταχόσε τὴν κεφαλὴν, ὡς ὐκ ἀξιῶν ἀκοῆς τὰ δεικνύμενα. καίτοι γε ὐκ ἐν δίκῃ πικρῶν τυγχάνει τῶν δεσποτῶν, ὅστις πολλὰς μὲν νύκτας ἀΰπνυς ἀνέτλη· πολλὰς δὲ ἡμέρας παρετάθη, καὶ μικρῦ δεῖν ἀπεστάλαξε τὴν ψυχὴν ὑπό τε λιμῦ καὶ φροντίδων, ἵν᾽ ἀγαθόν τι συλλέξηται· καὶ ἥκει φέρων ἄκυσμα χαρίεν τε καὶ ἡδὺ τοῖς ἀγερώχοις αὐτῦ παιδικοῖς, δι᾽ ὓς ἔχει μὲν πονήρως, σκήπτεται δὲ ὑγιαίνειν. ὁ δὲ καὶ ἐλύσατο πρὸ τῆς κυρίας, καὶ εἰς αὐτὴν ἀπήντησεν, ἐσθῆτι καὶ σχήματι σοβαροῖς, ἵνα καὶ θέαμα καλὸν ᾖ, καὶ προσγελᾷ τῷ θεάτρῳ, καὶ χαίρει δῆθεν· ἡ δὲ ψυχὴ κατατείνεται, ἐπειδὴ καὶ Τραγακάνθης ἐδήδοκεν, ἵνα τορόν τε καὶ εὔηχες φθέγξηται. τῦτο μὲν ὖν ὐδ᾽ ἂν ὁ σεμνότατος αὐτῶν προσποιήσαιτο, μὴ ὐ πάνυ μέλειν αὐτῷ, καὶ πεπραγματεῦσθαι τὰ περὶ τὴν φωνὴν, ὅς γε καὶ μεταξὺ τῆς ἐπιδείξεως ἐστράφη, καὶ τὸ ληκύθιον ᾔτησε, καὶ ὁ μὲν ἀκόλυθος ὤρεξεν· ἐκ πολλῦ γὰρ καὶ

60) γρ. δεινολόγος et 61) γρ. γελάσειέ τις m. Mor.

καὶ παρεσκεύασεν· ὁ δὲ ἀποῤῥοφεῖ τε καὶ ἀνακογχυλίζει, τῷ νεαρῶς ἐπιτίθεσθαι [62]) τοῖς μέλεσι· τυγχάνει δὲ οὐδ᾽ ὡς ἀκροατῶν ἵλεων ὁ δύστηνος ἄνθρωπος· ἀλλὰ βούλοιντο μὲν ἂν αὐτὸν ἐξᾶσαι. γελῷεν γὰρ ἄν· βούλοιντο δ᾽ ἂν καὶ διάραντα μόνον, ὥσπερ ἀνδριάντα, τὸ στόμα καὶ τὴν χεῖρα, ἔπειτα ἀφωνότερον ἀνδριάντος γενέσθαι· ἀπαλλαγεῖεν γὰρ ἂν πάλαι δεόμενοι. ἐγὼ δὲ ἐπ᾽ ἐμαυτοῦ γὰρ ᾄδω (καὶ ταῖσδε ταῖς κυπαρίττοις προσᾴδω), ὕδωρ δὲ τοῦτὶ θεῖ διάττον δρόμον [63]) οὐ μεμετρημένον, οὐδὲ πρὸς κλεψύδραν ταμιευόμενον, ὅ τις ἂν καὶ ὑπηρέτης μεταγωγήσῃ δημόσιος· ἀλλ᾽ ἐγὼ μὲν εἰ μήπω παύομαι, ἀλλ᾽ αὐτίκα πεπαύσομαι· εἰ δὲ μὴ, καὶ μετὰ πλεῖστον· οὐ μὲν δὴ καὶ εἰς νύκτα γε ᾄσομαι· τὸ δὲ καὶ πεπαυμένου ῥεῖ, καὶ ῥυήσεται καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, καὶ εἰς νέωτα, καὶ ἀεί. τί οὖν με δεῖ προθεσμίᾳ δουλεύειν, ἐξὸν ἐμφορεῖσθαι τῆς αὐτονομίας, καὶ περιάγειν τοὺς λόγους, ᾗ μοι δοκοῦσιν ἀκτέοι, οὐ κρινομένῳ πρὸς ὀλιγωρίαν ἀκροατῶν, ἀλλ᾽ ἐμαυτὸν ἔχοντι μέτρον. ἐμοὶ γὰρ δὴ ταύτην ἔδωκε τὴν μοῖραν ὁ θεὸς, ἀδέσποτον εἶναι καὶ ἄφετον, ὃς οὐδὲ τρεῖς, οὐδὲ δύο περιεποιησάμην ἐμαυτῷ μαθητὰς εἶναι, δι᾽ οὓς ἂν ἐδέησεν εἰς ἀποδεδειγμένον χωρίον φοιτᾶν, καὶ περὶ συγκειμένων πρὸς αὐτοὺς διαλέγεσθαι. ἠπιστάμην γὰρ πολὺ τῆς ἐλευθερίας ὑποτεμούμενος, εἰ πρῶτον μὲν ἀνάγκην ἕξω βιβλίον ἐξονυχίζειν, ὑφ᾽ οὗ γίνεται τὸ κατὰ μνήμην ἐνεργεῖν· τὴν δὲ ἐπιβολὴν ἀγύμναστον εἶναι καὶ ἄγονον, ἣν δεῖ κριτὴν εἶναι βιβλίων· ἐπειδὴ κατὰ τοῦτο ὁ φιλόσοφος μᾶλλον· ἐκεῖνο δὲ ἀποδεδόσθω γραμματικοῖς. εἶεν δ᾽ ἂν καὶ φιλοσόφων βιβλίων γραμματικοί τινες ἀποδεδειγμένοι, τὰς συλλαβὰς εὖ μάλα συγκρίνοντές τε καὶ διακρίνοντες· οἰκεῖον δὲ οὐδὲν οὐδέποτε μαιευσόμενοι· ὅ, τι δὲ καὶ τέκοιεν, ὑπὸ θράσους τυφλὸν καὶ ἀνεμιαῖον. οὐ γὰρ ἐκθάλπει τὸν εἴσω λόγον, ὅτῳ καθ᾽

62) ἐπικεῖσθαι et 63) διὰ τῶν δρόμων m. Mor.

ἡμέραν ἐμεῖν ἀνάγκη· τό, τε σπȣδῇ σχεδιάζειν ἐν μὴ δέοντι τῇ σπȣδῇ χρώμενον, ἐξίτηλον αὐτὴν ἀποφαίνει. φύονται μὲν γὰρ ἐπὶ λόγοις ὠδῖνες ψυχῶν, ὥσπερ ἐπὶ τόκοις σωμάτων· ὅστις δὲ ἀώροις αὐτοῖς συνεθίζεται, καὶ τὰ λοιπὰ πέπονθε παραπλήσια τοῖς ἐπὶ τῶν σωμάτων συμβαίνȣσιν· ὀλισθȣ̃σα δὲ ἕξις εἰς τὸ ἀμβλώσκειν, ȣ̓δὲν ἂν ὠδινήσειεν ἀρτιμελὲς καὶ βιώσιμον. ἐντεῦθεν ὁ πρόχειρος εἰς δῆμον εἰπεῖν, ἀδύνατος ἐπισῆσαι, καὶ σκέμμα παραλαβὼν, ὥσπερ ἀνδριάντα ξέσας ἐς τὸ ἀκριβὲς ἀπεργάζεσθαι. ἅμα δὲ ȣ̓δὲ μακάριον ᾤμην εὐθύνας ὑπέχειν, καὶ αὐτοῖς τοῖς ἀκροαταῖς, καὶ ὑπὲρ αὐτῶν τῶν ἀκροατῶν· ὑπὲρ μὲν αὐτῶν, τοῖς προσήκȣσιν· ὑπὲρ δὲ τῶν ὁσημέραι λόγων, αὐτοῖς. βȣ́λοιτο γὰρ ἂν ὁ διδάσκαλος ἀνὴρ εὐδοκιμεῖν ἐν τοῖς μαθηταῖς, καὶ θορυβεῖν ἐπὶ τοῖς λόγοις αὐτȣ̃ τὰ παιδάρια. ȣ̓κȣ̃ν ἄλλο τȣ̃το θέατρον παρὰ πολὺ δυςυχέςερον· νυνὶ δὲ ὁπόσοις τε βȣ́λομαι, καὶ ὁπόσα, καὶ περὶ ὧν, καὶ ὁπηνίκα, καὶ ὅπȣ, τοσαῦτα καὶ ȣ̔́τως σύνειμι. καὶ ὁ μέν τις ὤνησε συγγενόμενος, ὁ δὲ αὐτὸς ὤνατο. βȣλοίμην δ᾽ ἂν ἐγὼ τῶν ἀγαθόν τι λεγόντων ἀκούειν μᾶλλον, ἢ λέγειν αὐτός. τῷ παντὶ γὰρ εὐτυχέςερον ἀμείνοσιν ἐντυγχάνειν, ἢ χείροσιν. ἀλλ᾽ ὅγε τȣ̃ διδασκάλȣ βίος· λόγȣ δὲ ἐξηρήσθων, εἴ τις εἷς ἢ δύο φύσει τῶν ἐν τῷ πράγματι χαλεπῶν γεγόνασι διαφέροντες. γένοιτο γὰρ ἂν κἀκεῖνο καὶ καθ᾽ ἕκαςον ἐπιτήδευμα φανῆναί τινας ἀμείνȣς, ἢ ὡς ἁλῶναι τοῖς προσπεφυκόσιν αὐτῷ καὶ παραβλαςάνȣσι πάθεσιν· ἐπεὶ ὅγε διδάσκαλος, ἐπειδὴ ἐξαρτήσηται τȣ̀ς θαυμασομένȣς, ȣ̓δενὸς ȣ̓δὲν ἀποδέξεται λέγοντος· ἢ κίνδυνος καταφρονηθῆναι καὶ περιιδεῖν ἀφιπτάμενα τὰ μειράκια. εἰ γὰρ ȣ̓ διοίσεται, τὴν ὑπόθεσιν ἔφθειρε· δεῖ δὲ αὐτὸν τηρεῖσθαι διδάσκαλον. εἱμαρμένη τοίνυν ἀνδρὸς διδασκάλȣ καὶ φθονερὸν αὐτὸν εἶναι, τὸ μέγιςόν τε καὶ ὑλικώτατον τῶν παθῶν· καὶ ἀπεύξεται μὲν μηδένα γενέσθαι σοφὸν ἐν πόλει· γενομένȣ δὲ, λυμανεῖται τὴν δόξαν,

ξαν, ἵνα μόνος ἀποβλέποιτο. καθεδεῖται δὲ ὥσπερ κεράμιον ἐπιχειλὲς τῆς σοφίας, καὶ οὐκ ἂν ἔτι χωρήσον. οὐκοῦν ἀγαθόν γέ τι χωρεῖ, τελχὶς καὶ βάσκανος ὤν. πῶς οὖν ἄν τις κάκιον ἀπαλλάξειεν ἀνδρὸς, ὅτῳ μὴ ἔξεστι γενέσθαι βελτίονι. Σωκράτης δὲ καὶ Προδίκῳ παρεῖχεν ἑαυτὸν ὠφελεῖν εἴ τι δύναιτο, καὶ Ἱππίᾳ ξυνεχώρει τὶ λέγειν, καὶ ὡς Πρωταγόραν ἐβάδιζε, καὶ συνίστη τοὺς πλουσιωτάτους τῶν νέων τῷ τοιῷδε φύλῳ τῶν σοφιστῶν. οὐ γὰρ ἐποιεῖτο σοφὸς εἶναι Σωκράτης· ἦν γὰρ σοφός· καὶ τοῖς μειρακίοις ἐξῆν, εἰ προσεῖχον τὸν νοῦν, μὴ ἀγνοεῖν, ὅστις μὲν ὁ διδάσκων Πρωταγόρας, ὅστις δὲ ὁ μανθάνων Σωκράτης· ἀλλὰ καὶ Γλαύκων, ἀλλὰ καὶ Κριτίας, ἐκ τῆς ὁμοίας αὐτῷ διελέγοντο, καὶ οὐδὲ Σίμων ὁ σκυτεὺς πάνυ τι συγχωρεῖν ἠξίου Σωκράτει, ἀλλ' ἐπράττετο λόγον ἑκάστου λόγου· Κλειτοφῶν δὲ καὶ ἐλοιδόρησεν αὐτὸν ἐν Λυσίου τοῦ σοφιστοῦ, καὶ τὴν Θρασυμάχου συνουσίαν προὐτίμησε· Σωκράτης δὲ, οὐδὲ πρὸς τοῦτο παρωξύνετο, ἀλλὰ καὶ τοῦθ' ὁ Κλειτοφῶν κακῶς οἴεται. ἤρκει δὲ αὐτῷ καὶ Φαῖδρος περιτυχὼν, καὶ εἵπετο Φαίδρῳ Σωκράτης πρὸ ἄστεος ἡγουμένῳ, καὶ ἠνέσχετο φορτικοῦ λόγου, καὶ ἀντεξήγαγεν αὐτῷ λόγον ἕτερον, ἵνα Φαίδρῳ χαρίσηται. οὕτως εὔκολος ἦν, καὶ οὐκ ἀπεσεμνύνετο πρὸς τοὺς ἀνθρώπους. αὕτη μὲν γὰρ ἡ Ξανθίππη, φεῦ τῆς ὀλιγωρίας, ὡς ἐχρῆτο Σωκράτει. ἀλλ' οὐδὲν ἐκώλυσε Σωκράτην εὐθυμεῖσθαι καὶ καταφρονούμενον· οὐδὲ ἐμὲ τοίνυν, οὐδ' ἄλλον οὐδένα ἀνθρώπων, ὅστις οὐχ ὑπέθηκεν ἑαυτὸν τῷ παντοδαπῷ θηρίῳ τῇ δόξῃ, ἀλλ' ἑαυτῷ 64) ἀρέσκει καὶ τῷ θεῷ· τοῖς δὲ ἀνθρώποις ἀνθρωπίνως συνεῖναι καὶ βούλεται καὶ ἐπίσταται· ἐπείτοι Σωκράτης καὶ τὸν ἀτοπώτερον τῶν λόγων διατιθέμενος, τὸν ἐπὶ διαβολῇ τῶν ἐρωτικῶν, δύναται μεθαρμόσασθαι τὴν ἀληθεστέραν, καὶ αὐτίκα γε μεθαρμόσεται, καὶ τὸ Διὸς ἅρμα ὑμνήσει,

64) γρ. ἀλλ' ἑαυτὸν m. Mor.

καὶ τὰς ἱερὰς διφθέρας τῶν ἕνδεκα θεῶν. μένει γὰρ Ἑστία ἐν θεῶν οἴκῳ μόνη· ὑμνεῖ δὲ καὶ ψυχὰς ὀπαδοὺς θεῶν, καὶ τὸν ἀγῶνα, ὃν ἔχουσιν ὑπερκύψαι τῶν οὐρανοῦ νώτων. ἐκεῖ που καὶ τὸν παρακεκινδυνευμένον λόγον, τὸ παιδίον ἐξηγεῖσθαι τολμᾷ, τὸ ἐπέκεινα ταύτῃ παρὰ τὴν αὐτὴν πλάτανον, παρ' ἣν ἐρρητόρευσε, καὶ τῷ σοφιστῇ Λυσίᾳ προσεγυμνάσατο· καὶ πρὸς τὸν αὐτὸν μέντοι παῖδα, οὗτοι λέγω τὸν Φαῖδρον· νεανίας γὰρ οὗτος καὶ ἀνὴρ ἤδη· ἀλλ' ὑπόκειται μειράκιον αὐτῷ καλὸν καὶ ἐν ὥρᾳ· καὶ τοῦτο πείθει καὶ μεταπείθει τὰ περὶ ἔρωτος· καὶ πρὸς αὐτὸ παίζει τε καὶ σπουδάζει. τί οὖν εἰ κἀγὼ πρὸς 65) τὸν ἐμαυτοῦ παῖδα, ὃν ὑπέσχετο μὲν εἰς νέωτα ὁ θεὸς, ἐμοὶ δὲ πάρεστιν ὁ παῖς ἤδη· πρὸς τοῦτον οὖν ἀξιῶ παίζειν τε καὶ σπουδάζειν· ἐπείτοι καὶ αὐτὸν ἀμφότερα ἀγαθὸν γενέσθαι βούλομαι,

Μύθων τε ῥητῆρ' ἔμεναι, γνωστῆρά τε ὄντων.

καὶ μὴ καταφρονεῖν τοῦ Σωκράτους, ὃς οὐκ ἀπηξίου καὶ τοὺς δημοσίᾳ θαπτομένους δύνασθαι λόγῳ κοσμεῖν. καίτοι καὶ τοῦτο μεῖζον ἢ καθ' ἑαυτὸν ᾤετο. προσένεμε γὰρ Ἀσπασίᾳ τὴν δύναμιν ταύτην, ᾗ προσεφοίτα κατὰ χάριν τοῦ τὰ ἐρωτικὰ παιδευθῆναι. εἰ δέ τινα κατὰ τὴν Ἀσπασίαν τε καὶ Σωκράτην ἐρωτικὰ ἐννενόηκας, οὐκ ἀπιστήσεις, ὅτι φιλοσοφία τὰς τελεωτάτας ἐποπτεύσασα τελετὰς, ἀπανταχοῦ τὸ καλὸν ἐπιγνώσεται καὶ ἀσπάσεται, καὶ ῥητορικὴν ἐπαινέσεται, καὶ Ἀσπασίας καὶ ποιητικῆς ἀνθέξεται. ταύτην μὲν γὰρ ἄντικρυς εἰργάσατο καὶ Σωκράτης, οὐχ ὁ παῖς, οὐδ' ὁ νέος Σωκράτης, ἀλλ' ὁ μετὰ τὴν ἡλικίαν ἤδη δίαιταν ἔχων ἐν τῷ δεσμωτηρίῳ, ὁπηνίκα παίζειν ἥκιστα καιρὸς ἦν τηλικῷδε ὄντι, καὶ ἐν τοιούτοις οὔπω λέγω δεινοῖς * τί γὰρ ἂν καὶ δεινὸν Σωκράτει· ἀλλ' οὐδὲ μέντοι παίζειν ἀξίοις· ὁ δὲ τῷ θεῷ φησὶ πείθεσθαι, καὶ μὴ ἀπιστῶμεν. ᾠκειοῦτο γὰρ αὐτὸν τῇ κοινωνίᾳ τοῦ ἔργου. ἢ οὐ ποιητής ἐστιν ὁ

τὸ

65) γρ. πρὸς αὐτὸν m. Mor.

τὸ χρηστήριον ἔχων τὸ Πυθοῖ, καὶ νὴ Δία τὸ ἐν Βραγχίδαις. ἔτος μέντοι μετεποιήθη καὶ τῆς Ομήρε ποιήσεως αὐτῷ προσηκέσης·

Ἤειδον μὲν ἐγὼν, ὁ δ' ἀπέγραφε θεῖος Ὅμηρος.

λελήθασιν ἒν ὑπὸ σοφίας οἱ στασιῶται τῆς εὐγλωττίας ἔτοι, καὶ τὸν Ἀπόλλω δεύτερον ἄγοντες ἑαυτῶν, μετ' Ἀσπασίας τε καὶ Σωκράτες. ἡμεῖς δὲ ἐπὶ πάντας τὲς λόγες παρακαλῶμεν τὸν παῖδα καὶ συνευξώμεθα αὐτῷ, μὴ, πρὶν ἀμωσγέ πως ἐμφορηθῆναι ῥητορικῆς καὶ ποιήσεως, καὶ δύνασθαι νῦν τε ἔχειν[66]), καὶ δι' αὐτῶν ἀμύνειν αὐταῖς, ἐντυχεῖν ἀνδρὶ θράσος ἔχοντι, καὶ ἐπανισαμένῳ ταῖς Μέσαις. τί γὰρ ἂν καὶ χρήσαιτο τοῖς κτήμασι τοῖς πατρῴοις; τὲς μὲν γὰρ ἀγρὲς ἐλάττες ἐποίησα, καὶ συχνοί μοι τῶν οἰκετῶν ἰσοπολῖται γεγόνασι· χρυσίον δὲ ἔτε ἐν φαλάροις ἔχω γυναικῶν, ἔτε ἐν νομίσμασιν· ὅ, τι γὰρ καὶ ἦν, ἅπαν αὐτὸ ὥσπερ Περικλῆς εἰς τὸ δέον ἀνάλωσα· τὰ βιβλία δὲ πολλαπλάσια τῶν ἀπολειφθέντων ἀπέδειξα· τέτοις ἒν ἅπασι δέον σὲ δύνασθαι χρῆσθαι. εἰ δὲ ὅτι σοὶ μὴ διώρθωσα τὰ Δίωνος γράμματα, δι' ὃν καὶ προῆλθεν ἐπὶ τοσόνδε ὁ λόγος, διὰ τῦτο δυσχεραίνεις τὸν πατέρα, ἀλλ' ἐδὲ ἄλλο τί σοι διώρθωται τῶν τῆς ὁμοίας ἕξεως. Δίωνι γὰρ ἐκ ἀπολογίας πρὸς τῦτο δεήσει. πάλιν ἒν δεήσῃ ῥητορικῆς· ἀλλ' ἐγὼ νόμον ἐκ φιλοσοφίας παρέξομαι. Πυθαγόρας Μνησάρχε Σάμιος ἐπιγέγραπται τῷ νόμῳ, ὅστις ὁ νόμος ἐκ ἐᾷ τοῖς βιβλίοις ἐπιποιεῖν· ἀλλὰ βέλεται μένειν αὐτὰ ἐπὶ τῆς πρώτης χειρὸς, ὅπως ποτὲ ἔσχε τύχης ἢ τέχνης. ἔστι μὲν ἒν ἐν ταῖς ῥητορείαις ὁ νόμος τὸ ἀρρητόρευτον. ἐν γὰρ ταῖς ἀλόγοις ἠρίθμηται πίστεσιν, ὅ, τι μὴ παρὰ τὴν πειθὼ τε λέγοντος, ἀλλὰ παρὰ τὴν πολιτείαν ἰσχύει. καίτοι τινὲς ἀφ' ἡμῶν ἀξιέσιν ἀπὸ τε τοιέτε ῥήτορες εἶναι, γραμματεῖς ἀτεχνῶς ὄντες· οἱ δὲ, κἂν μάρτυρας ἀναβιβάσωνται,

66) τε δὴ ἔχ. m. Mor.

σωνται, τȢ πράγματος ἐπὶ τȢτοις ὄντος, παρ' ἑαυτȢς οἰήσονται πεπρᾶχθαι τὴν δίκην· Ȣ̔́τως εἰσὶ κομψοί τε καὶ νεανίαι. ἐπεὶ δὲ ἡμεῖς Ȣ̓κ ἐκ τῶν Ῥωμαϊκῶν ἀξόνων τὸν νόμον ἀνέγνωμεν, ἵνα καὶ ἀκόντων ἂν ἰσχύῃ. ἀλλ' ἀνδρός ἐστι φιλοσόφȢ καὶ παλαιȢ͂, πειθώ τινα δεῖ προσεῖναι, καὶ γενέσθαι νόμον τὸν λόγον. ἀλλ' ὅπως μὴ λάθωμεν αὖθις περὶ τῶν μικρῶν τι μεῖζον εἰπόντες, ὡς Ȣ̓κ οἶδ' ὅπως ἀπὸ τῶν φαυλοτάτων εἰς σεμνά ἄττα ἀποφερόμεθα. φυλαξόμεθα Ȣ̓͂ν ὅση δύναμις· εἰ δὲ πάντως δέοιτο, παραληψόμεθά τι τῶν εἰρημένων· κἂν τȢ͂το ἀρκῇ, τῷ παντὶ ἂν ἔχοι καλῶς, μηδὲν προσπεριεργάζεσθαι. ἐρεῖ τοίνυν ὁ Πυθαγόρας ἤ ὅστις ὁ ΠυθαγόρȢ θιασώτης τε καὶ συνήγορος, ἐπειδὴ νόμȢς ἐκεῖνος φθέγγεται, ἄριστον μὲν εἶναι φῦναι τὸν νȢ͂ν αὐτάρκη πρὸς ὁτιȢ͂ν ἐπιτήδευμα, τȢτ' ἔστιν ἤδη νȢ͂ν ἐνεργείᾳ τȢ͂το ὄντα ποιητικὸν ἢ ῥητορικὸν, εἰ μή γε καὶ πρὸς ἅπαν ἀκροφυέστατον· καὶ ἤδη τινὲς ἧκον ἐνθάδε τοιοίδε, μέγεθος ἔχοντες, ἢ πρὸς ἐπιστήμην οἰκείωσιν, οἷς μαθήσεως Ȣ̓κ ἐδέησεν, ἀλλ' αὐτοὶ τέχνης ἐγένοντο παραδείγματα· οἱ δὲ πολλοὶ τῆς μὲν εὐμοιρίας ταύτης Ȣ̓χ Ȣ̔́τως εἰλήχασιν· ἐνίοις δὲ αὐτῶν πολλȢ͂ γε καὶ δεῖ. δυνάμει δὲ ὄντες νοεῖν· καὶ οἱ μὲν ἧττον, οἱ δὲ μᾶλλον, ἀγχȢ͂ καὶ πόῤῥω τȢ͂ τέλȢς ὑπὸ τῶν ἐνεργείᾳ νῶν, τῶν ἀποτελεσμάτων τῆς ἐνεργείας αὐτῶν, εἰς τȢ͂το προάγονται. καὶ ἡ πᾶσα τῶν βιβλίων πραγματεία πρὸς ἓν τȢ͂το τείνει· ἐκκαλεῖται τὴν δύναμιν ἡμῶν εἰς ἐνέργειαν. ἀρχομένη μὲν Ȣ̓͂ν ἁπανταχȢ͂ δείσθω τῶν γραμμάτων προηγετȢ́ντων, καὶ πρὸς τὴν αἴσθησιν ἀπερειδέσθω· προϊȢ͂σα δὲ, ἀποπειράσθω τῆς ἰδίας ἰσχύος, καὶ μὴ πάντα ἐκκρεμαννύσθω τῶν συλλαβῶν. ὥσπερ γὰρ ἄλλο τι πρόβλημα ἀγαπᾶται, τὸ πόριμον ἡμῶν γυμναζȢ́σης τῆς ἀπορίας, Ȣ̔́τω καὶ τὸ ἐνδεὲς εἰς τὴν ἀκολȢθίαν τῆς ἀναγνώσεως ὁ νȢ͂ς προσυφαίνειν ἀναγκαζόμενος, καὶ μὴ πάντα ἐπὶ τοῖς ὀφθαλμοῖς κείμενος, μελέτην ποιεῖται καὶ κατὰ[67]) μόνας

67) γρ. τȢ͂ καὶ κατὰ m. Mor.

μόνας ἔργον τι θαῤῥῆσαι παραπλήσιον· ἅμα δὲ καὶ προσεθίζεται μὴ πρὸς ἄλλοις, ἀλλὰ ἐντὸς εἶναι. τὰ γὰρ διημαρτημένα ταῦτα βιβλία τὸν νοῦν ἐπιζητεῖν ἔοικεν ἐπιστατοῦντα ταῖς ὄψεσι. τοῦτο καὶ τοῖς κομιδῆ μειρακίοις ἐπέταττεν ἡ Πυθαγόρου διδαχὴ, ἅμα μὲν ἀποπειρωμένη τῆς φύσεως τῆς ἑκάστου, ἅμα δὲ καὶ πρὸς γύμνασμα αὐτὸ ἡγουμένη, παιδικώτερον ἔτι τῶν ἐπιπέδων ἐν γεωμετρίᾳ λημμάτων. οὐ γὰρ μέγα τὸ ἔργον στοιχεῖον, ἢ συλλαβὴν, ἔξω δὲ καὶ λέξιν, εἰ δὲ βούλει, καὶ μίαν ὅλην περίοδον λόγου ἁρμόσαντα, πάλιν ἑτοίμως χρῆσθαι τοῖς ἀπὸ τοῦ βιβλίου. πάνυ δὲ ὅμοιον τοῦτο τῷ συμβαίνοντι κατὰ τοὺς τῶν ἀετῶν νεοττοὺς, τοὺς ἀετιδεῖς οἱ πατέρες ἄρτι γενομένους ἐκπετησίμους, ἄραντες ὕψου μεθιᾶσιν, οἷον ἐπιτρέποντες αὐτοὺς τοῖς οἰκείοις πτεροῖς χρῆσθαι· κᾆτα αὖθις ἀναλαμβάνουσι περιλαμβάνοντες τῆς ἡλικίας αὐτῶν τὴν ἀσθένειαν, καὶ τοῦτο πολλάκις, ἕως ἂν τὴν πτῆσιν ἐκμελετήσωσιν. ἐγὼ τοίνυν πρὸς μὲν ἄλλον οὐδένα νεανιεύσομαι, πρὸς δὲ τάγε ἀληθῆ. πολλάκις οὐδὲ περιμένειν ἀξιῶ τοῦ βιβλίου τὴν συμφορὰν, ἵν᾽ 68) ἀγαθόν τι μοι γένηται, ἀλλ᾽ αὐτὸς ἀνέχω τοὺς ὀφθαλμοὺς, καὶ τῇ συγγραφῇ προγυμνάζομαι, μὴ δι᾽ ἀκαρῆ διαλιπὼν, ἀλλ᾽ ἐφιεὶς τῷ καιρῷ· καὶ εἴρων ὥσπερ ἑξῆς ἀναγινώσκων ἀπὸ τῆς διανοίας, ὅ, τι μοι δοκεῖ τὸ ἀκόλουθον εἶναι. κᾆτα ἐξετάζω πρὸς τὰ γεγραμμένα τὰ λελεγμένα, καὶ πολλάκις μὲν οἶδα τυχὼν τοῦ αὐτοῦ μὲν νοῦ, τῆς αὐτῆς δὲ καὶ λέξεως· ἤδη δὲ ποτε τοῦ μὲν ἐνθυμήματος εὔστοχος γέγονα, ὅ, τι δὲ καὶ παραλλάττοι τῆς λέξεως, ἀλλ᾽ ὅτι μάλιστα εἴκαστο πρὸς τὴν ἁρμονίαν τοῦ συγγράμματος. εἰ δὲ καὶ ὁ νοῦς ἕτερος, ἀλλὰ πρέπον γε ἐκείνῳ τἀνδρὶ τῷ τὸ βιβλίον ποιήσαντι, καὶ ὃν οὐκ ἀπηξίωσεν εἰ|ἐνεθυμήθη. ἤδη δὲ ποτε οἶδα περικαθημένων ἀνθρώπων, ἐτύγχανον μὲν τῶν εὐγενῶν καὶ στασίμων τὶ συγγραμμάτων ἔχων ἐν ταῖν

68) συγγραφὴν, ἵν᾽ m. Mor.

χερσὶν, δεομένων δὲ ἀναγινώσκειν εἰς κοινὴν ἀκοὴν, ἐποίουν οὕτως· εἰ δέ ποτε παρείκοι, προσεξεῦρον ἄν τι καὶ προσηρμήνευσα· οὐ μὰ τὸν λόγιον, οὐκ ἐπιτηδεύσας, ἀλλ' ἐπελθὸν οὕτως συνεχώρησα τῇ γνώμῃ τε καὶ τῇ γλώττῃ· καὶ δῆτα θόρυβος ἤρθη πολὺς, καὶ κρότος ἐῤῥάγη, τὸν ἄνδρα ἐπαινούντων ἐκεῖνον, ὅτου τὸ σύγγραμμα ἦν, ἐπ' αὐταῖς οὐχ ἥκιστα ταῖς προσθήκαις. οὕτω μοι τὴν ψυχὴν ὁ θεὸς ἁπαλὸν ἐκμαγεῖον ἐποίησε τῶν ἐν λέξεσί τε καὶ ἤθεσι χαρακτήρων· εἰ δὲ καὶ τῷ τοῖς ἀδιορθώτοις τῶν βιβλίων ἐγγεγυμνάσθαι τὴν προσοχὴν ἐπέτεινον, εἰς τοῦτο τὴν ἕξιν ἐπήγαγεν ἡ φύσις πειρωμένῳ, τοὺς ἐξηυλημένους τὰ ὦτα, παραπέμπει τις ἠχὼ καὶ πεπαυμένου τοῦ μέλους, καὶ μένουσι χρόνον ὑπόσυχνον τοῖς αὐλήμασι κατακώχιμοι· ἐγὼ δὲ θαμὰ καὶ τραγῳδίαις ἐπετραγῴδησα, καὶ κωμῳδίαις ἐπιστωμύλλομαι πρὸς τὸν πόνον ἑκάστου τοῦ γράψαντος. εἴποις ἂν ἠλικιώτην εἶναι, νῦν μὲν Κρατίνου καὶ Κράτητος, νῦν δὲ Διφίλου τε καὶ Φιλήμονος, καὶ οὐδ' ἔστιν ἰδέα φιλομετρίας τινὸς ἢ ποιήσεως, πρὸς ἥντινα οὐ διαίρομαι καὶ ἐπεξάγω τὴν πεῖραν· καὶ ὅλα συγγράμματα πρὸς ὅλα ποιῶν, καὶ τεμμαχίοις παραβαλλόμενος, παντοδαπῶν τε ὄντων τῶν λεκτικῶν χαρακτήρων καὶ πλεῖστον διαφερόντων, ἐν ἑκάστῃ τῶν μιμήσεων προσηχεῖν ἀνάγκη, καὶ τοὐμὸν ἴδιον· ὥσπερ ἡ ὑπάτη χορδὴ τὸν ῥυθμὸν αὐτὴ μένουσα παραβομβεῖ κινουμένῳ τῷ μέλει.

ΔΙΩΝΟΣ
ΤΟΥ
ΧΡΥΣΟΣΤΟΜΟΥ
ΛΟΓΟΙ.

ΛΟΓΟΣ ΠΡΩΤΟΣ
ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Φασί ποτε Ἀλεξάνδρῳ τῷ βασιλεῖ τὸν αὐλη-
5. τὴν Τιμόθεον, τὸ πρῶτον ἐπιδεικνύμενον αὐ-
10. λῆσαι κατὰ τὸν ἐκείνου τρόπον, μάλα ἐμπείρως καὶ
μουσικῶς [1]· οὐ μαλακὸν αὔλημα, οὐδὲ ἀναβεβλη-
μένον [2], οὐδὲ τῶν πρὸς ἄνεσιν καὶ ῥαθυμίαν ἀγόν-
των· ἀλλ' αὐτὸν οἶμαι τὸν ὄρθιον, τὸν τῆς Ἀθηνᾶς
15. ἐπικαλούμενον, νόμον. καὶ τὸν Ἀλέξανδρον εὐθὺς
ἀναπηδῆσαι πρὸς τὰ ὅπλα, τοῖς ἐν θεοῖς ὁμοίως.
οὕτω σφόδρα ἐπαρθῆναι αὐτὸν ὑπὸ τοῦ μέλους τῆς
μουσικῆς [3], καὶ τοῦ ῥυθμοῦ τῆς αὐλήσεως. τὸ δὲ τού-
20. του αἴτιον, οὐχ οὕτως ἡ τῆς μουσικῆς δύναμις, ὡς ἡ
τοῦ

1) μουσικῶς] eleganter, cum delectus exquisita elegantia, habita ratione et rei agendae, et coram quo, et quo tempore, ageretur; non temere, sed cum discretione, ut vulgo loquimur.

2) Veneta dat οὐδὲν ἀναβεβλ. f. voluit editor, aut dedit vel auctor ipse οὐδέ γ' ἀναβ.

3) Suspicabar aliquando ὑπὸ τοῦ ἐμμελοῦς τῆς μουσικῆς. *a serio et graui illius musices.* quod nunc in medio relinquam, quia ῥυθμοῦ insequens etiam hic nomen substantiuum, sibi respondens, postulare potest videri.

τοῦ βασιλέως διάνοια σύντονος οὖσα καὶ θυμοειδής. ἐπεὶ Σαρδανάπαλον οὐκ ἄν ποτε ἤγειρεν ἐκ τοῦ θαλάμου καὶ παρὰ τῶν γυναικῶν, οὐχ ὅπως Τιμόθεος, ἢ ἄλλος τις τῶν νεωτέρων, ἀλλ᾽ οὐδὲ Μαρσύας αὐτὸς ἢ Ὄλυμπος. δοκεῖ δὲ ἔμοιγε, μηδὲ τῆς Ἀθηνᾶς, εἰ δυνατὸν ἐρεῖν 4), διεξιούσης τὸν αὐτὸν 5) νόμον, ἅψασθαί ποτε ὅπλων ἐκεῖνος· πολὺ δ᾽ ἂν πρότερον ὀρχήσασθαι ἀναστὰς, ἢ φυγεῖν· οὕτως ἀθλίως εἶχεν ὑπ᾽ ἐξουσίας καὶ τρυφῆς. οὐκοῦν καὶ ἡμᾶς εἰκός ἐστι, μὴ χείρους ἀνδρὸς αὐλητοῦ γενέσθαι, περὶ τὸ ἡμέτερον ἔργον 6), μηδὲ ἧττον ἀνδρείους καὶ μεγαλόφρονας εὑρεῖν λόγους, τῶν ἐκείνου κρουμάτων. ἔτι δὲ, μὴ ἕνα τρόπον ἡρμοσμένους, ἀλλὰ τοὺς αὐτοὺς σφοδροὺς 6b) τε καὶ πρᾴους, καὶ πολεμικοὺς ἅμα καὶ εἰρηνικοὺς 7), καὶ νομίμους 7b), καὶ τῷ ὄντι βασιλικοὺς, ἅτε, οἶμαι, πρὸς ἀνδρεῖον βουλόμενον εἶ-

ναι

4) ἐρεῖν abeſt a Veneta, et poteſt commode abeſſe.

5) αὐτῆς, lectionem marg. Mor. haud repudiem.

6) ἔργον] Sophiſtae (ſic tum appellabantur qui philoſophiae ſtuderent, eamque aliis, ſeu in ſcholis priuatis, ſeu in concionibus in publico habitis, traderent) erat, vt rectam viuendi rationem graui et exquiſita oratione docerent.

6b) φαιδροὺς margo Mor.

7) ἠρεμικοὺς m. M.

7b) νομίμους tametſi defendi poteſt, haud ſatis placet. Poteſt vtique accipi, pro iis orationibus, quibus adducantur audientes legenteſue ad obſequendum legibus; quemadmodum *εἰρηνικοὶ λόγοι* ſunt orationes pacem et concordiam conciliantes, et *βασιλικοὶ* docentes artem bene regnandi, vel et pro iis, quae ſint eiuſmodi, quales eſſe oporteat, loco et tempori conuenientes. Malim tamen *γονίμους fructuoſas*, in ſe tenentes ſemina quaſi honeſtarum ſententiarum et praeclararum animi commotionum atque actionum. Hoc obſtat vnum, quod inſequens *νόμιμον βασιλέα* videatur etiam hic *νομίμους λόγους* poſtulare; nam alias *ἀντίθεσις* labat.

ναι[8]) καὶ νόμιμον ἡγεμόνα, πολλοῦ μὲν δεόμενον θάρσους, πολλῆς δὲ καὶ ἐπιεικείας. ὁ γοῦν Τιμόθεος, εἰ, καθάπερ πολεμικόν τινα διελθεῖν ᾔδει νόμον, οὕτως ἠπίστατο δίκαιον αὔλημα, καὶ φρόνιμον, καὶ σώφρονα[9]) τὴν ψυχὴν, καὶ φιλάνθρωπον δυνάμενον παρασχεῖν, μὴ πρὸς ὅπλα ὁρμῶσαν μόνον, ἀλλὰ ἐπί[10]) τε εἰρήνην καὶ ὁμόνοιαν, καὶ θεῶν τιμὰς, καὶ ἀνθρώπων ἐπιμέλειαν, τοῦ παντὸς ἂν ἦν ἄξιον Ἀλεξάνδρῳ παρεῖναί[11]) τε καὶ ἐπαυλεῖν, οὐ θύοντι μόνον, ἀλλὰ καὶ ἄλλως, ὁπότε ἢ πενθῶν ἀκρίτως τύχοι παρὰ τὴν ἀξίαν καὶ τὸ πρέπον, ἢ κολάζων πικρότερον τοῦ νομίμου καὶ ἐπιεικοῦς, ἢ χαλεπαίνων τοῖς αὐτοῦ φίλοις τε καὶ ἑταίροις, ἢ ὑπερορῶν τοὺς θνητούς τε καὶ ἀληθεῖς γονέας. ἀλλὰ γὰρ οὐ πᾶσαν ἴασιν, οὐδὲ ὠφέλειαν ὁλόκληρον ἠθῶν, ἱκανὴ παρασχεῖν, ἡ μουσικῆς ἐπιστήμη τε καὶ ἕξις. οὐ γὰρ οὖν, ὥς φησιν ὁ ποιητὴς,

Οὐδ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεός.

μόνος δὲ ὁ τῶν φρονίμων τε καὶ σοφῶν λόγος· οἷοι γεγόνασιν οἱ πολλοὶ[12]) τῶν προγόνων· ἀνενδεὴς καὶ τέλειος

8) volebam aliquando βουλομένους ἰέναι *orationes proficisci volentes ad principem.* Verum vulgata non minus bonam praestat sententiam, *ad principem euntes, qui vult studetque fortis et legibus seruiens esse.*

9) f. οὕτως ἠπίστατο δὴ καὶ αὔλημα, δικαίαν καὶ σώφρονα.

10) ἐπὶ] potest ferri, tametsi miror, cur discesserit a coepta oratione sine causa, et a πρὸς ad ἐπὶ deciderit; tolle ἐπί τε, et nil orationi deerit: quare fere suspicor in hoc ἐπί τε aliud quid latere; nescio an ἐπιτηδεύουσαν, *mentem studentem paci*, aut si ἐπί τε seruamus, suspicor post εἰρήνην deesse φερομένην vel tale quid.

11) παρεῖναί τε] subaudi αὐτόν. *quantiuis facere par erat Alexandrum, vt sibi adesset Timotheus.*

12) οἷοι et πολλοὶ] scil. λόγοι. Ad προγόνων pertinere videtur πρότερον, quod est in V. L. Venetae. Varietatem lectionis Venetae appello collectionem, ἀμέσως illam quidem

τέλειος ἡγεμὼν, καὶ βοηθὸς εὐπειθοῦς καὶ ἀγαθῆς φύσεως, πρὸς πᾶσαν ἀρετὴν παραμυθούμενός τε καὶ ἄγων ἐπιμελῶς. τίς ἂν οὖν πρέπουσα καὶ ἀξία φανείη διατριβὴ τῆς σῆς προθυμίας; πόθεν ἂν εὕροιμεν ἡμεῖς τέλειον οὕτω λόγον, ἄνδρες ἀλῆται[13]), καὶ αὐτουργοὶ τῆς σοφίας, πόνοις τε καὶ ἔργοις ὡς[14]) δυνάμεθα χαίροντες τὰ πολλά· τοὺς δὲ αὖ λόγους, παρακλήσεως ἕνεκεν φθεγγόμενοι πρὸς αὐτούς,

dem congestam, vt reperiri paene nil possit, quae est in fine Venetae. Collectionem hanc, quam in meo opusculo Dioneo paene nunquam inspexeram, nunc haud paulo diligentius inspiciam; haud enim vsu carebit.

13) Bonum est et seruari debet ἀλῆται (vt etiam vult Casaubonus,) nam, tametsi etiam non malam reddat sententiam, neque ab elegantia graeca abhorreat ἀθληταὶ, in quod etiam ante me dudum incidisse Henricum Stephanum, nuper admodum a Federico Morello accepi, qui libro Dionis vsus est, cuius margini Stephanus quaedam allevisset, repugnat tamen auctoris proposito hoc quidem loco, quo is extenuare suas laudes vult, et se ostendere hominem paene contemnendum. ἀθλητὴς σοφίας est laus, est commendatio quaedam. Dio vero non iactare se, sed premere et minuere atque obscurare vult sua ornamenta, quare ipse se ἀλήτην extorrem, erronem, vagabundum appellat, et αὐτουργὸν τῆς σοφίας, qui sapientiam ipse sibi suo marte parat, doctrina nulla vsus aliena, eam exercet ipse corpore suo, adminiculo ministrorum in ea exercenda carens. De reliquo dictio ἀθλητὴς σοφίας pro studioso, laborioso cultore sapientiae, multas et magnas in eius exercitio molestias fortiter atque constanter tolerante, est valde bona, et exquisita, ad illam facta Demosthenicam ἀθληταὶ τῶν καλῶν ἔργων καὶ πάσης ἀρετῆς p. 799. 16. vbi Taylor citat P. Victorii Var. Lect. 24. 9. Sic Aristides II. 406. 10. ἀγωνιστὴς πολέμων. v. Diodor. Sic. II. 551. 40. Philostrat. 685, 28. 748, 19. ipse Noster infra ἀθλητὰς τε καὶ ἀγωνιστὰς τῶν καλῶν ἔργων ἡγεῖτο — γρ. αὐληταὶ m. Mor.

14) ὡς] malim οἷς — id est οὓς πόνους πονεῖν καὶ ἃ ἔργα ἐργάζεσθαι δυνάμεθα.

αὐτοὺς, καὶ τῶν ἄλλων ἀεὶ τὸν ἐντυγχάνοντα[15])· ὥσπερ οἱ κινοῦντες καὶ μεταφέροντες οὐκ εὔφορον βάρος, φθέγγονταί τε καὶ ᾄδουσιν ἡσυχῇ τὸ ἔργον παραμυθούμενοι, ἐργάται ὄντες, οὐκ ᾠδοί τινες, οὐδὲ ποιηταὶ μελῶν; πολλοὶ μὲν οὖν κατὰ φιλοσοφίαν λόγοι, καὶ πάντες ἀκοῆς ἄξιοι, καὶ θαυμαστὴν ὠφέλειαν ἔχοντες, τοῖς μὴ παρέργως ἀκροωμένοις· ἀλλὰ δεῖ τὸν ἐγγύς τε καὶ μάλιστα ἑψόμενον[16]) ἀνευρόντας, καὶ παρακαλέσαντας Πειθώ τε καὶ Μούσας καὶ Ἀπόλλωνα, ὡς δυνατὸν προθύμως διελθεῖν. φέρε εἴπωμεν τά τε ἤθη καὶ τὴν διάθεσιν τοῦ χρηστοῦ βασιλέως, ἐν βραχεῖ περιλαμβάνοντες ὡς ἔνεστιν[17]),

—— ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
Σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσιν ἐμβασιλεύῃ[18]).

πάνυ γὰρ οὖν καλῶς σὺν ἄλλοις πλείοσιν Ὅμηρος, ἐμοὶ δοκεῖν, καὶ τοῦτο ἔφη, ὡς οὐχ ἅπαντας παρὰ τοῦ Διὸς ἔχοντας τὸ σκῆπτρον, οὐδὲ τὴν ἀρχὴν ταύτην, ἀλλὰ μόνους τοὺς ἀγαθούς· οὐδὲ πολλοῖς τισι δικαίοις, ἢ τῷ βασιλεύεσθαι[19]) καὶ φροντίζειν

ὑπὲρ

15) ἀεὶ τὸν ἐντυγχάνοντα] sic recte est in marg. Mor. annotatum, *et si qui alii nobiscum congrediuntur, prout suum quemque tempus identidem et oportunitas nobiscum conciliat et ad nos affert*, modo hunc hoc tempore, modo alium alio. τῶν ἐντυγχανόντων text. Mor. et Veneta.

16) ἑψόμενον] imo vero ἁψόμενον. redit enim ad λόγον. eam orationem, quae audientis animum vel maxime attingat, feriat, pertrectet et percellat.

17) ὡς ἔνεστιν] lego ὅσ' (aut ὅσα) ἔνεστιν. breui oratione complectentes ea omnia, quae insunt illi, cui Iupiter sceptrum dedit. eodem ducit ὅσον, quod est in V. L. Venetae.

18) Veneta ἵνα σφίσι βουλεύῃσι.

19) βασιλεύεσθαι] adscripserat vir doctus, nescio quis, Veneto codici, quo vtor, βουλεύεσθαι· recte vero. idem adscripserat hanc interpretationem: *neque alio iure, quam vt consulat.* plane vt Naogeorgus; et facile fiat, vt hic

vir

ὑπὲρ τῶν ἀρχομένων. οὐχ ὥστε ἀκολασταίνειν καὶ σπαθᾷν, ἀνοίας καὶ ὕβρεως καὶ ὑπερηφανίας, καὶ πάσης ἀνομίας ἐμπιμπλάμενόν [20]) τε, καὶ ἀποπιμπλάντα ἐξ ἅπαντος αὐτοῦ τὴν ψυχὴν τεταραγμένην ὀργαῖς τε καὶ λύπαις καὶ φόβοις καὶ ἡδοναῖς, καὶ παντοίαις ἐπιθυμίαις· ἀλλ' ὡς οἷόν τε, προσέχοντα τὸν νοῦν αὐτῷ τε καὶ τοῖς ὑπηκόοις, νομέα καὶ ποιμένα τῷ ὄντι τῶν λαῶν γιγνόμενον, οὐχ ἑστιάτορα καὶ δαιτυμόνα, ὡς ἔφη τις, οἷον οὐδὲ καθεύδειν αὐτὸν ἀξιοῖ [21]) δι' ὅλης τῆς νυκτὸς, ὡς οὐκ οὔσης αὐτῷ σχολῆς ῥαθυμεῖν. ταῦτα γάρ φησι καὶ Ὅμηρος ὁμοίως τοῖς ἄλλοις σοφοῖς τε καὶ ἀληθέσιν ἀνδράσιν, ὡς οὐδείς ποτε πονηρὸς καὶ ἀκόλαστος καὶ φιλοχρήματος, οὔτε αὐτὸς ἑαυτοῦ γενέσθαι δυνατὸς ἄρχων, οὐδ' ἐγκρατής· οὔτε τῶν ἄλλων οὐδενὸς, οὐδ' ἔσται ποτὲ ἐκεῖνος βασιλεὺς, οὐδ' ἂν πάντες φῶσιν Ἕλληνες καὶ Βάρβαροι, καὶ ἄνδρες καὶ γυναῖκες [22]). καὶ μὴ μόνον ἄνθρωποι θαυμάζουσιν [23])

αὐτὸν

vir doctus, cuius me nomen fugit, idem ſit cum Naogeorgo. malim tamen *neque alia lege*, ſeu *conditione*. quicquid eſt, paret illum, vel illos exiſtimaſſe, legendum eſſe, quod vtique eſt, οὐδ' ἐπ' ἄλλοις τισὶ δικαίοις. τὰ δίκαια ſunt pacta conuenta, leges, in quas conſentiunt, et quas ipſi ſibi mutuo conſenſu ſcribunt, qui ſecum paciſcuntur. v. ind. Demoſthen.

20) ἐμπιμπλάμενον] Subaudi τινα αὐτῶν.

21) aut αὐτὸς ἀξιοῖ *ipſe* (Homerus puta) *vult* vel poſtulat, vel αὐτὸν ἀξιοῦν. prius ſi malumus, erit οἷον *qualem*; ſin poſterius, erit οἷον *valentem*. qui a ſemet ipſe hoc exigat, vt totas per noctes ne dormiat.

22) ἄνδρες καὶ γυναῖκες] Veneta dat ἄνδρες δὲ γυν. compone ambas lectiones et veram habebis: ἄνδρες δὲ καὶ γυναῖκες.

23) θαυμάζουσιν — ὑπακούουσιν et συγχωρεῖ — ποιεῖ] aut mutandi ſunt hi quatuor indicatiui, id quod malim, coniunctiuis, θαυμάζωσιν, ὑπακούωσιν, συγχωρῇ et ποιῇ, aut φῶσιν paulo ante mutandum eſt cum φασίν.

αὐτὸν καὶ ὑπακούουσιν, ἀλλ' οἵ τε ὄρνιθες πετόμενοι[24]), καὶ τὰ θηρία[25]) ἐν τοῖς ὄρεσι, μηδὲν ἧττον τῶν ἀνθρώπων, συγχωρεῖ τε καὶ ποιεῖ τὸ προσταττόμενον. οὐκοῦν λέγωμεν, ὑπὲρ τοῦ καθ' Ὅμηρόν τε καὶ τῇ ἀληθείᾳ βασιλέως. οὗτος γὰρ ὁ λόγος ἁπλῶς λεγόμενος ἄνευ πάσης κολακείας ἢ λοιδορίας, αὐτὸς ἀφ' αὑτοῦ, τὸν μὲν ὅμοιον τῷ ἀγαθῷ γνωρίζει τε καὶ ἐπαινεῖ, καθόσον ἐστὶν ἐκείνῳ ὅμοιος· τὸν δὲ ἀνόμοιον ἐξελέγχει τε καὶ ὀνειδίζει. ἔστι δὴ, πρῶτον μὲν θεῶν ἐπιμελὴς, καὶ τὸ δαιμόνιον προτιμῶν. οὐ γὰρ δυνατὸν ἄλλῳ τινὶ πεποιθέναι μᾶλλον τὸν δίκαιον ἄνδρα καὶ ἀγαθὸν, ἢ τοῖς δικαιοτάτοις τε καὶ ἀρίστοις θεοῖς. ὅστις δὲ κακὸς ὢν ἡγεῖταί ποτε θεοὺς ἀρέσκειν, κατ' αὐτὸ τοῦτο πρῶτον, οὐχ ὅσιός ἐστιν[26]). ἢ γὰρ ἀνόητον, ἢ πονηρὸν νενόμικε τὸ θεῖον. μετὰ δὲ τοὺς θεοὺς, ἀνθρώπων ἐπιμελεῖται· τιμῶν μὲν καὶ ἀγαπῶν τοὺς ἀγαθοὺς, κηδόμενος δὲ πάντων. τίς μὲν γὰρ ἀγέλης βοῶν κήδεται μᾶλλον τοῦ νέμοντος; τίς δὲ ποιμνίοις ὠφελιμώτερός τε καὶ ἀμείνων ποιμένος; τίς δὲ μᾶλλον φίλιππος τοῦ πλείστων μὲν ἄρχοντος ἵππων, πλεῖστα

24) *πετόμενοι*] tametſi libere per auras volant. Huc referendum videtur eſſe Scholium ad imam oram p. 3. ed. Mor. adſcriptum: ὁποῖον ἱστορεῖται περὶ τῶν Λιβύων βασιλέως Ἀψεφᾶ διὰ τῶν ψιττακῶν μεμηχανῆσθαι ἱπταμένων, καὶ κελαδούντων· Ἀψεφᾶς θεός ἐστιν.

25) τὰ θηρία ἐν τοῖς ὄρεσι] tametſi iuris ſui ſunt, libereque per montes et ſaltus inacceſſos vagantur.

26) κατ' αὐτὸ -- ὅσιός ἐστιν] *propter hoc ipſum primum, eſt impius.* h. e. prima et praecipua cauſa, cur impius habeatur, eſt hoc, quod exiſtimet, deos ſe, cum ſit improbus et impurus, tamen probaturos eſſe. quod ſi autem πρῶτον non pro adiectiuo, ſed pro aduerbio, *primo loco*, habeamus, deerit aliquid. *propter hoc ipſum erit, primum impius, deinde* — ἔπειτα καὶ ἠλίθιος, *deinde vero etiam ſtultus*, vel ſimile quid.

στα δὲ ἀφ' ἵππων ὠφελουμένου; τίνα δὲ εἰκὸς οὕτως εἶναι φιλάνθρωπον, ἢ ὅστις 27) πλείστων μὲν ἀνθρώπων ἐγκρατής ἐστι, μάλιστα δὲ ὑπὸ ἀνθρώπων θαυμάζεται; δεινὸν γάρ, εἰ οἱ ἀλλοφύλων καὶ ἀγρίων ἄρχοντες θηρίων, εὐνούστεροί εἰσι τοῖς ἀρχομένοις, τοῦ βασιλεύοντος ἀνθρώπων ἡμέρων καὶ ὁμοφύλων. καὶ μέντοι καὶ φιλοῦσι, καὶ ἀνέχονται μάλιστα πάντων ἀγέλαι μὲν νομέων 28), ἵπποι δὲ ἡνιόχων· κυνηγέται δὲ ὑπὸ κυνῶν φυλάσσονται καὶ ἀγαπῶνται, καὶ τὰ ἄλλα οὕτως 29) ἀγαπᾷ τὰ ἀρχόμενα τοὺς ἄρχοντας. πῶς οὖν εἰκός, τὰ μὲν ἄφρονα καὶ ἀγνώμονα εἰδέναι καὶ φιλεῖν τοὺς ἐπιμελουμένους· τὸ δὲ πάντων συνετώτατον, καὶ μάλιστα ἀποδοῦναι χάριν ἐπιστάμενον, ἀγνοεῖν καὶ ἐπιβουλεύειν; ἀλλὰ γὰρ ἀνάγκη, τὸν ἥμερον καὶ φιλάνθρωπον βασιλέα, μὴ μόνον φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἀλλὰ καὶ ἐρᾶσθαι· ταῦτ' οὖν εἰδώς, καὶ φύσει τοιοῦτος ὤν, ἵλεων καὶ πρᾶον παρέχει τὴν ψυχὴν πᾶσιν, ἅτε πάντας ἡγούμενος εὔνους καὶ φίλους. καὶ μὲν δὴ οἴεται δεῖν πλεῖον 30) ἔχειν διὰ τὴν ἀρχήν, οὐ τῶν χρημάτων, οὐδὲ τῶν ἡδονῶν, ἀλλὰ τῆς ἐπιμελείας καὶ τῶν φροντίδων. ὥστε καὶ φιλόπονος μᾶλλόν ἐστιν, ἢ πολλοὶ τῶν ἄλλων φιλήδονοι καὶ φιλοχρήματοι. ἐπίσταται γάρ, ὅτι αἱ μὲν ἡδοναί, τοὺς ἀεὶ συνόντας 31), τά τε ἄλλα λυμαίνονται, καὶ ταχὺ ποιοῦσιν ἀδυνάτους πρὸς αὐτάς· οἱ δὲ πόνοι τά τε 32) ἄλλα ὠφελοῦντες, ἀεὶ μᾶλλον παρέχουσι δυναμένους πονεῖν 33). οὐκοῦν

μόνῳ

27) οὕτως εἶναι φιλάνθρωπον, ἢ ὅστις] apparet aut pro οὕτως subiiciendum esse μᾶλλον, aut pro ἢ, ὡς.

28) νομεῖς et ἡνιόχους margo Mor.

29) f. καὶ τὰ ἄλλα δὲ οὕτως.

30) πλεῖον] V. L. Ven. πλέον.

31) συνόντας] subaudi αὐταῖς.

32) aut τε est delendum, aut leg. est ὠφελοῦσι καὶ ἀεί.

33) post πονεῖν videtur aliquid deesse; nam cum Dio paullo

ante

μόνῳ ἔξεστιν αὐτῷ, τοὺς μὲν στρατιώτας, συστρατιώτας προσειπεῖν, τοὺς συνήθεις, φίλους, μὴ δὲ καταγελῶντα [34]) τοῦ ὀνόματος τῆς φιλίας· πατέρα δὲ τῶν πολιτῶν καὶ τῶν ἀρχομένων οὐ λόγῳ κεκλῆσθαι μόνον, ἀλλὰ τοῖς ἔργοις [35]) τοῦτο ἐπιδείκνυσθαι· δεσπότην δὲ, οὐχ ὅπως τῶν ἐλευθέρων, ἀλλὰ μηδὲ τῶν δούλων χαίρειν καλούμενον. βασιλεύειν γὰρ οὐχ αὑτοῦ χάριν οἴεται μᾶλλον ἑνὸς ὄντος, ἢ τῶν ἀνθρώπων ἁπάντων. καὶ τοίνυν εὐεργετῶν ἥδεται πλείω τῶν εὐεργετουμένων, καὶ μόνης ταύτης τῆς ἡδονῆς ἐστιν ἀκόρεστος. τὰ μὲν γὰρ ἄλλα τῆς βασιλείας ἀναγκαῖα νενόμικε· τὸ δὲ τῆς εὐεργεσίας, μόνον ἑκούσιόν τε καὶ εὔδαιμον. καὶ τῶν μὲν ἀγαθῶν ἀφειδέστατός ἐστι, ὡς οὐδέποτε ἐπιλειψόντων· κακοῦ δὲ ἧττον αἴτιος γίνεσθαι πέφυκεν, ἤπερ ὁ ἥλιος τοῦ σκότους. ὃν οἱ μὲν ἰδόντες καὶ συγγενόμενοι οὐκ ἐθέλουσιν ἀπολιπεῖν· οἱ δὲ ἀκούοντες ἐπιθυμοῦσιν ἰδεῖν, μᾶλλον ἢ παῖδες ἀγνοουμένους πατέρας ἀνευρεῖν. τοῦτον οἱ μὲν πολέμιοι δεδοίκασι, καὶ οὐδεὶς ὁμολογεῖ πολέμιος εἶναι, οἱ δὲ φίλοι θαῤῥοῦσι· καὶ οἱ σφόδρα ἐγγὺς, ἡγοῦνται πάντες [36]) ἐν τῷ ἀσφαλεστάτῳ εἶναι. οὗ τἀναντία ὑπάρχει τῷ κακῷ· τοὺς μὲν ἐχθροὺς θαῤῥύνειν· τοὺς δὲ φίλους καὶ τοὺς ἐγγὺς ἐκπλήττειν καὶ φοβεῖν. τῷ γε μὴν ἡμέρῳ καὶ ἀβλαβεῖ τοὺς μὲν προσλιπαροῦντας, μετὰ τοῦ πεποιθότος περιγίνεται βιοῦν· τοὺς δὲ προσιόν-

ante deditos voluptatibus cum auaris copulasset, consentaneum erat, et exspectabat lector quisque, vt, posteaquam de damnis vitae libidinosae exposuisset, incommoda quoque cupiditatis seu auaritiae exsequeretur.

34) τοὺς δὲ συνήθεις, φίλους, μὴ (quod est in Veneta, aut μηδὲν) καταγελῶντα.

35) ἀλλὰ καὶ τοῖς ἔργοις.

36) πάντες] malim πάντων. *in loco esse omnium tutissimo*, vt nulli sint alii in tutiore.

τας καὶ ὁρῶντας, οὐκ ἔκπληξις οὐδὲ φόβος, ἀλλ᾽ αἰδὼς ὕπεισι, πολὺ κρεῖττον καὶ ἰσχυρότερον φόβου. τοὺς μὲν γὰρ φοβουμένους ἀνάγκη μισεῖν καὶ ἀποδιδρᾶναι θέλειν[37]· τοὺς δὲ αἰδουμένους παραμένειν καὶ θαυμάζειν. τὴν μὲν οὖν ἁπλότητα καὶ τὴν ἀλήθειαν, ἡγεῖται βασιλικὸν καὶ φρόνιμον· τὴν δὲ πανουργίαν καὶ τὴν ἀπάτην, ἀνόητον καὶ δουλοπρεπὲς, ὁρῶν, ὅτι καὶ τῶν θηρίων τὰ δειλότατα, καὶ ἀγεννέστατα ἐκεῖνα[38] καὶ ψεύδεται πάντων μάλιστα καὶ ἐξαπατᾷ. φιλότιμος δὲ ὢν τὴν φύσιν, καὶ εἰδὼς[39], ὅτι τοὺς ἀγαθοὺς πεφύκασιν οἱ ἄνθρωποι τιμᾶν· ἧττον ἐλπίζει τιμᾶσθαι ἂν ὑπὸ ἀκόντων, ἢ παρὰ μισούντων φιλίας τυγχάνειν. καὶ πολεμικὸς μὲν οὕτως ἐστὶν, ὥστε ἐπ᾽ αὐτῷ εἶναι τὸ πολεμεῖν[40]. εἰρηνικὸς δὲ οὕτως[40b], ὡς μηδὲν ἀξιόμαχον αὐτῷ λείπεσθαι.

37) ἀποδιδρᾶναι θέλειν] ſic dedi, et pro prima voce V. L. Venetae etiam dat ἀποδιδρᾶναι. Ven. et Mor. dant ἀποδιδρᾶν ἐθέλειν. natum vitium e permutatione τοῦ αι cum ε, quae in codd. occurrit creberrima.

38) ἐκεῖνα mouet ſuſpicionem defectus, e. c. οἷον ἀλώπεκες vel tale quid; niſi eſt Latiniſmus. *timidiſſima illa et ignauiſſima animalia*, vbi ſubauditur, quae nemo ignorat quae ſint, aut redundat, vt ſaepe οὗτος vel ταῦτα per abundantiam ſubiiciuntur.

39) καὶ εἰδὼς abeſt a Veneta, ſed perperam.

40) τὸ πολεμεῖν] Interpretem h. l. a ſententia longe aberraſſe ait Caſaubonus, quod ipſe paſſus eſt. recte enim vero interpres pro τῷ ed. Mor. interpretando reddidit τὸ, quod etiam vir doctus Venetae meae adſcripſerat. Hactenus quidem recte Naogeorgus. Sed caput rei haud vidit. nam permutandae ſunt ſedes harum duarum vocum πολεμικὸς et εἰρηνικὸς, et hoc in illius locum, illud autem in huius locum eſt immittendum, vt haec ſit ſententia: *hactenus ſtudet paci, vt penes eum ſit* τὸ πολεμεῖν *ſumendi belli arbitrium, hactenus autem bello dat operam, vt nullum ſibi relinquat hoſtem, unde metus ſit.*

40b) ὄντως m. Mor.

πεσθαι. καὶ γὰρ δὴ καὶ τόδε οἶδεν, ὅτι τοῖς κάλλιστα πολεμεῖν παρεσκευασμένοις, τούτοις μάλιστα ἔξεστιν εἰρήνην ἄγειν. Φιλέταιρος δὲ καὶ Φιλοπολίτης, καὶ Φιλοστρατιώτης, ὁμοίως πέφυκεν. ὅστις μὲν γὰρ ὑπερόπτης τῶν στρατευομένων, καὶ οὐδεπώποτε ἢ σπανίως ἑώρακε τοὺς ὑπὲρ τῆς ἀρχῆς κινδυνεύοντας καὶ πονοῦντας· τὸν δὲ ἀνόητον [41]) καὶ ἄνοπλον ὄχλον διατελεῖ θωπεύων [41b]), ὅμοιόν γε πέπονθε, καθάπερ εἰ ποιμὴν τοὺς μὲν [42]) συμφυλάττοντας αὐτῷ ἀγνοοίη, καὶ μήτε τροφὴν αὐτοῖς ὀρέγοι, μήτε [43]) συναγρυπνήσειέ ποτε φυλάττουσιν. οὗτος γὰρ οὐ τὰ θηρία μόνον, ἀλλὰ καὶ τοὺς κύνας ἀναπείθει, μὴ ἀπέχεσθαι τῆς ποίμνης. ὅστις δὲ τοὺς μὲν στρατιώτας διαθρύπτει, μήτε γυμνάζων, μήτε πονεῖν παρακελευόμενος, τῶν δὲ ἄλλων ἀνθρώπων ἠμέλησεν, ὅμοιός ἐστι κυβερνήτῃ τοὺς μὲν ναύτας διαφθείροντι, πλησμονῇ τε καὶ ὕπνῳ δι' ἡμέρας, τῶν δὲ ἐπιβατῶν καὶ τῆς νηὸς ἀπολλυμένης οὐδὲν φροντίζοντι. εἰ δέ τις πρὸς μὲν ταῦτα ἔχει μετρίως, τοὺς δὲ πλησίον αὐτῷ καὶ φίλους καλουμένους ἀναγκάζει [44]) τε καὶ μὴ σκοπεῖ τοῦτο, ὅπως δόξωσι μα-

41) ἀνόητον] nunquam non laborauit popellus ignominia vecordiae. Sed huic loco, quo popellus inermis militiaeque muniis exſolutus, opponitur militibus pro patria labores tolerantibus et diſcrimina adeuntibus, melius videtur conuenire ἀνόνητον, *inutilem*. verum eſt popellum eſſe inutilem, et oneroſum adeo reip. ſi non ſeueriſſimo ſenſu, ſed paullo mitius accipiatur.

41b) θεραπεύων m. Mor.

42) aut delendum eſt μὲν, aut deeſt aliquid ſententiae, ad hunc fere modum: τοῖς δὲ λῃσταῖς συνδιαιτῷτο.

43) μήτε] ſic recte emendat Caſaubonus. μήτ' εἰ Ven. et Mor.

44) recte vidit Caſaub. ἀναγκάζει in indicatiuo eſſe ſcrib. (quod idem vir doctus quoque in Veneto meo annotauit) tum deeſſe aliquid, varia ipſe comminiſcens. ego ſuſpicor πεινῆν deeſſe. *cogat eſurire.* ἀναγκάζοι Mor. et Ven.

κάριοι καὶ ζηλωτοὶ πᾶσι, λανθάνει προδότης αὐτοῦ καὶ τῆς ἀρχῆς γενόμενος· τοὺς μὲν ὄντας φίλους ἀθύμους ποιῶν, τῶν δὲ ἄλλων μηδένα ἐπιθυμεῖν τῆς αὐτοῦ φιλίας· ἀποστερῶν δὲ αὐτὸν τοῦ καλλίστου καὶ ὠφελιμωτάτου κτήματος φιλίας. τίς μὲν γὰρ ἀοκνότερος πονεῖν, ὅταν τοιούτου[45]) καιρὸς ᾖ, φίλου; τίς δὲ δυσχεραίνειν ἑτοιμότερος ἐν ταῖς ἀτυχίαις[46]); ὁ παρὰ τίνος δὲ ἔπαινος ἡδίων, ἢ τῶν φίλων; παρὰ τίνος δὲ τἀληθὲς ἀλυπότερον; τίς δὲ φρουρὰ[47]); ποῖα δὲ ἐρύματα; [ὁποίων[48])] ποῖα δὲ ὅπλα βεβαιότερα καὶ κρείττω τῆς ἀπὸ τῶν εὐνοούντων φυλακῆς; ὁπόσους γὰρ ἄν τις ᾖ κεκτημένος ἑταίρους, τοσούτοις μὲν ὀφθαλμοῖς, ἃ βούλεται, ὁρᾷ, τοσαύταις δὲ ἀκοαῖς, ἃ δεῖ, ἀκούει, τοσαύταις δὲ διανοίαις διανοεῖται περὶ τῶν συμφερόντων. διαφέρει γὰρ οὐδὲν, ἢ εἴ τῳ θεὸς ἐν σῶμα ἔχοντι πολλὰς ψυχὰς ἔδωκεν, ἁπάσας ὑπὲρ ἐκείνου προνοουμένας. ἵνα δὲ τὰ πολλὰ ἀφεὶς εἴπω τὸ φανερώτατον σημεῖον, τοιοῦτός ἐστιν ὁ χρηστὸς βασιλεὺς, ὃν[49]) οἱ ἀγαθοὶ ἄνδρες οὐκ αἰσχύνονται ἐπαινοῦντες οὔτε τὸν παρόντα χρόνον,

45) τοιούτου] Casaub. τούτου suadet vel τοιοῦτος. quo non valde opus esse existimem.

46) pro ἀτυχίαις est in Veneta εὐτυχίαις. Scio in codd. graecis mstis α et ευ inter se saepissime permutari. quid si tamen ex vno colo duo faciamus, ad hunc modum: τίς δὲ δυσχεραίνειν ἐν ταῖς ἀτυχίαις; τίς δὲ συγχαίρειν ἐν ταῖς εὐτυχίαις.

47) post φρουρὰ deesse videtur ἀσφαλεστέρα et post ἐρύματα, ἐχυρώτερα.

48) pro ὁποίων dat Veneta ὁποίους. vtrumque est vitiosum, et recte Morellus suum ὁποίων, vt delendum, vncis inclusit.

49) ὃν cohaeret cum ἐπαινοῦντες. *quem a se laudibus ornari nil pudet bonos, neque reformidant aut suum aeuum, aut insequentia saecula, ne suas praedicationes illis minus approbent.*

χρόνον, οὔτε τὸν ὕστερον. καὶ μέντοι καὶ αὐτὸς, οὐ τὸν παρὰ τῶν βαναύσων καὶ ἀγοραίων ἀγαπᾷ τὸν 50) ἔπαινον, ἀλλὰ τὸν παρὰ τῶν ἐλευθέρων καὶ γενναίων, οἷς οὐκ ἄξιον τὸ ζῆν ψευσαμένοις. τίς οὖν οὐκ ἂν μακαρίσειεν τὸν τοιοῦτον ἄνδρα τε καὶ βίον; πόθεν δὲ οὐκ ἂν ἔλθοιεν ἐπ' ἐκεῖνον ὀψόμενοί τε αὐτὸν καὶ ἀπολαύσοντες τῆς καλῆς διανοίας καὶ ἀγαθῆς; τί μὲν γὰρ σεμνότερον θέαμα, γενναίου καὶ φιλοπόνου βασιλέως; τί δὲ ἥδιον ἡμέρου καὶ προσφιλοῦς; πάντας 51) μὲν εὖ ποιεῖν ἐπιθυμοῦντος, ἅπαντας δὲ δυναμένου. τί δὲ λυσιτελέστερον ἴσου καὶ δικαίου; τίνος μὲν γὰρ ὁ βίος ἀσφαλέστερος, ἢ ὃν πάντες ὁμοίως φυλάττουσιν; ὁ τίνος δὲ ἡδίων, ἢ τοῦ μηδένα ἐχθρὸν ἡγουμένου; τίνος δὲ ἀλυπότερος, ἢ τοῦ μηδὲν ἔχοντας αὐτὸν αἰτιάσασθαι; τίς δὲ εὐτυχέστερος ἐκείνου τοῦ ἀνδρὸς, ὃς τῶν ἀγαθῶν οὐδένα λανθάνει 52); ἐγὼ μὲν οὖν ἁπλῶς εἶπον τὰ περὶ τὸν ἀγαθὸν βασιλέα. τούτων δὲ εἴ τι φαίνεται προσήκειν σοι, μακάριος μὲν αὐτὸς τῆς εὐγνώμονος καὶ ἀγαθῆς φύσεως· μακάριοι δὲ ὑμεῖς 53) οἱ συμμετέχοντες. μετὰ δὲ τὸν γοῦν 54) εἰρημένον λόγον, ἐγὼ

50) τὸν dele, aut deest aliquid. e. c. τὸν εὐκαταφρόνητον καὶ εὐεξαγόραστον ἔπαινον *praedicationem et facile contemnendam, et vili redimendam.* vel τὸν ἀβέβαιον καὶ εὐμετάβλητον ἔπαινον *infidam et mutabilem.*

51) aut hic ἅπαντας, aut paulo post πάντας, consensus et constantiae ergo; et sic quoque ὁ τίνος δὲ ἀλυπότερος, ob praecedentem versum.

52) ὃς τῶν -- λανθάνει] praefert Morellus lectionem marginis ὅστις ἀγαθὸς ὢν οὐδένα λ. mihi videtur vtraque lectio copulanda esse ὅστις ἀγαθὸς ὢν τῶν ἀγαθῶν οὐδένα λ.

53) ὑμεῖς potest ferri, et sic accipi, ac si orator subito a principe ad circumstantem coronam transferret orationem. malim tamen vtique cum Casaubono et Anglo, quem Wolf probat, ἡμεῖς.

54) γοῦν] aut νῦν tantum, aut νῦν ὁπωσοῦν.

μὲν [55]) ἐπεθύμουν διελθεῖν περὶ τοῦ μεγίστου καὶ πρώτου βασιλέως καὶ ἄρχοντος, ὃν χρὴ μιμουμένους ἀεὶ τοὺς θνητοὺς καὶ τὰ τῶν θνητῶν διέποντας, ἐπιμελεῖσθαι [56]) πρὸς ἐκεῖνον, ὡς δυνατόν ἐστιν εὐθύνοντας [57]) καὶ ἀφομοιοῦντας τὸν αὐτῶν τρόπον. διὰ τοῦτο γὰρ καὶ Ὅμηρος διοτρεφέας εἶναί φησι τοὺς ἀληθῶς βασιλέας, καὶ Διῒ τὴν βουλὴν ὁμοίους, καὶ τὸν Μίνω, μεγίστην ἔχοντα δόξαν ἐπὶ δικαιοσύνῃ, τοῦ Διὸς ὁμιλητὴν ἔφη γενέσθαι. καὶ σχεδὸν ὅσοι πώποτε ἐν Ἕλλησιν, ἢ βαρβάροις γεγόνασι βασιλεῖς, οὐκ ἀνάξιοι τυγχάνειν ταύτης τῆς προσηγορίας, τοῦ θεοῦ τούτου μαθητάς τε καὶ ζηλωτὰς ὁ λόγος [58]) αὐτοὺς ἀποφαίνεται. Ζεὺς γὰρ μόνος θεῶν πατὴρ καὶ βασιλεὺς ἐπονομάζεται, καὶ Πολιεὺς, καὶ Φίλιός τε καὶ Ἑταιρεῖος, καὶ Ὁμόγνιος. πρὸς δὲ τούτοις, Ἱκέσιός τε καὶ Φύξιος, καὶ Ξένιος, καὶ μυρίας ἄλλας ἐπικλήσεις ἔχων, πάσας [59]) ἀγαθὰς καὶ ἀγαθῶν αἰτίας [60]). βασιλεὺς μὲν, κατὰ τὴν ἀρχὴν καὶ τὴν δύναμιν ὠνομασμένος. πατὴρ δὲ, οἶμαι, διά τε τὴν κηδεμονίαν καὶ τὸ πρᾶον· Πολιεὺς δὲ, κατὰ τὸν νόμον [61]) καὶ τὸ κοινὸν ὄφελος· Ὁμό-

γνιος

55) μὲν] huic particulae reſpondet ea, quae p. 59. 10. leguntur, vbi filum orationis longa interlocutione diſtinctum reſumitur atque continuatur.

56) poſt ἐπιμελεῖσθαι videtur deeſſe τοῦ φαίνεσθαι· *ſtudere, vt ſe gerant*, vel *praeſtent*.

57) εὐθύνοντας] malim compoſitum ἀπευθύνοντας.

58) ὁ λόγος] *fama hiſtorica.*

59) diſtinguo ſic: — ἐπικλήσεις, ἔχων πάσας.

60) αἰτίας] id eſt δηλωτικὰς vel σημαντικάς. nomen enim ipſum bona non creat, ſed ſolummodo indicat. hactenus tamen ferri poteſt αἰτίας, quod ei, cui virtutum appellationes iure competunt, et eas qui meritus eſt, ab eo bona proficiſcuntur. tametſi hoc paulo longius eſt arceſſitum.

61) f. κατὰ τὸ νόμιμον vel κατὰ τὸ ἔννομον. propter legum tutelam et exſecutionem.

γνιος δὲ, διὰ τὴν τοῦ γένους κοινωνίαν θεοῖς τε καὶ ἀνθρώποις· Φίλιος δὲ καὶ Ἑταιρεῖος, ὅτι πάντας ἀνθρώπους ξυνάγει, καὶ βούλεται εἶναι ἀλλήλοις φίλους, ἐχθρὸν δὲ ἢ πολέμιον μηδένα. Ἱκέσιος δὲ, ὡς ἂν [62] ἐπήκοός τε καὶ ἵλεως τοῖς δεομένοις· Φύξιος δὲ διὰ τὴν τῶν κακῶν ἀπόφευξιν [63]· Ξένιος δὲ ὅτι καὶ τοῦτο ἀρχὴ φιλίας, μηδὲ τῶν ξένων ἀμελεῖν, μηδὲ ἀλλότριον ἡγεῖσθαι μηδένα ἄνθρωπον. Κτήσιος δὲ καὶ Ἐπικάρπιος, ἅτε τῶν καρπῶν αἴτιος, καὶ δοτὴρ πλούτου καὶ κτήσεως, οὐ πενίας, οὐδὲ ἀπορίας. ὡς εὐθὺς ἁπάσας ταύτας δέον γενέσθαι [64] τὰς δυνάμεις, τῇ τοῦ βασιλέως δυνάμει τε καὶ κλήσει. καλὸν οὖν εἰπεῖν ὑπὲρ τῶν ὅλων τῆς διοικήσεως ὁποῖόν γε τὸ ξύμπαν, ὡς ἂν αὐτό [65] τε τὸ εὔδαιμον καὶ σῶφρον ἀεὶ διαπορεύηται [66] τὸν ἄπειρον αἰῶνα, συνεχῶς ἐν ἀπείροις περιόδοις, μετὰ ψυχῆς τε ἀγαθῆς καὶ δαίμονος ὁμοίως [67], καὶ προνοίας, καὶ ἀρχῆς τῆς δικαιοτάτης τε καὶ ἀρίστης, ἡμᾶς τε ὁμοίους παρέχηται [68], κατὰ φύσιν κοινὴν τὴν αὐτοῦ καὶ τὴν ἡμετέραν, ὑφ' ἑνὶ θεσμῷ καὶ νόμοις κεκοσμημένους [69]; καὶ τῆς αὐ-

62) ἂν] f. ὢν.

63) Φύξιος δὲ -- ἀπόφ.] possit quoque Iupiter ideo sic dictus esse, διὰ τὴν ἐν τοῖς κακοῖς πρὸς αὐτὸν καταφυγὴν τῶν ταλαιπωρούντων.

64) f. δέον ἐγγενέσθαι.

65) αὐτὸ] Sic recte Casaubonus, redit enim ad τὸ ξύμπαν. Sed totum locum sic refingo: ὁποῖόν τε (non γε) τὸ ξύμπαν, καὶ, ὅτι ὡς ἂν αὐτὸ στέγον (id est ἔχον in se tenens, et habens propriam et cognatam sibi felicitatem) τὸ εὔδαιμον. quale sit vniuersum, et quod, vtpote in se habens. Veneta et Morell. dant αὐτός.

66) διαπορεύεται, in indicatiuo.

67) δαίμονος ὁμοίως] Subaudi ἀγαθοῦ, nam est etiam δαίμων κακός. Recurrit eadem dictio p. 43, 40. ed. Mor. vbi interpres recte reddidit.

68) παρέχεται.

69) f. νόμοις τοῖς αὐτοῖς κεκοσμ.

τῆς μετέχοντας πολιτείας. ἣν ὁ μὲν τιμῶν καὶ φυλάττων, καὶ μηδὲν ἐναντίον πράττων, νόμιμος καὶ θεοφιλὴς, καὶ κόσμιος· ὁ δὲ ταράττων, ὅσον ἐφ' ἑαυτῷ, καὶ παραβαίνων καὶ ἀγνοῶν, ἄνομος καὶ ἄκοσμος, ὁμοίως μὲν ἰδιώτης, ὁμοίως δὲ ἄρχων ὀνομαζόμενος· πολὺ δὲ μείζων καὶ φανερωτέρα πᾶσιν, ἡ παρὰ τοῦ ἄρχοντος πλημμέλεια. ὥσπερ οὖν ὅσοι στρατηγοί τε καὶ ἄρχοντες στρατοπέδων καὶ πόλεων καὶ ἐθνῶν, ὅστις ἂν τὸν σὸν μάλιστα μιμῆται τρόπον, καὶ τοῖς σοῖς ἤθεσιν ὅμοιον αὐτὸν, ὡς δυνατὸν, φαίνηται παρέχων, οὗτος ἂν εἴη σοὶ πάντων ἑταιρότατος καὶ προσφιλέστατος· εἰ δέ τις ἐναντίος καὶ ἀνόμοιος γίγνοιτο, δικαίως ἂν τυγχάνοι μέμψεώς τε καὶ ἀτιμίας, καὶ αὐτῆς τε[70]) τῆς ἀρχῆς ταχὺ παυθεὶς[71]), παραχωρήσειεν ἑτέροις ἀμείνοσί τε καὶ ἄμεινον δυναμένοις διοικεῖν· οὕτω δὴ καὶ τῶν βασιλέων, ἅτε οἶμαι παρὰ τοῦ Διὸς ἐχόντων τὴν δύναμιν καὶ τὴν ἐπιτροπὴν, ὃς μὲν ἂν πρὸς ἐκεῖνον βλέπων, πρὸς τὸν τοῦ Διὸς νόμον τε καὶ θεσμὸν κοσμῇ[72]) καὶ ἄρχῃ δικαίως τε καὶ καλῶς, ἀγαθῆς τυγχάνει μοίρας, καὶ τέλους εὐτυχοῦς. ὃς δ' ἂν παραβῇ καὶ ἀτιμάσῃ τὸν ἐπιτρέψαντα ἢ δόντα τὴν δωρεὰν ταύτην, οὐδὲν ἀπώνατο τῶν ἀπὸ τῆς πολλῆς ἐξουσίας καὶ δυνάμεως, ἢ τοσοῦτον μόνον, ὅσον φανερὸς πᾶσι γενέσθαι τοῖς καθ' αὑτὸν καὶ τοῖς ὕστερον, πονηρὸς καὶ ἀκόλαστος ὢν, τὸν μυθευόμενον Φαέθοντος ἀναπληρώσας πότμον[73])· ἅτε

ἰσχυ-

70) τε] l. δέ.

71) V. L. Ven. dat παυσθεὶς, quod est vsitatius.

72) κοσμῇ potest defendi, subaudiendo a communi τὴν ἐπιτροπὴν; malim tamen εὐκοσμῇ *pudentem et temperantem se gerat*, bonaeque disciplinae et recti ordinis tenacem.

73) πότμον] huc referenda videtur V. L. Venetae ποταμὸν, sed illa vitiosissima.

ἰσχυροῦ καὶ θείου παρὰ μοῖραν 74) ἐπιβὰς ἅρματος, οὐχ' ἱκανὸς ὢν ἡνίοχος. λέγει δὲ καὶ Ὅμηρος, ὧδέ πως·

Ὃς μὲν ἀπηνὴς αὐτὸς ἔῃ καὶ ἀπηνέα εἰδῇ,
Τῷδε καταρῶνται πάντες βροτοὶ, ἄλγε' ὀπίσσω
Ζωῷ, αὐτὰρ 75) τεθνεῶτί γ' ἐφεψιόωνται ἅπαντες.
Ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ,
Τοῦ μέντοι κλέος εὐρὺ διὰ ξεῖνοι φορέουσι
Πάντας ἐπ' ἀνθρώπους, πολλοί δέ μιν ἐσθλὸν ἔειπον.

Τὸ μὲν οὖν ἐμὸν, ὅπερ ἔφην, ἥδιστ' ἂν καὶ προθυμότατα τοῦτον εἴποιμ' ἂν τὸν λόγον, τὸν ὑπὲρ τοῦ Διὸς, καὶ τῆς τοῦ παντὸς φύσεως. ἐπεὶ δὲ πλεῖόν 76) ἐστι παντὸς τοῦ καιροῦ τοῦ παρόντος, καὶ δεόμενον ἀποδείξεων ἀκριβεστέρων, αὖθις ποτὲ ἴσως γένοιτ' ἂν σχολὴ 77) διελθεῖν αὐτόν. εἰ δ' ἄρα μῦθόν τινα ἐθέλοις ἀκοῦσαι, μᾶλλον δὲ ὑγιῆ καὶ ἱερὸν λόγον, σχήματι μύθου λεγόμενον, τυχὸν οὐκ ἄτοπός σοι φανήσεται, νῦν τε καὶ ὕστερον ἐνθυμουμένῳ κατὰ σαυτὸν, ὃν ἐγώ ποτε ἤκουσα γυναικὸς Ἠλείας, ἢ Ἀρκαδίας ὑπὲρ Ἡρακλέους διηγουμένης. ὡς γὰρ 78) ἔτυχον ἐν τῇ φυγῇ ποτε ἀλώμενος, καὶ πολλήν γε χάριν οἶδα τοῖς θεοῖς, ὅτι με οὐκ εἴασαν θεατὴν γενέσθαι πολλῶν καὶ ἀδίκων πραγμάτων. ἐπῄειν

γοῦν

74) παρὰ μοῖραν] id est παρὰ τὸ προσῆκον, *praeter ius et fas.*

75) αὐτὰρ] l. ἀτὰρ ex Homero.

76) incidi in eandem coniecturam, in quam Casaubonus dudum incidit, leg. esse πλείων et δεόμενος, vt ad λόγος referatur. et erat hoc vtique elegantius. verum tamen potest vulgata defendi, subaudi τοῦτο, aut quod malim, addendo, corrigi; quo facto constabit sibi δεόμενον. Sed rursus tum paulo post esset αὐτὸ leg. παντὸς probum est et seruandum. *totum hoc, in quo nunc versamur, tempus.*

77) σχολὴ] sic dedi. σχολῇ Mor. et Ven.

78) ὡς γὰρ ἔτυχον] apodosis est paulo post in illis καὶ δή ποτε.

γοῦν ὡς ἐδυνάμην πλείστην γῆν ἐν ἀγύρτου σχήματι καὶ στολῇ, τοῦτο μὲν παρ' Ἕλληνας, τοῦτο δὲ παρὰ Βαρβάρους,

αἰτίζων ἀκόλους[79]), οὐκ ἄορας, οὐδὲ λέβητας.

καὶ δή ποτε ἀφικόμενος εἰς Πελοπόννησον, ταῖς μὲν πόλεσιν οὐ πάνυ προσῄειν, περὶ δὲ τὴν χώραν διέτριβον, ἅτε πολλὴν ἱστορίαν ἐχούσαν[80]), νομεῦσι καὶ κυνηγέταις, γενναίοις τε καὶ ἁπλοῖς ἤθεσιν ἐπιμιγνύμενος. καὶ δὴ βαδίζων ὡς ἀφ' Ἡραίας εἰς Πῖλαν παρὰ τὸν Ἀλφειὸν[81]), μέχρι μέν τινος ἀπετύγχανον[82]) τῆς ὁδοῦ, μεταξὺ[83]) δὲ εἰς ὕλην τινὰ καὶ δυσχωρίαν ἐμπεσὼν, καὶ πλείους ἀτραποὺς

ἐπὶ

79) in Ven. est ἀκώλους, peius adhuc in V. L. ἀκολούθους: sed vtroque inter se et cum Homero collato, emergit vera lectio ἀκόλους, quam recte fecit Morellus quod restituit. adscripserat idem quoque vir doctus Veneto meo. Verum debebat Morellus alterum quoque vitium, ἄρνας, tollere, quod ei, nescio qua de causa, placuit praeferre. dedi ἄορας, vt m. Morell. v. Dauis. ad Max. Tyr. or. 4. sect. 5. p. 507.

80) dicitur aliqua regio πολλὴν ἱστορίαν ἔχειν, in qua sunt loca multa rebus memorabilibus ibi gestis clara, viatorem celebritate sua ferientia. Cicero de Fin. V. I. quod totum huc pertinet, sed, quod in fine capitis maxime: *quacunque ingredimur, in aliquam historiam vestigium ponimus.*

81) τὸν ἀλφειὸν] sic dedi, vt margo Mor. exhibet; quo Veneta etiam ducit, dans τοῦ ἀλφειὸν. vbi vir doctus mediam vocem correxit τόν. Mor. dat τοῦ ἀλφειοῦ.

82) aut ἐπετύγχανον leg. aut οὐκ ἀπετύγχ. quod vir doctus Venetae adscripsit. *aliquamdiu, forte secunda, perseverabam in recta via*, aut *aliquamdiu a recta via non aberrabam.*

83) μεταξὺ δὲ] *inter haec autem*, intereadum sic recta via sine errore pergo. animaduertit vitium interpres quoque et recte sententiam expressit. De aberratione sua a via recta demum paulo post commemorat.

ἐπὶ βουκολίοις ἄττα καὶ ποίμναις 84) φερούσας; οὐδενὶ συναντῶν, οὐδὲ δυνάμενος ἐρέσθαι, διημάρτανόν τε καὶ ἐπλανώμην μεσημβρίᾳ σταθερᾷ. ἰδὼν οὖν ἐπὶ ὑψηλῷ τινι δρυῶν συστροφὴν 85), οἷον ἄλσους 86), ᾠχόμην ὡς ἀποψόμενος ἐντεῦθεν ὁδόν τινα ἢ οἰκίαν. καὶ καταλαμβάνω λίθους τέ τινας εἰκῇ ξυγκειμένους, καὶ δέρματα ἱερείων κρεμάμενα, καὶ ῥόπαλα καὶ βακτηρίας, νομέων τινῶν ἀναθήματα, ὡς ἐφαίνετο. ὀλίγον δὲ ἀπωτέρω, καθημένην γυναῖκα ἰσχυρὰν καὶ μεγάλην, τῇ δὲ ἡλικίᾳ πρεσβυτέραν, τὰ μὲν ἄλλα ἄγροικον στολὴν ἔχουσαν, πλοκάμους δέ τινας πολιοὺς καθεῖτο. ταύτην ἕκαστα ἀνηρώτων. ἡ δὲ πάνυ πρᾴως καὶ φιλοφρόνως, δωρίζουσα τῇ φωνῇ, τόν τε τόπον ἔφραζεν, ὡς ἱερὸς Ἡρακλέους εἴη, καὶ περὶ ἑαυτῆς, ὅτι παῖδα ἔχοι ποιμένα, καὶ πολλάκις αὐτὴ νέμοι τὰ πρόβατα, ἔχειν δὲ μαντικὴν, ἐκ μητρὸς θεῶν δεδομένην, χρῆσθαι δὲ αὐτῇ τούς τε νομέας πάντας τοὺς πλησίον, καὶ τοὺς γεωργοὺς ὑπὲρ καρπῶν καὶ βοσκημάτων γενέσεως καὶ σωτηρίας. καὶ σὺ δὲ ἐπεὶ ἐλήλυθας, ἔφη, οὐκ ἄνευ θείας τύχης εἰς τόνδε τὸν τόπον, οὐκ ἐάσω σε ἀπελθεῖν μάτην. καὶ μετὰ τοῦτο 87) δὴ προέλεγεν, ὅτι οὐ πολὺς χρόνος ἔσοιτό μοι τῆς ἄλης καὶ τῆς ταλαιπωρίας, οὔτε σοὶ εἶπεν 88), οὔτε τοῖς ἄλλοις ἀνθρώποις. ταῦτα δὲ ἔλεγεν, οὐχ ὥσπερ οἱ

πολλοὶ

84) leg. ἐπὶ βουκόλι' ἄττα καὶ ποίμνας. etiam βουκώλια est in V. L. Ven. et βουκόλια in m. Mor.

85) δρυῶν συστροφὴ est locus, vbi arbores densae, et quasi corrotundatae vel conglobatae stant, vt veluti insulam quandam in medio solo vndique circum nudo efficiant.

86) malim ἄλσος.

87) μετὰ τούτων lectio marg. Mor. sed illa vitiosa, est in Veneta.

88) f. καὶ τῆς ταλαιπωρίας δὲ οὔτε σοι, εἶπεν.

πολλοὶ τῶν λεγομένων ἐνθέων ἀνδρῶν καὶ γυναικῶν, ἀσθμαίνουσαι καὶ περιδινοῦσαι τὴν κεφαλὴν[89]), καὶ πειρωμένη δεινὸν ἐμβλέπειν, ἀλλὰ πάνυ ἐγκρατῶς, καὶ σωφρόνως. συμβαλεῖς δὲ, ἔφη, ποτὲ ἀνδρί τε καρτερῷ[90]), πλείστης ἄρχοντι χώρας, καὶ ἀνθρώπων· τούτῳ μή ποτε ὀκνήσῃς εἰπεῖν τόνδε τὸν μῦθον, εἰ καί σου καταφρονεῖν τινες μέλλοιεν, ὡς ἀδολέσχου καὶ πλάνητος. οἱ γὰρ ἀνθρώπων λόγοι, καὶ τὰ πάντα σοφίσματα, οὐδενὸς ἄξια πρὸς τὴν παρὰ τῶν θεῶν ἐπίνοιαν[91]), καὶ φήμην. ὅσοι γάρ ποτε σοφοὶ καὶ ἀληθεῖς κατ' ἀνθρώπους λόγοι περὶ θεῶν τε καὶ τοῦ ξύμπαντος, οὐκ ἄνευ θείας ποτὲ[92]) βουλήσεως καὶ τύχης ἐν ψυχῇ ποτε ἀνθρώπων[93]) ἐγένοντο, ὡς ἔστι μαθεῖν διὰ τῶν πρώτων μαντικῶν τε καὶ θείων ἀνδρῶν. οἷον ἐν Θρᾴκῃ τινὰ λέγουσιν Ὀρφέα γενέσθαι Μούσης υἱὸν, ἄλλον δὲ ποιμένα ἐν ὄρει τινὶ τῆς Βοιωτίας αὐτῶν ἀκοῦσαι τῶν Μουσῶν. ὅσοι δὲ ἄνευ δαιμονίου κατοχῆς καὶ ἐπιπνοίας λόγους τινὰς ὡς ἀληθεῖς παρ' αὐτῶν ἐκόμισαν εἰς τὸν βίον, ἀτόπους καὶ πονηρούς[94]). διόπερ δὴ ἄκουε τοῦδε τοῦ

μύθου

89) v. ad h. l. Casaubon. et Morell. verum illos hic quidem non ignota docentes.

90) f. ἀνδρὶ καρτερῷ, πλείστης τε ἄρχοντι χ.

91) ambigo inter vulgatam et Casauboni ἐπίπνοιαν, quod mihi quoque in mentem venit, et eccui non veniat? Ad mentem Casauboni P. Wesselingius h. l. exhibuit ad Diodor. Sic. 1. 685. Sed ἐπίνοια ἡ παρὰ θεῶν est omnis perceptio mentis, visum omne et scitum, a diis profectum, et humanae menti iniectum. Sic quoque ἡ παρὰ θεῶν φήμη est omne augurium, omnis vox, omnis sonus, ὄττεια, κληδὼν, omen, quo dii sententiam suam aut futura hominibus denuntiant.

92) ποτε] dele primas duas literas.

93) f. ἐν ψυχῇ τῶν πώποτε ἀνθρώπων. *hominum, quotquot vnquam fuere, cuiquam in mentem venisse.* nam ποτε toties in tam breui spatio iterari, sit inscitum.

94) post πονηροὺς videtur verbum ἐκόμισαν esse iterandum.

μύθου[95]) σφόδρα ἐγρηγορώς[96]) τε καὶ τὸν νοῦν προσέχων, ὅπως διαμνημονεύσας ἀπαγγείλης πρὸς ἐκεῖνον, ὧ φημί σε[97]) συμβαλεῖν. ἔστι δὲ περὶ τοῦδε τοῦ θεοῦ, παρ' ᾧ νῦν ἐσμέν. ἦν μὲν γὰρ, ὡς πάντες λέγουσι, Διὸς υἱὸς ἐξ Ἀλκμήνης, βασιλεὺς δὲ οὐ μόνον Ἄργους, ἀλλὰ καὶ τῆς Ἑλλάδος ἁπάσης. τοῦτο δὲ οἱ πολλοὶ οὐκ ἴσασιν, ἀλλ' ὅτι αὐτὸς ἀπεδήμει στρατευόμενος καὶ φυλάττων τὴν ἀρχήν[98]). οἱ δ' Εὐρυσθέα φασὶ βασιλεύειν τότε, ὃς ἦν πάντων φιλοπονώτατος, καὶ πολὺ κρείττων τῶν ἐκεῖ. ταῦτα δὴ[99]) λέγεται μάτην ὑπό των[100]). ἐκεῖνος δὲ οὐ μόνον τῆς Ἑλλάδος ἦν βασιλεὺς, ἀλλ' ἀπ' ἀνίσχοντος ἡλίου μέχρι δυομένου, πάσης ἦρχε γῆς, καὶ[1]) τῶν ἀνθρώπων ἁπάντων, παρ' οἷς ἱερά ἐστιν Ἡρακλέους.

95) διόπερ ἄκουε δὴ (id eſt ἤδη *nunc tandem*) τοῦδε τοῦ μύθου. Sic etiam in V. L. Ven. Sed in texto Ven. eſt διόπερ δὴ ἄκουε τούτου δὲ τοῦ μύθου.

96) ἐγρηγορώς τε] ſic dedi, eſt enim partic. perf. medii, non aduerbium; quod formatur ἐγρηγορότως. Ven. et Mor. dant ἐγρηγόρως τε.

97) γε lectio marg. Mor. eſt in texto Ven.

98) ἀρχὴν, οἱ δ' Εὐρ. *verum quia Hercules ipſe per ſe ſuſcipiebat expeditiones bellicas, tuendorum ergo finium, hi* (qui populares illos de Hercule rumores aut commenti ſunt, aut alunt et propagant) *Euryſtheum aiunt regnum tenuiſſe.* Et reperio nunc hanc correctionem etiam apud Anglum, cui ſubſcribit Wolf quoque. ἀρχὴν οὐδ' Εὐρ. Mor. et Ven.

99) δὲ melius conuenit, quam δή.

100) ὑπό των] ſemper ineſt hic vitium, ſeu leuiculum, ſeu grandius. Saltim ὑπὸ τῶν erit legendum, niſi quid grauius ſubſit. τῶν pro τούτων. *ab his.* malim tamen ὑπὸ τῶν τἀληθὲς ἀγνοούντων. *ab iis, quos vera rei ratio fugit.* nam Caſauboni ὑπὸ πάντων haud placet.

1) pro καὶ eſt in Veneta εἰ, non ἢ, quod margo Mor. dat, et vir doctus Venetae adſcripſerat. Sed haud ſatis facit. videtur in εἰ latere εἷς, et locus ſic conſtituendus: ἦρχε γῆς εἷς ἑκόντων ἀνθρώπων ἁπάντων. vocabulo πάσης opponitur εἷς *vnus toti orbi terrarum.*

κλέους. ἦν δὲ καὶ πεπαιδευμένος ἁπλῶς, οὐ πολύτροπος, οὐδὲ περιττὸς[2]) σοφίσμασι καὶ πανουργήμασιν ἀνθρώπων κακοδαιμόνων. λέγουσι δὲ καὶ ταῦτα περὶ Ἡρακλέους, ὡς γυμνὸς ᾔει[3]), μόνον ἔχων λεοντῆν καὶ ῥόπαλον. τοῦτο δὲ οὕτως λέγουσιν, ὅτι ἐκεῖνος οὔτε χρυσίον, οὔτε ἀργύριον, οὔτε ἐσθῆτα περὶ πολλοῦ ἐποιεῖτο, ἀλλὰ ταῦτα πάντα ἐνόμιζε τοῦ μηδενὸς ἄξια, πλὴν ὅσον δοῦναι καὶ χαρίσασθαι. πολλοῖς γοῦν οὐ μόνον χρήματα ἄπειρα καὶ γῆν καὶ ἀγέλας ἵππων καὶ βοῶν, ἀλλὰ βασιλείας[4]) καὶ πόλεις ὅλας ἐδωρήσατο. ἐπίστευε γὰρ αὐτοῦ πάντα εἶναι, καὶ οὐδὲν ἀλλότριον. προσγενέσθαι δὲ τοῖς δοθεῖσι τὴν εὔνοιαν τῶν λαβόντων. οὐ τοίνυν οὐδὲ ἐκεῖνο ἀληθές φασιν, ὅτι δὴ περιῄει μόνος ἄνευ στρατιᾶς. οὐ γὰρ δυνατὸν πόλεις τε ἐξαιρεῖν, καὶ τυράννους ἀνθρώπους καταλύειν, καὶ πᾶσι πανταχοῦ προστάττειν χωρὶς δυνάμεως. ὅτι δὲ αὐτουργὸς ἦν καὶ τῇ ψυχῇ πρόθυμος, καὶ τὸ σῶμα ἱκανὸς, καὶ πάντων μάλιστα ἐπόνει, μόνον αὐτὸν ἔφασαν βαδίζειν, καὶ πράττειν ἅπαντα ὅσα βούλοιτο. καὶ μὴν ὅγε πατὴρ αὐτοῦ[5]) πολλὴν ἐπιμέλειαν ἐποιεῖτο, ὁρμάς τε ἀγαθὰς ἐπιπέμπων, καὶ εἰς ὁμιλίας ἀνθρώπων ἀγαθῶν ἄγων. ἐσήμηνε δὲ καὶ δι' οἰωνῶν, καὶ δι' ἐμπύρων, καὶ διὰ πάσης μαντικῆς[5b]) ἕκαστα. ἐπειδὴ δὲ ἑώρα βουλόμενον ἄρχειν ἑαυτοῦ, οὐ τῶν ἡδονῶν, οὐδὲ τῶν πλεονεξιῶν ἐπιθυμοῦντα, ὧν ἕνεκεν οἱ πολλοὶ πλούτου ἐρῶσιν, ἀλλ' ὡς ἂν δύνηται πλεῖστα καὶ πλείστους εὖ ποιεῖν, ἐπιστάμενος αὐτοῦ

γενναίαν

2) f. οὐ πολυτρόπως, οὐδὲ περιττῶς.
3) in V. L. Ven. est εἴη pro ᾔει.
4) f. ἀλλὰ καὶ βασιλείας.
5) deleui comma, nam αὐτοῦ stat in biuio, et tam ad πατὴρ, quam ad ἐπιμέλειαν ἐποιεῖτο, est referendum.
5b) γρ. μαντικὴ m. Mor.

γενναίων οὖσαν τὴν φύσιν· ὅμως δὲ ὑπονοῶν ἴσον ἦν ἐν αὐτῷ θνητὸν, καὶ ὅτι πολλὰ παραδείγματα ἐν ἀνθρώποις πονηρὰ εἴη τρυφῆς καὶ ἀκολασίας, καὶ πολλοὶ παρατρέπουσιν ἄκοντα τὸν πεφυλαγμένον [6]) ὀρθῶς, ἔξω τῆς αὐτοῦ φύσεώς τε καὶ γνώμης. ταῦτα λογιζόμενος, Ἑρμῆν ἔπεμψε, κελεύσας ἃ δεῖ ποιεῖν. ὁ δὲ, ἀφικόμενος εἰς Θήβας, ἔνθα νέος ὢν ἐτρέφετο Ἡρακλῆς, ἔφραζέ τε, ὃς εἴη, καὶ παρά του [7]) πεμφθείς. καὶ ἄγει λαβὼν αὐτὸν, ἄφραστον καὶ ἄβατον ἀνθρώποις ὁδὸν, ἕως ἦλθεν ἐπί τινα ὑπεροχὴν ὄρους περιφανῆ [7b]) καὶ σφόδρα ὑψηλὴν, τὰ δὲ ἔξωθεν, δεινῶς ἀπότομον κρημνοῖς ὀρθίοις, καὶ βαθείᾳ φάραγγι, ποταμοῦ κύκλῳ περιῤῥέοντος πολὺν ψόφον τε καὶ ἦχον ἀναδιδόντος, ὡς τοῖς κάτωθεν ἀναβλέπουσι μίαν ὁρᾶσθαι τὴν ἄνω κορυφὴν, τὸ δὲ ἀληθὲς, ἦν δίδυμος [8]) ἐκ μιᾶς ῥίζης, καὶ πολύ γε ἀλλήλων διεστήκεσαν. ἐκαλεῖτο δὲ αὐτῶν, ἡ μὲν βασίλειος ἄκρα, ἱερὰ Διὸς βασιλέως· ἡ δὲ ἑτέρα τυραννικὴ [9]), Τυφῶνος ἐπώνυμος. δύο δὲ εἶχον ἔξωθεν ἐφόδους εἰς αὐτὰς ἑκατέρα [10]). ἡ μὲν

6) πεφυλαγμένον cum sit in texto Venetae, tamen in V. L. repetitur. quod indicio est, auctorem huius indicis aliud voluisse dare, f. πεφυκότα, quod est in marg. Morell. et solum probo. posset quidem vulgata quodammodo defendi, *sibimet ipsi attentum, atque acrem vigilem et custodem.* Sed non patitur ὀρθῶς, quod necessario πεφυκότα postulat. f. sic legas a mente auctoris haud abhorrenter: τὸν εὖ πεφυκότα καὶ πεπαιδευμένον ὀρθῶς.

7) aut παρὰ τοῦ *a quonam*, aut vt est in marg. Morell. scrib. παρ' ὅτου, eadem sententia.

7) περιφανοῦς m. Mor.

8) δίδυμος] scil. ἡ κορυφή. — διειστήκεσαν] scil. αἱ κορυφαὶ, quo eodem etiam αὐτῶν est referendum, item ἄμφω.

9) f. ἡ δὲ ἑτέρα, ἡ τυραννικὴ, τυφ.

10) f. εἰς αὐτὰς, μίαν ἑκατέρα.

μὲν Βασίλειος, ἀσφαλὴς καὶ πλατεῖα[11]), ὡς ἀκινδύνως τε καὶ ἀπταίστως δι' αὐτῆς εἰσιέναι[12]) ἐφ' ἅρματος ἐλαύνοντα· εἴ τῳ δεδομένον εἴη παρὰ τοῦ μεγίστου θεῶν· ἡ δὲ ἑτέρα στενήν τε καὶ σκολιὰν, καὶ βίαιον, ὡς τοὺς πλείστους πειρωμένους αὐτῆς, οἴχεσθαι κατὰ τῶν κρημνῶν καὶ τοῦ ῥεύματος, ἅτε οἶμαι παρὰ δίκην ἰόντας. Φαίνεται μὲν οὖν ὅπερ ἔφην τοῖς πολλοῖς, ἅτε ὁρῶσι μακρόθεν, ἄμφω μία τε καὶ ἐν ταὐτῷ σχεδὸν, ὑπερέχει δὲ ἡ βασίλειος κορυφὴ τοσοῦτον, ὥστε ἐκείνη μὲν ἐπάνω τῶν νεφῶν ἐστιν, ἐν αὐτῷ τῷ τε καθαρῷ καὶ αἰθρίῳ[13]) ἀέρι· ἡ δὲ ἑτέρα πολὺ κατωτέρω, περὶ αὐτὴν μάλιστα τὴν τῶν νεφῶν συστροφὴν, σκοτεινὴ καὶ ἀχλυώδης. ἄγων οὖν ἐκεῖσε Ἑρμῆς, ἐπέδειξε τὴν φύσιν τοῦ χωρίου. τοῦτο δὲ ἦν Ἡρακλέους[14]), ἅτε νέου καὶ φιλοτίμου, προθυμουμένου θεάσασθαι τὰ ἔνδον. οὐκοῦν ἕπου, φησὶν, ἵνα καὶ σαφῶς ἴδῃς τὴν διαφορὰν τῶν ἄλλων[15]),

αἱ

11) f. ἀσφαλῆ καὶ πλατεῖαν, ſcil. εἶχε τὴν εἴσοδον. *habebat introitum tutum et latum, patulum.* monſtrat ita leg. eſſe, quod ſtatim ſequitur in altero membro: ἡ δὲ ἑτέρα στενήν τε καὶ σκολιὰν καὶ βίαιον.

12) malim ἰέναι ſimplex. εἰς poteſt iteratum eſſe e fine vocabuli proximi αὐτῆς.

13) αἰθρίῳ eſt in texto Ven. ſed in V. L. eſt αἰθερίῳ, quod cum non abhorreat a natura linguae graecae, tamen in vſu haud verſatur.

14) Caſaubonus legi vult: τοῦτο δεηθεὶς ὑφ' ἡρακλέους, affirmans ita poſtulare ſententiam. recte vero, ſi δεηθεὶς ſignificat *rogatus.* atqui paſſiua illa ſignificatione non vſurpatur, ſed tantum actiua, *aliquis, qui rogauit.* quare aliam video rationem eſſe ineundam; et geminam quidem illam; vt aut legatur τοῦτο δ' ἦν πρὸς ἡρακλέους. *hoc autem ad mentem erat Herculis.* aut τοῦτο δ' ἦν ἔκκαυμα (vel αἴθυγμα vel tale quid) ἡρακλ. *hoc autem incitamentum erat Herculis.* Sententias Angli (nam dubius fuit et anceps) v. apud Wolff T. I. Anecd. Gr. p. 287.

15) Morellus e Guil. Canteri N. L. affert eius coniecturam,

leg.

ἃ λανθάνει τοὺς ἀνοήτους. ἐπεδείκνυεν οὖν αὐτῷ πρῶτον ἐπὶ τῆς μείζονος κορυφῆς καθημένην ἐν θρόνῳ λαμπρῷ γυναῖκα εὐειδῆ, καὶ μεγάλην, ἐσθῆτι λευκῇ κεκοσμημένην, σκῆπτρον ἔχουσαν οὐ χρυσοῦν, οὐδὲ ἀργυροῦν, ἀλλ' ἑτέρας φύσεως καθαρᾶς καὶ πολὺ λαμπροτέρας, ὁποίαν μάλιστα τὴν Ἥραν γράφουσι. τὸ δὲ πρόσωπον, φαιδρὸν ὁμοῦ καὶ σεμνὸν, ὡς τοὺς μὲν ἀγαθοὺς ἅπαντας θαρρεῖν ὁρῶντας, κακῶν 16) δὲ μηδένα δύνασθαι προσιδεῖν, μὴ μᾶλλον ἢ τὸν ἀσθενῆ τὴν ὄψιν ἀναβλέψαι πρὸς τὸν τοῦ ἡλίου κύκλον. καθεστηκὸς δὲ καὶ ὅμοιον αὐτῇ τὸ εἶδος ὁρᾶσθαι, καὶ τὸ βλέμμα οὐ μετατρεπόμενον. πολλὴν δ' εὐφημίαν τε καὶ ἡσυχίαν ἀθόρυβον κατέχειν τὸν τόπον, εἶναι δὲ ἅπαντα μεστὰ 16b) καρπῶν τε καὶ ζώων εὐθηνούντων ἀπὸ παντὸς γένους· παρῆν δὲ καὶ χρυσὸς αὐτόθι ἄπλετος σεσωρευμένος, καὶ ἄργυρος, καὶ χαλκὸς, καὶ σίδηρος. οὐ μὴν ἐκείνη γε οὐδὲν τῷ χρυσῷ προσεῖχεν οὐδὲ ἐτέρπετο, ἀλλὰ μᾶλλον τοῖς καρποῖς τε καὶ ζώοις. ἰδὼν οὖν αὐτὴν ὁ Ἡρακλῆς ᾐδέσθη τε, καὶ ἠρυθρίασε, τιμῶν καὶ σεβόμενος, ὡς ἂν ἀγαθὸς παῖς μητέρα γενναίαν. καὶ ἤρετο, τίς ἐστι θεῶν, τὸν Ἑρμῆν· ὁ δὲ εἶπεν· αὕτη σοι μακαρία δαίμων Βασιλεία Διὸς βασιλέως ἔκγονος 17). ὁ δὲ Ἡρακλῆς ἐχάρη, καὶ ἐθάρρησε πρὸς αὐτήν. καὶ αὖθις ἐπήρετο τὰς σὺν αὐτῇ γυναῖκας, τίνες εἰσὶν 18), ἔφη, ὡς εὐσχήμονες καὶ μεγαλοπρεπεῖς,

leg. esse τῶν ἄθλων, Casaubonus τῶν ἄκρων mauult, ambo frustra; miror par virorum doctissimorum in loco tam plano potuisse labi. bene habet vulgata. τὰ ἄλλα sunt reliqua, quae nondum spectauerat Hercules. *vt videas discrimen*, vel *praestantiam reliquorum, quae stultis latent.*

16) In V. L. Venetae est κακόν, quod perinde bonum est.

16b) ἅπαντας μεστὰ m. Mor.

17) ἔκγονος] sic Veneta, *neptis*, aut et *filia*. ἔγγονος Mor.

18) malim τίνες εἰσίν. ὡς, ἔφη, εὐσχήμονες.

καὶ ἀῤῥενωποί. ἥδε μὲν, ἔφη, σοι ἡ προσορῶσα γοργόν τε καὶ πρᾶον, ἐκ δεξιῶν, καὶ καθημένη[19]), Δίκη, πλείστω δὴ καὶ φανερωτάτω λάμπουσα κάλλει. παρὰ δὲ αὐτὴν, Εὐνομία[20]) πάνυ ὁμοία, καὶ μικρὸν διαφέρουσα τὸ κάλλος. ἐκ δὲ τοῦ ἐπὶ θάτερα μέρους γυνὴ σφόδρα ὡραία, καὶ ἁβρῶς ἐσταλμένη[21]), καὶ μειδιῶσα ἀλύπως, Εἰρήνην καλοῦσιν αὐτήν[22]). ὁ δ' ἐγγὺς οὗτος[23]) ἑστηκὼς τῆς Βασιλείας, παρ' αὐτὸ τὸ σκῆπτρον ἔμπροσθεν, ἰσχυρὸς ἀνὴρ, πολιὸς καὶ μεγαλόφρων, οὗτος δὲ καλεῖται Νόμος· ὁ δὲ αὐτὸς, καὶ λόγος ὀρθὸς κέκληται, σύμβουλος καὶ πάρεδρος, οὗ χωρὶς, οὐδὲν ἐκείναις πρᾶξαι θέμις, οὐδὲ διανοηθῆναι. ταῦτα μὲν οὖν ἀκούων καὶ ὁρῶν, ἐτέρπετο καὶ προσεῖχε τὸν νοῦν, ὡς οὐδέποτε αὐτῶν ἐπιλησόμενος. ἐντεῦθεν δὴ[24]) ἐπεὶ κατιόντες ἐγένοντο κατὰ τὴν τυραννικὴν εἴσοδον, δεῦρο, ἔφη, θέασαι καὶ τὴν ἑτέραν, ἧς ἐρῶσιν οἱ πολλοὶ, καὶ περὶ ἧς πολλὰ καὶ παντοδαπὰ πράγματα ἔχουσιν, φονεύοντες ἀλλήλους καὶ ἐπιβουλεύοντες, οἱ ταλαίπωροι. παῖδές τε γονεῦσι πολλάκις, καὶ γονεῖς παισὶ, καὶ ἀδελφοὶ ἀδελφοῖς, τὸ μέγιστον κακὸν ἐπιποθοῦντες καὶ μακαρίζοντες, ἐξουσίαν μετὰ ἀνοίας. καὶ δὴ πρῶτον μὲν αὐτῷ τὰ περὶ τὴν εἴσοδον ἐδείκνυεν, ὡς μία μὲν ἐφαίνετο, πρόδηλος καὶ αὐτὴ σχεδὸν,

19) f. πρᾶον, ἐκ δεξιῶν καθημένη.

20) εὐνομία] est modestia publica, pudor, reuerentia legum, diligentia legibus et disciplinae publicae parendi.

21) pro ἐσταλμένη est in Veneta ἐσσαμένη, quod idem est ad sententiam, sed paulo magis poeticum.

22) post αὐτὴν desiderari nomen et descriptionem τῆς Φιλίας, oritur suspicio e p. 71, 5.

23) non offendit quidem in se οὗτος, verumtamen quia statim insequitur, malim hic loci οὕτως *tam prope*.

24) δὴ] melius conuenit δέ.

σχεδὸν, ὁποίαν πρότερον[25] εἶπον, ἐπισφαλὴς δὲ καὶ παρ' αὐτὸν φέρουσα τὸν κρημνόν. πολλαὶ δὲ ἄδηλοι καὶ ἀφανεῖς διαδύσεις, καὶ κύκλῳ πᾶς ὑπόνομος ὁ τόπος, καὶ διατετμημένος ὑπ' αὐτὸν οἶμαι τὸν θρόνον. αἱ δὲ πάροδοι καὶ ἀτραποὶ πᾶσαι, πεφυρμέναι αἵματι καὶ μεσταὶ νεκρῶν. διὰ δὲ τούτων οὐδεμιᾶς ἦγεν αὐτὸν, ἀλλ' ἔξωθεν καθαρωτέρας, ἅτε οἶμαι θεατὴν ἐσόμενον. ἐπεὶ δὲ εἰσῆλθον[26], καταλαμβάνουσι τὴν Τυραννίδα καθημένην, ὑψηλὴν ἐξεπίτηδες, προσποιουμένην[27] καὶ ἀφομοιοῦσαν αὐτὴν τῇ Βασιλείᾳ, πολὺ δὲ, ὡς ἐνόμιζεν, ὑψηλοτέρῳ καὶ κρείττονι τῷ θρόνῳ, μυρίας τινὰς ἄλλας ἔχοντι γλυφὰς καὶ διαθέσεις, χρυσοῦ[28] καὶ ἐλέφαντος, καὶ ἠλέκτρου, καὶ ἐβένου, καὶ παντοδαπῶν χρωμάτων πεποικιλμένῳ. τὴν δὲ βάσιν, οὐκ ἦν ἀσφαλὴς ὁ θρόνος, οὐδὲ ἡδρασμένος, ἀλλὰ κινούμενός τε καὶ ὀκλάζων[29]. ἦν δὲ

25) f. ὁποίαν τὴν προτέραν aut τὴν πρότερον, nam perinde est; sed τὴν abesse nolim. *qualem dixi viam illam priorem.*

26) In Veneta est εἰσῆλθεν (et etiam in t. Mor.) quod vir doctus ibi recte εἰσῆλθον emendauit; et interpres Morell. idem expressit.

27) sic distinguo cum Anglo: καθημένην ὑψηλὴν, ἐξεπίτηδες προσπ.

28) f. ἄλλας ἐπ' ἄλλαις ἔχοντι γλυφὰς, καὶ διαθέσει χρυσοῦ. *alias ex aliis habenti sculpturas, et variegato per dispositionem artificiosam variarum materiarum.* διάθεσις est variarum rerum per certa interualla dispositio, cum delectu materiarumque et ordinis et constructionis, vt aliae cum aliis cohaereant, et alternent, et ex varietate et aequabili rerum inter se proportione oblectatio atque admiratio exsistat.

29) Si dictio haec e poeta petita est, et videtur vtique Homerica esse, quod nunc quaerere non vacat, leg. erit κινύμενός τε καὶ ὀκλάζων. Verumtamen non ita sunt religiosi veteres in recitandis antiquiorum sententiis, vt eorum verba ad suam mentem nunquam mutent. indulgent

οὐδ᾽ ἄλλο οὐδὲν ἐν κόσμῳ διακείμενον, ἀλλὰ πρὸς δόξαν ἅπαντα καὶ ἀλαζονείαν, καὶ τρυφήν. πολλὰ μὲν σκῆπτρα, πολλαὶ δὲ τιάραι, καὶ διαδήματα ἐπὶ τῆς κεφαλῆς. καὶ δὴ μιμουμένη τὸ ἐκείνης ἦθος, καὶ [30] ἀντὶ μὲν τοῦ προσφιλοῦς μειδιάματος ταπεινὸν ἐσεσήρει [31] καὶ ὕπουλον. ἀντὶ δὲ τοῦ σεμνοῦ βλέμματος, σκυθρωπὸν ὑφεωρᾶτο καὶ ἄγριον. ἵνα δὲ φαίνοιτο μεγαλόφρων, οὐ προσέβλεπε τοὺς προσιόντας, ἀλλ᾽ ὑφεώρα [32] καὶ ἠτίμαζεν. ἐκ τούτου δὲ πᾶσιν ἀπηχθάνετο, πάντας δὲ ἠγνόει. καθημένη δὲ ἀτρεμίζειν οὐκ ἠδύνατο, θαμινὰ δὲ κύκλῳ περιέβλεπεν, καὶ ἀνεπήδα πολλάκις ἐκ τοῦ θρόνου. τὸ δὲ χρυσίον αἴσχιστα ἐφύλαττεν ἐν τοῖς κόλποις, πάλιν δὲ ἐῤῥίπτει φοβηθεῖσα ἀθρόον, εἶτ᾽ εὐθὺς ἥρπαζεν ὅ, τι ἔχοι [32b] τὶς τῶν παριόντων, καὶ τὸ βραχύτατον. ἡ δὲ ἐσθὴς παντοδαπὴ, τοῦτο μὲν ἀλουργῶν, τοῦτο δὲ φοινικῶν, τοῦτο δὲ κροκωτῶν. ἦσαν δὲ καὶ λευκοί τινες φαινόμενοι τῶν πέπλων. πολλὰ δὲ καὶ κατέῤῥηκτο τῆς στολῆς. χρώματα δὲ παντοδαπὰ ἠφίει [33], φοβουμένη καὶ ἀγωνιῶσα, καὶ ἀπιστοῦσα καὶ ὀργιζομένη. καὶ ποτὲ μὲν ὑπὸ λύπης ταπεινή ποτὲ δὲ ὑφ᾽ ἡδονῆς μετέωρος ἑωρᾶτο. καὶ νῦν μὲν ἐγέλα [34] τῷ προσώπῳ πάνυ ἀσελ-

γῶς·

gent enimuero sibi quid hac in re iustae libertatis. m. Mor. dat ἀκμάζων.

30) καὶ nisi est tollendum, referri debet ad prius καὶ, vt sit per tmesin sic enunciatum pro καὶ δὴ καὶ ἐκείνης τὸ ἦθος μιμουμένη. quod paulo est durius.

31) ἐσεσήρει] sic Casaubonus et Morellus recte emendant. ἐπεστήρει text. Morell. et Ven. ἐσεσύρει margo Mor.

32) ὑφεώρα] aut ἀφεώρα, *alio detorquebat oculos*, v. p. 272, 33. ed. Mor. aut ὑπεώρα *despiciebat*, *contemnebat*.

32b) γρ. μὴ ἔχοι m. Mor.

33) recte dat Veneta ἠφίει. Mor. ὑφίει.

34) post ἐγέλα deest, aut adiectiuum, aut participium aliquod, e. c. ἰταμῷ, aut λαμυρῷ, aut σεσηρότι

γῶς· πάλιν δὲ εὐθὺς ἐθρήνει. ἦν δὲ καὶ ὅμιλος περὶ αὐτὴν γυναικῶν, οὐδὲν ἐκείναις ὁμοίων, ἃς ἔφην εἶναι περὶ τὴν Βασιλείαν. ἀλλ' Ὠμότης καὶ Ὕβρις, καὶ Ἀνομία καὶ Στάσις, αἱ πᾶσαι διέφθειρον αὐτὴν, καὶ κάκιστα ἀπώλλυον. ἀντὶ δὲ Φιλίας Κολακεία παρῆν, δουλοπρεπὴς καὶ ἀνελεύθερος, οὐδεμιᾶς ἧττον ἐπιβουλεύουσα ἐκείνων, ἀλλὰ μάλιστα δὴ πάντων ἀπολέσαι 35) ζητοῦσα. ὡς δὲ καὶ ταῦτα ἱκανῶς ἐθεάσατο, πυνθάνεται αὐτοῦ ὁ Ἑρμῆς, πότερα αὐτὸν ἀρέσειε τὰ πράγματα 36), καὶ ποτέρα τῶν γυναικῶν. ἀλλὰ τὴν μὲν ἑτέραν, ἔφη, θαυμάζω καὶ ἀγαπῶ, καὶ δοκεῖ μοι θεὸς ἀληθὴς 37) εἶναι, ζήλου καὶ μακαρισμοῦ ἀξία· ταύτην δὲ, τὴν ὑστέραν, ἐχθίστην ἔγωγε ἡγοῦμαι καὶ μιαρωτάτην· ὥστε ἥδιστα ἂν αὐτὴν ὤσαιμι κατὰ τούτου τοῦ σκοπέλου, καὶ ἀφανίσαιμι. ταῦτ' οὖν ἐπῄνεσεν ὁ Ἑρμῆς, καὶ τῷ Διῒ ἔφρασεν. κἀκεῖνος ἐπέτρεψεν αὐτῷ βασιλεύειν τοῦ σύμπαντος ἀνθρώπων γένους, ὡς ὄντι ἱκανῷ. τοιγαροῦν ὅπου μὲν ἴδοι τυραννίδα καὶ τύραννον, ἐκόλαζε καὶ ἀνῄρει, παρά τε Ἕλλησι καὶ Βαρβάροις· ὅπου δὲ βασιλείαν καὶ βασιλέα, ἐτίμα καὶ ἐφύλαττε. καὶ διὰ τοῦτο τῆς γῆς καὶ τῶν ἀνθρώπων σωτῆρα εἶναι 38), οὐχ ὅτι τὰ θηρία αὐτοῖς ἀπήμυνεν· πῶς 39) γὰρ ἂν τι καὶ βλάψειε λέων ἢ σῦς ἄγριος; ἀλλ' ὅτι τοὺς ἀνειμένους 40) καὶ πονηροὺς ἀνθρώπους ἐκόλαζε, καὶ

35) ἀπολέσαι] sic recte margo Mor. Ven. et t. Mor. dant ἀπολέσθαι.

36) ἀρέσειε τῶν πραγμάτων, vt statim insequens ποτέρα τῶν γυναικῶν.

37) ἀληθῶς, vera lectio, est in margine Mor. et in V. L. Venetae; sed non satis hoc; lege θεὸς ὡς ἀληθῶς.

38) f. σωτῆρα νομίζομεν εἶναι.

39) πῶς] reuoca e V. L. Ven. πόσον. *quantum enim est, quod noceat, si tamen noceat leo?* ἄν τις καὶ βλάψοι ἀνημέρους margo Mor.

40) contendit Morellus ἀνημέρους verum esse. aio ipse quoque,

τῶν ὑπερηφάνων τυράννων κατέλυε καὶ ἀφῃρεῖτο τὴν ἐξουσίαν· καὶ νῦν ἔτι τοῦτο δρᾷ, καὶ βοηθός ἐστι καὶ φύλαξ τῆς ἀρχῆς, ἕως ἂν τυγχάνῃς βασιλεύων.

que, et aſſentior, praeſertim cum in Veneta ſit ἀνημένους. poteſt tamen, ſi quis pertinacius contendat, alterum excuſari; nam, tametſi ἀνειμένος plerumque remiſſum et ſupinum ſignificet, poteſt tamen etiam prorupte flagitioſum ſignificare. v. Tacitus Ann. 4, 36. fine, deſtrictum delatorem vſurpat, h. e. omnibus vinculis pudoris et poenae ſolutum.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ
ΛΟΓΟΣ β.

Λέγεταί ποτε Ἀλέξανδρον τῷ πατρὶ Φιλίππῳ μειράκιον ὄντα, διαλεχθῆναι περὶ Ὁμήρου, μάλα ἀνδρείως καὶ μεγαλοφρόνως. οἱ δὲ αὐτοὶ [1]) λόγοι οὗτοι σχεδόν τι καὶ περὶ βασιλείας ἦσαν. ἐτύγχανε μὲν γὰρ Ἀλέξανδρος στρατευόμενος ἤδη μετὰ τοῦ πατρός· καίτοι τοῦ Φιλίππου κωλύοντος· ὁ δὲ [2]), οὐχ οἷός τ' ἦν κατέχειν αὐτόν· ὥσπερ οἱ γενναῖοι σκύλακες οὐχ ὑπομένουσιν ἀπολείπεσθαι τῶν ἐπὶ θήραν ἐξιόντων, ἀλλὰ ξυνέπονται, πολλάκις ἀπορρήξαν-

1) αὐτοὶ] Caſaubonus mauult αὐτοῦ, ſed poteſt vulgata ſeruari. *illi ipſi ſermones.* aut ſi quid mutandum, malim in duali, αὐτοῖν *illorum amborum*, patris et filii. v. p. 78, antep. vbi etiam de his duobus dualis ἐπαιξάτην vſurpatur.

2) ὁ δὲ dubium ad quem redeat, ad Philippumne, an ad Alexandrum. ſi ad illum, rectum eſt αὐτὸν, *eum*; ſin ad hunc, leg. eſt αὐτὸν *ſemet.* ego poſterius malim, et maluit Anglus quoque, ad quem v. Wolff.

ῥήξαντες τὰ δεσμά. ἐνίοτε μὲν οὖν ταράττουσιν ἐν τῷ ἔργῳ διὰ τὴν νεότητα καὶ τὴν ἐπιθυμίαν φθεγγόμενοι, καὶ πρὸ τοῦ καιροῦ τὸ θηρίον ἀνιστάντες· ἐνίοτε μὴν[3]) εἷλον αὐτοὶ προπηδήσαντες. τοιαῦτα ἐκεῖνος ἔπασχε τὸ [4]) πρῶτον, ὥστε καὶ τῆς ἐν Χαιρωνείᾳ μάχης τε καὶ νίκης φασὶν αὐτὸν αἴτιον γενέσθαι, τοῦ πατρὸς ὀκνοῦντος τὸν κίνδυνον. τότε δ' οὖν ἀπὸ στρατιᾶς[5]) ἥκοντες, ἐν Δίῳ[6]) τῆς Πιερίας ἔθυον ταῖς Μούσαις, καὶ τὸν ἀγῶνα τῶν Ὀλυμπίων ἐτίθεσαν, ὅν φασιν ἀρχαῖον [7]) εἶναι παρ' αὐτοῖς. ἤρετο οὖν αὐτὸν ὁ Φίλιππος ἐν τῇ συνουσίᾳ· διὰ τί ποτε, ὦ παῖ, σφόδρα οὕτως ἐκπέπληξαι τὸν Ὅμηρον, ὥστε διατρίβεις περὶ μόνον τῶν ποιητῶν [8]). ἐχρῆν μέντοι μηδὲ τῶν ἄλλων ἀμελῶς ἔχειν. σοφοὶ γὰρ οἱ ἄνδρες. καὶ ὁ Ἀλέξανδρος ἔφη, ὅτι δοκεῖ μοι, ὦ πάτερ, οὐ πᾶσα ποίησις βασιλεῖ πρέπειν,

3) f. ἐνίοτέ γε μήν.

4) ἔπασχε τὸ] sic recte Casaub. et Anglus, ἐπάσχετο Ven. et Morell.

5) ἀπὸ στρατείας. a militia, ab expeditione bellica. v. p. 26, 21. ed. Mor.

6) Δίῳ] sic recte Morellus primam literam in δίῳ maiusculam exarauit in annotationibus; est enim nomen proprium vrbis Macedonicae. De certamine Olympico ibi celebrari solito, v. praeter Morellum modo laudatum, P. Wesseling ad Diodor. Sic. II. 125. Ven. et Morelliana dant δίῳ.

7) ἀρχαῖον] primigenium, iam aetate primorum suae gentis auctorum vsitatum, antiquitus institutum et per longam annorum seriem continuatum atque ab antiquissimis maioribus inde ad se deriuatum; a Philippo autem tandem renouatum, cum aliquantum interquieuisset.

8) Casaubonus vult περὶ μόνον αὐτὸν τῶν π. mallem vtique Dioni placuisse sic scribere. verumtamen fert ratio et vsus linguae graecae, αὐτὸν in re simili abesse. quare auctori mos suus est relinquendus. pro ὥστε est in Ven. ὥγε, quod accedit ad lectionem marg. Mor. ὅς γε, quae etiam non est contemnenda.

ὥσπερ οὐδὲ στολή. τὰ μὲν οὖν ἄλλα ποιήματα, ἔγωγε ἡγοῦμαι, τὰ μὲν συμποτικὰ αὐτῶν, τὰ δὲ ἐρωτικὰ, τὰ δὲ ἐγκώμια ἀθλητῶν τε καὶ ἵππων νικώντων, τὰ δ' ἐπὶ τοῖς τεθνεῶσι θρήνους· τὰ δὲ γέλωτος ἕνεκεν ἢ λοιδορίας πεποιημένα· ὥσπερ τὰ τῶν κωμῳδιοδιδασκάλων, καὶ τὰ τοῦ Παρίου ποιητοῦ[9]). ἴσως δέ τινα αὐτῶν καὶ δημοτικὰ λέγοιτ' ἂν, συμβουλεύοντα καὶ παραινοῦντα τοῖς πολλοῖς καὶ ἰδιώταις, καθάπερ οἶμαι τὰ Φωκυλίδου καὶ Θεόγνιδος· ἀφ' ὧν τί ἂν ὠφεληθῆναι δύναιτο ἀνὴρ, ἡμῖν ὅμοιος;

Πάντων μὲν κρατέειν ἐθέλων, πάντεσσι δ' ἀνάσσειν.

Τὴν δέ γε Ὁμήρου ποίησιν, μόνην ὁρῶ τῷ ὄντι γενναίαν καὶ μεγαλοπρεπῆ καὶ βασιλικὴν, ᾗ πρέπει τὸν νοῦν προσέχειν τῶν ἀνδρῶν[10]) μάλιστα μὲν ἄρξειν μέλλοντα τῶν ὅποι ποτὲ ἀνθρώπων. εἰ δὲ μὴ τῶν πλείστων[11]) καὶ φανερωτάτων, ἀτεχνῶς γε ἐσόμενον, κατ' ἐκεῖνον, ποιμένα λαῶν. εἰ δὲ μὴ, πῶς οὐκ ἄτοπον, ἵππῳ[12]) μὲν μὴ ἐθέλειν ἢ τῷ ἀρίστῳ χρῆσθαι τὸν βασιλέα, τῶν δὲ ποιητῶν καὶ τοῖς ἥττοσιν ἐντυγχάνειν, ὥσπερ σχολὴν ἄγοντα[13]). εὖ ἴσθι, ἔφη, ὦ πάτερ, ἐγὼ οὐ μόνον ποιητὴν ἕτερον, ἀλλ' οὐδὲ[14]) μέτρον ἄλλο, ἢ τὸ Ὁμήρου ἡρῷον ἀκούων,

9) τοῦ παρίου ποιητοῦ] Archilochum designari, iam Morellus annotauit. v. Strabon. p. 745.

10) τῶν ἀνδρῶν est in texto Venetae, τῶν ἄνδρα in V. L. et τὸν ἄνδρα in. Mor. vnde elicio leg. esse sic: τὸν νοῦν προσέχειν τὸν ἄνδρα, τὸν μάλιστα. Casaubonus vult: τῶν ἀνδρῶν τὸν μάλιστα —

11) f. τῶν γε πλείστων. Casaub. mauult τὸν πλείστων.

12) ἵππῳ] subaudi ἄλλῳ.

13) ὥσπερ σχολὴν ἄγοντα] v. p. 23, 33. ed. Mor. *quasi nesciret, aut non haberet aliud, quod ageret.*

14) aut pro ἀλλ' οὐδὲ leg. est ἀλλὰ καὶ, si ἄχθομαι seruare volumus, aut ἀνέχομαι e marg. Mor. est adsciscendum, vel ἥδομαι, in locum v. ἄχθομαι.

ἀκούων, ἄχθομαι. πάνυ οὖν αὐτὸν ὁ Φίλιππος ἠγάσθη τῆς μεγαλοφροσύνης, ὅτι δῆλος ἦν οὐδὲν φαῦλον, οὐδὲ ταπεινὸν ἐπινοῶν· ἀλλὰ τοῖς τε ἥρωσι καὶ τοῖς ἡμιθέοις παραβαλόμενον [15]). ὅμως δὲ κινεῖν αὐτὸν βουλόμενος· τὸν δὲ Ἡσίοδον, ὦ Ἀλέξανδρε, ὀλίγου κρίνεις, ἔφη [16]), ποιητήν; οὐκ ἔγωγε εἶπεν, ἀλλὰ τοῦ παντὸς, οὐ μέντοι βασιλεῦσιν, οὐδὲ στρατηγοῖς ἴσως. ἀλλὰ τίσι μήν; καὶ ὁ Ἀλέξανδρος γελάσας, τοῖς ποιμέσιν ἔφη, καὶ τοῖς τέκτοσι, καὶ τοῖς γεωργοῖς. τοὺς μὲν γὰρ ποιμένας φησὶ φιλεῖσθαι ὑπὸ τῶν Μουσῶν, τοῖς δὲ τέκτοσι μάλα ἐμπείρως παραινεῖ, πηλίκον χρὴ τὸν ἄξονα τεμεῖν· καὶ τοῖς γεωργοῖς, ὁπηνίκα ἄρξασθαι πίθου [17]). τί οὖν οὐχὶ ταῦτα χρήσιμα ἔφη τοῖς ἀνθρώποις ὁ Φίλιππος; οὐχ ἡμῖν γε, εἶπεν, ὦ πάτερ, οὐδὲ Μακεδόσι τοῖς νῦν, ἀλλὰ τοῖς πρότερον, ἡνίκα νέμοντες καὶ γεωργοῦντες, Ἰλλυριοῖς ἐδούλευον καὶ Τριβαλλοῖς· οὐδὲ τὰ περὶ τὸν σπόρον ἔφη καὶ τὸν ἀμητὸν ὁ Φίλιππος, ἀρέσκει σοι τοῦ Ἡσιόδου μεγαλοπρεπῶς οὕτως εἰρημένα;

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων,
Ἄρχεσθ' ἀμητοῦ, ἀρότοιο δὲ δυσσομενάων.

Πολὺ

15) recte damnat Caſaubonus vulgatam παραβαλόμενον, cui ſubiicit aut παραβαλλόμενον, quod eſt in Veneta, aut παραβαλούμενον. neutrum recte, mea quidem ſententia. leg. mihi videtur παραμιλλώμενος, a παραμιλλᾶσθαι. aptus eſt hic nominatiuus a δῆλος ἦν. *quia conſtabat, et Alexander de ſe prodebat, ſe certare cum heroibus.*

16) f. ὀλίγου κρίνεις ἄξιον, ἔφη. patet e ſequente ἀλλὰ τοῦ παντός.

17) ἄρξασθαι πίθου] imo vero ἀμητοῦ *meſſem incipere.* Habuit Dio in mente locum τῶν ἔργων p. 383. ed. Mor.

πληϊάδων ἀτλαγενέων ἐπιτελλομενάων.
ἄρχεσθ' ἀμητοῦ, ἀρότοιο δὲ δυσσομενάων.

quod diſtichon etiam infra noſter repetit.

Πολύ γε μᾶλλον, εἶπεν ὁ Ἀλέξανδρος, τὰ παρ' Ὁμήρῳ γεωργικά. καὶ ποῦ περὶ γεωργίας εἴρηκεν Ὅμηρος; ἤρετο ὁ Φίλιππος, ἢ τὰ ἐν τῇ ἀσπίδι μιμήματα λέγεις τῶν ἀρούντων, καὶ θεριζόντων, καὶ τρυγώντων; ἥκιστά γε, εἶπεν ὁ Ἀλέξανδρος, ἀλλὰ ἐκεῖνο πολὺ μᾶλλον·

Οἱ δ' ὥς' ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν,
Ὄγμον ἐλαύνουσιν[18]) ἀνδρὸς μάκαρος κατ' ἄρουραν,
Πυρῶν ἢ κριθῶν· τὰ δὲ δράγματα ταρφέα πίπτει.
Ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες,
Δῄουν, οὐδ' ἕτεροι[19]) μνώοντ' ὀλοοῖο φόβοιο.

Ταῦτα μὲν Ὅμηρος[20]) ποιῶν ἡττᾶτο ὑπὸ Ἡσιόδου, ὁ Φίλιππος εἶπεν· ἢ οὐκ ἀκήκοας τὸ ἐπίγραμμα τὸ ἐν Ἑλικῶνι τὸ ἐπὶ τοῦ τρίποδος;

Ἡσίοδος Μούσαις Ἑλικωνίσι, τόνδ' ἀνέθηκεν,
Ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

Καὶ μάλα δικαίως, εἶπεν ὁ Ἀλέξανδρος, ἡττᾶτο· οὐ γὰρ ἐν βασιλεῦσιν ἠγωνίζετο, ἀλλ' ἐν γεωργοῖς καὶ ἰδιώταις, μᾶλλον δὲ ἐν ἀνθρώποις φιληδόνοις καὶ μαλακοῖς. τοιγαροῦν ἠμύνατο τοὺς Εὐβοέας διὰ τῆς ποιήσεως Ὅμηρος. πῶς, ἤρετο θαυμάσας ὁ Φίλιππος· ὅτι μόνους αὐτοὺς τῶν Ἑλλήνων περιέκειρεν αἴσχιστα, κομᾶν[21]) ὄπισθεν ἀφεὶς, ὥσ-

περ

18) ἐλαύνουσιν] sic Veneta recte, ob insequens πίπτει. Morell. ἐλαύνωσιν.

19) οὐδέτεροι vno vocabulo Ven.

20) f. ταῦτα μέντοι ὅμηρος. *atqui Homerus, haec qui vel cum scripsisset, tamen victus est.* Ita Philippus occurrit.

21) Salmasius in Dialogo de Coma p. 55. suadet, οὐ περιέκειρεν, αἴσχιστα κομᾶν, sed vulgata bene habet. περιέκειρεν est exhibuit, repraesentauit eos carmine suo tonsos, praedicauit de ipsis genus aliquod tonsurae turpissimum, quippe qui fiuerit eos comam alere retrorsum, h. e. quippe qui dixerit, eos comam alere per tergum promissam.

περ οἱ νῦν τοὺς παῖδας τοὺς ἁπαλούς[22]). καὶ ὁ Φίλιππος γελάσας λέγει· οἶδας, ὦ Ἀλέξανδρε[23]), ὅτι δεῖ μὴ λυπεῖν τοὺς ἀγαθοὺς ποιητάς, μηδὲ τοὺς δεινοὺς συγγραφέας, ὡς κυρίους ὄντας ὅ, τι βούλωνται περὶ ἡμῶν λέγειν. οὐ πάντως εἶπε κυρίους. τῷ γοῦν Στησιχόρῳ ψευσαμένῳ κατὰ τῆς Ἑλένης[24]), οὐ συνήνεγκεν. οὐ μέντοι Ἡσίοδος, ὦ πάτερ, δοκεῖ μοι οὐδὲ αὐτὸς ἀγνοεῖν τὴν ἑαυτοῦ δύναμιν, ὅσον ἐλείπετο Ὁμήρου. πῶς λέγεις; ὅτι ἐκείνου περὶ τῶν ἡρώων ποιήσαντος, αὐτὸς ἐποίησε γυναικῶν κατάλογον[25]), καὶ τῷ ὄντι τὴν γυναικωνῖτιν[26]) ὕμνησεν, παραχωρήσας Ὁμήρῳ τοὺς ἄνδρας ἐπαινέσαι. ἐκ τούτου δὴ ἤρετο ὁ Φίλιππος, ἀλλὰ σύ, ὦ Ἀλέξανδρε, πότερον ἕλοιο ἄν, Ἀγαμέμνων, ἢ Ἀχιλλεύς, ἢ ἐκείνων τις γεγονέναι τῶν ἡρώων, ἢ Ὅμηρος; οὐ μέντοι, ἦ[27]) δ' ὃς ὁ Ἀλέξανδρος, ἀλλὰ ὑπερβάλλειν πολὺ[28]) τὸν Ἀχιλλέα καὶ τοὺς ἄλλους. οὔτε γάρ σε χείρονα νομίζω τοῦ Πηλέως, οὔτε τῆς Φθίας ἀσθενεστέραν τὴν Μακεδονίαν, οὔτε τὸν Ὄλυμπον ἀδοξότερον ὄρους[29]) τοῦ Πηλίου φαίην ἄν· ἀλλὰ μὴν οὐδὲ

παι-

22) *παῖδες ἁπαλοὶ* sunt qui Latinis pueri delicati, vel impudici. hos *περικείρεσθαι* solitos ad Suetonium obseruabamus libro secundo — Casaubonus. v. etiam Petronii *cirratos pueros* interpp.

23) f. *οἶδας γὰρ ὦ ἀλ.* *nosti nempe.*

24) v. Dauis. ad Maxim. Tyr. p. 599.

25) *γυναικῶν κατάλογον*] v. Casaub. ad Strabon. p. 72. Fabric. B. G. T. I. p. 375.

26) *τὴν γυναικωνῖτιν*] sic recte dat Veneta, et sic quoque Casaubonus correxit. *τὴν γυναικαῖτιν* textus, et *τῶν γυναικῶν τινὰς* margo Morell.

27) *ἦ* sine iota subscripto, pro *ἔφη*. Ven. et Mor. dant *ᾗ*.

28) ad *πολὺ* addiderim *μᾶλλον*. multo magis ipsum superare Achiliem, quam similis ei esse, nedum poeta esse, similis Homero. noui *ὑπερβάλλειν πολὺ* esse *multis modis superare.* Sententia vero h. l. postulat *multo magis.*

29) *ὄρους*] malim *ὄρος*.

παιδείας φαυλοτέρας ἐπιτετύχηκα ὑπ' Ἀριστοτέλους, ἢ ἐκεῖνος ὑπὸ Φοίνικος [30] τοῦ Ἀμύντορος, φυγάδος ἀνδρὸς καὶ διαφόρου τῷ πατρί. πρὸς δὲ αὐτοῖς, ὁ μὲν Ἀχιλλεὺς ὑπήκουεν ἑτέροις, καὶ πέμπεται μετὰ μικρᾶς δυνάμεως κυρίως ἄλλῳ συστρατευσόμενος [31]· ἐγὼ δὲ οὐκ ἄν ποτε ὑπὸ ἀνθρώπων οὐδενὸς βασιλευθείην. καὶ ὁ Φίλιππος μικρὸν παροξυνθείς, ἀλλ' οὐχ ὑπ' ἐμοῦ γε [32] οὐ βασιλεύῃ [33], ὦ Ἀλέξανδρε; οὐκ ἔγωγε εἶπεν. οὐ γὰρ ὡς βασιλέως, ἀλλ' ὡς πατρὸς ἀκούω σου. σὺ δή που καὶ θεᾶς φήσεις μητρὸς γεγονέναι σεαυτόν, ὥσπερ ὁ Ἀχιλλεύς; εἶπεν ὁ Φίλιππος· ἢ Ὀλυμπιάδα συμβαλεῖν [34] ἀξιοῖς Θέτιδι; ὁ Ἀλέξανδρος ἡσυχῇ μειδιάσας, ἐμοὶ μέν, εἶπεν, ὦ πάτερ, ἀνδρειοτέρα δοκεῖ πασῶν Νηρηΐδων. ἐνταῦθα ὁ Φίλιππος γελάσας, οὐκ ἀνδρειοτέρα μόνον, ἔφη, ὦ παῖ, ἀλλὰ καὶ πολεμικωτέρα. ἐμοὶ γοῦν οὐ παύεται πολεμοῦσα. ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον ἅμα τῇ [35] σπουδῇ ἐπαιξάτην. πάλιν δὲ ἤρετο αὐτὸν ὁ Φίλιππος· ἀλλὰ τὸν Ὅμηρον οὕτω σφόδρα, ὦ Ἀλέξανδρε, θαυμάζων, πῶς

30) de Phoenice Achillis magiſtro v. paulo poſt et Philoſtrat. Heroica.

31) συστρατευσόμενος] Morellus teſtatur Hen. Stephanum in ora libri ſui adſcripſiſſe οὐ κύριος. quod ſi admittatur, addendum eſſe δὲ. recte vero, poteſt tamen etiam ſic emendari κυρίῳ, vna literula ς, quae ex adſcripto iota potuit oriri, detrita. In V. L. Venetae eſt idem, quod H. Stephanus coniecerat.

32) ἀλλ' οὐχ ὑπ'] ſic recte Ven. ἀλλ' οὐκ ὑπ' Mor.

33) οὐ βασιλεύῃ non improbo; poſſit tamen etiam σὺ βασ. haud eſſe alienum.

34) f. ὀλυμπιάδα οὐ συμβαλεῖν. *aut nil curabis Olympiadem cum Thetide conferre?* vel, *aut non cenſes te dignum, Olympiadem a te cum Thetide comparari.*

35) τῇ] malim τι *quodammodo.* ἅμα τι idem eſt atque ὁμοῦ τι, et in vtroque τι redundat.

πῶς ὑπερορᾷς αὐτοῦ τὴν σοφίαν[36]); ὅτι, ἔφη, καὶ τοῦ Ὀλυμπιάσι κήρυκος, ἥδιστ' ἂν ἀκούοιμ' ἂν[37]) φθεγγομένου μέγα καὶ σαφὲς, οὐ μέντοι κηρύττειν. ἐβουλόμην αὐτὸς[38]) ἑτέρους νικῶντας, ἀλλὰ πολὺ μᾶλλον κηρύττεσθαι. ταῦτα δὲ λέγων ἐποίησε[39]) φανερὸν, ὅτι τὸν μὲν Ὅμηρον ἐνόμιζε δαιμόνιον καὶ θεῖον τῷ ὄντι κήρυκα τῆς ἀρετῆς· αὐτὸν δὲ καὶ τοὺς ἄνδρας ἐκείνους[40]), ἀθλητάς τε καὶ ἀγωνιστὰς τῶν καλῶν ἔργων ἡγεῖτο. οὐδὲν μὲν οὖν ἄτοπον, εἶπεν, ὦ πάτερ, εἰ καὶ ποιητὴς ἀγαθὸς εἴην[41]) παρεχούσης τῆς φύσεως. ἐπεί τοι καὶ ῥητορικῆς δέοι ἂν τῷ βασιλεῖ. σὺ γοῦν ἀντιγράφειν πολλάκις ἀναγκάζῃ, καὶ ἀντιλέγεις[42]) Δημοσθένει, μάλα δεινῷ ῥήτορι καὶ γόητι, καὶ τοῖς ἄλλοις τοῖς Ἀθήνησι πολιτευομένοις. καὶ ἐβουλόμην γε, εἶπεν ὁ Φίλιππος παίζων, παραχωρῆσαι Ἀθηναίοις Ἀμφιπόλεως, ἀντὶ[43]) τῆς Δημοσθένους δεινότητος. ἀλλὰ πῶς Ὅμηρον οἴει διανοεῖσθαι περὶ ῥητορικῆς; δοκεῖ μοι, ἔφη, τὸ πρᾶγμα θαυμάζειν, ὦ πάτερ. οὐ γὰρ ἄν ποτε Ἀχιλλεῖ διδάσκαλον τῶν λόγων ἐπήγετο τὸν Φοίνικα. φησὶ γοῦν πεμφθῆναι αὐτὸν ὑπὸ τοῦ πατρός·

Μύθων

36) τὴν σοφίαν] *quare contemnis adeo artem vel facultatem Homeri poeticam, quem tanti facis?* σοφὸν appellant graeci quemcunque arte quapiam ſcientiaue excellentem.
37) Caſaubonus vult ἥδιστα ἀκούοιμ' ἂν, quia ἂν in tam breui interuallo iteratum offendit. poſſis quoque ἥδιστα μὲν ἀκούοιμ' ἄν.
38) αὐτὸς] ſic recte Veneta et Caſaubonus. αὐτὸν Morell.
39) ἔποις eſt in Veneta, voluit ἐποίει.
40) ἄνδρας ἐκείνους] Supra a noſtro p. 77. nominatos, aliosque ab Homero celebratos.
41) εἴην : *eſſem*, et ſic quoque Anglus. εἶεν m. Mor. Sed εἴη Ven. et t. Mor.
42) ἀντιλέγειν.
43) ἀντὶ] ſic recte Caſaub. emendat, et vir doctus in meo Veneto, nec non Anglus, αὐτὸ Morell. et Ven.

Μύθων τε ῥητῆρ' ἔμεναι, πρηκτῆρά τε ἔργων.

Τῶν τε ἄλλων τοὺς ἀρίστους καὶ βασιλικωτάτους ἐποίησεν ἐσπουδακότας οὐχ ἧττον περὶ τὴν τοιαύτην δύναμιν, τὸν δὲ 44) Διομήδη, καὶ Ὀδυσσέα καὶ Νέστορα. τοῦτο μέντοι καὶ ὑπερβάλλοντα τῇ συνέσει καὶ τῇ πειθοῖ. Φησὶ γοῦν ἐν ἀρχῇ τῆς ποιήσεως,

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

Ὥστε καὶ τὸν Ἀγαμέμνονα εὔχεσθαι, δέκα γέροντας αὐτῷ τοιούτους εἶναι μᾶλλον συμβούλους, ἢ νεανίσκους, οἷος ὅ, τ' Αἴας καὶ Ἀχιλλεύς, ὡς θᾶττον ἂν ἁλούσης τῆς Τροίας. καὶ μὲν 45) τὸ μέγεθος τῆς περὶ τοὺς λόγους χρείας, ἐδήλωσεν ἐν ἑτέρῳ. τῶν γὰρ Ἑλλήνων διὰ τὸ μῆκος τοῦ πολέμου καὶ τὴν χαλεπότητα τῆς πολιορκίας, ἔτι δὲ οἶμαι διὰ τὴν ἐπιλαβοῦσαν νόσον, καὶ τὴν στάσιν τῶν βασιλέων, τοῦ τε Ἀγαμέμνονος καὶ Ἀχιλλέως, ἀπειρηκότων ἤδη πρὸς τὴν στρατείαν, πρὸς δὲ αὖ τούτοις, δημαγωγοῦ τινος ἐπιστάντος αὐτοῖς, καὶ ταράξαντος τὴν ἐκκλησίαν, τὸ πλῆθος ὥρμησεν ἐπὶ τὰς ναῦς, καὶ παραχρῆμα ἐμβάντες, ἐβούλοντο φεύγειν, οὐδενὸς δυναμένου κατέχειν, οὐδὲ τοῦ Ἀγαμέμνονος ἔχοντος ὅ, τι χρήσεται τοῖς παροῦσι πράγμασιν. οὐκοῦν ἐνταῦθα μόνος αὐτοὺς ἐδυνήθη μετακαλέσαι καὶ μεταβαλεῖν Ὀδυσσεὺς καὶ τέλος ἔπεισε δημηγορῶν μετὰ τοῦ Νέστορος μένειν. ὥστε τοῦτο μὲν τὸ ἔργον φανερῶς τῶν ῥητόρων ἐγένετο. πολλὰ δ' ἂν τις ἐπιδείξειε καὶ ἕτερα. Φαίνεται δ' οὐ μόνον Ὅμηρος, ἀλλὰ καὶ Ἡσίοδος οὕτω φρονῶν, ὡς φιλοσοφίας τε ἅμα καὶ ῥητορικῆς τῆς ἀληθοῦς τῷ βασιλεῖ προσηκόντων 46), ἐν οἷς φησι περὶ Καλλιόπης·

Ἡ γὰρ

44) δὲ] l. τε.
45) μὲν] l. μὴν.
46) aut προσηκουσῶν, aut potius προσῆκον, quod eſt eiusmodi participium, vt δέον, ἐξὸν, et ſimilia.

Ἦ γὰρ καὶ βασιλεῦσιν ἅμ᾽ αἰδοίοισιν ὀπηδεῖ,
Ὅντινα τιμήσουσι[47] Διὸς κοῦραι μεγάλοιο,
Γεινόμενόν τ᾽ ἐσίδωσι διοτρεφέων βασιλήων.

Ἔπη μὲν οὖν ποιεῖν, ὦ πάτερ, ἢ λόγους πεζοὺς συγγράφειν, ὁποίας σὺ τὰς ἐπιστολὰς, ἀφ᾽ ὧν σφόδρα σέ φασιν εὐδοκιμεῖν, οὐ πάντως ἀναγκαῖον τοῖς βασιλεῦσιν, εἰ μή γε νέοις οὖσιν ἔτι, καὶ σχολὴν ἄγουσιν. ὥσπερ καὶ σὲ λέγουσιν ἐν Θήβαις διαπονῆσαι τὰ περὶ τοὺς λόγους. οὐδ᾽ αὖ φιλοσοφίας ἅπτεσθαι πρὸς τὸ ἀκριβέστατον, ἀπλάστως δὲ καὶ ἁπλῶς, ἐνδεικνύμενον αὐτοῖς τοῖς ἔργοις φιλάνθρωπον ἦθος καὶ πρᾶον, καὶ δίκαιον· ἔτι δὲ ὑψηλὸν καὶ ἀνδρεῖον, καὶ μάλιστα δὴ χαίροντα εὐεργεσίαις, ὅπερ ἐστὶν ἐγγυτάτω τῆς τῶν θεῶν φύσεως. τῶν γε μὴν λόγων ἡδέως ἀκούοντα τῶν ἐκ φιλοσοφίας, ὁπότ᾽ ἂν καιρὸς, ἅτε οὐκ ἐναντίων φαινομένων, ἀλλὰ συμφώνων τοῖς αὐτοῦ τρόποις. τέρπεσθαι δὲ ποιήσει προσέχειν[48]) τὸν νοῦν οὐχ ἁπάσῃ, τῇ δὲ καλλίστῃ καὶ μεγαλοπρεπεστάτῃ, συμβουλεύσαιμ᾽ ἂν τῷ γενναίῳ καὶ βασιλικῷ τὴν ψυχὴν, οἵαν μόνην ἴσμεν τὴν Ὁμήρου, καὶ τὴν[49]) Ἡσιόδου τὰ τοιαῦτα, καὶ εἴ τις ἄλλο τι λέγει χρηστόν. οὔτε γὰρ μουσικὴν, ἔφη, πᾶσαν μανθάνειν ἐθέλοιμ᾽ ἂν, ἀλλὰ κιθάρᾳ μόνον ἢ λύρᾳ χρῆσθαι πρὸς θεῶν ὕμνους καὶ θεραπείας, ἔτι δὲ οἶμαι, τῶν ἀγαθῶν ἀνδρῶν τοὺς ἐπαίνους· οὐδέ γε ᾄδειν τὰ Σαπφοῦς, ἢ Ἀνακρέοντος ἐρωτικὰ μέλη πρέπον ἂν εἴη τοῖς βασιλεῦσιν· ἀλλ᾽ εἴπερ ἄρα τῶν Στησιχόρου μελῶν, ἢ Πινδάρου, ἐὰν ᾖ τις ἀνάγκη. τυχὸν δὲ καὶ πρὸς τοῦτο ἱκανὸς Ὅμηρος.

ἢ γὰρ,

47) τιμήσωσι m. Mor.
48) Casaubonus vult προσέχοντα, ego malim καὶ προσέχειν. cohaerent hi infinitiui cum συμβουλεύσαιμι ἄν.
49) loco τὴν leg. est τῆς, scil. ποιήσεως; de Hesiodea poesi si quae sunt Homericae similia.

ἢ γάρ, εἶπεν ὁ Φίλιππος, πρὸς κιθάραν συμφωνῆσαί τινά σοι δοκεῖ ἂν τῶν Ὁμήρου. καὶ ὁ Ἀλέξανδρος γοργὸν ἐμβλέψας ὥσπερ λέων· ἐγὼ μέν, εἶπεν, ὦ πάτερ, οἶμαι, πρέπειν πολλὰ τῶν Ὁμήρου ἐπῶν πρὸς σάλπιγγα ᾄδεσθαι, μὰ Δί' οὐ τὴν ἀνακαλοῦσαν, ἀλλὰ τὴν ἐποτρύνουσαν καὶ παρακελευομένην· οὐχ ὑπὸ γυναικείου χοροῦ λεγόμενα, ἢ παρθένων, ἀλλ' ὑπὸ φάλαγγος ἐνόπλου, πολὺ μᾶλλον ἢ τὰ Τυρταίου παρὰ τοῖς Λάκωσιν. ἔνθα ἐπήνεσεν ὡς καλῶς αὐτὸν εἰπόντα ὁ Φίλιππος καὶ ἀξίως τοῦ ποιητοῦ. οὐκοῦν, ἦ δ' ὅς [50]), καὶ τοῦτο, ὑπὲρ οὗ νῦν ἐμνήσθημεν, Ὅμηρος ἐπιδείκνυσι. τὸν γοῦν Ἀχιλλέα πεποίηκεν [51]) ὑστερίζοντα ἐν τῷ στρατοπέδῳ τῶν Ἀχαιῶν, οὐκ ἔκλυτα οὐδὲ ἐρωτικὰ μέλη ᾄδοντα· καίτοι φησί γε αὐτὸν ἐρᾶν τῆς Βρισηΐδος· ἀλλὰ κιθάρᾳ μὲν χρῆσθαι, μὰ Δί' οὐκ ὠνησάμενον, οὐδ' οἴκοθεν ἄγοντα παρὰ τοῦ πατρός· ἀλλὰ ἐκ τῶν λαφύρων ἐξελόμενον, ὅτε εἷλε τὰς Θήβας, καὶ τὸν Ἠετίωνα ἀπέκτεινε τὸν τοῦ Ἕκτορος κηδεστήν.

Τῇ ὅγε (φησὶ) θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.

ὡς οὐδέποτε ἐκλανθάνεσθαι δέον τῆς ἀρετῆς, οὐδὲ τῶν εὐκλεῶν πράξεων, οὔτε πίνοντα, οὔτε ᾄδοντα, τὸν γενναῖον ἄνδρα καὶ βασιλικόν· ἀλλ' ἀεὶ διατελεῖν ἢ πράττοντα αὐτὸν μέγα τι καὶ θαυμαστόν, ἢ μεμνημένον τῶν ὁμοίων. ταῦτα δὲ ἔλεγε πρὸς τὸν πατέρα, ἐπιδεικνύμενος τὴν αὑτοῦ διάνοιαν. καὶ γὰρ δὴ ἐτύγχανε τὸν μὲν Ὅμηρον ἀγαπῶν, τὸν Ἀχιλ-

λέα

50) ἦ δ' ὅς] ſcil. Alexander. pro τοῦτο eſt in Veneta τούτου. forte fuit in aliis codd. τοῦτο ὅπερ νῦν ἐμνήσθημεν.

51) poſt πεποίηκεν eſt comma ponendum; non enim illud verbum cum ὑστερίζοντα cohaeret, ſed cum ᾄδοντα. Homerus finxit Achillem cantantem, eo tempore, cum is ſeparaſſet ſeſe a reliquo exercitu.

λέα δὲ οὐ μόνον ἐθαύμαζεν, ἀλλὰ καὶ ἐζηλοτύπει τῆς Ὁμήρου ποιήσεως, ὥσπερ οἱ κακοὶ[52]) παῖδες ζηλοτυποῦσι τοὺς καλοὺς, ἐνίοτε κρειττόνων ἐραστῶν τυγχάνοντας. τὸν δὲ Ἀγαμέμνονα οὐκ ἐμακάριζεν. ἤλπιζε γὰρ πολὺ πλειόνων ἄρξειν αὐτὸς, ἢ ὁπόσων ἐκεῖνος. τῶν δὲ ἄλλων ποιητῶν οὐ σφόδρα ἐφρόντισε. Στησιχόρου δὲ καὶ Πινδάρου ἐπεμνήσθη· τοῦ μὲν ὅτι μιμητὴς Ὁμήρου γενέσθαι δοκεῖ, καὶ τὴν ἅλωσιν οὐκ ἀναξίως ἐποίησε τῆς Τροίας· τοῦ δὲ Πινδάρου διά τε τὴν λαμπρότητα τῆς φύσεως, καὶ ὅτι τὸν πρόγονον αὐτοῦ καὶ ὁμώνυμον ἐπῄνεσεν Ἀλέξανδρον, τὸν Φιλέλληνα ἐπικληθέντα, ποιήσας εἰς αὐτόν· Ὀλβίων ἐπώνυμε Δαρδανιδᾶν. διὰ τοῦτο γὰρ καὶ Θήβας ὕστερον πορθῶν μόνην κατέλιπε τὴν οἰκίαν ἐκείνου, κελεύσας ἐπιγράψαι· Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε. ἧπου πολλὴν ἠπίστατο χάριν τοῖς αὐτὸν ἐγκωμιάζουσι μὴ φαύλως· οὕτως ἄγαν φιλότιμος ὢν[53]). τί δαὶ, εἶπεν ὁ Φίλιππος, ὦ παῖ, πάνυ γὰρ ἡδέως ἀκούω σου τὰ τοιαῦτα λέγοντος, οὐδὲ οἴκησιν[54]) ἀξιοῖς κατεσκευάσθαι τὸν βασιλέα κεκοσμημένην χρυσῷ, καὶ ἐλέφαντι καὶ ἠλέκτρῳ, τοῖς πολυτίμοις; οὐδαμῶς, εἶπεν, ὦ πάτερ, πολὺ δὲ μᾶλλον σκύλοις τε καὶ ὅπλοις πολεμίων ἀνδρῶν· καὶ τά γε ἱερὰ τοιούτοις κόσμοις ἱλάσκεσθαι[55])· καθάπερ καὶ ὁ Ἕκτωρ ἠξίου προκα-

52) *καλοὶ* (pro *κακοὶ*) coniecturam marg. Mor. et Naogeorgi, et Casauboni, vir doctus quoque Venetae adscripserat.

53) *ὢν*] malim *ἦν*.

54) malim *οἰκήσεσιν* — *κεκοσμημέναις*.

55) offendit iam Casaubonum durities dictionis *ἱερὰ ἱλάσκεσθαι*; non enim templa, sed deos, *ἱλάσκεσθαι* placari. Ergo aut templa h. l. esse pro diis vsurpata, per metonymiam, vel Synecdochen, aut aliud verbum oportere subiici, vt *ἀγάλλεσθαι*, vel *κοσμεῖσθαι*. Sed *ἱλάσκεσθαι* potest

λόμενος τὸν ἄριϛον τῶν Ἀχαιῶν· ὅτι κρατήσας, τὸ μὲν σῶμα ἀποδώσει τοῖς συμμάχοις, τὰ δὲ ὅπλα, ἔφη, σκυλεύσω,

Καὶ κρεμόω ποτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο.

Τῷ παντὶ γὰρ κρείττων ὗτος κόσμος τῶν ἱερῶν, ἢ σμαράγδων καὶ σαρδίων, καὶ ὀνύχων. οἷος ἦν ὁ Σαρδανάπαλος περὶ οἶνον 56). ὐ γὰρ βασιλέως τὰ τοιαῦτα φιλοτιμήματα ὐδαμῶς, ἀλλ' ἀνοήτυ μὲν παίγνια κόρης, ἀκολάϛυ δὲ γυναικός. ὔκυν ὐδὲ Ἀθηναίυς ὔτως, ἔφη, ζηλῶ τῆς δαπάνης καὶ πολυτελείας τῆς περὶ τὴν πόλιν καὶ τὰ ἱερὰ, ὅσον τῶν ἔργων, ἃ ἔπραξαν οἱ πρότερον· τὸν ἀκινάκην τοῦ Μαρ-

potest hoc loco defendi, hac de caussa, quod significet, *hilaria, nitida, splendida reddi, et comta.* quo sensu verbum hoc etiam apud Pindarum reperi. Quae Anglus et Wolf in Anecdotis Graecis ad h. l. attulere, potest, si quem iuuat, ibi legere. me referre nil iuuat, cum aliena videantur a re praesente.

56) ὁ σαρδανάπαλος περὶ οἶνον] offenderunt ad h. l. Casaubonus et Morellus. ille ὁ σαρδαναπάλυ περίοικος, aut, quod potius mallet, περιττὸς οἶκος, obscurum relinquens, quid existimet esse περίοικος. nam vulgaris illius vocabuli significatio huc non conuenit, cum designat finitimum, accolam regionis nostrae. Morellus autem commendat ὁ σαρδαναπάλυ περὶ νῖνον, affirmans alteram suae emendationis partem a codice manuscripto confirmari, relinquens ille item, quam partem, anteriorem, an posteriorem, σαρδαναπάλυ an νῖνον, codex antiquus confirmet. Neutrius mihi ratio satisfacit, qui malim ὁ σαρδανάπαλος παροινῶν *cuiusmodi* (scil. κόσμος χρυσῦ καὶ σαρδίων καὶ ὀνύχων) *erat Sardanapalus inter pocula* per temulentiam *ineptiens et insaniens.* In meo opusculo Dioneo prodebam, mihi videri haec verba οἷος ἦν ὁ σαρδανάπαλος παροινῶν a sua sede aberrasse, et post verba ἀκολάϛυ δὲ γυναικὸς esse collocanda; nam etiam p. 48. antep. ed. Mor. Sardanapalum cum muliere comparari. Optet iam lector harum duarum coniecturarum vtram volet.

Μαρδωνίου πολὺ σεμνότερον καὶ κρεῖττον ἀνάθημα ἔχουσαν[57]), καὶ τὰς Λακώνων ἀσπίδας, καὶ[58]) τῶν ἐν Πύλῳ ποτὲ ἁλόντων, ἢ τὰ προπύλαια τῆς ἀκροπόλεως, καὶ τὸ Ὀλύμπιον ἀπὸ πλειόνων ἢ μυρίων ταλάντων. οὐκοῦν, ἦ δ᾽ ὃς ὁ Φίλιππος, ἐνταῦθα τὸν Ὅμηρον οὐκ ἂν ἔχοις ἐπαινεῖν. τὰ γὰρ τοῦ Ἀλκινόου βασίλεια ἀνδρὸς Ἕλληνος καὶ νησιώτου διεκόσμησεν οὐ μόνον κήποις, καὶ ὕδασιν, ὡς ἥδιστα ἐνοικεῖν, ἀλλὰ καὶ ἀγάλμασι χρυσοῖς. ἔτι δὲ μᾶλλον τὴν τοῦ Μενελάου οἴκησιν, καὶ ταῦτα ἀπὸ στρατείας ἥκοντος, ἆρ᾽ οὐ Περσικήν τινα καὶ Μηδικὴν ἐξηγεῖται, σχεδόν τι οὐ πολὺ ἀποδέουσαν Σεμιράμιδος ἢ Δαρείου τε καὶ Ξέρξου τῶν βασιλέων[59]); φησὶ γοῦν·

Ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης,
Δῶμα καθ᾽ ὑψερεφὲς Μενελάου κυδαλίμοιο,
Χρυσοῦ τ᾽ ἠλέκτρου τε καὶ ἀργύρου ἠδ᾽ ἐλέφαντος.

Τοῖς γὰρ Τρωϊκοῖς σκύλοις ἐχρῆν μᾶλλον λάμπειν αὐτὸ, ἢ τούτοις, κατά γε τὴν σὴν διάνοιαν. καὶ ὁ Ἀλέξανδρος ἐπισχὼν, οὐκ ἔγωγε, εἶπεν, τὸν Ὅμηρον ἐάσειν μοι δοκῶ ἀναπολόγητον· ἴσως γὰρ πρὸς τὸν τοῦ Μενελάου τρόπον ἐποίησε τὰ βασίλεια, ὃν φησι μόνον εἶναι τῶν Ἀχαιῶν μαλθακὸν αἰχμητήν. σχεδὸν γὰρ οὖν ἔοικεν οὐδὲ τῶν ἄλλων οὐδὲν μάτην ὁ ποιητὴς οὗτος λέγειν, ἀλλὰ καὶ στολὴν, καὶ οἴκησιν, καὶ δίαιταν πρὸς τὸ τῶν ἀνθρώπων ἦθος πολλάκις ἀπεικάζειν. διὰ τοῦτο τὰ μὲν ἐν Φαίαξι βασίλεια ἐκόσμησεν ἄλσει[60]) τε καὶ ὀπώραις ἡδίστοις, καὶ κρή-

57) aut in ἔχουσαν est vitium, et eius loco leg. est νομίζων, vel ἡγούμενος, vel tale quid, aut exciderunt nonnulla, quae difficile est diuinare.

58) καὶ delendum est. *illorum Spartanorum, qui apud Pylum* a Cleone *capti sunt.*

59) f. ἀποδέουσαν τῶν σεμιράμιδος ἢ δαρείου — βασιλείων. *non multum cedentem regiis Semiramidis aut Darii Xerxisque.*

60) recte dat V. L. Ven. ἄλσεσι in plurali, quo admisso stare

ναις ἀεννάοις. ἔτι δὲ μᾶλλον τὸ τῆς Καλυψοῦς· ἅτε ὡραίας καὶ φιλανθρώπου θεᾶς, ἐν νήσῳ καθ' αὑτὴν ἀπῳκισμένης· τοῦτο μὲν γὰρ, εὐώδη διαφερόντως φησὶ τὴν νῆσον, τῶν ἡδίστων ἐν αὐτῇ θυμιαμάτων[61]· τοῦτο δὲ σύσκιον δένδροις εὐθαλέσι, κύκλῳ δὲ τὰ[62] περὶ τὸ σπήλαιον, ἄμπελον περιήκουσαν ὡραίαν, βότρυσι βριθομένην, ἔμπροσθεν δὲ, λειμῶνας ἁπαλοὺς ἀναμὶξ σελίνων τε καὶ ἑτέρων, ἐν δὲ τῷ μέσῳ κρήνας τέτταρας λαμπροῦ καὶ διαφανοῦς ὕδατος πάντοσε ἀποῤῥέοντος, ἅτε οὐκ ὄντος ἑτεροκλινοῦς, οὐδὲ ἀνίσου τοῦ|χωρίου. πάντα γὰρ ταῦτα ὑπερφυῶς ἐρωτικὰ καὶ ἡδέα, κατὰ τὸν τρόπον οἶμαι τῆς θεᾶς. τὴν δέ γε τοῦ Μενελάου, πολυχρήματον, πολύχρυσον[63] αὐλὴν, καθάπερ οἶμαι τῶν Ἀσιαγενῶν τινος βασιλέων. καὶ γὰρ οὗτος ἦν οὐ μακρὰν τοῦ τε Ταντάλου καὶ Πέλοπος, ὅθεν οἶμαι καὶ τὸν χορὸν Εὐριπίδης[64] εἰς τοῦτο αἰνιττόμενον πεποίηκεν ἐν τῇ προσόδῳ τοῦ βασιλέως. Μενέλαος δὲ πολλῇ ἁβροσύνῃ δῆλος ὁρᾶται, τοῦ Ταντάλιδῶν ἐξ αἵματος ὤν. οὐ μὴν τήν γε τοῦ Ὀδυσσέως οἴκησιν οὐδαμῶς τούτοις ὁμοίαν, ἀλλ' ὡς ἂν ἀσφαλοῦς ἀνδρὸς πεποίηκε πρὸς αὐτὸ[65] παρεσκευασμένου. λέγει γὰρ οὕτως·

Ἐξ

ſtare poterit ἡδίστοις, quod alias cum ἡδίσταις eſſet mutandum et ad ὀπώραις accommodandum.

61) poſt θυμιαμάτων deeſſe videtur γέμουσαν, aut ὄζουσαν, aut ἀναπνέουσαν, aut tale quid.

62) τὰ malim abeſſe; tametſi non neſciam, εἰς vel κατὰ poſſe ſubaudiri.

63) f. πολυχρήματον καὶ πολύχρυσον (ſcil. φησὶ).

64) locum Euripidis a Dione commemoratum affert Morellus.

65) poſt πρὸς αὐτὸ videtur aliquid deeſſe, e. c. τὸ ἐνοικεῖν, vel ἀρκοῦν, vel ἀναγκαῖον, vel tale quid. leg. item eſt παρεσκευασμένην.

Ἐξ ἑτέρων ἕτερ' ἐστὶν, ἐπήσκηται δέ οἱ αὐλὴ
Τοίχῳ καὶ θριγκοῖσι. θύραι δ' εὐερκέες εἰσὶ
Δικλίδες. οὐκ ἄν τις μιν ἀνὴρ ὑπεροπλίσσαιτο.

Δεῖ δὲ τοῦ ποιητοῦ, τὰ μὲν ὡς συμβουλεύοντος καὶ παραινοῦντος ἀποδέχεσθαι, τὰ δὲ ὡς ἐξηγουμένου μόνον, πολλὰ δὲ ὡς ὀνειδίζοντος καὶ καταγελῶντος. ἔοικε μὴν καὶ τὰ περὶ κοίτην, καὶ τὴν καθ' ἡμέραν δίαιταν, ἱκανὸς εἶναι παιδεύειν Ὅμηρος ἡρωϊκήν τινα καὶ βασιλικὴν τῷ ὄντι παίδευσιν, καὶ τὰς Λακωνικὰς ἑστιάσεις τῶν φιλιτίων [66]) δείπνων μαθόντα παρ' ἐκείνου Λυκοῦργον, νομοθετῆσαι τοῖς Σπαρτιάταις. ἐπεί τοι καὶ φασὶν αὐτὸν ἐπαινέτην Ὁμήρου γενέσθαι, καὶ πρῶτον ἀπὸ Κρήτης [67]), ἢ τῆς Ἰωνίας κομίσαι τὴν ποίησιν εἰς τὴν Ἑλλάδα. τὸν γοῦν Διομήδη πάνυ στερεῶς κατέκλινεν, ἐπὶ βύρσης ἀγραύλου βοὸς, κύκλῳ περιστήσας τὰ δόρατα ὀρθὰ ἐπὶ σαυρωτῆρος· οὐ κόσμου χάριν, ἀλλ' ἕτοιμα λαβεῖν· εὐωχεῖ γε μὴν ἀπὸ κρεῶν τοὺς ἥρωας καὶ τούτων βοείων, δηλονότι ἰσχύος, οὐχ ἡδονῆς ἕνεκεν. τὸν γοῦν Ἀγαμέμνονα τὸν ξυμπάντων βασιλέα καὶ πλουσιώτατον, βοῦν ἀεί φασι [68]) θύειν, καὶ ἐπὶ τοῦτον καλεῖν ἀεὶ τοὺς ἀρίστους. καὶ τὸν Αἴαντα μετὰ τὴν νίκην φιλοφρονεῖται τοῖς νώτοις τοῦ βοός. ἰχθύων [69]) δὲ οὐδέποτε γευομένους αὐτοὺς ἐποίησεν, καὶ

66) γρ. φιδιτ. margo Mor.

67) volui in meo opuſculo Dioneo γενέσθαι πρῶτον, καὶ ἀπὸ κρήτης — haud inſcite, ſi quid iudico; fuit enim Lycurgus primus Homeri praeco, et ad graecos laudator atque commendator. Sed et vulgata bene habet. Lycurgus enim primus Homeri carmina e Creta aut Ionia in Graeciam intulit. Vtcunque verſes, manet eadem ſententia.

68) φασὶ] malim φησὶ, vt et latinus interpres reddidit. *ait*, Homerus puta.

69) recte dat V.L. Ven. ἰχθύων. t. Venetae et Mor. ἰχθὺν.

ταῦτα ἐπὶ θαλάσσης στρατοπεδεύοντας, καίτοι τὸν[70]) Ἑλλήσποντον, ὅπερ ἐστὶν, ἰχθυόεντα ἑκάστοτε καλῶν. πάνυ γὰρ ὀρθῶς αὐτὸ[71]) τοῦτο ἀπεμνημόνευσεν ὁ Πλάτων. ἀλλ' οὐδὲ τοὺς μνηστῆρας ἰχθύσιν ἑστιᾷ, σφόδρα ἀσελγεῖς καὶ τρυφεροὺς ὄντας ἐν Ἰθάκῃ, καὶ ταῦτα ἑστιωμένους. ὅτι γε μὴν οὐκ ἄλλως διέξεισι ταῦτα, φανερῶς αὐτὸς ἀποφαίνεται[72])· ποίαν δέ τινα δεῖ τὴν τροφὴν εἶναι, καὶ πρὸς τί γιγνομένην; ἣν γὰρ ἐθέλει ἐπαινέσαι, μενοεικέα δαῖτά φησι, τὴν οἵαν τε παρέχειν μένος, τουτέστιν, ἰσχύν. ταῦτα δὲ λέγει, διδάσκων καὶ παραινῶν, ὡς δεῖ καὶ τραπέζης ἐπιμελεῖσθαι τοὺς ἀγαθοὺς, ἐπεὶ τροφῆς γε παντοίας καὶ πολυτελείας οὐκ ἐτύγχανεν ἄπειρος ὤν. ὥστε τοὺς περὶ ταῦτα νῦν ἐπτοημένους[73]) Πέρσας καὶ Σύρους καὶ τῶν Ἑλλήνων

70) recte rurſus V. L. Ven. καίτοι τὸν, *tametſi Helleſpontum piſcoſum paſſim appellat, qui etiam reuera eſt.* t. Ven. et Mor. dant καὶ τόν.

71) αὐτὸ] malim αὐτοῦ, eius, Homeri puta. hoc Homeri vel rectiſſime, inprimis recte, notauit, vt commemoratione dignum retulit Plato.

72) verba traiecta videntur. ponam totam ſententiam, quomodo iudico eſſe ordinandam: ὅτι γε μὴν οὐκ ἄλλως διέξεισι ταῦτα, ποίαν δέ τινα δεῖ τὴν τροφὴν εἶναι καὶ πρὸς τί γιγνόμενον, φανερώσων, αὐτὸς ἀποφαίνεται. *poetam autem haec non temere, non ſine cauſa, exſequi, ſed eo, quo demonſtret, qualem quoque tempore locoque paſtum deceat eſſe,* vel *quamnam ad rem epulandum ſit, ipſe demonſtrat.* pro γιγνομένην poſui γιγνόμενον. *ad quodnam euentum* aut *ad quamnam actionem.* h. e. cum agatur quidnam? aut *cuius rei obtinendae, conſequendae ſtudio.* Eſt nempe id, quod aſſumendis dapibus conſequi ſtudemus, hoc, vt robuſti fiamus. τὸ γιγνόμενον eſt finis rei, quem conſectamur agendo, et cuius cauſa ipſa actio ſuſcipitur, id quod rem actam inſequitur et ex ipſa exſiſtit; effectus rei, cauſam conſequens.

73) pro ἐπτοημένους eſt in V. L. Venetae σπουδάζοντας, e Scholio, ni fallor; nam huc referendum id videtur.

λήνων Ἰταλιώτας καὶ Ἴωνας, μηδὲ ἐγγὺς ἐφικνεῖσθαι τῆς παρ' Ὁμήρῳ χορηγίας καὶ ἁβρότητος. τί δὲ, εἶπεν ὁ Φίλιππος, οὐ δίδωσιν ἐσθῆτα ὡς οἷόν τε καλλίστην τοῖς ἥρωσι; νὴ Δία γε, ἦ δ' ὃς ὁ Ἀλέξανδρος, οὐ μέντοι γυναικείαν, οὐδὲ ποικίλην, ἀλλὰ πορφύρᾳ μόνον ἐκόσμησε τὸν Ἀγαμέμνονα, καὶ τὸν Ὀδυσσέα δὲ μιᾷ χλαίνῃ τῇ 74) οἴκοθεν. οὐδὲ γὰρ οἴεται δεῖν Ὅμηρος τὸν ἡγεμόνα φαίνεσθαι ταπεινὸν, οὐδὲ τοῖς πολλοῖς καὶ ἰδιώταις ὅμοιον, ἀλλὰ καὶ στολῇ καὶ ὁπλίσει διαφέρειν παρὰ τοὺς ἄλλους ἐπὶ τὸ μεῖζον καὶ σεμνότερον· οὐ μὴν τρυφῶντάς 75) γε οὐδὲ παίζοντας. τὸν γοῦν Κᾶρα, τὸν χρυσῷ καλλωπιζόμενον εἰς τὸν πόλεμον, μάλα ὑβριστικῶς ἐλοιδόρησεν, εἰπών·

Ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδ' ἴεν ἠΰτε κούρη,
Νήπιος, οὐδέ τι οἱ τό γ' ἐπήρκεσε λυγρὸν ὄλεθρον 76),
Ἀλλ' ἐδάμη ὑπὸ χερσὶ ποδώκεος Αἰακίδαο,
Ἐν ποταμῷ· χρυσὸν δ' Ἀχιλεὺς ἐκόμισσε δαΐφρων,

Καταγελῶν αὐτοῦ τῆς τρυφῆς ἅμα καὶ τῆς ἀφροσύνης, ὅτι τοῖς πολεμίοις ἆθλα ἐκόμιζε τοῦ θανάτου σχεδόν 77). οὔκουν φαίνεται χρυσοφορίας ἐπαι-

74) τῇ] malim τῶν. vna quadam laena, ex iis, quas domo ſecum in expeditionem attulerat, et quas domi Penelope atque ancillae ſuae parauerant. vt Angli, *home ſpun*.

75) conieceram olim τρυφῶντα et παίζοντα, quod etiam vir doctus Venetae meae adſcripſit. Sed falſi fuimus. bene habet pluralis, redit enim ad τοὺς ἥρωας. ſed deeſt aut ἀποδείκνυσι aut tale quid. *neque exhibet Homerus heroas ſuos delicias facientes aut ludo deditos.*

76) ἐπήρκεσε λυγρὸν ὄλεθρον eſt idem atque ἤρκεσεν ἐπὶ λ. ὀλ. *quicquam profuit aduerſus luctuoſam peſtem.* Locus eſt in fine ἰλ. β. non ſine cauſa Noſter τὸν Κᾶρα dixit, quia dubium eſt, de Naſtane ibi poeta loquatur, an de Amphimacho.

77) σχεδὸν] etiam hoc dubium eſt, vtrum *prope*, h. e. cominus, ſignificet, an *propemodum, ferme, paene dixerim.*

νῶν ὁ Ὅμηρος, καὶ ταῦτα εἰς πόλεμον, ψελλίων[78]) τε καὶ στρεπτῶν, ἔτι δὲ χρυσῶν φαλάρων καὶ χαλινῶν, ὁποῖα τοὺς Πέρσας φασὶν ἐπιτηδεύειν· οὐ γὰρ ἔχουσιν ἐπιτιμητὴν Ὅμηρον τῶν πολεμικῶν. ἐκ δὲ τούτων τῶν ἐπιτηδευμάτων τούς τε ἄρχοντας πεποίηκεν ἀγαθοὺς, καὶ τὸ πλῆθος εὔτακτον. προΐασι γοῦν αὐτοὶ[79]) σιγῇ, δειδιότες[80]) σημάντορας· οἱ δὲ βάρβαροι μετὰ πολλοῦ θορύβου καὶ ἀταξίας, ταῖς γεράνοις ὁμοίως· ὡς τοῦτο μάλιστα σωτήριον καὶ νικηφόρον[81]) ἐν τοῖς κινδύνοις, τὸ μὴ ἀδεεῖς εἶναι τῶν ἡγεμόνων τοὺς στρατιώτας. ὅσοι δ᾽ ἂν ὦσιν ἄφοβοι τῶν σφετέρων ἀρχόντων, οὗτοι τάχιστα ἂν φοβοῖντο τοὺς πολεμίους. καὶ μέντοι καὶ νικῶντας τοὺς Ἀχαιοὺς, καθ᾽ ἡσυχίαν φησὶ στρατοπεδεύειν· παρὰ δὲ τοῖς Τρωσὶν ἐπειδή τι πλεονεκτεῖν ἔδοξαν, εὐθὺς εἶναι δι᾽ ὅλης τῆς νυκτὸς,

Αὐλῶν, συρίγγων τ᾽ ἐνοπὴν, ὅμαδόν τ᾽ ἀνθρώπων.

Ὡς καὶ τοῦτο ἱκανὸν σημεῖον[82]) ἀρετῆς ἢ κακίας, οἵτινες ἂν ἐγκρατῶς τὰς εὐτυχίας, ἢ τοὐναντίον, μεθ᾽ ὕβρεως φέρωσιν. ἐμοὶ μὲν οὖν, ὦ πάτερ, ἱκανώτερος[83]) σωφρονιστὴς Ὅμηρος, καὶ ὁ τούτῳ πειρώμενος τὸν νοῦν προσέχειν, εὐτυχέστατός τε καὶ ἄριστος βασιλεύς. αὐτὸς γὰρ σαφῶς ὑποτίθεται δύο τὰς βασιλικωτάτας ἀρετὰς τήν τε ἀνδρείαν καὶ δικαιοσύνην, ὅπου φησίν·

Ἀμφό-

78) ψελλίων cum ſequentibus genitiuis aptum eſt e φορίας, quod ineſt in voc. χρυσοφορίας *geſtationes aureorum torquium.*

79) αὐτοὶ] imo vero αὐτῷ *procedunt ei*, h. e. penes eum. ille fingit et exhibet procedentes.

80) recte dat Veneta δειδιότες ex Homero. Morell. δεδιότες.

81) f. σωτήριον ὂν καὶ νικ. et pari modo

82) τοῦτο ἱκανὸν ὂν σημεῖον.

83) ἱκανώτατος, ob ſequens εὐτυχέστατος καὶ ἄριστος.

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

Ὡς τῶν ἄλλων ταύταις συνεπομένων. οὐ μέντοι μόνον αὐτῶν[84]) οἶμαι δεῖν διαφέρειν τὸν βασιλέα, πρὸς τὸ ἀνδρεῖον καὶ σεμνόν· ἀλλὰ μηδὲ[85]) τῶν ἄλλων ἀκούειν, μήτ' αὐλούντων, μήτε κιθαριζόντων, μήτε ᾀδόντων ἀνειμένα μέλη καὶ τρυφερά. μηδὲ αὖ λόγων διεφθορότων κακοὺς ζήλους παραδέχεσθαι, πρὸς ἡδονὴν τῶν ἀμαθεστάτων γεγονότας· ἀλλὰ πάντα τὰ τοιαῦτα, πρῶτον μὲν καὶ μάλιστα ἐκβαλεῖν ὡς ποῤῥωτάτω, καὶ ἀποπέμψαι τῆς αὑτοῦ ψυχῆς, ἔπειτα τῆς βασιλευούσης πόλεως, γέλωτάς τε ἀκρατεῖς, καὶ τοιούτου γέλωτος ποιητὰς[86]) μετὰ σκωμμάτων, ἐμμέτρους τε καὶ ἀμέτρους, ὀρχήσεις πρὸς[87]) τούτοις καταλύειν ἀσελγεῖς, καὶ σχήματα ἑταιρικὰ γυναικῶν ἐν ὀρχήσεσιν ἀκολάστοις, αὐλημάτων τε ὀξεῖς καὶ παρανόμους ῥυθμοὺς, καὶ κατεαγότα μέλη ἀμέσοις καμπαῖς, καὶ πολυφώνων ποικιλίας. μόνην δὲ ᾠδὴν μὲν[88]) ᾄσεται καὶ παραδέξεται, τὸν τῷ ἐνυαλίῳ μάλα πρέπουσαν, ἰσχυρὰν καὶ διάτορον, οὐχ ἡδονὴν, οὐδὲ ῥαθυμίαν φέρουσαν τοῖς ἀκούουσιν· ἀλλ' ἀμήχανον φόβον καὶ θόρυβον. οἵαν ὅ τε[89]) Ἄρης αὐτὸς ἤγγειλεν[90]),

Ὀξὺ κατ' ἀκροτάτης πόλεως Τρώεσσι κελεύων.

Ὅ τε

84) *αὐτῶν*] num *ἀστῶν* *ciuibus praestare*, sed placet magis *αὐτὸν*, quod Anglus apud Wolf. et vir doctus in Veneta mea dedere.

85) *μηδὲ*] sic dedi. *μὴ δὲ* Morell.

86) Locum hunc exponit Valesius ad Ammian. Marcell. 22, 5. p. m. 359.

87) *ὀρχήσεις τε πρὸς*.

88) *μὲν*] huic respondet *δὲ* n. 99.

89) *ὅτε* diuide in duo vocabula *ὅ τε*, et sic quoque paulo post.

90) *ἤγειρεν* e marg. Mor. praefero, quod etiam in V. L. Ven. est.

Ὅτε Ἀχιλλεὺς [91]) φθεγξάμενος μόνον, πρὶν ὀφθῆναι τροπὴν ἐποίησε τῶν Τρώων, καὶ δώδεκα ἀνδράσιν αἴτιος ὑπῆρξεν ὀλέθρε παρὰ τοῖς αὐτῶν ἅρμασι καὶ ὅπλοις. καὶ τὴν ἐπὶ ταύτῃ ποιηθεῖσαν ὑπὸ τῶν Μεσῶν τὴν ἐπινίκιον, οἵαν [92]) ἐκέλευεν Ἀχιλλεὺς τοῖς Ἀχαιοῖς τὸν παιᾶνα λέγειν ἅμα τῇ τε Ἕκτορος ἀγωγῇ πρὸς τὰς ναῦς αὐτὸς ἐξάρχων,

Νῦν δ' ἄγ' ἀείδοντες παιήονα κῦροι Ἀχαιῶν,
Νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε τ' ἄγωμεν [93]).
Ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον,
Ὧ Τρῶες κατὰ ἄςυ θεῷ ὣς εὐχετόωντο.

Ἔτι δὲ οἶμαι τὴν παρακλητικὴν, οἷα τῶν [94]) Λακωνικῶν Ἐμβατηρίων, μάλα πρέπεσαν [95]) τῇ Λυκέργε πολιτείᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ἐκείνοις [96]). ἄγετ', ὦ

Σπάρτας εὐάνδρε κῦροι πρῶτον πολιῆται [97]),
Λαιᾷ μέντοι [98]) ἴτυν προβάλλεσθε, δόρυ δ' εὐτόλμως

Βάλ-

91) ὅ τε ἀχιλλεὺς, (repete a communi ἤγειρεν, ὃς φθεγξ. *et qualem Achilles vocem* vel *cantum suscitauit, qui vel sola voce sua* —

92) οἵαν] malim ἢ οἷον *aut qualem*, scil. παιᾶνα, quod sequitur.

93) τόνδε τ' ἄγωμεν est in V. L. Venetae, in texto autem est τόνδε δ' ἐῶμεν. non male. *hunc vero sinamus*, scil. αὐτε κεῖσθαι *ibi iacere, vbi iacet*. nescio, an a nemine lectio haec sit annotata.

94) οἷα ἡ τῶν λ.

95) πρέπεσα in nominatiuo, ob praemissum οἷα.

96) ἐκείνοις non improbo, si bono nititur auctore; sed nil deterior, quae est in Veneta ἐκείνε.

97) versus hos aliter ordinat Valesius ad Amm. Marcell. p. 408. ed. Paris. secundae. v. quoque Morell. ad h. l. πρῶτον πολιῆται videtur bene habere. *primum canescentes*, quibus prima canities obrepit. πρότερον margo Mor.

98) τοι abest a Veneta. f. τᾷ λαιᾷ μὲν ἴτυν πρ. δόρυ δ' εὐτόλμως δεξιᾷ πάλλετε, μὴ φ. ζ. ε γὰρ πάτριον τᾷ

σπαρ-

Βάλλοντες, μὴ φειδόμενοι ζωᾶς, περὶ πάτρας.

Χόρευμα[99] δὲ καὶ χοροὺς ἀνάλογον τούτοις, οὐ σφαλλομένους, οὐδὲ ἀκρατεῖς· ἀλλὰ ὡς οἷόν τε ἰσχυροὺς καὶ σώφρονας ἐπάγειν[100] ἐν καθεστῶτι ῥυθμῷ, τὴν γιγνομένην τοῖς θεοῖς ἀπαρχὴν ἅμα καὶ μελέτην τῶν πολεμικῶν. ὄρχησίν γε μὴν[1] τὴν ἐνόπλιον, ἧς φησιν ὁ ποιητὴς καὶ τὸν Μηριόνην ἔμπειρον εἶναι. τῶν γὰρ Τρώων τινὰ πεποίηκε λέγοντα·

Μηριόνη τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα,
Ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ.

Ἦ σὺ οἴει ἄλλην τινὰ λέγειν ἐπίστασθαι τὸν τοῦ Μόλου υἱὸν, καὶ ἐξαριθμούμενον ἐν τοῖς ἀρίστοις τῶν Ἀχαιῶν, ἢ τὴν ἐνόπλιον, τὴν Κουρητικὴν, ἥπερ ἦν ἐπιχώριος τοῖς Κρησὶ, τὴν ὀξεῖαν καὶ ἐλαφρὰν κίνησιν, πρὸς τὸ διακρῖναι[2] καὶ φυλάξασθαι ῥαδίως τὸ βέλος; τούτοις γε μὴν ξυνέπεται, μηδὲ εὐχὰς εὔχεσθαι τὸν βασιλέα τοῖς ἄλλοις ὁμοίας· μηδὲ

σπάρτᾳ, *non enim patrium*, h. e. antiquo more Spartanis vſurpatum eſt, vt vitae parcant. In Veneta eſt οὐ τόλμως et οὐ γὰρ πάτρι τᾶς σπάρτας, quod etiam poſſit in οὐ γὰρ πάτριον τοῖς σπαρτοῖς refingi. οἱ σπαρτοὶ ſunt Spartani; id quod e Pindaro conſtat. pro βαλόντες eſt in V. L. Venetae, βάλλετε.

99) recte dat margo Morell. χορεύματα. apti ſunt hi omnes accuſatiui e παραδέξεται N. 88. ἀνάλογον malim in duo vocabula ἀνὰ λόγον diuidi.

100) ἐπάγειν ſuſpectum; poteſt quidem expoſitionem ferre, ſed paulo contortiorem et duriorem, hanc puta. χοροὶ σώφρονες ἐπάγειν poſſunt eſſe motiones corporum efficientes atque praeferentes modeſtiam in proceſſu aduerſus hoſtem in acie ſtantem. ἐμποιοῦντες καὶ ἐπιδεικνύμενοι σωφροσύνην ἐν τῷ ἐπάγειν (h. e. ἐν τῇ προσόδῳ) πρὸς τοὺς πολεμίους. quod ſi cui minus arridet, is melius quid comminiſcatur.

1) γε μὴν] *porro.*

2) διακρῖναι] imo vero διακλῖναι *declinare.*

μηδὲ ἓν τȣ̀ς θεȣ̀ς καλεῖν ȣ̈τως εὐχόμενον, ὥσπερ ὁ Ἰώνων ποιητὴς Ἀνακρέων·

Ὦ 'ναξ 3), ὦ δαμάλης ἔρως,
Καὶ νύμφαι κυανώπιδες,
Πορφυρέη τ' Ἀφροδίτη,
Συμπαίζȣσ' 4) ἐπιστρέφεται 5)
δ' ὑψηλῶν ὀρέων κορυφάς·
Γȣνȣ̃μαί σε, σὺ δ' εὐμενὴς,
Ἔλθ' ἡμῖν, κεχαρισμένης δ'
Εὐχωλῆς ἐπακȣ́ειν.
Κλευβȣ́λῳ δ' ἀγαθὸς γενȣ̃
Σύμβȣλος. τὸν ἐμὸν δ' ἔρωτ'
Ὡδ' ȣ̓ νῦν σε δέχεσθαι 6).

Ἦ νὴ

3) tractarunt hunc locum Anacreontis interpretes, quorum nullum mihi contigit videre; quare negatum eſt pronunciare, qua illi ſint in eo aut exponendo aut emendando fortuna verſati. Hoc conſtat Caſaubono rem minus proſpere ſucceſſiſſe, quem vnum ſuper hoc loco potui conſulere. Vt breuis ſim, pro ὦ, quod eſt in Veneta, emendanti ad marginem viro docto ὦ ſubſcribo, et dudum ſic emendaueram, antequam illo codice Veneto potirer. δαμάλης non pro genitiuo habeo, pro quo habuit Caſaubonus, ſed pro nominatiuo, idem ſignificante atque δαμάτης vel δαμαστὴς *domitor*. et ſic corrigendus quoque Heſychius: Δαμάλην τὸν ἔρωτα, ἤτοι τὸν δαμάζοντα ἢ ἀγέρωχον. ad quem Heſychii locum haec annotauit Albertus, („Scaliger Δαμαλῆν. Barneſius ad Anacr. p. 265. Δαμάλην legit, ad illa Lyrici ὦ δαμάλης ἔρως. pro quibus temere notiorem vocem πανδαμάτωρ ἔρως ſubſtituit, recte reprehenſus a Cl. de Pauw ad Anacr. p. 270. qui δαμαλῆ in Heſychio corrigit. Cui aſſentior.") Haec ille; mihi vero δαμάλης verum et ſeruandum videtur. *o Iupiter, cui colludunt*, id eſt, circa quem, in cuius aula et conſortio ludunt *Cupidoque domitor* rerum omnium, *et Nymphae*.

4) Veneta integre dat συμπαίζȣσιν.

5) malim ἐπιστρέφεσαι aut ἐπιστρέφεαι in ſecunda perſona.

6. quae Anacreontis interpretes ad hunc verſum attulerint, ignoro. A Caſaubono et Morello allata, video non mul-

tum

Ἢ νὴ Δία τῶν Ἀττικῶν σκολιῶν τε [7]) καὶ εὐχὰς ἐπαίνων [8]), οὐ βασιλεῦσι πρεπούσας [9]), ἀλλὰ δημόταις, καὶ φράτορσιν ἀγαθοῖς [10]), καὶ σφόδρα ἀνειμένοις·

Εἴθε λύρα καλὴ γενοίμαν ἐλεφαντία·
Καί με καλοὶ παῖδες φορέοιεν διονύσιον ἐς χορόν.
Εἴθ' ἄπυρον καλὸν γενοίμαν μέγα χρυσίον [11]),

Καὶ

tum ad nodum expediendum proficere. mihi, vt breuis ſim, melius nunc nil ſuccurrit, praeter hoc: ὅδου (imperatiuo ab ὁδόω) νῦν γε δέχεσθαι, *eſto ei auctor, et inde mentem eius, vt nunc tandem tamen aliquando, quia citius flecti noluit, amorem meum admittat.* ὁδοῦν τινα aliquem in viam inducere, ei viam illam praeire, eſt, auctor et ſuaſor alicuius conſilii eſſe, mentem eius in illam rem impellere, dirigere.

7) τε] l. τι *atticorum ſcoliorum quidquam* καὶ εὐχῶν *et votorum.*

8) ἐπαίνων] imo vero ἐπαινεῖν, propter praecedens ξυνέπεται εὔχεσθαι εὐχάς, p. 93. pen. minus placet Caſaubonus ad h. l. σκολιά τε καὶ εὐχὰς ἐπαινοῦντα, minus Anglus, qui παιάνων εὐχὰς coniecit. v. Wolf p. 22.

9) f. πρεπουσῶν.

10) φράτορσιν ἀγαθοῖς bene habet; quod non monerem, niſi occurrendum Anglo ducerem, cuius commentum h. l. nil attinet referre. ἀγαθὸν appellant graeci hominem ſimplici, ſed honeſto praeditum animo, innocentem quidem illum, ſed minime ad elegantiam et ſubtilitatem hominum emunctioris naris et callidiorum expolitum, quam Plinius *antiquam ruſticitatem* appellat. Hoc ſenſu Longus libro 3. c. fin. p. 132. edit. Iungermann. vſurpat πλοῦτον πενίας ἀγαθῆς μὴ νομίζοντες κρείττονα. Nos quoque vernacule dicimus, *gute, ehrliche, brave Leute*, cum honeſtos, ſed paulo ſimpliciores ſignificamus.

11) μέγα χρυσίον] vt Latinis *grande aurum*, pro ingens pondus auri. v. Hemſterhuſ. ad Lucian. T. I. p. 39. De ἀπύρῳ bene admonuit Morellus eſſe, non coctum, ſed a natura purum effuſum, obryzum; quod nos appellamus *gediegen Gold.*

Καί με γυνὴ καλὴ φορέοι [12]).

Πολὺ δὲ μᾶλλον ὡς Ὅμηρος πεποίηκεν εὐχόμενον τὸν βασιλέα τῶν ἁπάντων Ἑλλήνων·

Ζεῦ κύδιστε, μέγιστε, κελαινεφὲς, αἰθέρι ναίων,
Μὴ πρὶν ἐπ' ἠέλιον δῦναι, καὶ ἐπὶ κνέφας ἐλθεῖν,
Πρίν με καταπρηνὲς βαλέειν Πριάμοιο μέλαθρον
Αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα·
Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι,
Χαλκῷ ῥωγαλέον, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι,
Πρηνέες ἐν κονίῃσιν ὀδὰξ λαζοίατο γαῖαν.

Πολλὰ δὲ καὶ ἄλλα ἔχοι τὶς ἂν εἰπεῖν παρ' Ὁμήρῳ παιδεύματα καὶ διδάγματα ἀνδρεῖα καὶ βασιλικὰ, ὑπὲρ ὧν ἴσως μακρότερον τοῦ νῦν [13]) ἐπεξιέναι. πλὴν ὅτι γε τὴν αὐτοῦ γνώμην ἅπασαν ἀποδείκνυται σαφῶς, ὅτι πάντα [14]) ἄριστον οἴεται δεῖν τὸν βασιλέα εἶναι. μάλιστα δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος, ὅτε τὸ πρῶτον παρατάττει τὴν στρατιὰν καὶ τοὺς ἄλλους ἡγεμόνας ξύμπαντας καταλέγει, καὶ πλῆθος τῶν νεῶν. ἐκεῖ γὰρ οὐδὲ ἅμιλλαν τῶν ἄλλων οὐδενὶ καταλέλοιπεν ἡρώων πρὸς αὐτόν· ἀλλ' ὅσον ταῦρος ἀγέλης ὑπερφέρει κατὰ ῥώμην καὶ μέγεθος, τοσοῦτον διαφέρειν φησὶ [15]) τὸν βασιλέα, οὑτωσὶ λέγων·

Ἠΰτε βοῦς ἀγέληφι μέγ' ἔξοχος ἔπλετο πάντων
Ταῦρος· ὁ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι·
Τοῖον ἄρ' Ἀτρείδην θῆκεν Ζεὺς ἤματι κείνῳ·
Ἐκπρεπέ' ἐν πολλοῖσι, καὶ ἔξοχον ἡρώεσσιν.

Τοῦτο

12) φορέοι] in Veneta eſt φοροῖεν, vnde vir doctus effecit φοροίη.

13) τοῦ νῦν] aegre deſidero καιροῦ. quod largior equidem ſubaudiri poſſe, mallem tamen additum.

14) πάντα] adſcripſit vir doctus πάντῃ; nil opus, poteſt enim κατὰ ſubaudiri. Poſſit quoque πανταχοῦ legi.

15) φημὶ lectio marg. Mor. ſed vitioſa, eſt in Veneta.

Τοῦτο δὲ οὐχ ἁπλῶς εἰρηκέναι μοι δοκῶν[16]) τὴν ἰσχὺν αὐτοῦ μόνον ἐπαινῶν καὶ ἐπιδεῖξαι βουλόμενος· οὕτω μὲν γὰρ δὴ[17]) καὶ λέοντι παραβαλὼν, καλῶς αὐτὸν ἐδόκει ἀφομοιῶσαι· τὸ δὲ ἥμερον τῆς φύσεως ἐνδεικνύμενος, καὶ τὴν ὑπὲρ τῶν ἀρχομένων προμήθειαν. ὁ γὰρ ταῦρος, οὐκ ἔστι τῶν γενναίων μόνον ζώων, οὐδὲ αὐτοῦ χάριν χρῆται τῇ ἀλκῇ, καθάπερ ὅ, τε λέων καὶ σῦς, οἵ τε ἀετοὶ, διώκοντες τὰ λοιπὰ ζῶα καὶ κρείττους γινόμενοι, τροφῆς ἕνεκα τῆς αὐτῶν, διὸ δὴ καὶ μᾶλλον ἄν τις αὐτοὺς φαίη τυραννίδος παράδειγμα, ἢ βασιλείας, γεγονέναι. ὁ δὲ Ταῦρος σαφῶς, ἐμοὶ δοκεῖν, πρὸς βασιλέα καὶ βασιλέως εἰκόνα πεποίηται. τροφῇ τε γὰρ ἑτοίμῃ καὶ ῥᾳδίᾳ ἡσυχῇ τε νεμόμενος[18]), ὥστε μηδένα δεῖν βιάζεσθαι μηδὲ πλεονεκτεῖν ταύτης ἕνεκεν. ἀλλ' ὥσπερ τοῖς ὀλβίοις βασιλεῦσιν ἀνελλειπῆ[19]) καὶ ἄφθονα ὑπάρχει τὰ τῆς ἀναγκαίου κτήσεως. βασιλεύει δὲ καὶ ἄρχει τῶν ὁμοφύλων, μετ' εὐνοίας, ὡς ἂν εἴποι τὶς, καὶ κηδεμονίας. τοῦτο μὲν ἐξηγούμενος νομῆς, τοῦτο δὲ θηρίου φανέντος οὐ φεύγων, ἀλλὰ πάσης τῆς ἀγέλης προμαχόμενος, καὶ τοῖς ἀσθενέσι βοηθῶν, καὶ προμηθούμενος σώζειν τὸ πλῆθος ἀπὸ τῶν χαλεπῶν καὶ ἀγρίων· ὥσπερ καὶ τὸν ἄρχοντα[20]), καὶ βασιλέα τῷ ὄντι, καὶ τῆς μεγίστης ἐν ἀνθρώποις οὐκ ἀνάξιον τιμῆς. ἐνίοτέ γε μὴν ἄλλης ἀγέλης ἐπιφανείσης, ἀγωνίζεται πρὸς τὸν ἐκείνης ἡγεμόνα

16) aut cum Casaub. leg. est δοκεῖ, aut sic: εἴρηκεν, ἐμοὶ δοκεῖν, vt paulo post.
17) δὴ] malim ἄν.
18) in V. L. Ven. et marg. Mor. est καὶ διαίτῃ χρῆται νεμόμενος. vnde efficio hanc lectionem: καὶ ῥᾳδίᾳ διαίτῃ ἡσυχῇ χρῆται νεμόμενος.
19) ἀνελλιπῆ.
20) post ἄρχοντα aut post βασιλέα deest χρὴ, scil. ποιεῖν: vt sit βασιλέα χρὴ, τὸν τῷ ὄντι.

μόνα νίκης ἕνεκα, ὡς κρείττω μὲν αὑτὸν φανῆναι, κρείττω δὲ τὴν αὑτοῦ ἀγέλην. καὶ μὴν τό γε[21]) ἀνθρώποις μὴ πολεμεῖν, ἀλλὰ τῶν ἀφρόνων ζώων ἡγεμονικώτατον καὶ ἄριστον πεφυκότα, ὅμως προσίεσθαι τὴν τοῦ κρείττονος ἡγεμονίαν, ἰσχύϊ μὲν καὶ θυμῷ καὶ βίᾳ μηδενὸς ἡττώμενον μηδὲ ὑπείκοντα, λογισμῷ δὲ καὶ φρονήσει ἑκόντα ὑποταττόμενον· πῶς οὐχὶ καὶ τοῦτο θείη τὶς ἂν παίδευμα καὶ δόγμα βασιλικὸν[22]), τῶν σωφρόνων βασιλέων; τὸ δεῖν ἀνθρώπων μὲν τῶν ὁμοίων κρείττονα φαινόμενον, ἄρχειν, δικαίως καὶ κατὰ φύσιν ἔχοντα τὴν ἡγεμονίαν, καὶ τὸ μὲν πλῆθος τῶν ὑπηκόων σώζειν, προβουλεύοντα καὶ προπολεμοῦντα, ὅταν δέῃ, καὶ φυλάττοντα ἀπὸ τῶν ἀγρίων καὶ παρανόμων τυράννων. πρὸς δὲ τοὺς ἄλλους βασιλέας οἵτινες ἄρα εἶεν, ἁμιλλᾶσθαι περὶ τῆς ἀρετῆς, καὶ ζητεῖν, εἰ δυνατὸν εἴη, πάντων ἐπ᾽ ὠφελείᾳ τῶν ὁποίποτε ἀνθρώπων κρατεῖν· θεοῖς γε μὴν τοῖς ἀμείνοσιν ἕπεσθαι, καθάπερ οἶμαι νομεῦσιν ἀγαθοῖς, καὶ τὴν κρείττω καὶ τὴν μακαριωτέραν φύσιν προτιμᾷν, δεσπότας αὑτοῦ καὶ ἄρχοντας νομίζοντα ἐκείνους. καὶ τοῦ μεγίστου καὶ πρώτου βασιλέως θεοῦ κτῆμα ἀποφαίνοντα, πρῶτον μὲν καὶ τιμιώτατον αὑτὸν, ἔπειτα τοὺς ὑπ᾽ αὑτῷ τεταγμένους. καὶ γὰρ δὴ ὥσπερ οἱ σώφρονες νομεῖς[23]), ἐπειδὰν χαλεπὸς καὶ ἄγριος ταῦρος γενόμενος ἄρχῃ ἀσελγῶς παρὰ φύσιν, τῆς μὲν αὑτοῦ καταφρονῶν ἀγέλης, καὶ λυμαινόμενος· τοῖς δὲ ἔξωθεν ἐπιβουλεύουσιν ὑποχωρῶν[24]), καὶ

προ-

21) recte delet Casaubonus ἐν post τό γε.

22) δόγμα βασιλικὸν] norma, scitum, sanctio regia, ad quam reges se conformare necesse habent.

23) νομεῖς] apodosis est p. 99, 7.

24) In Veneta est τοὺς δὲ ἔξωθεν ἐπιβουλεύοντας ὑποχιρρῶν. in V. L. sic legitur: τοῖς δὲ ἔξωθεν ἐπιβουλεύουσιν, nil praeterea, postrema vox in mendo relicta est, in qua latere

προβαλλόμενος τὸ ἀδύνατον πλῆθος, μηδενὸς δὲ χαλεποῦ παρόντος, ὑβρίζων καὶ θρασυνόμενος, τοῦτο μὲν ὀξὺ καὶ ἀπειλητικὸν μυκώμενος, τοῦτο δὲ ὀρθοῖς κέρασι παίων τὸν 25) οὐκ ἀνθιστάμενον. ἐπιδεικνύμενος δὲ τὴν ἰσχὺν ἐν τοῖς ἥττοσιν καὶ τοῖς οὐ μαχομένοις, τὸ δὲ τῶν βοῶν πλῆθος οὐκ ἐῶν νέμεσθαι καθ' ἡσυχίαν, δι' ἔκπληξιν καὶ φόβον. τότε τοῦτον οἱ δεσπόται καὶ βουκόλοι μετέστησαν καὶ ἠφάνισαν, ὡς οὐκ ἐπιτήδειον οὐδὲ συμφέροντα ἡγεῖσθαι τῆς ἀγέλης. τὸν δὲ πρᾷον μὲν ταῖς ἑπομέναις βουσὶν, εὔψυχον δὲ καὶ ἄφοβον πρὸς τὰ θηρία, σεμνὸν δὲ καὶ μεγαλοπρεπῆ, καὶ δυνατὸν φυλάττειν καὶ προηγεῖσθαι τῆς ἀγέλης, τοῖς δέ γε νομεῦσιν εἴκοντα καὶ πειθόμενον, ἐῶσι μέχρι γήρως ὑστάτου, κἂν ἤδη βαρύτερος τὸ σῶμα γένηται. ὁμοίως δὲ καὶ οἱ θεοὶ, καὶ ὁ δὴ μέγας βασιλεὺς βασιλέων, ἅτε κηδεμὼν καὶ πατὴρ κοινὸς ἀνθρώπων καὶ θεῶν Ζεὺς 26), ὃς ἂν ἀνθρώπων γένηται βίαιος καὶ ἄδικος καὶ παράνομος ἄρχων, τὴν ἰσχὺν οὐ τοῖς πολεμίοις ἐνδεικνύμενος, ἀλλὰ τοῖς ὑπηκόοις καὶ τοῖς φίλοις, ἄπληστος μὲν ἡδονῶν, ἄπληστος δὲ χρημάτων, ὑπονοῆσαι ταχὺς, ἀμείλικτος ὀργισθεὶς, ὀξύτερος διαβολαῖς 27), ἀπειθὴς λόγοις, πανοῦργος, ἐπίβουλος, ταπεινὸς, αὐθάδης, κακοὺς αὔξων, τοῖς κρείττοσι φθονῶν, παιδείας ἀσύνετος, φίλον οὐδένα νομίζων οὐδ' ἔχων, ὡς ἔλαττον αὐτοῦ 28) τὸ κτῆμα, ἐκεῖνον ἐκ-

tere videtur ὑποφρίττων aut ὑποδειλιῶν, ſi accuſatiui ſeruantur.

25) τὸν] malim τό. *non reſiſtens.*

26) ζεὺς] Conſtructio eſt: ὁ ζεὺς ἐκποδὼν ἐποιήσατο ἐκεῖνον, ὃς ἂν γένηται βίαιος —

27) διαβολαῖς bene habet, idemque eſt, atque πρὸς διαβολάς. in Ven. eſt διαβολῆς, vitioſe, niſi ſi quid abeſt.

28) f. ἔλαττον ὂν αὐτοῦ; ſed animaduerti Dionem non eſſe dictionis diligentiſſimum auctorem, et ſaepe ὂν et ἂν et talia omittere.

ποδῶν ἐποιήσατο καὶ μετέστησεν, ὡς οὐκ ἄξιον ὄντα 25.
βασιλεύειν, οὐδὲ κοινωνεῖν τῆς αὐτοῦ τιμῆς καὶ ἐπωνυμίας, μετά τε 29) αἰσχύνης καὶ προπηλακισμοῦ. καθάπερ οἶμαι Φάλαρίν τε καὶ Ἀπολλόδωρον 30) καὶ,

πολλοὺς

29) τε] volui aliquando δέ. non inepte id quidem, ſed vtrum optes, perinde erit.

30) de Apollodoro tyranno Caſſandrenſium v. ad Plutarchi lib. de tarda Numinis ira dicta p. 984. 24. Immemor decori fuit hic loci Dio; nam aut ex perſona ſua diſputat, quod ferri nequit in dialogis fictis, aut ex Alexandri perſona. Atqui quomodo potuit Alexander Apollodori mentionem facere, qui Apollodorus dudum poſt Alexandri fata demum coeperit tyrannidem exercere? Sed haec indulſerunt ſibi veteres ſcriptores, cuius rei exempla quaedam in praefatione ad obſeruationes noſtras Euripideas dederimus. Iuuat hic loci alia adiungere, vnde conſtet, veteres decori perſonarum, quas in dialogis ſuis loquentes inducunt, ſaepe obliuiſci. Sic in fabula Alexidis Lino dicta apud Athenaeum IV. 8. p. 164. C. Linus magiſter praecipit Herculi, vt Heſiodum, Choerilum, Homerum, Epicharmum afferat; omnes magiſtroque et diſcipulo multis ſaeculis poſteriores. Deianira Sophoclis Trachinias incipit a ſententia Solonis, Solone multo antiquior. Diogenes Cynicus apud Lucianum in dialogis Menippum ſaepe memorat aetate multo poſteriorem. Lucianus in Scytha Anacharſin fingit Athenas venientem, neque Graece callentem, et ideo rurſus abire paratum, quod neque intelligeret quemquam, neque intelligeretur. Toxaris tamen, Scytha pariter, eum retinet, et ad Solonem deducit, vbi ambo populares pariter expedite Graece loquuntur. Plutarchus in Conuiuio ſeptem ſapientium non ſolummodo Niloxenum Naucratitam introducit (atqui Naucratis, teſte Strabone, demum ſub Inaro in Aegypto et Artaxerxe in Perſide regibus, condita eſt), ſed etiam Aeſopo dithyrambos Pindaricos in os dat p. 150. c. fin. edit. Wechel. Inſigne exemplum obliuionis praebet Curio, Ciceroni in Bruto exagitatus c. 60, et 61. Curio, cum ſermo eſſet inſtitutus ſenatu miſſo, quem ſenatum Caeſar Conſul habuiſſet, reprehendit eas res, quas idem Caeſar anno poſt et deinceps reliquis annis

admi-

πολλοὺς ἄλλους τῶν ὁμοίων. τὸν δέ γε ἀνδρεῖον καὶ φιλάνθρωπον, καὶ τοῖς ὑπηκόοις εὔνουν, καὶ τιμῶντα μὲν τὴν ἀρετὴν, καὶ συναγωνιῶντα, μή τι[31]) τῶν ἀγαθῶν δόξῃ φαυλότερος, τοὺς δὲ ἀδίκους μετανοεῖν ἀναγκάζοντα, τοῖς δὲ ἀσθενέσιν ἀρήγοντα, τῆς ἀρετῆς ἀγάμενος, ὡς τὸ πολὺ μὲν, ἄγει πρὸς γῆρας. καθάπερ ἀκούομεν Κῦρόν τε καὶ Δηϊόκην τὸν Μῆδον, καὶ Ἀγάθυρσον τὸν Σκύθην, καὶ Λεύκωνα, καὶ πολλοὺς τῶν Λακωνικῶν βασιλέων, καὶ τῶν ἐν Αἰγύπτῳ πρότερόν τινας. ἐὰν δὲ τὸ τῆς εἱμαρμένης ἀναγκαῖον ἐπείγῃ πρὸ τοῦ γήρως, ἀλλ' οὖν μνήμης τε[32]) ἀγαθῆς καὶ παρὰ πᾶσιν εὐφημίας εἰς τὸν ἀεὶ χρόνον ἠξίωσεν. καὶ[33]) καθάπερ, εἶπεν ὁ Ἀλέξανδρος, τὸν ἡμέτερον πρόγονον, τὸν νομισθέντα τοῦ Διὸς διὰ τὴν ἀρετὴν Ἡρακλέα. ταῦτα δὲ ἀκούσας ὁ Φίλιππος ἡσθεὶς, οὐ μάτην, εἶπεν, Ἀλέξανδρε, περὶ πολλοῦ ποιούμεθα τὸν Ἀριστοτέλη, καὶ τὴν πατρίδα αὐτῷ συνεχωρήσαμεν ἀνακτίζειν, Στάγειραν τῆς Ὀλυνθίας οὖσαν[34]). ὁ γὰρ ἀνὴρ

administrauisset in Gallia. De Leucone, qui rex Ponti per 40 annos fuit, v. Diodor. Sic. T. I. p. 713. 52. De Agathyrso Scytha hoc vnum reperio apud Herodotum, eum fuisse Herculis filium. Agathyrsi nomen hic feliciter restituit Casaubonus. Ven. et Mor. dant. ἀγάθυρον.

31) aut τι est cum τινος mutandum, aut sic leg. μή τι τῶν ἀγαθῶν τινος δόξῃ φαυλότερος.

32) τε] l. γε. *bona saltim fama.*

33) καὶ delendum. Recte autem addit Dio εἶπεν ἀλέξανδρος, quo lectorem admoneret, Alexandrum hic cum patre Philippo sermones serere, cuius rei lector paene oblitus erat, a tot et tam longis disputationibus a sophista interiectis, personam suam agente, in posteriora tempora deductus.

34) σάγειραν τῆς ὀλυνθίας οὖσαν] haec sophista, lectorem docente, digna, Philippo cum filio colloquente indigna. Cur enim hunc doceret, vbi sita esset Stagira, id quod Alexander omnium optime nosset. Sed infiniti sunt loci, vbi

ἄξιος πολλῶν καὶ μεγάλων δωρεῶν, εἰ τοιαῦτά σε διδάσκει περί τε ἀρχῆς καὶ βασιλείας, εἴτε Ὅμηρον ἐξηγούμενος, εἴτε καὶ ἄλλον τρόπον.

vbi auctores, sophistae inprimis, personas, quas ipsi sibi vltro induerunt, exuunt, et cum persona magistrorum, tirones docentium, mutant.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Σωκράτης Ἀθήνησι, πρεσβύτης ἀνὴρ καὶ πένης, ὃν καὶ σὺ γινώσκεις ἀκοῇ πρὸ πάνυ πολλῶν ἐτῶν γενόμενον, πυθομένου τινὸς, εἰ εὐδαίμονα νομίζοι τὸν Περσῶν βασιλέα, τυχὸν, εἶπεν, εὐδαίμων, οὐκ ἔφη δὲ αὐτὸς εἰδέναι, διὰ τὸ μὴ συγγενέσθαι αὐτῷ, μηδὲ γινώσκειν, ὁποῖός ἐστι τὴν διάνοιαν· ὡς οὐκ ἀλλαχόθεν οἶμαι γιγνόμενον τὸ εὐδαιμονεῖν, ἀπὸ χρυσευμάτων[1]), ἢ πόλεων, ἢ χώρας, ἢ ἄλλων ἀνθρώπων[2])· ἑκάστῳ δὲ παρά τε ἑαυτοῦ καὶ τῆς αὐτοῦ διανοίας. ὁ μὲν οὖν Σωκράτης, ὅτι ἐτύγχανεν ἄπειρος ὢν τοῦ Πέρσου τῆς ψυχῆς, ἄπειρος ἡγεῖτο εἶναι καὶ τῆς εὐδαιμονίας αὐτοῦ. ἐγὼ δὲ, ὦ γενναῖε αὐτοκράτορ, παραγέγονά σοι, καὶ τυχὸν οὐδενὸς ἧττον ἔμπειρός εἰμι τῆς φύσεως, ὅτι τυγχάνεις

χαίρων

1) χρυσευμάτων suspectum, nam in vsu esse χρύσευμα mihi quidem haud constat, sed χρύσωμα; quare malim χρυσωμάτων.

2) Sic distinguo et lego: ἢ ἄλλων, ἀνθρώπῳ. Constructio est: ὡς οὐκ ἀλλαχόθεν γιγνόμενον τὸ εὐδαιμονεῖν ἀνθρώπῳ (aut ἀνθρώποις, si mauis,) οἷον ἀπὸ χρυσωμάτων — ἢ ἄλλων τινῶν.

χαίρων ἀληθείᾳ καὶ παῤῥησίᾳ μᾶλλον, ἢ θωπείᾳ καὶ ἀπάτῃ. αὐτίκα τὰς μὲν ἀλόγους ἡδονὰς ὑποπτεύεις, καθάπερ ἀνθρώπους κόλακας, τοὺς δὲ πόνους ὑπομένεις, ἐλέγχους ὑπολαμβάνων εἶναι τῆς ἀρετῆς, ἐπειδὴ[3]) καὶ ὁρῶ σε, αὐτοκράτορ, ἐντυγχάνοντα τοῖς παλαιοῖς ἀνδράσι, καὶ συνιέντα φρονίμων καὶ ἀκριβῶν λόγων· φημὶ δὲ σαφῶς[4]) ἄνδρα εἶναι μακάριον τὸν μεγίστην μὲν ἔχοντα δύναμιν μετὰ τοὺς θεοὺς, κάλλιστα δὲ τῷ δύνασθαι χρώμενον. ᾧ γὰρ ἐξὸν ἁπάντων μὲν ἀπολαύοντα[5]) τῶν ἡδέων, μηδενὸς δὲ πειρᾶσθαι τῶν ἐπιπόνων, ῥαθυμοῦντα δὲ ὡς οἷόν τε[6]) βιοτεύειν· συνελόντα[7]) δὲ εἰπεῖν, πράττοντα ὅ, τι βούλεται, οὐ μόνον κωλύοντος οὐδενὸς ὅ, τι βούλεται· ἀλλὰ καὶ ἐπαινούντων[8])· οὗτος ὁ ἀνὴρ, ὅταν ᾖ νομιμώτερος μὲν δικαστὴς, τῶν κατὰ κλῆρον δικαζόντων, ἐπιεικέστερος δὲ βασιλεὺς, τῶν ὑπευθύνων ἐν ταῖς πόλεσιν ἀρχόντων, δικαιότερος δὲ στρατηγὸς τῶν ἑπομένων στρατιωτῶν, φιλοπονώτερος δὲ ἐν ἅπασι τοῖς ἔργοις, τῶν ὑπ' ἀνάγκης[9]) πονούντων, ἔλαττον δὲ βουλόμενος τρυφᾶν, τῶν μηδεμιᾶς εὐπορούντων τρυ-

3) ἐπειδὴ καὶ ὁρῶ σε] Veneta ἐπεὶ δὲ ὁρῶ σε, quod verum eſt; ſed addendum quoque καὶ, vt locus ſic conſtituatur: ἐπεὶ δὲ καὶ ὁρῶ σε *quia vero praeterea quoque video te.*

4) Φημί σε σαφῶς.

5) aut deeſt aliquis infinitiuus, e. c. διαγίγνεσθαι, aut ἀπολαύοντα eſt cum ἀπολαύειν mutandum, aut denique δὲ eſt delendum. ego equidem id, quod primo loco poſui, malim.

6) poteſt vulgata ferri; videtur tamen poſt ὡς οἷόν τε aliquid deeſſe, e. c. ῥᾶστα, vel μαλακώτατα, vel ἥδιστα.

7) συνελόντι in datiuo.

8) ἐπαινούντων ἁπάντων recte dat Veneta, ſed poſt βούλεται deeſt ποιεῖν.

9) Veneta ὑπ' ἀνάγκην, quod non probo.

φῆς[10])· εὐνούστερος δὲ τοῖς ὑπηκόοις, τῶν φιλοτέκνων πατέρων, φοβερώτερος δὲ τοῖς πολεμίοις τῶν ἀνικήτων καὶ ἀμάχων θεῶν· πῶς οὐκ ἂν εἴποι τις, τοῦδε τοῦ ἀνδρὸς ἀγαθὸν εἶναι τὸν δαίμονα, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι; τῶν μὲν γὰρ πολλῶν ἀνθρώπων καὶ ἰδιωτῶν, μικράν τινα ἀρχὴν ἐχόντων, ὀλίγος ὁ δαίμων, καὶ μόνον τοῦ ἔχοντος· ὅτω δὲ παμπληθεῖς μὲν ὑπακούουσι πόλεις, πάμπολλα δὲ ἔθνη κυβερνᾶται διὰ τῆς ἐκείνου γνώμης, ἀναρίθμητα δὲ φῦλα ἀνθρώπων, καὶ μικτὰ ἀνθρώποις[11]) ἀποβλέπει πρὸς μίαν φρόνησιν, πάντων δὲ οὗτος ἀνθρώπων γίνεται σωτὴρ καὶ φύλαξ, ἄνπερ ᾖ τοιοῦτος. τοῦ γὰρ πάντων ἄρχοντος καὶ κρατοῦντος, ἡ μὲν φρόνησις ἱκανὴ καὶ τοὺς ἄφρονας ὠφελεῖν· βουλεύεται γὰρ ὁμοίως ὑπὲρ πάντων. ἡ δὲ σωφροσύνη καὶ τοὺς ἀκολαστοτέρους σωφρονεστέρους ποιεῖ· ἐφορᾷ γὰρ ὁμοίως ἅπαντα. ἡ δὲ δικαιοσύνη καὶ τοῖς ἀδίκοις αὐτῆς μεταδίδωσιν· ἡ δὲ ἀνδρεία καὶ τοὺς ἧττον εὐψύχους, οὐ μόνον σώζειν, ἀλλὰ καὶ θαῤῥαλεωτέρους ποιεῖν δύναται. οὔτε γὰρ δειλὸς οὕτως ἄγαν οὐδείς· ὥστε μὴ θαῤῥεῖν ἑπόμενος, μεθ' οὗ νικᾷν ἕτοιμον· οὔτε ἐπὶ τοσοῦτον ἀνειμένος[12]), ὥστε ῥαθυμεῖν, προστάττοντα ὁρῶν, ᾧ μόνῳ τὸ προστάττειν ἔνειμεν ὁ θεός. οὐδ' αὖ σφόδρα οὕτως ἀναίσχυντος[13]), ὥστε παρών, ᾧ τὸ ποιεῖν ἀναγκαῖον[14]), τούτῳ δὲ μὴ συμπονεῖν ἐθέλειν. δοκεῖ μοι καὶ Ὅμηρος αὐτὸ τοῦτο φράζειν. μνησθεὶς γὰρ τοῦ χρηστοῦ βασιλέως, ἐπὶ πᾶσιν εἴρηκεν·

— ἀρε-

10) Ven. τροφῆς, quod nescio an sit melius.
11) Casaubonus, quod in marg. Morell. videret pro μικτὰ e cod. Msto annotatam var. lect. ἄμικτα, ex eo effecit ἄμικτα ἀλλήλοις, ingeniose.
12) ἀνειμένος et 13. ἀναίσχυντος] haec duo vocabula sedes permutare debent, caeteris immotis.
14) sine dubio οὐκ ἀναγκαῖον est cum Casaub. leg.

— ἀρεστῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ.

Ὁ γὰρ τοιοῦτος βασιλεύς, τοῖς μὲν ἄλλοις καλὸν κτῆμα τὴν ἀρετὴν νενόμικεν, αὑτῷ δὲ καὶ ἀναγκαῖον. τίνι μὲν γὰρ δεῖ πλείονος φρονήσεως, ἢ τῷ βουλευομένῳ περὶ μεγίστων; τίνι δὲ ἀκριβεστέρας δικαιοσύνης, ἢ τῷ μείζονι τῶν νόμων; τίνι δὲ ἀνδρείας ἰσχυροτέρας, ἢ ὑφ' οὗ πάντα σώζεται; τίνι δὲ σωφροσύνης ἐγκρατεστέρας, ἢ ὅτῳ πάντα ἔξεστι; τίνα δὲ μᾶλλον εὐφραίνει τὰ ἔργα τῆς ἀρετῆς, ἢ τὸν σύμπαντας ἀνθρώπους θεατὰς καὶ μάρτυρας ἔχοντα τῆς αὑτοῦ ψυχῆς; ὥστε μήτε πράξαντι [15]) οἷόν τε λαθεῖν, οὐ μᾶλλον ἢ τῷ ἡλίῳ πορεύεσθαι διὰ σκότους· πάντα γὰρ τὰ ἄλλα ἀναφαίνων, πρῶτον ἑαυτὸν ἐπιδείκνυσι. καὶ λέγω ταῦτα, οὐκ ἀγνοῶν, ὅτι τὰ ῥηθέντα νῦν ὑπ' ἐμοῦ, πλείονι χρόνῳ ἀνάγκη λέγεσθαι [16])· ἀλλ' οὐκ ἔστι δέος, μήποτε ἐγὼ φανῶ τι κολακείᾳ λέγων. οὐ γὰρ ὀλίγην, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ δέδωκα βάσανον τῆς ἐλευθερίας. εἰ δὲ ἐγὼ πρότερον μέν, ὅτε πᾶσιν ἀναγκαῖον ἐδόκει ψεύδεσθαι διὰ φόβον, μόνος ἀληθεύειν ἐτόλμων, καὶ ταῦτα κινδυνεύων ὑπὲρ τῆς ψυχῆς· νῦν δέ, ὅτε πᾶσιν ἔξεστι τἀληθῆ λέγειν, ψεύδομαι, μηδενὸς κινδύνου παρεστῶτος, οὐκ ἂν εἰδείην οὔτε παρρησίας οὔτε κολακείας καιρόν. καὶ τοίνυν πάντες [17]) οἱ πράττοντες ὁτιοῦν ἑκόντες, ἢ χρημάτων ἕνεκα πράττουσιν, ἢ δόξης, ἢ δι' ἡδονήν τινα ἄλλην, ἢ λοιπὸν οἶμαι δι' ἀρετήν, καὶ τὸ καλὸν αὐτὸ τιμῶν-

15) f. μήτ' εἰπόντι τι, μήτε πράξαντι. Angli et Wolfii super h. l. sententias v. loco suo.

16) πλείονι — λέγεσθαι] Sententia est, libello huic necesse esse, vt ad posteros quoque perueniat, neque huius tantummodo saeculi vsu et notitia concludatur. Subire debebit, non horum solummodo, sed posterorum quoque temporum iudicium.

17) f. καίτοι σύμπαντες.

τες. ἐγὼ δὲ χρήματα μὲν λαβεῖν παρ' οὐδενὸς πώποτε ἠξίωσα, πολλῶν δοῦναι βουλομένων, τῶν ἐμαυτοῦ δὲ, ὀλίγων ὑπαρχόντων, οὐ μόνον μεταδιδοὺς ἑτέροις, ἀλλὰ καὶ ῥίπτων φανήσομαι πολλάκις. ἡδονὴν δὲ πάνυ 18) ἐθηρώμην, ὁπόταν καὶ τῶν κολάκων καὶ 19) φανερῶς πεποιημένοι τέχνην ταύτην, ὁμολογοῦσιν ἁπάντων ἀηδέστερον 20) τὸ κολακεύειν. πῶς γὰρ ἡδὺ, ἄλλον ἀδίκως ἐπαινεῖν, ὃς ἂν ἀγαπώη 21) αὐτὸν δικαίως ψέγεσθαι; καὶ μὴν οὐδὲ ἔνδοξον, οὐδὲ καλὸν εἶναι δοκεῖ τὸ κολακεύειν, ὅστις 22) τιμῆς ἕνεκεν, ἢ δι' ἀρετὴν τοῦτο ἐπιτηδεύει. πασῶν γὰρ, ὡς ἔπος εἰπεῖν, τῶν κακιῶν αἰσχίστην ἂν εὕροι τὶς τὴν κολακείαν. πρῶτον μὲν γὰρ τὸ κάλλιστον καὶ δικαιότατον διαφθείρει, τὸν ἔπαινον, ὥστε μηκέτι δοκεῖν πιστὸν μηδὲ ἀληθὲς 23) γινόμενον, ἢ τό γε πάντων δεινότατον, τὰ τῆς ἀρετῆς ἔπαθλα, τῇ κακίᾳ δίδοασιν 24). ὥστε πολὺ χεῖρον δρῶσι

τῶν

18) in Veneta est ποίαν ἀθηρώμην. forte voluit ποίαν ἂν θηρώμην in optatiuo, aut ποίαν ἂν ἐθηρώμην.

19) pro καὶ suffice οἱ, vt margo Morell.

20) l. ἀηδέστατον. m. Mor. dat γρ: ἀειδ.

21) in Ven. est ἀγαποῖ. forte voluit ἀγαπᾷ, et adhaesit ad α illud iota ex antiquo more librariorum, iota ad latus earum literarum appingendi, quibus nos hodie punctum suffigimus. Deinde malim δικαίως οὐ ψέγεσθαι, addita particula negante. *qui satis habeat, sibique congratuletur, si nihil in se sit, quod a quoquam iure merito reprehendatur.*

22) ὅστις] in Ven. est ἵνα: in vtraque lectione vitium esse patet. ἵν in ἵνα facile potuit ex vltima syllaba verbi κολακεύειν errore iteratum esse. Quid si auctor dedit: οὐδὲ τιμῆς ἕνεκεν, ἢ δι' ἀρετὴν τοῦτό τις ἐπιτηδεύει. *neque artem hanc quisquam honoris alii habendi ergo, aut virtute sua actus* (vel admiratione alienae virtutis) *exercet.*

23) aut ἀληθῆ leg. quod malim, vt ad ἔπαινον referatur, aut leg. μηκέτι μηδὲν πιστὸν μηδ' ἀληθὲς γιγν.

24) διδόασιν] imo vero δίδωσιν, scil. ἡ κολακεία, aut τὸ κολακεύειν.

τῶν διαφθειρόντων τὸ νόμισμα, οἴδε[25]) τὴν ἀρετὴν ἄπιστον ἐργαζόμενοι. ἔπειτα δὲ, οἶμαι, ποτὲ[26]) μὲν ὁ πονηρὸς, ἀνόητος λέγεται, καὶ ἔστιν ὄντως[27]) τῷ δὲ ἄφρονι, πάντας ὑπερβέβληκεν ὁ κόλαξ. μόνος γὰρ τῶν ἀφανιζόντων τὴν ἀλήθειαν πρὸς ἐκείνους θαῤῥεῖ τὰ ψευδῆ λέγειν, τοὺς μάλιστα εἰδότας, ὅτι ψεύδεται. τίς γὰρ ἄπειρός ἐστι τῶν ἑαυτοῦ πραγμάτων; ἢ τίς ἠλίθιος οὕτως, ὅστις οὐκ οἶδε, πότερον πόνοις ἢ ῥαθυμίᾳ χαίρει; καὶ πότερον ἥδεται πλέον ἔχων[28]) εἶναι, ἢ τὰ δίκαια πράττων; καὶ πότερον ἡδονῶν ἥττων ἐστὶν, ἢ τῶν καλῶν πράξεων ἐραστής; καὶ τοίνυν ὃ[29]) μάλιστα οἴεται χαρίζεσθαι τοῖς ἐπαινουμένοις, ἐμοὶ δοκεῖ, τούτου καὶ μάλιστα ἀποτυγχάνειν. τοὐναντίον γὰρ[30]) ἀπεχθάνεσθαι μᾶλλον, ἢ μὴ χαρίζεσθαι, τῷ μὴ τελέως κούφῳ.

25) dele comma, et caudam 'δε in *οἴδε*, et locum habebis integrum; neque opus est supplemento, quod Theod. Canterus in manuscripto codice reperisse vult, et Morell. in annot. exhibet. Possit quoque, si δε seruare velimus, sic legi: *οἱ ὧδε τὴν ἀρ. virtutis sic sublestam fidem facientes.*

26) ποτὲ] imo vero πᾶς.

27) recte dat Veneta ὄντως *reuera*. Morell. ὄντος.

28) πλέον ἔχων num sit cum πλεονεκτῶν mutandum, an seruandum, in dubio relinquam. hoc certum est, ante εἶναι desiderari ἄδικος; sed vt verum fatear, tota structura haud placet. Sententia volebat sic enunciari: πλέον ἔχειν ἀδίκως, ἢ τὸ ἱκανὸν, τὰ δίκαια πράττων. *virum eum magis delectet per cupiditatem et violentiam plus iusto habere, quam, exercendis aequitatis et iustitiae artibus, habere, quod satis sit.* aut denique dele plane εἶναι, quod inutile prorsus est, et orationem turbat.

29) ὃ] malim δι' ὃ — *cuius rei causa gratificatur, vt scil. ametur, et gratus acceptusque sit, eo vel maxime excidit.*

30) melius sic legatur hic locus: τοὐναντίον γὰρ ἀπεχθάνεται μᾶλλον ἢ χαρίζεται, τῷ γε μὴ τελέως κούφῳ. in V. L. Ven. ad ἀπεχθάνεσθαι annotatum est ἀπέχεσθαι. Anglus quoque μὴ delet.

κούφῳ. αὐτίκα ὁ τὸν πένητα μακαρίζων, ὡς πλούσιον, αὐτὸς μὲν ψεύδεται· τῷ δὲ μακαριζομένῳ τὴν πενίαν ὀνειδίζει. πάλιν ὁ τὸν αἴσχιστον[31]) ὡς καλὸν ἐπαινῶν, ἄλλο τι[32]) ἢ προφέρει τὸ αἶσχος αὐτῷ; ἢ ὁ τὸν ἀνάπηρον ὁλόκληρον λέγων εἶναι, πῶς ἂν χαρίζοιτο ὑπομιμνήσκων τῆς ἀτυχίας; ὁ δὲ αὖ τὸν ἀνόητον ὡς φρόνιμον ὑμνῶν, οὗτος ἂν τυχὸν ἁπάντων εἴη πιθανώτερος[32b]), διὰ τὴν ἄνοιαν τοῦ ἀκούοντος, καὶ τοσοῦτόν γε μείζονα ἐργάζεται βλάβην. ἀναπείθει γὰρ τὰ ὑπὲρ ἑαυτοῦ[33]) βουλεύεσθαι, καὶ μὴ τοῖς φρονίμοις ἐπιτρέπειν. ὁ μὲν γὰρ τὸν δειλὸν, ὡς ἀνδρεῖον θαυμάζων, οὗτος δικαιότατα χρῆται τῇ ἀνοίᾳ τοῦ κολακευομένου. τάχιστα γὰρ ἂν, οἶμαι, ἀπόλοιτο πειθόμενος αὐτῷ, καὶ τῆς ἀνδρείας τὰ ἔργα ἐπιχειρῶν. καθόλου δὲ φωραθεὶς μὲν ὁ κόλαξ οὐ καταγινώσκεται μόνον, ἀλλὰ καὶ μισεῖται· δοκεῖ γὰρ καταγελῶν λέγειν. πείσας δὲ, ὡς ἀληθῶς λέγει, οὐ μεγάλης τινὸς τυγχάνει χάριτος. τί γὰρ καὶ δοκεῖ χαρίζεσθαι τἀληθῆ λέγων; πολύ γε μὴν πονηρότερός ἐστι τῶν ψευδομένων μαρτύρων. οἱ μὲν γὰρ οὐ διαφθείρουσι τὸν δικαστὴν, ἀλλὰ μόνον ἐξαπατῶσιν· ὁ δὲ κολακεύων, ἅμα δεκάζει

31) aut αἰσχρὸν leg. aut κάλλιστον.

32) ἄλλο τι] ſubaudi ποιεῖ.

32b) malim πιθανώτατος in ſuperl.

33) lectionem marg. Morell. ἑαυτὸν eſt in Veneta. Locus impeditus, qui planus erat futurus, ſi ſic legeretur: ἀναπείθει γὰρ (ſubaudi τινα, aut αὐτὸν) ὑπὲρ τῶν ἑαυτοῦ αὐτὸν βουλεύεσθαι. poteſt vtraque lectio ferri, ἑαυτοῦ et ἑαυτὸν; ſed intereſt multum ad ſententiam. τὰ ὑπὲρ ἑαυτοῦ ſunt res ipſius propriae, ad eum pertinentes. τὰ ὑπὲρ ἑαυτὸν ſunt res modum prudentiae et intelligentiae ſuae excedentes, vltra captum eius poſitae. vtrumque huic loco conuenit; ſed prius melius. dubito, dicaturne βουλεύεσθαί τι. vſitatius quidem β. ὑπέρ τινος.

κάζει 34) τῷ ἐπαίνῳ. ἵνα δὲ μήτε ἐγὼ κολακείας αἰτίαν ἔχω τοῖς θέλουσι διαβάλλειν, μήτε σὺ τοῦ 35) κατ' ὀφθαλμοὺς ἐθέλῃς ἐπαινεῖσθαι, ποιήσομαι τοὺς λόγους ὑπὲρ τοῦ χρηστοῦ βασιλέως, ὁποῖον 36) εἶναι δεῖ, καὶ τίς ἡ διαφορὰ, τοῦ προσποιουμένου ἄρχοντος εἶναι, πλεῖστον δὲ ἀπέχοντος ἀρχῆς καὶ βασιλείας. εἰ δέ τις φήσει με τοὺς αὐτοὺς ποιῆσαι λόγους, τοῦτο ἂν εἴη κοινὸν ἐμοὶ τὸ ἔγκλημα καὶ Σωκράτει. Φησὶ 37) γάρ ποτε Ἱππίαν τὸν Ἠλεῖον, διὰ χρόνου πλείονος ἀκούοντα τοῦ Σωκράτους περὶ δικαιοσύνης καὶ ἀρετῆς λέγοντος, καὶ παραβάλλοντος, ὥσπερ εἴωθε, τοὺς κυβερνήτας καὶ ἰατροὺς, καὶ σκυτοτόμους, καὶ κεραμέας, εἰπεῖν, ἅτε σοφιστήν· πάλιν σὺ ταῦτα 38), Σώκρατες, καὶ ὃς γελάσας· ἔφη, καὶ περὶ τῶν αὐτῶν. σὺ μὲν γὰρ, ὡς ἔοικεν, ὑπὸ σοφίας, οὐδέποτε ταυτὰ περὶ τῶν αὐτῶν λέγεις· ἡμῖν δὲ ἓν τοῦτο 39) δοκεῖ τῶν καλλίστων εἶναι. τοὺς μὲν γὰρ ψευδομένους, οἶδα μὲν 40) πολλὰ, καὶ ἀνόμοια λέγοντας· τοῖς δὲ ἀληθεύουσι, οὐχ οἷόν τε ἕτερα εἰπεῖν τῶν ἀληθῶν. ἐγὼ δὲ εἰ μὲν ἑώρων

34) δεκάζει] bene ſic emendauit Morellus vitioſam Venetae lectionem *δικάζειν*.

35) pro τοῦ vir doctus in Veneta adſcripſerat τὸ, quod aeque prauum videtur. pro ἐθέλῃς vult Caſaubonus ἐθέλειν. forte ſic eſt leg. *μήτε σύ που* (vel *μήτε σύ γ' οὖν*) *κατ' ὀφθαλμοὺς ἐθελῆσαι ἐπαινεῖσθαι. aut tu certe laudari ne videaris voluiſſe*, etiamſi ego in ſuſpicionem adulationis apud quosdam incurram.

36) ὁποῖον] in Veneta eſt vitioſe *τὸ ποῖον*.

37) Φησὶ] Xenophon puta. malim tamen hoc nomen additum eſſe, aut legi *Φασί*.

38) ταῦτα] imo vero *ταὐτὰ illa eadem, quae olim ex te audiui.* propter ſequentia *περὶ τῶν αὐτῶν*. nam et homines, et res, de quibus olim diſputabam te audiente, ſunt eaedem, aut ſimiles certe rebus his nunc praeſentibus.

39) τοῦτο] ſcil. *τὸ λέγειν ἀεὶ ταὐτὰ περὶ τῶν αὐτῶν*.

40) οἶδα μὲν] rect. Caſaub. in vnum verb. *οἴδαμεν* contrahit.

ἑώρων ἄλλην τινὰ ὑπόθεσιν σπουδαιοτέραν, ἢ σοι μᾶλλον προσήκουσαν, ἐκείνην ἂν ἐπεχείρουν ποιήσασθαι. νῦν δὲ οὔτε ἰατρὸν ἄλλους τινὰς ἀκούειν, ἢ λέγειν λόγους φαίην ἂν ὀρθῶς, ἢ τοὺς περὶ ὑγείας σώματος καὶ νόσου· οὗτοι γὰρ ὑγιεινοὶ καλοῦνται ἰατροῖς [41])· οὔτε κυβερνήτην, ἢ τοὺς περὶ ὡρῶν καὶ ἀνέμων, καὶ ἄστρων· οὗτοι γὰρ κυβερνητικοὶ δικαίως λέγονται· οὔτε ἄρχοντας [42]) καὶ βασιλέα, ἢ τοὺς περὶ ἀρχῆς τε καὶ διοικήσεως ἀνθρώπων. ὡς δὲ καὶ περὶ τούτων ἐνόμιζε Σωκράτης, πειράσομαι εἰπεῖν. μετὰ γὰρ τὴν ἀπόκρισιν τὴν περὶ τῆς εὐδαιμονίας, ἐπύθετο τοῦ Σωκράτους, ἐκεῖνο [43]) τὸ ἐρώτημα ἐρωτήσας. ὦ Σώκρατες, ἔφη, τοῦτο μὲν ἐπίστασαι παντὸς μᾶλλον, ὅτι τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων, ἐκεῖνός ἐστιν ἰσχυρότατος, καὶ μηδὲ τῶν θεῶν αὐτῶν ἥττονα ἔχων δύναμιν, ὧ γε ἔνεστι καὶ τὰ ἀδύνατα δοκοῦντα ποιῆσαι δυνατά· εἰ βούλοιτο [44]) μὲν ποιῆσαι πεζεύεσθαι θάλασσαν, πλεῖσθαι δὲ τὰ ὄρη, τοὺς δὲ ποταμοὺς ἐκλείπειν ὑπὸ ἀνθρώπων πινομένους. ἢ οὐκ ἀκήκοας, ὅτι Ξέρξης, ὁ τῶν Περσῶν βασιλεὺς, τὴν μὲν γῆν ἐποίησε θάλασσαν, διελὼν τὸ μέγιστον τῶν ὀρῶν, καὶ διϊστήσας [45]) ἀπὸ τῆς ἠπείρου τὸν Ἄθω; διὰ δὲ τῆς θαλάττης τὸν πεζὸν στρατὸν ἄγων, ἤλαυνεν ἐφ' ἅρματος; ὥσπερ οἶμαι τὸν Ποσειδῶνά φησιν Ὅμηρος· καὶ τυχὸν ὁμοίως οἵ τε δελφῖνες καὶ

τὰ

41) ἰατροῖς videtur delendum, aut addendum καὶ προσήκοντες; vt sit καὶ προσήκοντες ἰατροῖς. *et conuenientes medicis.* in Veneta est ἰατρόν.

42) aut ἄρχοντα aut βασιλέας.

43) ἐπύθετο ὁ τοῦ σωκράτους ἐκεῖνο.

44) δυνατὰ, οἷον, exempli causa, εἰ βούλοιτο.

45) διϊστήσας] grammaticae hoc repugnat. aut διϊστὰς in praesenti est leg. aut in aor. 1. διαστήσας, quod malim propter praemissum διελὼν, item aoristum. in Veneta est διηστήσας.

τὰ κήτη κάτωθεν ὑπέπλευ 46) τὴν σχεδίαν, ὁπότε ἐκεῖνος ἤλαυνεν. καὶ ὁ Σωκράτης· οὐδὲ τοῦτό σοι 47) ἔχω εἰπεῖν, εἴτε μέγιστον ὁ ταῦτα ποιῶν δύναται, καθάπερ σὺ λέγεις, εἴτε ἐλάχιστον, ἢ τὸ παράπαν οὐδέν. σκόπει γὰρ τοῦτο αὐτίκα· εἰ μὲν ἦν σώφρων καὶ ἀνδρεῖος, καὶ δίκαιος, καὶ μετὰ γνώμης ἔπραττεν ὅσα ἔπραττεν, ἰσχυρὰν αὐτὸν ἡγοῦμαι καὶ μεγίστην ἔχειν τῷ ὄντι δύναμιν. εἰ δὲ αὖ δειλὸς, καὶ ἀνόητος καὶ ἀσελγὴς, καὶ παράνομος, καὶ δι' ὕβριν ταῦτα 48) ἐπιχειρῶν, τοὐναντίον ἔμοιγε ἀσθενέστατος 49) εἶναι δοκεῖ, τῶν σφόδρα πενήτων, καὶ μηδένα γῆς κεκτημένων βῶλον 50), ὥστε διατρίψαι μακέλλῃ, τροφῆς ἕνεκεν, οὐχ ὅπως τὰ μέγιστα 51) διαθρύπτειν ὄρη, καθάπερ σὺ φής. ὁ γὰρ ἀδύνατος μὲν ὀργὴν ἐπικατασχεῖν, πολλάκις ὑπὲρ σμικρῶν γιγνομένην, ἀδύνατος δὲ ἐπιθυμίαν παῦσαι τῶν αἰσχίστων, ἀδύνατος δὲ ἀπώσασθαι λύπην, ἐνίοτε μηδενὸς λυπηροῦ παρόντος, οὐ δυνάμενος δὲ ὑπομεῖναι πόνους, οὐδὲ τῆς 52) ἡδονῆς ἕνεκεν γιγνομένους, ἀδύνατος δὲ τῆς ψυχῆς ἀπελάσαι φόβον, οὐδὲν ὠφελοῦντα ἐν τοῖς δεινοῖς, ἀλλὰ τὰ μέγιστα βλάπτοντα· πῶς οὐκ ἀσθενὴς οὗτος σφόδρα; ἡττώμενος μὲν γυναικῶν, ἡττώμενος δὲ εὐνούχων. ἢ 53) σὺ τοῦτον ἰσχυρὸν εἶναι λέγεις, τὸν καὶ τοῦ μαλακωτάτου πάντων ἀσθενέστερον, ὕπνου; ὑφ' οὗ ξυμποδισθεὶς πολλάκις ἄνευ δεσμῶν, οὐχ ὅπως ἄλλῳ οὐδ' ἑαυ-

46) ὑπέπλει dat Veneta.
47) poſt σοι videtur ἔφη deeſſe.
48) ταῦτα] f. πάντα.
49) ἀσθενέστερος malim in comparatiuo.
50) βῶλος ſolet vt foemininum vſurpari; quid ſi ergo μηδὲ legamus aut μηδὲ μίαν.
51) poſt μέγιστα videtur δυναμένων aut δυνατὸς, vel tale quid deſiderari.
52) τῆς] malim τάς.
53) ἢ] ſic recte Veneta, an. ἦ Mor.

ἑαυτῷ 54) δύναται βοηθεῖν, οὐδὲ ἐπίκουρον οὐδένα καλέσαι τῶν βουλομένων ἀμύνειν; ταῦτα δὲ ἀκούσας, εἶπεν, ἐκεῖνο μὲν οἶσθα δήπου, Σώκρατες, ὅτι ἁπάσης οἰκουμένης τοῦ πλείστου καὶ ἀρίστου βασιλεύει μέρους. ἔξω γὰρ τῆς Ἑλλάδος καὶ τῆς Ἰταλίας καὶ τινων ὀλίγων ἐθνῶν ἄλλων τῶν κατὰ τὴν Εὐρώπην, ξύμπαντα τἄλλα ὑφ᾽ ἑαυτῷ πεποίηται· καὶ τῆς μὲν καλουμένης Ἀσίας ὅλης ἄρχει μέχρις Ἰνδῶν· πολλοὶ δὲ καὶ αὐτῆς 55) φασιν ὑπακούειν τῆς Λιβύης τοὺς πλείονας· ἐν δὲ τῇ Εὐρώπῃ Θρᾴκης καὶ Μακεδονίας 56) ἁπάντων τούτων κρατεῖν· ὅθεν δὴ καὶ μέγας βασιλεὺς κέκληται μόνος ἐκεῖνος. καὶ ὁ Σωκράτης εἶπεν· ἀλλ᾽ οὐδὲ τοῦτο οἶδα ὅλως γε, εἰ βασιλεύς ἐστι τὴν ἀρχὴν οὐδεμιᾶς πόλεως ἢ κώμης. σὺ ἄρα, εἶπε, μόνος ἀνήκοος εἶ τούτου, ὃν 57) ἅπαντες ἴσασιν; ἀκούω, ἔφη, πολλῶν λεγόντων, ἃ σὺ λέγεις, καὶ Ἑλλήνων καὶ βαρβάρων· ὃ δὲ οὐκ ἐᾷ με γινώσκειν ὃ λέγω, τοιοῦτόν ἐστιν. οὐκ οἶδα, ὦ ἄριστε, εἰ νομίμως καὶ δικαίως τούτων ἁπάντων προέστηκεν, καὶ τοιοῦτος ὤν, ὁποῖον εἴρηκας πολλάκις· εἰ μὲν γὰρ εὐγνώμων καὶ φιλάνθρωπος καὶ νόμιμός ὤν, ἐπὶ σωτηρίᾳ καὶ τῷ συμφέροντι τῶν ἀρχομένων ἐπιμελεῖται 58), αὐτὸς πρῶτος καὶ εὐδαίμων καὶ φρόνιμος ὤν, καθάπερ εἶπον, καὶ τοῖς ἄλλοις διδοὺς 59) καὶ τῆς

αὐτοῦ

54) οὐχ ὅπως ἄλλῳ, ἀλλ᾽ οὐδ᾽ ἑαυτῷ] sic recte Veneta. ἀλλ᾽ deest Morell.

55) post αὐτῆς videtur αὐτῷ deesse.

56) post μακεδονίας figo punctum, et scribo κρατεῖ. nam ea de re dubium graecis eo tempore nullum erat.

57) ὃν] malebam aliquando ὅ. sed vulgata idem dicit, et seruari potest.

58) τῶν ἀρχομένων iterari a legente debet, et referri tam ad σωτηρίᾳ καὶ συμφέροντι, quam ad ἐπιμελεῖται, et idem est, ac si dixisset ἐπιμελεῖται τῶν ἀρχομένων ἐπὶ τῇ σωτηρίᾳ καὶ τῷ συμφέροντι αὐτῶν.

59) pro διδοὺς simplici malim compositum μεταδιδοὺς. deinde

αὐτοῦ εὐδαιμονίας, οὐ δίχα θεὶς τό, τε ἑαυτοῦ καὶ τὸ τῶν ἀρχομένων συμφέρον· ἀλλὰ τότε χαίρων μάλιστα, καὶ τότε νομίζων ἄριστα πράττειν, ὅταν ὁρᾷ καλῶς πράττοντας τοὺς ἀρχομένους, δυνάμει τε μέγιστός ἐστι καὶ βασιλεὺς ἀληθῶς. εἰ δὲ φιλήδονος, καὶ φιλοχρήματος, καὶ ὑβριστής, καὶ παράνομος, αὐτὸν οἰόμενος αὔξειν μόνον, ὡς [60]) ἂν πλεῖστα μὲν χρήματα κεκτημένος, μεγίστας δὲ καὶ πλείστας καρπούμενος ἡδονάς, ῥαθύμως δὲ διάγων καὶ ἀπόνως· τοὺς δὲ ὑπηκόους ἅπαντας ἡγούμενος δούλους, καὶ ὑπηρέτας τῆς αὐτοῦ τρυφῆς· οὐδὲ ποιμένος ἐπιεικοῦς ἔχων ἦθος, σκέπης καὶ μονῆς προνοούμενος [61]) τοῖς αὐτοῦ [62]) κτήμασιν· ἔτι δὲ θῆρας [63]) ἀπαμύνειν, καὶ φῶρας προφυλάττων· ἀλλὰ πρῶτος διαρπάζων τε καὶ διαφθείρων, καὶ τοῖς ἄλλοις ἐπιτρέπων, καθάπερ, οἶμαι, πολεμίων λείαν· οὐκ ἄν ποτε εἴποιμι τὸν τοιοῦτον ἄρχοντα, ἢ αὐτοκράτορα, ἢ βασιλέα· πολὺ δὲ μᾶλλον τύραννον καὶ λῃστῆρα, [64]) ὅ ποτε προσ-

inde ſic diſtinguo: καὶ τοῖς ἄλλοις μεταδιδοὺς τῆς ἑαυτοῦ εὐδαιμονίας, (deleto καὶ inutili, aut transpoſito et ante οὐ collocato) οὐ δίχα θεὶς τό τε ἑαυτοῦ καὶ τῶν ἀρχ. συμφ. *communicans ſuam felicitatem cum ciuibus, neque ab horum commodis ſua ſeparans.* et ſic ferme interpres quoque.

60) ὡς hic loci non eſt *vt*, quomodo ipſe cum interprete aliquando accepi, ſpecie prima deceptus, ſed eſt *quam*, cohaeretque cum πλεῖστα, a quo per tmeſin, per interiectum ἂν eſt ſeparatum. ὡς ἂν πλεῖστα χρήματα eſt idem atque ὡς πλεῖστα. *quam plurimas opes.*

61) malim προνοουμένου, vt ad ποιμένος redeat.

62) κτήνεσι καὶ κτ. margo Mor.

63) ἔτι δὲ οὐ θῆρας, addita particula negante.

64) v. ad hunc locum Herodot. 5, 67. Quae aduerſus Caſaubonum attulerunt viri doctiſſimi, Weſſelingius et Valkenarius, ad iſtum Herodoti locum, nil Caſaubonianam emendationem, ab vtraque Dionis editione confirmatam, λῃστῆρα aut ληϊστῆρα infirmant. margo Morell. pro Ἀπόλλων dat Ἀπολλώνιος.

προσεῖπεν ὁ Ἀπόλλων τὸν Σικυώνιον τύραννον, εἰ καὶ πολλὰς μὲν ἔχοι τιάρας, πολλὰ δὲ σκῆπτρα [65] ὑπακούοιεν αὐτῷ. τοιαῦτα μὲν ἐκεῖνος εἰώθει λέγειν, προτρέπων ἀεὶ πρὸς ἀρετὴν, καὶ βελτίους ποιῶν καὶ ἄρχοντας, καὶ ἰδιώτας. ὅμοια δὲ εἰρήκασι περὶ ἀρχῆς καὶ βασιλείας οἱ μετ' αὐτὸν ὡς οἷόν τε ἑπόμενοι τῇ σοφωτάτῃ γνώμῃ. ταῦτα δὲ πρῶτα [66] δηλοῖ τὰ ὀνόματα τὴν διαφορὰν τῶν πραγμάτων. λέγεται γὰρ ἡ μὲν ἀρχὴ, νόμιμος ἀνθρώπων διοίκησις, καὶ πρόνοια ἀνθρώπων κατὰ νόμον· βασιλεία δὲ, ἀνυπεύθυνος ἀρχή. ὁ δὲ νόμος βασιλέως [67] δόγμα. ὁ δὲ τύραννος καὶ ἡ τυραννὶς, ἐναντίον τούτοις, βίαιον, καὶ παράνομος [68] χρῆσις ἀνθρώπων, τοῦ δοκοῦντος [69] ἰσχύειν πλέον. οὕτω δὲ καὶ ἡμεῖς [70] διανεμόμεθα, καὶ φαμὲν περὶ τοῦ θείου καὶ θεοφιλοῦς καὶ αὐτοκράτορος βασιλέως. τρία γὰρ εἴδη τὰ φανερώ-

65) post σκῆπτρα videtur aliquid deesse, parum quid, forsitan ad hunc modum. — πολλὰ δὲ σκῆπτρα, scil. ἔχοι, *tametsi multas ille gerat tiaras, multaque sceptra,* πολλοὶ δ' αὐτῷ ὑπακούοιεν, *multique ei obediant.*

66) γνώμῃ. ταῦτα δὲ πρῶτα] deme primam literam secundae voci, vt sit αὐτά. ipsa harum duarum rerum, regni legitimi et tyrannidis, nomina, vel sola, etiamsi aliis argumentis deficientibus, demonstrarent harum rerum discrepantiam.

67) βασιλέα dat Veneta, pro quo V. D. adscripserat βασίλειον.

68) f. βίαιος καὶ παράνομος χρ. ἀ.

69) potest Dio sic esse locutus; fert ratio linguae, sententia plana est. mos illi suus, si is fuit, per me licet, maneto. dicturus tamen erat alius ὑπὸ τοῦ δοκοῦντος, et nescio, an Dio hoc dederit.

70) tota haec sententia οὕτω δὲ καὶ ἡμεῖς ad αὐτοκράτορος βασιλέως ab hoc loco aliena et a sede sua aberrasse, aut e lituris reliqua mansisse videtur; aut alias paulo ante legendum erit: λέγεται γὰρ ὑπὸ τῶν ἀρχαίων ἡ μὲν ἀρχὴ. cui recte opponitur οὕτω δὲ καὶ ἡμεῖς.

νεώτατα πολιτειῶν νομίζεται [71]) γιγνομένων [72]) κατὰ νόμον, καὶ δίκην, μετὰ δαίμονός τ' ἀγαθοῦ, καὶ τύχης ὁμοίας. μία μὲν ἡ πρώτη καὶ μάλιστα συμβῆναι [73]) δυνατὴ, περὶ ἧς ὁ νῦν λόγος, εὖ διοικουμένης πόλεως ἢ πλειόνων ἐθνῶν, ἢ συμπάντων ἀνθρώπων· ἑνὸς ἀνδρὸς ἀγαθοῦ γνώμῃ καὶ ἀρετῇ, δευτέρα δὲ Ἀριστοκρατία καλουμένη, οὔτε ἑνὸς, οὔτε πολλῶν τινῶν, ἀλλὰ ὀλίγων τῶν ἀρίστων ἡγουμένων, πλεῖον ἀπέχουσα ἤδη τοῦ δυνατοῦ καὶ τοῦ συμφέροντος. τοῦτο ἔμοιγε δοκεῖ καὶ Ὅμηρος εἰπεῖν διανοηθείς·

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
Εἷς βασιλεὺς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.

Τρίτη δὲ πασῶν ἀδυνατωτάτη σχεδὸν καὶ [74]) σωφροσύνῃ καὶ ἀρετῇ, δήμῳ προσδοκῶσά ποτε εὑρήσειν [75]) καὶ κατάστασιν ἐπιεικῆ, καὶ νόμον [76]), δημοκρατία προσαγορευομένη· ἐπιεικὲς ὄνομα καὶ πρᾷον, εἴπερ ἦν δυνατόν. τρισὶ δὲ ταύταις, ὥσπερ εἴρηται, πολιτείαις, τρεῖς ἐναντίαι καὶ παράνομοι διαφθο-

71) γρ. ὀνομάζεται margo Mor.

72) γιγνομένων] ſic etiam V. D. in Venetae marg. correxit, pro γιγνόμενον, quod illa dat; ſed neſcio, an melius ſit γιγνόμενα.

73) συμβῆναι] Anglus maluit συστῆναι, niſi hoc ſolummodo pro ſcholio iſtius adſcripſit. quod ſi autem hoc illi exiſtimauit ſufficiendum, errauit. alterum alteri aequipollet hoc loco. reſpublica aeque poteſt συμβῆναι, convenire, congredi, coaleſcere, atque συστῆναι, conſtare.

74) loco καὶ malim ἤ. pro δήμῳ dat margo Mor. δήμου, quod Caſaubonus probat. ego quidem malim δήμων, in gen. plur.

75) Caſaubonus καὶ delet, cui aſſentior, niſi poſt εὑρήσειν excidit vocabulum illi literiſque et ſono admodum ſimile, εἰρήνην.

76) probo cum Caſaubono lectionem marg. Mor. νόμιμον, niſi καὶ ἔννομον malumus.

ραί· ἡ μὲν πρώτη τε καὶ ἀρίστη καὶ μόνη[77]) δυνατωτάτη, τυραννὶς· ἑνὸς ὕβρει καὶ βίᾳ, τοῦ κακίστου, τῶν ἄλλων ἀπολλυμένων. ἡ δὲ μετ' ἐκείνην ὀλιγαρχία, σκληρὰ καὶ ἄδικος πλεονεξία, πλουσίων τινῶν καὶ πονηρῶν ὀλίγων ἐπὶ τοὺς πολλοὺς καὶ ἀπόρους σύστασις· ἡ δὲ ἑξῆς ποικίλη καὶ παντοδαπὴ φορὰ πλήθους, οὐδὲν εἰδότος ἁπλῶς· ταραττομένου δὲ ἀεὶ καὶ ἀγριαίνοντος ὑπὸ ἀκολάστων δημαγωγῶν, ὥσπερ κλύδωνος ἀγρίου καὶ χαλεποῦ ὑπὸ ἀνέμων σκληρῶν μεταβαλλομένου. τούτων μὲν οὖν ὁ λόγος ἄλλως[78]) ἐπεμνήσθη, πολλὰ παθήματα καὶ συμφορὰς ἑκάστης αὐτῶν ἐκ τοῦ προτέρου χρόνου δεῖξαι δυνάμενος. περὶ δὲ τῆς εὐδαίμονός τε καὶ θείας καταστάσεως τῆς νῦν ἐπικρατούσης χρὴ διελθεῖν ἐπιμελέστερον. πολλαὶ μὲν οὖν εἰκόνες ἐναργεῖς, καὶ παραδείγματα οὐκ ἀμυδρὰ τῆσδε τῆς ἀρχῆς ἔν τε ἀγέλαις καὶ σμήνεσιν ἐπισημαινούσης τῆς φύσεως τὴν κατὰ φύσιν τοῦ κρείττονος τῶν ἐλαττόνων ἀρχὴν καὶ πρόνοιαν, οὐ μὴν φανερώτερον οὐδὲ κάλλιον ἕτερον γένοιτο τῆς τοῦ παντὸς ἡγεμονίας, ἡ ὑπὸ τῷ πρώτῳ τε καὶ ἀρίστῳ θεῷ τάττεται τῷ Διΐ. τοσοῦτος[79]) δὲ ὢν, πρῶτον μέν ἐστι θεοφιλὴς, ἅτε τῆς μεγίστης τυγχάνων παρὰ θεῶν τιμῆς καὶ πίστεως. καὶ πρῶτόν γε καὶ μάλιστα θεραπεύει[80]) τὸ θεῖον οὐχ ὁμολογῶν[81]) μόνον, ἀλλὰ

καὶ

77) aut *μόνη* delendum, aut *δυνατὴ* in positiuo legendum.

78) *ἄλλως*] sic fortuito, aliud agendo, obiter, non data opera, breuiter et defunctorie. Opponitur ei insequens *ἐπιμελέστερον*. vir doctus Venetae adscripsit *ἄλλος*, *alius sermo commemorauit*, et e regione, *alibi*, quomodo etiam Naogeorgus reddidit, quorum ego neutrum probo.

79) *τοσοῦτος*] imo vero *τοιοῦτος*. post *ὢν* videtur aliquid deesse, nisi malumus post *Διΐ* addere verba, quae n. 70. redundare aiebam mihi videri.

80) *θεραπεύει*] sic vir doctus in Veneta mea, et Casaubonus recte emendant. *θεραπεύειν* Ven. et Mor.

81) recte post *ὁμολογῶν* delet Casaubonus *οὐ*, et vir doctus Venetae adscripserat, *οὐ* abundare.

καὶ πεπεισμένος εἶναι θεούς, ἵνα δὴ καὶ αὐτὸς ἔχοι τοὺς κατ' ἀξίαν ἄρχοντας. ἡγεῖται δὲ τοῖς ἄλλοις ἀνθρώποις συμφέρειν εἶναι[82]) τὴν αὐτοῦ πρόνοιαν, οὕτως, ὡς αὐτῷ τὴν ἐκείνων ἀρχήν· καὶ μὴν ἐκεῖνο ἑαυτῷ συνειδώς, ὡς οὔποτε δῶρον δέξεται παρὰ τῶν κακῶν ἀνδρῶν, οὐδὲ τοὺς θεοὺς ἀναθήμασιν οὐδὲ θυσίαις οἴεται χαίρειν τῶν ἀδίκων ἀνδρῶν. παράνομον δὲ τῶν θεῶν προσίεσθαι τὰ δεδομένα[83]). τοιγαροῦν θεραπεύει ἀφθόνως αὐτοὺς καὶ τούτοις· ἐκείνους[84]) γε μὴν οὐδέποτε παύσεται τιμῶν, τοῖς καλοῖς ἔργοις καὶ ταῖς δικαίαις πράξεσιν. ἕκαστόν γε μὴν τῶν θεῶν ἱλάσκεται, μετὰ[85]) τὴν τοῦ θεοῦ δύναμιν. ἡγεῖται δὲ τὴν μὲν ἀρετήν, ὁσιότητα[86])· τὴν δὲ κακίαν πᾶσαν ἀσέβειαν. εἶναι γὰρ ἐναγεῖς καὶ ἀλιτηρίους, οὐ μόνον τοὺς ἱερὰ συλῶντας, ἢ λέγοντάς τι βλάσφημον περὶ τῶν θεῶν, ἀλλὰ πολὺ μᾶλλον τούς τε δειλούς, καὶ ἀδίκους, καὶ ἀκρατεῖς, καὶ ἀνοήτους, καὶ καθόλου τοὺς ἐναντίον τι πράττοντας τῇ τε δυνάμει καὶ βουλήσει τῶν θεῶν. οὐ μόνον δὲ ἡγεῖται θεούς,

82) εἶναι delendum videtur, nisi malumus cum viro docto facere, qui Venetae h. l. adscripserat συμφέρον.

83) παράνομον — δεδομένα] Sententia carent haec verba; sed gemino modo possunt emendari: aut παρὰ μόνων δὲ τῶν θεοφιλῶν προσίεσθαι τὰ δ. quomodo fere interpres expressit; (Vir doctus, quem suspicor ipsum esse Naogeorgum, adscripserat: παρὰ μόνων δὲ τῶν δικαίων a solis vero iustis oblata admittere; quae ipsa sunt latini interpretis verba) aut παράνομον γὰρ τῶν ἀθέων π. τ. δ. Sed malo priorem rationem, propter insequentia τοιγαροῦν θεραπεύει αὐτοὺς καὶ τούτοις. *quapropter illos* (deos) *colit etiam his*, donariis puta et victimis. Casaubono hunc locum aliter constituenti non subscribo.

84) ἐκείνους] imo vero ἐκείνοις *illis vero*, quae mox dicam, τοῖς καλοῖς ἔργοις καὶ ταῖς δικαίαις πράξεσιν puta.

85) μετὰ] imo vero κατά.

86) f. τὴν μὲν ἀρετὴν πᾶσαν, ὁσιότητα. ob sequentia τὴν δὲ κακίαν πᾶσαν, ἀσέβειαν.

ἀλλὰ καὶ δαίμονας, καὶ ἥρωας ἀγαθοὺς, τὰς τῶν ἀγαθῶν ἀνδρῶν ψυχὰς μεταβαλλούσας[87]) ἐκ τῆς θνητῆς φύσεως· τοῦτο δὲ βεβαιοῖ τὸ δόγμα, οὐχ ἥκιστα χαριζόμενος αὐτῷ. τήν τε τῶν ἀνθρώπων ἐπιμέλειαν, οὐ πάρεργον οὐδὲ ἀσχολίαν ἄλλως νενόμικεν, βαρυνόμενος, οἶμαι, τὰς φροντίδας· ἀλλ' ἔργον αὐτοῦ, καὶ τέχνην ταύτην. καὶ ὅταν μὲν ἄλλο τι ποιῇ, οὐδὲν[88]) ἡγεῖται σπουδαῖον οὐδὲ τῶν αὐτοῦ πράττειν· ὅταν δὲ ἀνθρώπους ὠφελῇ, τότε[89]) νομίζει τὸ προσῆκον ἀποτελεῖν, ἅτε ὑπὸ τοῦ μεγίστου θεοῦ ταχθεὶς ἐπὶ τοῦτο τὸ ἔργον, ᾧ ἀπειθεῖν οὐ θέμις οὐδὲν, οὐδὲ ἄχθεσθαι ἅτε προσήκοντας[90]) αὐτῷ νομίζων. οὐδεὶς γὰρ οὕτως μαλακὸς οὐδὲ φιλήδονος, ὃς οὐχ ἥδεται τῇ αὐτοῦ πράξει, κἂν τύχῃ ἐπίπονος[91]). ὡς ἥκιστα μὲν κυβερνήτης ἀχθεσθείη τοῖς ἐν θαλάττῃ πόνοις, ἥκιστα δὲ γεωργὸς τοῖς περὶ γεωργίας[92]) ἔργοις, ἥκιστα δὲ κυνηγέτης, ὃν δεῖ θηρῶντα κάμνειν. καίτοι σφόδρα μὲν ἐπίπονον γεωργία, σφόδρα δὲ κυνηγε-

σία·

87) malim μεταβαλοῦσας in aor. sec.

88) οὐδὲν] sic recte Veneta, οὐδὲ Mor.

89) Veneta male ποτε, quod vir doctus correxit τότε: sed rursus eadem recte νομίζει τὸ προσῆκον. Morell. omittit τό.

90) προσήκοντας] in Veneta est προσηκούσας, cui V. D. adscripserat: [scil. φροντίδας, *eas nimirum ad se pertinere existimans.*] quod aut laudo et probo, a quo parum absum; aut ingeniosum certe et speciosum habeo. Solum hoc obstat, quod Dio vix videtur subaudiendum omisisse vocabulum, positum quidem illud iam versu 6. sed ad quod lectori recursus per tam multa alia interiecta vix pateat; quare malim οὐδὲ ἄχθεται, (subaudi τὴν τῶν ἀνθρώπων ἐπιμέλειαν) ἅτε προσήκουσαν αὐτῷ νομίζων. margo Mor. dat γρ. προσηκούσας αὐτῶν ἐργασίας νομ.

91) f. τύχῃ ἐπίπονος οὖσα. ὡς ἥκιστα.

92) περὶ γεωργίας potest quodammodo defendi, vt sit idem atque ὑπὲρ γεωργ. est tamen in eiusmodi re vsitatius, ideoque malim περὶ γεωργίαν.

σία 93)· ὃ μὴν ἀπαξιοῖ τὸ κάμνειν, καὶ ἐνοχλεῖσθαι τῶν ἄλλων ἕνεκεν, οὐδὲ ταύτῃ χεῖρον πράττειν 94) νενόμικεν, ἐὰν δέῃ πλείστους αὐτὸς ἀναδέχεσθαι πόνους, καὶ πλεῖστα πράγματα ἔχειν. ὁρᾷ γὰρ καὶ τὸν ἥλιον οὐδενὸς ἐλάττω τῶν θεῶν, οὐκ ἀχθόμενον, εἰ σωτηρίας ἕνεκεν ἀνθρώπου καὶ βίου, τὸν αἰῶνα διαπράττεται πάντα ὅσα πράττει. καὶ τοίνυν, τὴν μὲν ἀνδρείαν καὶ τὴν ἐγκράτειαν, καὶ τὴν φρόνησιν, ἀναγκαίας νομίζει καὶ τοῖς ἀμελοῦσι τοῦ δικαίου, καὶ βουλομένοις τυραννεῖν, οὐκ εἰ τάχιστα, ἐσπούδακεν, ἀπολοῦνται 95)· ἀλλὰ καὶ μᾶλλον πα-

93) non culpabo vulgatam, bene gnarus, auctores in reddendis totidem membris, quot praemisissent, sibi interdum non constare; quamquam nescio, an huius rei culpa in librarios haud raro conferri queat; quid si tamen accommodare hic loci Dio posteriora prioribus voluit, necesse est, vt dederit: *καίτοι ἐπίπονον μὲν κυβερνησία, ἐπίπονον δὲ γεωργία, ἐπίπονον δὲ κυνηγεσία.*

94) *πράττειν*] sic etiam correxit V. D. in Veneta, pro *πράττων*, quod ibi est.

95) misere foedeque discerptum et dilaceratum hunc locum satis sit intactum relinquere, ad exemplum prudentiae Casaubonianae, quam incertis coniecturis magis adhuc exulcerare. Morellus lectionem marginis (*εἰ μὴ τάχιστα ἀπολοῦνται ἀ. κ. μ. εἴ τινος τούτων ἑώρα δ. ἀ.*) praefert et commendat. Illa tamen, tametsi obiter intuenti, rem conclamatam restituere videatur, sedulo tamen pensitanti haud satisfacit, et hilum non prodesse, sed cum vulgata aeque vitiosa esse, deprehenditur. Videntur hae reliquiae liturarum ex aduersariis auctoris esse, aut sunt certe lacunae codicis illius primigenii, vnde exemplaria manarunt nostra omnia. Constat inter omnes, codices antiquos nusquam esse corruptiores a situ, fumo, vermibus, vetustate, aliisque iniuriis, ab iniuria, ignorantia, et socordia hominum illatis, quam initio et fine. Age tamen afferamus, quantum poterimus, huic loco sanando, tametsi fateamur vltro, persanari eum a nobis non posse, sed meliorem certioremque medelam a melioribus libris,

ρέχειν εἴ τι τούτους ἑώρα δεομένους αὐτοῦ [96]. ὅσῳ δὲ πλείους μὲν ἔχει [97] τοὺς μισοῦντας, πλείους δὲ τοὺς ἐπιβουλεύοντας, οὐδένα πιστὸν [98] οὐδὲ κηδόμενον· τοσούτῳ δὲ μᾶλλον, εἰ σωθήσεταί τινα χρόνον, καὶ ἀγρυπνητέον εἶναι, καὶ φροντιστέον, καὶ ἀμυνόμενόν γε, μὴ ἡττᾶσθαι τῶν πολεμικῶν [99], καὶ ἐπιβουλευόμενον, μὴ ἀγνοεῖν τοὺς ἐπιβουλεύοντας, καὶ τῶν ἡδονῶν ἀφεκτέον, καὶ γαστρὶ, καὶ ὕπνῳ, καὶ ἀφροδισίοις ἐλάχιστα προσεκτέον, ἢ τῷ φιλουμένῳ μὲν ὑπὸ πάντων, μηδένα δὲ ἔχοντι ἐπιβουλεύοντα. εἰ δὲ δεῖ τὰς αὐτὰς μὲν φροντίδας ἔχειν [100] ἢ πλείους [1], πολὺ δὲ μείζους ἀσχολίας, ὁμοίως δὲ εὐλαβεῖσθαι τὰς ἡδονὰς, ὁμοίως δὲ τοὺς κινδύνους ὑπομένειν, πότῳ δὴ κρεῖττον μετὰ δικαιοσύνης καὶ ἀρετῆς, ἢ μετὰ πονηρίας καὶ ἀδικίας πάντα ταῦτα ἐπιτηδεύειν; καὶ μετὰ ἐπαίνου φαίνεσθαι τοιοῦτον, ἢ μετὰ ψόγου; ἀγα-

si qui vsquam exstant, esse petendam. Versu itaque antep. p. 119. malim νομίζων, *existimans, cum existimet*; cohaeret cum hoc nominatiuo participii verbum ἐσπούδακεν *operam dat* παρέχειν *vt praestet, vt exhibeat*, scil. ἐν ἑαυτῷ τὴν ἀνδρείαν καὶ τὴν ἐγκράτειαν καὶ τὴν φρόνησιν, *fortitudinem, temperantiamque et prudentiam, vtpote quas existimet necessarias vel illis ipsis adeo, si qui tyrannidem exercere velint.* tum pro οὐκ εἰ τάχιστα malim οὐκ ἔλαττον, denique ἀπολοῦνται delendum.

96) αὐτοῦ] imo vero αὐτῶν, illarum trium virtutum, quas modo dixerat, nisi, quod suspicor, complura exciderint, in quibus aliquid fuerit, ad quod referatur αὐτοῦ, de quo non liquet.

97) post ἔχει deest ὁ τύραννος, vel tale quid.

98) f. οὐδένα δὲ πιστόν.

99) καὶ ἀμυνόμενόν τε μὴ ἡττᾶσθαι τῶν πολεμίων. *et tam in defendenda iniuria hostibus nil cedere, quam in cauendis insidiis haud ignorare periculi auctores.*

100) post ἔχειν videtur τὸν ἀδικοῦντα vel simile quid deesse, vt sit sententia: εἰ δὲ δεῖ τὸν ἀδικοῦντα καὶ βίαιον τὰς ὁμοίας ἔχειν φροντίδας τῷ ὀρθῶς καὶ δικαίως ἄρχοντι.

1) malim ἢ καὶ πλείους. *vel et plures.*

ἀγαπώμενον μὲν ὑπὸ ἀνθρώπων, ἀγαπώμενον δὲ ὑπὸ θεῶν, ἢ τοὐναντίον μισούμενον; καὶ τοίνυν τὸ μὲν
45. παρὸν, βραχύ τι τῷ ἀνθρώπῳ, καὶ ἀσυλλόγιστον, κατέχει δὲ τοῦ βίου τὸ πλεῖστον, μνήμη τῶν προγεγονότων, καὶ ἡ τῶν μελλόντων ἐλπίς. πότερον οὖν τοῖν ἀνδροῖν [2]) ἡγούμεθα εὐφραίνειν τὴν γνώμην, ἢ πότερον ἀνιᾶν, καὶ πότερον θαῤῥύνειν τὰς ἐλπίδας, καὶ πότερον ἐκπλήττειν; οὐκοῦν καὶ ἡδίονα[3]) ἀνάγκη τὸν βίον εἶναι τοῦ ἀγαθοῦ βασιλέως[4]). ὁρᾷς γὰρ, ὅτι πανταχοῦ τὸ βέλτιον τοῦ ἥττονος ἔταξεν ὁ θεὸς προνοεῖν τε καὶ ἄρχειν, οἷον τέχνην μὲν, ἀτεχνίας, ἀσθενείας δὲ δύναμιν, τοῦ δὲ ἀνοήτου τὸ φρόνιμον προνοεῖν καὶ προβουλεύειν ἐποίησεν. ἐν πάσαις δὲ ταύταις ταῖς ἐπιμελείαις, τὸ ἄρχειν[5]), οὐδαμῶς ῥᾴθυμον, οὐδὲ ἐπίπονον[6]), οὐδὲ πλέον ἔχεται ἀνέσεως

2) τοῖν ἀνδροῖν non cum πότερον, sed cum τὴν γνώμην cohaeret. *vtrum ergo horum* (τὸ ἄρχειν μετ' ἀδικίας καὶ ψόγου καὶ μίσους ἁπάντων, puta, et τὸ ἄρχειν δικαίως ἐπαινούμενον καὶ φιλούμενον) *existimas magis exhilarare mentem et recordationem horum duum virorum.* pro ἡγούμεθα malim quoque ἡγώμεθα. margo Mor. dat εὖ φρονεῖν et ποτέροιν ἀ. κ. ποτέροιν.

3) Ven. et Mor. dant ἴδιον. forte dederat librarius ἡδίον' cum apostropho, quod insequens alius in ἴδιον detorsit. Casaubonus ἡδίω. eodem redit.

4) Post βασιλέως videtur aliquid deesse, quod superiora cum insequentibus copulet, alioquin hiantia. fortassis καίτοι ἐπίπονον ὄντα. *vitam esse boni principis iucundiorem, tametsi sit molestiarum plena. vides enim* ei, vt gregis duci, multas esse curas super salute gregis tuenda suscipiendas; id quod necesse est; nam in re quaque id, quod excellit, facere nequit quin salutem inferioris atque debilioris curis suis tueatur.

5) τὸ ἄρχειν non improbo, malim tamen τὸ ἄρχον, vt conuenientius.

6) οὐδ' ἐπίπονον] Anglus haud infeliciter ἀλλ' ἐπίπονον. *nequaquam otiosum et socors, sed vel maxime negotiosum.* quo ducunt insequentia οὐδὲ πλέον ἔχεται —

σεως[7]) καὶ σχολῆς, ἀλλὰ φροντίδων καὶ πόνων. αὐτίκα ἐν νηῒ ἐπιβάταις ἔξεστιν[8]) ἀμελεῖν, μηδὲ ὁρᾷν τὴν θάλατταν, ἀλλὰ μηδὲ ὅποι γῆς εἰσι, τὸ τοῦ λόγου, τοῦτο εἰδέναι· καὶ πολλοὶ τὸν τρόπον τοῦτον πλέουσι ταῖς εὐδίαις, οἱ μὲν πεττεύοντες[9]), οἱ δὲ ᾄδοντες, οἱ δὲ εὐωχούμενοι δι᾽ ἡμέρας· ὅταν δὲ καταλάβῃ χειμών, ἐγκαλυψάμενοι περιμένουσι τὸ συμβησόμενον· οἱ δέ τινες καθυπνώσαντες, οὐδὲ ἀνέστησαν, ἕως γενόμενοι ἐν τῷ λιμένι[10]). τῷ κυβερνήτῃ δὲ ἀνάγκη μὲν ὁρᾷν πρὸς τὸ πέλαγος, ἀνάγκη δὲ ἀποβλέπειν εἰς τὸν οὐρανόν, ἀνάγκη δὲ προσκοπεῖν τὴν γῆν· οὐ μὴν οὐδὲ τὰ ἐν τῷ βυθῷ χρὴ λανθάνειν αὐτόν, ἢ λήσεται περιπεσεῖν[11]) ὑφάλοις πέτραις, ἢ ἀδήλοις ἕρμασι· μόνῳ δὲ ἐκείνῳ, τῆς μὲν νυκτὸς ἧττον ἔξεστι καθυπνῶσαι, ἢ τοῖς νηχομένοις. ἡμέρας δὲ εἴ πού τι βραχὺ κλέψειε τοῦ ὕπνου,

καὶ

7) οὐδὲ πλέον ἔχεται ἀνέσεως] sic etiam in Veneta est, sed abhorret a linguae graecae ratione, quare malim ἔχει.

8) Morell. dat οὐκ ἔξεστιν. ponam hic primo loco, quae in meo opusculo Dioneo ad interpretandam huius loci hanc lectionem proposueram, quae sunt haec: (οὐκ ἔξεστι dictum est pro οὐ μόνον ἔξεστι. Saepe μόνον omittitur: exempla habes apud Phot. Bibl. p. 366, 18. ed. Hoeschel. Iosephum ed. Hauerc. T. I. p. 74, 11. v. infra Dion. Chrys. ed. Mor. p. 203, 30. 328, 17. 444, 31.) haec olim scripseram; quibus alia complura possint exempla addi, si necesse sit. Sed ista scripseram, non inspecta Veneta, a qua οὐκ abest; recte vero, mea quidem sententia. Deleui ergo illud οὐκ, et lego ἐπιβάταις ἔξεστιν ἀμελεῖν, καὶ μηδὲ ὁρᾷν τ. θ. ἀ. μ. ὅπου γῆς —

9) recte dat Veneta πεττεύοντες, Morell. πεπτεύοντ.

10) Olim defendebam hunc locum, existimans e superioribus tacite repeti posse ἀνέστησαν; sed vereor, ne sint, quibus haec ratio minus satis faciat, cum quibus ipsemet nunc facio. quare aut γένωνται malim, aut ἕως ἐκβῶσι (vel καταβῶσι) γενόμενοι ἐν τῷ λιμένι. *donec in portum delati exscendant.*

11) recte emendauit Anglus περιπεσών.

καὶ τοῦτο μετέωρον καὶ ἀμφίβολον, ὡς ἀναβοᾶν πολλάκις, ἢ τὸ ἱστίον στέλλειν, ἢ παραστῆσαι τὸ πηδάλιον[12]), ἢ ἄλλο τι τῶν ναυτικῶν· ὥστε κοιμώμενος ἐκεῖνος μᾶλλον ἐπιμελεῖται τῆς νεὼς, ἢ τῶν ἄλλων οἱ σφόδρα ἐγρηγορότες. ἔν γε μὴν τῷ στρατεύεσθαι, τῶν μὲν στρατιωτῶν ἕκαστος αὑτῷ μόνῳ[13]) ἐπιμελεῖται καὶ ὅπλων, καὶ τροφῆς, ἐνταῦθα οὐ πορίζων, ἀλλ᾽ ἕτοιμα ἀξιῶν ἔχειν. μόνης δὲ φροντίζει τῆς ὑγείας τῆς ἑαυτοῦ, μόνης δὲ τῆς σωτηρίας. τῷ στρατηγῷ δὲ ἔργον ἐστὶν ἅπαντας μὲν ὡπλίσθαι καλῶς, ἅπαντας δὲ εὐπορεῖν σκέπης. οὐ μόνον δὲ τὰς τῶν ἀνθρώπων γαστέρας πληροῦν, ἀλλὰ καὶ τὰς τῶν ἵππων. ἐὰν δὲ μὴ πάντες ἔχωσι τὰ ἐπιτήδεια, πολὺ μᾶλλον ἄχθεσθαι[14]), ἢ αὐτὸς νοσῶν· σωτηρίαν γε μὴν τὴν ἐκείνων οὐ περὶ ἐλάττονος ποιεῖται τῆς αὑτοῦ. καὶ γὰρ δὴ νικᾶν μὲν ἀδύνατον ἄνευ σωτηρίας τῶν στρατιωτῶν. ὑπὲρ δὲ τῆς νίκης πολλοὶ τῶν ἀγαθῶν καὶ ἀποθνήσκειν αἱροῦνται. πάλιν δὲ τοῖς καθ᾽ ἕκαστον ἡμῶν. τὸ μὲν σῶμα, ἅτε ἀνόητον[15]), οὐδὲ αὑτῷ βοηθεῖν ἱκανόν ἐστιν, οὐδὲ ὑπὲρ

αὑτοῦ

12) παραστῆσαι τὸ πηδάλιον] *ad se adducere clauum*, introrsum adducere, versus interiora nauis; quemadmodum παραστῆσαι τὸν ἵππον est caput equi introrsum, ad se versus retorquere. conf. ad h. l. in meo opusculo Dioneo dicta, quae repetere haud iuuat.

13) αὐτῷ μόνῳ] *sui solius causa, in suam solius gratiam.* videtur interpres legisse αὐτοῦ μόνου, id quidem vertendo expressit, neque improbem, si vulgata commodam non ferat expositionem, sed fert.

14) ἄχθεσθαι] possit defendi repetendo ἔργον αὐτῷ ἐστι; sed praefero ἄχθεται, vt et V. L. Venetae dat.

15) ad ἀνόητον videtur ὂν addendum esse; Demosthenes quidem non omisisset, sed obseruaui iam aliquoties hoc ὂν in libris Dionis vitiose abesse, vt culpa ipsi potius auctori, quam librariis, videatur tribuenda, ipseque censendus dictionis aliquanto indiligentior.

αὐτοῦ φροντίζειν πέφυκεν, ὅτε[16]), τῆς ψυχῆς ἀπολειπούσης, οὐδὲ ὀλίγον δύναται διαμένειν, ἀλλὰ παραχρῆμα λύεται καὶ ἀπόλλυται· ἡ ψυχὴ δὲ ὑπὲρ ἐκείνου, πάσας μὲν φροντίδας φροντίζει, πάσας δὲ ἐπινοίας σκύλλει[17]), καὶ πολλὰ μὲν ἀνιᾶται λυπουμένη[18]). καὶ τὸ μὲν σῶμα αὐτὸ παρούσης μόνον αἰσθάνεται τῆς ἀλγηδόνος· ἡ ψυχὴ δὲ, πρὶν ἢ γενέσθαι τὴν ἀλγηδόνα, ἀνιᾶται, πολλάκις δὲ καὶ μὴ μελλούσης γίνεσθαι, διοῤῥωδεῖ[19]). θανάτου τε σῶμα μὲν οὐδέποτε ᾔσθετο· ψυχὴ δὲ καὶ τοῦτο[20]) συνίησι, καὶ πολλὰ πάσχει ῥυομένη μὲν ἐκ νόσων τὸ σῶμα, ῥυομένη δ' ἐκ πολέμων, ῥυομένη δ' ἐκ χειμῶνος,

16) ὅτε] l. ὅ γε *quippe quod.*

17) πάσας ἐπινοίας σκύλλει] mirifice dictum, eleganter et apposite. mens vexat et sollicitat omnia consilia, omnes rationes atque machinationes, nullum non mouet lapidem, nullam sibi facit reliquam viam consiliorum, quam non ineat, tentandi ergo videndique, num hac via procedere et sese expedire possit. Simile ductum ab iis, qui nodum ante constrictum vexando et vellicando resoluere student; quem nodum modo hac, modo illac vellicant, vt duritiem constrictionis vincant.

18) πολλὰ μὲν ἀνιᾶται λυπουμένη] deest alterum membrum, πολλὰ δὲ φοβουμένη. *mirifice angitur mens, et perturbatur, alias aegritudine praeteritorum, alias metu futurorum.*

19) γίνεσθαι διοῤῥωδεῖ] insolentius verbum διοῤῥωδεῖν, neque video, cur vis eius hoc loco requiratur, quae magna est. διοῤῥωδεῖν est toto animo cohorrescere, contremiscere. Locus hic tantam vehementiam haud postulat, quare aut prima syllaba est delenda, quod visum quoque fuit viro docto, qui notulas Venetae meae adspersit; aut est cum δὴ, aut cum ἤδη, aut denique cum νὴ Δί' mutandum; vt sit γίνεσθαι, νὴ Δί', ὀῤῥωδεῖ. deinde τε cum δὲ est mutandum.

20) τοῦτο si bene habet, referendum est πρὸς τὸ σημαινόμενον, scil. τὸ ἀποθνήσκειν, quod latet in voc. θανάτου. malim tamen aut τούτου aut τοῦτον.

νος, ῥυομένη δ' ἐκ θαλάττης[21]). οὕτω πανταχῇ ἐπιπονώτερον ψυχὴ καὶ ταλαιπωρότερον σώματος· ὅμως δὲ θειότερον καὶ βασιλικώτερον. καὶ μὴν τῶν γε ἀνθρώπων πᾶς ἂν ὁμολογήσειεν ἰσχυρότερον[22]) καὶ ἡγεμονικώτερον ἀνὴρ γυναικός. ἀλλ' ἐκείναις μὲν τὰ πολλὰ τῶν ἔργων κατ' οἰκίαν ἐστὶ, καὶ ἄπειροι μὲν ὡς τὸ πολὺ χειμώνων διατελοῦσιν, ἄπειροι δὲ πολέμων, ἄπειροι δὲ κινδύνων. τοῖς δὲ ἀνδράσι προσήκει μὲν στρατεύεσθαι, προσήκει δὲ πλεῖν, προσήκει δὲ ναυτιλίας[23]), ἀνάγκη δὲ ἐν ὑπαίθρῳ τὰ ἔργα διαπονεῖν. ἀλλ' οὐ διὰ τοῦτο μᾶλλον ἄν τις μακαρίσειε τῶν ἀνδρῶν τὰς γυναῖκας. ὅσοι δ' αὖ δι' ἀσθένειάν τε καὶ μαλακίαν ἐζήλωσαν τὸν ἐκείνων[24]) βίον, ὥσπερ Σαρδανάπαλος, διαβόητοι μὲν νῦν εἰσιν[25]) ἐπὶ τοῖς αἰσχροῖς. τὸ δὲ μέγιστον, ὁρᾷς τὸν ἥλιον, πόσῳ μὲν τῶν ἀνθρώπων ὑπερέχει μακαριότητι, θεὸς ὤν· ὅτι δὲ οὐκ ἀναίνεται δι' αἰῶνος ἡμῖν ὑπουργῶν, καὶ τῆς ἡμετέρας ἕνεκα σωτηρίας πράττων ἅπαντα. τί γὰρ ἄλλο τις εἴποι τὸν ἥλιον ἐργάζεσθαι δι' αἰῶνος, ἢ ὁπόσων ἄνθρωποι δέονται; ποιοῦντα μὲν καὶ διακρίνοντα τὰς ὥρας, αὔξοντα δὲ καὶ τρέφοντα πάντα μὲν ζῷα, πάντα δὲ φυτὰ, χορηγοῦντα δὲ τὸ κάλλιστον καὶ ἥδιστον ὁραμάτων, φῶς, οὗ χωρὶς οὐδὲ τῶν ἄλλων ὄφελος οὐδὲν τῶν καλῶν,

21) *ῥυομένη δ' ἐκ θαλάττης* aut est delendum, vtpote idem dicens cum praecedente *ῥυομένη δ' ἐκ χειμῶνος*, aut est abundantia quaedam orationis Tulliana.

22) f. *πᾶς τις ἂν ὁμολογήσειεν, ὅτι ἰσχυρώτερον.*

23) post *ναυτιλίας* deesse videtur verbum *ναυτίλλεσθαι*, vel simile quod. *πλεῖν* est militia nauali fungi, cum classe nauali in expeditionem ire, sed *ναυτιλίας ναυτίλλεσθαι* est, vt mercator, mercaturae faciendae ergo, mare exercere.

24) *ἐκείνων*] scil. mulierum.

25) *μὲν νῦν εἰσιν*] pro tribus his verbis malim vnum *μένουσιν*, *manent*, *perseuerant*.

λῶν, οὔτε οὐρανίων, οὔτε ἐπιγείων, ἀλλ᾽ οὐδὲ τὸ[26]) ζῆν· καὶ ταῦτα οὐδέποτε κάμνει χαριζόμενος. ἧπου[27]) γε δουλείαν δουλεύειν[28]) φαίη τις ἂν, πάνυ ἰσχυράν; εἰ γὰρ κἂν σμικρὸν ἀμελήσειε[29]), καὶ παραβαίη τῆς αὐτοῦ τάξεως, οὐδὲν κωλύει πάντα μὲν ἄνθρωπον[30]), πᾶσαν δὲ γῆν, πᾶσαν δὲ θάλατταν οἴχεσθαι· πάντα δὲ τοῦτον τὸν εὐειδῆ καὶ μακάριον κόσμον. τὴν αἰσχίστην καὶ χαλεπωτάτην ἀκοσμίαν φανῆναι. νῦν δὲ, ὥσπερ ἐν λύρᾳ φθόγγων ἁπτόμενος ἐμμελῶς, οὐδέποτε ἐξίσταται τῆς καθαρᾶς τε καὶ ἄκρας ἁρμονίας, μίαν καὶ τὴν αὐτὴν ἀπιὼν[31]) ὁδόν. ἐπεὶ δὲ δεῖται μὲν ἀλέας ἡ γῆ γεννῆσαι[32]) τὰ φυόμενα, καὶ ὥστε αὐξῆσαι, καὶ ὥστε ἐπιτελέσαι, δεῖται δὲ τὰ ζῷα καὶ σωτηρίας ἕνεκεν τῶν σωμάτων· καὶ ἡδονῆς τῶν κατὰ φύσιν δεόμεθα· καὶ ἡμεῖς[33]) πάντων μάλιστα, ἅτε πλείστης χρῄζοντες βοη-

26) τὸ] l. τοῦ: aptum enim est ex οὐδέν ἐστιν ὄφελος.

27) ἧπου] sic Veneta, ἢ ποῦ Morell.

28) aut δουλεύει leg. detracto ν, aut ad δουλεύειν addendum est αὐτόν.

29) ἀμελήσειε] in marg. Morell. est σικελίσειε, quomodo vir doctus correxit in codice meo Venetae lectionem σικελήσειε. Quae cum considero, venit in mentem latere in prima syllaba σι pronomen τι *aliquid*, et in κελήσειε, non ἀμελήσειε, sed πλημμελήσειε. Cum Siculi fuerint habiti astuti, vafri, dolosi, potest vtique fieri, vt σικελίζειν vsurpatum sit pro *nequiter agere*; de quo mihi neutram partem constat. Sed si vel maxime sit, non videtur Dio verbo tam plebeio et comico vsus hic esse in re tam graui et magnifica. Anglus adscripsit: ἀμελήσας ἐκλύσειε.

30) non ignoro πάντα ἄνθρωπον idem esse ac πάντας ἀνθρώπους, nescio tamen, qui fiat, vt hoc mihi hic loci magis, quam illud, placeat.

31) ἀπιὼν diuido in duo vocabula ἀεὶ ἰών, *semper ambulans*.

32) f. ἡ γῆ ὥστε γεννῆσαι, propter insequentia.

33) f. ἡδονῆς τῆς κατὰ φύσιν, δεόμεθα δὲ καὶ ἡμεῖς.

βοηθείας· θέρος ἐποίησεν, ἀεὶ καὶ μᾶλλον ἐγγυτέρω προσιὼν τῆς ἡμετέρας οἰκήσεως, ἵνα πάντα μὲν φύσῃ, πάντα δὲ θρέψῃ, πάντα δὲ τελειώσῃ, θείαν δὲ καὶ θαυμαστὴν παράσχῃ[34]) τοῖς ἀνθρώποις εὐφροσύνην τε καὶ ἑορτήν[35]). ἐπεὶ δὲ αὖ πάλιν πολλὰ καὶ[36]) ἡμεῖς ἐν χρείᾳ γινόμεθα τῆς ἐναντίας κράσεως· δεῖται μὲν γὰρ ὑπὸ τοῦ ψύχους τὰ σώματα συνίστασθαι, δεῖται δὲ πυκνώσεως τὰ φυτά, δεῖται δὲ ὄμβρων ἡ γῆ· πάλιν ἄπεισιν ἀφ᾽ ἡμῶν ἀφιστάμενος μέτριον. οὕτω δὲ πάνυ ἀσφαλῶς καὶ ἀραρότως τηρεῖ τοὺς ὅρους πρὸς τὸ ἡμῖν συμφέρον, ὥστε εἴτε προσιὼν ὀλίγον ἐγγυτέρω γένοιτο[37]), πάντα ἂν συμφλέξειεν, εἴτε ἀπιὼν σμικρὸν ὑπερβάλλοι, πάντα ἂν ἀποψυγείη. ἐπεὶ δὲ ἀσθενέστεροι φέρειν ἐσμὲν τὴν μεταβολὴν ἀθρόαν γινομένην, κατ᾽ ὀλίγον ταῦτα μηχανᾶται, καὶ τρόπον ἡμᾶς λανθάνων. καὶ συνεθίζει τινὰ[38]) τοῦ ἦρος ὑπενεγκεῖν τὸ θέρος· προγυμνάζων δὲ τοῦ μετοπώρου, χειμῶνα ἀνέχεσθαι· ἐκ μὲν τοῦ χειμῶνος θάλπων κατ᾽ ὀλίγον· ἐκ δὲ τοῦ θέρους ἀναψύχων, ὥστε ἀλύπως ἀφικνεῖσθαι πρὸς ἑκατέραν τὴν ὑπερβολήν. ἐπεὶ δὲ αὖ τὸ φῶς, ὁρᾶσθαι μὲν ἥδιστον, πράττειν δὲ ἀδύνατον ὁτιοῦν χωρὶς αὐτοῦ, κοιμώμενοι δὲ πᾶσαν ἡσυχίαν

34) παράσχῃ ob coniunctiuos praemissos. Ven. et Mor. dant παράσχοι.
35) ἑορτήν] *festiuitatem*, *hilaritatem*. Est Latinismus.
36) πολλὰ καὶ] lege πολλάκις *saepenumero*.
37) aut γίνοιτο, aut paulo post ὑπερβάλοι in aor. sec.
38) τινὰ ad τρόπον retrahendum esse, praeter Morellum et Casaubonum, vir doctus quoque in Veneta mea annotauerat, vt dubium hac de re nullum supersit. Sed in reliquis a viris doctis paulum discedo, et e varietate lectionis, quam afferunt, locum sic constituo: καὶ τρόπον τινὰ ἡμᾶς λανθάνει συνεθίζων μὲν τοῦ ἦρος ὑπενεγκεῖν. Seruanda putem τοῦ ἦρος et τοῦ μετοπώρου, *pro tempestate veris* et *tempestate autumni*.

χίαν ἄγομεν, οὐδὲν δὲ χρώμεθα τῷ φωτὶ, ὅσον μὲν ἱκανὸν ἐγρηγορέναι, ἡμέραν ἐποίησεν· ὅσον δὲ κοιμᾶσθαι ἀναγκαῖον, νύκτα ἀπέδειξε [39]), περί τε πᾶσαν ἰὼν γῆν, ἄλλοτε ἄλλους ἀναπαύων τε καὶ ἀνιστάς· παριπτάμενος μὲν ἀπὸ τῶν μηκέτι δεομένων φωτὸς, τοῖς δὲ δὴ δεομένοις ἐπιφαινόμενος. καὶ ταῦτα μηχανώμενος δι' αἰῶνος, οὐδέποτε κάμνει. ὅπου δὲ θεὸς ὁ πάντων κάλλιστος καὶ φανερώτατος [40]) οὐχ ὑπερορᾷ τὸν ἅπαντα χρόνον ἀνθρώπων ἐπιμελούμενος [41])· ἤ πού γε ἄνθρωπον θεοφιλῆ καὶ φρόνιμον χρὴ βαρύνεσθαι [42]) τὸ τοιοῦτο; ἀλλὰ μὴν [43]), καθ' ὅσον οἷός τέ ἐστι, μιμεῖσθαι τὴν ἐκείνων [44]) δύναμιν καὶ φιλανθρωπίαν. ταῦτα δὲ λογιζόμενος, οὐκ ἄχθεται καρτερῶν, κατανοεῖ δὲ τοὺς μὲν πόνους, ὑγείαν τε παρέχοντας καὶ σωτηρίαν, ἔτι δὲ δόξαν ἀγα-

39) Sol facit noctemque diemque, hoc eo, quod auolat ab iis, qui luce nil iam indigent, illud eo, quod accedit ad eos, quibus luce opus est. παριπτάμενος tametsi est poeticum, ego tamen haud repudiem. In Veneta est παριπτάμενοι, et in marg. Mor. ἀφιστάμενος.

40) Veneta male φανερώτερος. librarii graeci terminationes comparatiui et superlatiui eadem sigla exarant. Inde creberrimus error in libris nostris graecis, qui formis stanneis excusi sunt, natus est.

41) οὐχ ὑπερορᾷ — ἀνθρώπων ἐπιμελούμενος] tametsi satis haud placet, certo tamen haud ausim pronunciare Dionem ita locutum non esse. Potest peculiari quadam vsus esse dictione, quae cum ab vsu abhorreat, rationibus tamen linguae graecae non repugnet. potest vtrique illa dictio sic exponi: *non omittit*, *non cessat*, *non aspernatur res humanas curare.* Dixisset tamen alius οὐκ ἀπαγορεύει *non fatigatur*, *non desistit*, victus fatigatione atque desperatione, a cura rerum humanarum.

42) malim χρὴ οὐ βαρύνεσθαι.

43) μὴν] imo vero μᾶλλον. natus error e compendio scripturae. Casaubonus mauult μή.

44) ἐκείνων] imo vero, ἐκείνου: nam de vno sole deo loquitur.

ἀγαθήν· τὴν δὲ αὖ τρυφὴν, ἅπαντα τέτων τἀναντία[45]). ἔτι δὲ οἱ μὲν πόνοι, αὐτὲς ἐλάττες ἀεὶ ποιῦσι, καὶ φέρειν ἐλαφροτέρες· τὰς δὲ ἡδονὰς μείζες καὶ ἀβλαβεςέρας, ὅταν γίνωνται μετὰ τὲς πόνες. εἰ γὰρ μὴ τῦτο, τὲς πόνες[46]) ἀεὶ χαλεπωτέρους ποιεῖ φαίνεσθαι· τὰς δὲ ἡδονὰς ἀπομαραίνει καὶ ἀσθενεῖς ἀποδείκνυσιν. ὁ γὰρ ἀεὶ τρυφῶν ἄνθρωπος, μηδέποτε δὲ ἁπτόμενος πόνου μηδενὸς, τελευτῶν πόνον μὲν οὐκ ἂν ἐδένα ἀνάσχοιτο· ἡδονῆς δὲ ἐδεμιᾶς ἂν αἴσθοιτο, ἐδὲ τῆς σφοδροτάτης. ὥςε ὁ φιλόπονος καὶ ἐγκρατὴς, ἐ μόνον βασιλεύειν ἱκανώτερός ἐςιν, ἀλλὰ καὶ ἥδιον βιοτεύειν πολὺ τῶν ἐναντίων. ἐγρηγόρσεως δὲ καὶ ὕπνε τοῖς μὲν ςρατιώταις ἐξ ἴσε μέτεςι, τῶν μὲν φυλαττόντων ἐν μέρει, τῶν δὲ ἀναπαυομένων· ὁ δὲ ςρατηγὸς ἀγρυπνότερός ἐςι τῶν ἀεὶ φυλασσόντων. φιλίαν γε μὴν νενόμικεν ἁπάντων τῶν αὐτῦ κτημάτων κάλλιςον καὶ ἱερώτατον. ἐ γὰρ ὕτως αἰσχρὸν εἶναι[47]) τὸ βασιλεύειν, ἐδὲ ἐπικίνδυνον χρημάτων

45) maneat per me licet vulgata, quae vitio carere videri vtique poteſt. malim tamen τἀναντιώτατα.

46) εἰ γὰρ μὴ τῦτο, τὲς πόνες] vitioſam eſſe conſtat hanc lectionem, quae ſic videtur, vt breuis ſim, emendanda: ἡ τρυφὴ δὲ τὲς μὲν πόνες. Sententia hoc poſtulat, atque ſubminiſtrat. margo Morell. etiam partem praebuit emendationis, μὲν τρυφὴ, et Anglus ſic correxit: ἡ δ' αὖ τρυφή.

47) εἶναι poteſt defendi, vt aptum e νενόμικεν; melius tamen conuenit ἐςὶ, quod ſuadeo ſuffici. Saepiſſime ἐςὶ et εἶναι in libris inter ſe permutantur a librariis, ideo, quod nouis graecis εἶναι perinde tertia ſingularis praeſentis indicatiui, atque infinitiuus eſt, ab εἰμί. Sed hoc leue prae altero vitio τὸ βασιλεύειν. Caſaubonus vult μὴ addi; adſcripſerat idem vir doctus meae Venetae, et videtur idem in mente habuiſſe, ſed non audio. μὴ βασιλεύειν non eſt regno priuari, quod interpres voluit; poteſt id de eo praedicari, qui regnum nunquam capeſ-

μάτων ἀπορεῖν, ὡς φίλων. οὐδ' ἂν οὕτως τῇ χορηγίᾳ καὶ τοῖς στρατοπέδοις, καὶ τῇ ἄλλῃ δυνάμει διαφυλάττοι48) τὴν εὐδαιμονίαν, ὡς τῇ πίστει τῶν φίλων. μόνος μὲν γὰρ οὐδεὶς πρὸς οὐδὲν, οὐδὲ τῶν ἰδίων, ἱκανός ἐστι· τοῖς δὲ βασιλεῦσιν, ὅσῳ πλείω τε καὶ μείζω πράττειν ἀνάγκη, πλειόνων δεῖ καὶ τῶν συνεργούντων, καὶ μετ' εὐνοίας πλείονος. ἀνάγκη γὰρ τὰ μέγιστα καὶ σπουδαιότερα49) τῶν πραγμάτων, ἢ πιστεύειν ἑτέροις, ἢ προΐεσθαι. καὶ τοίνυν τοῖς μὲν ἰδιώταις οἱ νόμοι παρέχουσι τὸ μὴ ἀδικεῖσθαι ῥᾳδίως ὑπὸ τούτων, οἷς ἂν συμβάλλωσιν50), ἢ χρήματα πιστεύσαντες, ἢ οἶκον ἐπιτρέψαντες, ἢ ἔργου τινὸς κοινωνήσαντες, ζημιοῦντες τὸν ἀδικοῦντα· τοῖς δὲ βασιλεῦσι τὸ μὴ ἀδικεῖσθαι πιστεύσαντας, οὐκ ἔστι παρὰ τῶν νόμων ζητεῖν, ἀλλὰ παρὰ τῆς εὐνοίας. καὶ γὰρ ἰσχυροτάτους μὲν εἰκὸς ἁπάντων εἶναι τοὺς ἐγγὺς τῶν βασιλέων, καὶ τὴν ἀρχὴν συνδιοικοῦντας. ἀπὸ δὲ τούτων οὐκ ἔστιν ἄλλη φυλακὴ, πλὴν τὸ ἀγαπᾶσθαι. ὡς τοῖς μὲν τυχοῦσιν51) οὐκ ἀσφαλὲς εἰκῇ μεταδιδόναι δυνάμεως. ὅσῳ δ' ἄν τις τοὺς φίλους ἰσχυροτέρους ποιῇ, τοσούτῳ ἰσχυρότερος αὐτὸς γίνεται. ὅρα δὲ, ὅτι τῶν μὲν ἄλλων κτημάτων, τὰ

μὲν

ſiuit. Lego: οὐ γὰρ οὕτως αἰσχρόν ἐστι τοῖς βασιλεῦσιν, οὐδ' ἐπικίνδυνον, χρημ. — — *regibus neque tam turpe est, neque tam periculoſum, egere opibus, quam amicis.* plana ſententia. τοῖς βασιλεῦσιν paulo poſt bis iteratur, quod ſi admittimus, erit etiam 48) διαφυλάττοιεν in plurali leg. Viam paene eandem iniit Anglus, qui dedit: αἰσχρόν ἐστι τῷ βασιλεῖ, aut τῷ βασιλεύοντι.

49) σπουδαιότατα.

50) συμβάλωσιν in aoriſt., propter ſequentia participia aor. pr. quae alias cum participiis temp. praeſ. eſſent mutanda.

51) ὡς τοῖς μὲν τυχοῦσιν] infirmum et labans argumentum. quanto enim quis eſt potentior, vt, ſi probus et fidus eſt amicus, prodeſſe tanto poteſt magis, tanto rurſus nocebit plus, ſi malus et maleuolus eſt.

μὲν ἀναγκαῖα μόνον καὶ χρήσιμα δοκεῖ πᾶσι, τέρψιν δὲ οὐδεμίαν παρέχεται· τὰ δὲ, ἡδέα μόνον, συμφέροντα δὲ οὔ. τοὐναντίον δὲ τὰ πλεῖστα τῶν ἡδέων, ἀσύμφορα εὑρίσκεται. καὶ τοίνυν[52]) ὅσα μὲν ἀναγκαῖα καὶ χρήσιμα τῶν κτημάτων, οὐ πάντως οὐδ' ἡδονήν τινα ἔχει τοῖς κεκτημένοις· ὅσα δὲ τερπνὰ, διὰ τοῦτο οὐκ εὐθὺς καὶ συμφέροντα. τοὐναντίον γὰρ τὰ πολλὰ τῶν ἡδέων, ἀσύμφορα ἐξελέγχεται. αὐτίκα τείχη μὲν καὶ ὅπλα καὶ μηχανήματα, καὶ στρατόπεδα τῶν ἀναγκαίων κτημάτων τοῖς κρατοῦσιν. ἄνευ γὰρ τούτων οὐχ οἷόν τε σώζεσθαι τὴν ἀρχήν. τέρψιν δὲ οὐχ ὁρῶ ποίαν γε δίχα τῆς ὠφελείας ἔχει[53]). καλὰ δὲ ἄλση, καὶ οἰκία, καὶ πολυτελεῖς ἀνδριάντες[54]), καὶ γραφαὶ τῆς σπουδαίας τε καὶ ἄκρας τέχνης, καὶ χρυσοῖ κρατῆρες, καὶ ποικίλαι τράπεζαι καὶ πορφύραι, καὶ ἐλέφας, καὶ ἤλεκτρος, καὶ μύρων ὀσμαὶ, θεαμάτων τε παντοίων καὶ ἀκουσμάτων τέρψεις[55]) διά τε φωνῆς καὶ ὀργάνων· πρὸς δὲ αὖ τούτοις, γυναῖκες ὡραῖαι, καὶ παιδία ὡραῖα· ξύμπαντα ταῦτα οὐδεμιᾶς ἕνεκα χρείας, ἀλλ' ἡδονῆς εὑρημένα φαίνεται. μόνῃ δὲ τῇ φιλίᾳ συμβέβηκεν, ἁπάντων μὲν εἶναι συμφορώτατον, ἁπάντων δὲ ἥδιστον. εὐθὺς δὲ[56]) οἶμαι

52) καὶ τοίνυν — 53. ἔχει] videtur hic aliquid e lituris auctoris superesse. vix absolui potest hic locus a crimine tautologiae, quod cum Anglus bene animaduertit, tum nemini latere potest paulo attentiori; quod si labem hanc eluere volumus, necesse erit, vt pro τοίνυν sufficiamus γὰρ, et pro οὐδ' paulo post διὰ τοῦθ': verum tamen ne sic quidem defendi potest, hunc locum non eadem cum superiori dicere. Annotauit Anglus quoque, a καὶ τοίνυν ad ἐξελέγχεται, παρέλκειν.

54) f. καὶ οἰκίαι πολυτελεῖς, καὶ ἀνδριάντες.

55. recte Veneta τέρψεις. nam de Atticismo hic non est cogitandum. τέρψης Morell.

56) δὲ] imo vero γάρ. Saepe haec duo inter se permutantur.

τῶν ἀναγκαίων τὰ μέγιστα, ὅπλα, καὶ τείχη, καὶ στρατεύματα, καὶ πόλεις ἄνευ τῶν διοικούντων φίλων, οὔτε χρήσιμα, οὔτε συμφέροντα· ἀλλὰ καὶ λίαν ἐπισφαλῆ· οἱ δέ γε φίλοι, καὶ δίχα τούτων ὠφέλιμοι. καὶ ταῦτα μὲν ἐν πολέμῳ μόνῳ χρήσιμα· τοῖς δὲ ἀεὶ βιωσομένοις ἐν εἰρήνῃ, ἂν ᾖ δυνατὸν, ἀχρεῖα καὶ βαρέα· ἄνευ δὲ φιλίας, οὐδ᾽ ἐν εἰρήνῃ ζῆν, ἀσφαλές. καὶ μὴν ὧν εἶπον ἡδέων, τὸ μὲν κοινωνεῖν φίλοις τερπνότατον· μόνον δὲ ἀπολαύειν ἐν ἐρημίᾳ, πάντων ἀηδέστατον, καὶ οὐδεὶς ἂν ὑπομείνειεν. ἔτι δὲ λυπηρότερον, εἰ δεήσειε κοινωνεῖν τοῖς μὴ ἀγαπῶσι. ποία μὲν γὰρ εὐφροσύνη προσφιλὴς, εἰ μὴ καὶ πάντα παρείη τὰ μέγιστα[57]); ποῖον δὲ συμπόσιον ἡδὺ, χωρὶς εὐνοίας τῶν παρόντων; ποία δὲ θυσία κεχαρισμένη θεοῖς, ἄνευ[58]) τῶν συνευωχουμένων; οὐ γὰρ καὶ τὰ ἀφροδίσια ταῦτα ἥδιστα καὶ ἀνυβριστότατα, ὅσα γίνεται μετὰ φιλίας τῶν συνόντων; καὶ ὅσοι μαστεύουσιν[59]) εὔνοιαν ἀνθρώ-

57) εἰ μὴ — μέγιστα] locus obscurus et bona sententia cassus. Vir doctus in Veneta mea μὴ delebat; et interpres idem omisit; ego seruandum censeo, sed sic, vt legatur: *εἰ μὴ καὶ πασῶν παρείη ἡ μεγίστη. ecquae enim erit laetitia grata et amica, si laetitiarum omnium maxima absit?*

58) post ἄνευ videtur στοργῆς, vel ὁμοφροσύνης, vel tale quid desiderari. *Sine mutuo amore coepulantium.*

59) ὅσοι μαστεύουσιν — γυναικῶν] Laboratur in hoc loco. In marg. Morell. annotatum est ὅσα, quod olim et ipse probaui, nunc minus; videtur enim locus ita constituendus: καὶ ὅσοις μαστεύουσιν εὔνοιαν ἄνθρωποι, οὐκ ἐπώνυμα ἦλθε — et, *quibuscunque rebus homines beneuolentiam venantur, nonne illis appellationes venerunt aut a puerilibus, aut a muliebribus amoribus?* Interrogationem οὐκ *nonne* si hic loci haud toleras, erit eadem paulo ante cum καὶ mutanda, a quo non sum alienus. Casaubonus mentem suam ad h. l. haud satis declarauit; ego equidem eam haud percipio. Facile tamen ei assentior in suspicione, nonnulla hic de origine amoris disputata excidisse.

ἀνθρώποις, ἐπῆλθε παρὰ παιδικῶν, ἢ παρὰ γυναικῶν. πολλαὶ μὲν γὰρ ἐπωνυμίαι τῆς φιλίας, ὥσπερ ἀμέλει καὶ χρεῖαι. ἡ δὲ μετὰ κάλλους καὶ ὥρας γιγνομένη φιλία δικαίως ἔρως ὠνόμασται, καὶ δοκεῖ κάλλιστος τῶν θεῶν. καὶ μὴν τά γε ὠφέλιμα φάρμακα, τοῖς μὲν νοσοῦσιν ὠφέλιμα· τοῖς δὲ ὑγιαίνουσι περιττά. φιλίας δὲ ἀεὶ[60]) μὲν καὶ τοῖς ὑγιαίνουσι, σφόδρα δεῖ καὶ τοῖς νοσοῦσι. καὶ συμφυλάττει μὲν πλοῦτον· ἐπαρκεῖ δὲ πενίᾳ. καὶ λαμπρύνει μὲν δόξαν· ἀμαυροῖ δὲ ἀδοξίαν. μόνον δὲ τοῦτο, τὰ μὲν δυσχερῆ πάντα μειοῖ, τὰ δὲ ἀγαθὰ πάντα αὔξει. ποία μὲν γὰρ συμφορὰ δίχα φιλίας οὐκ ἀφόρητος; ποία δὲ εὐτυχία χωρὶς φίλων οὐκ ἄχαρις. εἰ δὲ σκυθρωπὸν ἐρημία, καὶ πάντων φοβερώτατον, οὐ τὴν ἀνθρώπων ἐρημίαν χρὴ τοιοῦτον νομίζειν, ἀλλὰ τὴν τῶν φίλων· ἐπεὶ τῶν γε μὴ εὐνοούντων πολλάκις ἐρημία κρείττων. ἐγὼ μὲν γὰρ οὐδ᾽ εὐτυχίαν νενόμικα ἐκείνην, εἰ[61]) μηδένα ἔχει τὸν συνηδόμενον. ῥᾷον γὰρ ἄν τις συμφορὰν τὴν χαλεπωτάτην φέροι μετὰ φίλων, ἢ μόνος εὐτυχίαν τὴν μεγίστην. ὡς ἐκεῖνον ἀθλιώτατον ἐγὼ κρίνω δικαίως, ὃς ἐν μὲν ταῖς συμφοραῖς πλείστους ἔχει τοὺς ἐφηδομένους· ἐν δὲ ταῖς εὐτυχίαις, οὐδένα τὸν συνηδόμενον. ᾧ γὰρ πλεῖστοι μὲν καὶ ἄριστοι φίλοι, δυσμενὴς δὲ οὔτις ἄρα ἐστὶ, καὶ πολλοὶ μὲν οἱ ἀγαπῶντες, πλείους δὲ οἱ ἐπαινοῦντες, ψέγειν δὲ οὐδεὶς ὁ δυνάμενος, πῶς ὁ τοιοῦτος οὐ τελέως εὐδαίμων; ὁ γὰρ τοιοῦτος ἀνὴρ[62]), πολλοὺς μὲν ἔχει τοὺς

60) φιλίας δὲ ἀεὶ —] locum hunc leui opera ſic corrigo: φιλίας δὲ δεῖ μὲν κ. τ. ὑ. σφόδρα δὲ δεῖ καὶ — margo Morell. dat γρ. μισοῦσι.

61) εἰ] malim ἣ *quae*.

62) quod ſi hanc ſententiam ὁ γὰρ τοιοῦτος ἀνὴρ — cum altera paulo poſt καὶ διὰ τὸ εὐτυχεῖν — confero, videor mihi rurſus notas liturarum hic videre. poſterior idem plane

συνηδομένους· οὐδένα δὲ ἐφηδόμενον. καὶ διὰ τὸ εὐτυχεῖν ἐφ' ἅπασι καὶ διὰ τὸ πολλοὺς μὲν ἔχειν φίλους, μηδένα δὲ ἐχθρόν. εἰ δὲ ὀφθαλμοὶ καὶ γλῶτται, καὶ χεῖρες ἀνθρώπων τοῦ παντὸς ἄξια, οὐ μόνον πρὸς τὸ ἥδεσθαι ζῶντας, ἀλλὰ δύνασθαι ζῆν[63]), τούτων οὐκ ἔλαττον, ἀλλὰ μᾶλλον[64]) φίλοι χρήσιμοι. διὰ μὲν γὰρ τῶν ὀφθαλμῶν μόλις ὁρᾶν ἐστὶ τὰ ἐμποδών· διά τε τῶν φίλων καὶ τὰ ἐπὶ γῆς πέρασι θεάσασθαι. καὶ διὰ μὲν ὤτων οὐκ ἄν τις ἀκοῦσαι ἢ τῶν σφόδρα ἐγγύθεν[65])· διά τε τῶν εὐνοούντων, οὐδενὸς τῶν ἀναγκαίων ὁποιδήποτε ἀνήκοός ἐστι. καὶ τῇ μὲν γλώσσῃ, μόνοις τοῖς παροῦσι σημαίνῃ, καὶ ταῖς χερσὶν, εἰ καὶ σφόδρα εἴη κρατερὸς, οὐκ ἂν ἐργάσηται πλεῖον ἔργον, ἢ δύ' ἀνδρῶν· διά τε τῶν φίλων, δύναται καὶ πᾶσι διαλέγεσθαι, καὶ πάντων[66]) ἔργων ἐφικνεῖσθαι. οἱ γὰρ εὐνοοῦντες πάντα ἐκείνῳ συμφέροντα καὶ λέγουσι καὶ δρῶσι. τὸ δὲ δὴ πάντων παραδοξότατον, ἕνα γὰρ ὄντα, ἐγχωρεῖ, ὅστις πολύφιλος, πολλὰ μὲν ἐν ταὐτῷ χρό-

νῳ

plane dicit superiori. Excerpta videtur haec disputatio ex auctoris aduersariis, vbi multae eaedem sententiae aliis atque aliis verbis et modis essent perscriptae.

63) f. ἀλλὰ καὶ πρὸς τὸ δύνασθαι ζῆν.

64) ἀλλὰ καὶ μᾶλλον.

65) διὰ μὲν — ἐγγύθεν] breuius hoc dictum pro latiori: οὐκ ἄν τις ἀκοῦσαι οὐδενὸς ἄλλου aut ἄλλων τινῶν. Saepe ἄλλος in re tali omittitur. v. Plutarch. opp. 612, 12. Max. Tyr. 377, 4. Diogen. Laërt. 253, 8. Philostrat. 180, 25. 621, 29. nolim tamen ideo asseuerare, Dionem hic ita, vt hodie circumfertur, scriptum reliquisse, non, quod malim: οὐκ ἂν ἀκοῦσαι εἰ μὴ τῶν σφ. ἐγγ.

66) πάντων ἔργων ἐφικνεῖσθαι ita debet accipi, ac si dixisset ἐπὶ ἔργα πάντων ἀνθρώπων ἱκνεῖσθαι· consequi opera omnium hominum, h. e. laborando tantumdem perficere, atque omnes vna homines perficiant suo quisque labore.

νω πράττειν, περὶ πολλῶν δὲ ἅμα βουλεύεσθαι, περὶ πολλῶν δὲ ὁρᾶν, πολλὰ δὲ ἀκούειν, ἐν πολλοῖς δὲ ἅμα εἶναι τόποις, ὃ καὶ τοῖς θεοῖς χαλεπὸν, καὶ μηδαμοῦ μηδὲν ἔρημον ἀπολείπεσθαι τῆς ἐκείνου προνοίας. καὶ τοίνυν οὐχ ἧττον αἱ τῶν [67]) φίλων εὐπάθειαι, τὸν ἀγαθὸν πεφύκασιν εὐφραίνειν, τῆς αὐτοῦ τινος τέρψεως. πῶς γὰρ οὐ μακαριστὸν, ὅτῳ πάρεστι πολλοῖς μὲν σώμασιν ἡδόμενον εὐφραίνεσθαι, πολλαῖς δὲ διανοίαις φροντίζοντα βουλεύεσθαι, πολλαῖς δὲ ψυχαῖς εὐτυχοῦντα χαίρειν; εἰ δὲ δόξα τοῖς φιλοτίμοις περισπούδαστον, πολλάκις ἂν εὐδοξοίη τῶν φίλων ἐπαινουμένων. εἰ δὲ πλοῦτος πέφυκεν εὐφραίνειν τοὺς κτωμένους, πολλάκις ἂν εἴη πλούσιος ὁ τοῖς φίλοις μεταδιδοὺς τῶν παρόντων. καὶ τοίνυν ἡδὺ μὲν χαρίζεσθαι τοῖς ἐλευθέροις, ἀφθόνων ὄντων, ἡδὺ δὲ λαμβάνειν δῶρα, δικαίως λαμβάνοντα καὶ δι' ἀρετήν· ὁ τοίνυν τοῖς φίλοις χαριζόμενος, ἥδεται διδοὺς, ἅμα δὲ [68]) ὡς αὐτὸς κτώμενος. καὶ γὰρ δὴ παλαιός ἐστιν ὁ λόγος, ὁ κοινὰ ἀποφαίνων τὰ τῶν φίλων. οὐκοῦν ἀγαθῶν παρόντων τοῖς ἀγαθοῖς, οὐχ ἥκιστα ἂν εἴη ταῦτα κοινά. ἐν μὲν οὖν τοῖς ἄλλοις, οὐ πάντως ὑπερβάλλειν τοὺς ἰδιώτας, ὁ τοιοῦτος βασιλεὺς βούλεται, πολλαχοῦ δὲ καὶ ἔλαττον ἔχειν ἐκείνων [69]), οἷον σχολῆς, ῥᾳθυμίας, ἀνε-

67) Veneta dat οὐχ ἧττον αὐτῶν, item codex regius, et Anglus. quare miror, mediam vocem ab edit. Morell. omissam, quae necessaria esset, viamque ad veram emendandi rationem monstraret, quae non latuit, neque interpreti Naogeorgo, neque Casaubono, neque Anglo, οὐχ ἧττον αἱ τῶν, *non minus amicorum hilaritates laetificant quemquam, quisquis is est, si bonus est, quam suae ipsius oblectationes.* Mor. dat οὐχ αὐτῶν. τινος paulo post reddidi, *quisquis is est.*

68) f. ἅμα δὲ καὶ, (scil. ἥδεται) ὡς αὐτὸς κτώμενος.

69) probo egregiam certamque Casauboni emendationem, in cuius communionem Anglus quoque venit, οὐκ ἔλαττον

ἀνέσεως· ἐν μόνῃ δὲ φιλίᾳ βούλεται πλεονεκτεῖν. καὶ ἄλλο μὲν[70]) οὐδὲν ἡγεῖται ποιεῖν ἄτοπον, ἀλλὰ καὶ ἀγάλλεται, μᾶλλον μὲν ὑπὸ τῶν νεωτέρων ἀγαπώμενος, ἢ[71]) τῶν γονέων, μᾶλλον δὲ ὑπὸ τῶν πρεσβυτέρων, ἢ[72]) τοὺς παῖδας ἀγαπῶσι, μᾶλλον δὲ ὑπὸ τῶν συνόντων, ἢ[73]) τοὺς ἐξ ἴσου συνόντας ἀγαπῶσι, μᾶλλον δὲ ὑπὸ τῶν ἀκοῇ μόνον ἀκουόντων[74]) ἀπ᾽ ἀλλήλων, ἢ σφόδρα ἐγγὺς ὄντες ἀγαπῶσι· φιλοσυγγενέστατος δὲ ὤν, καὶ φιλοικειότατος, ἔσθ᾽ ὅποι καὶ μεῖζον ἀγαθὸν νενόμικεν τὴν φιλίαν τῆς συγγενείας. ἄνευ μὲν γὰρ συγγενείας, οἱ φίλοι χρή-

τον ἔχειν ἐκείνων. facile ἔχειν (quod Ven. et Mor. omittunt) potuit propter ſimilitudinem proximi vocabuli ἐκείνων excidere; id quod Caſaubonus iam admonuit.

70) καὶ ἄλλο μὲν] malim καὶ οὐ μόνον, *et non ſolum*. Anglus καὶ τοῦτο μὲν.

71) margo Morell. dat ἢ οἱ γονεῖς. ἢ delendum. μᾶλλον — τῶν γονέων eſt idem atque ὑπὸ τῶν νεωτ. ἀγ. μᾶλλον, ἢ οἱ γονεῖς ἀγαπῶνται ὑπ᾽ αὐτῶν.

72) ἢ] ſic vir doctus in Veneta mea annotauerat. Ven. et Morell. dant *οἱ*. Poſſit etiam *οἱ* ſeruari, ſed ſic, vt ἢ οἱ *quam qui* exaretur, aut ἢ ὅσοι *quam quotquot*; vt ſic decurrat totus locus: καὶ οὐ μόνον οὐδὲν ἡγεῖται — — ἀγαπώμενος τῶν γονέων — πρεσβυτέρων ἢ ὅσοι τοὺς παῖδας — συνόντων ἢ ὅσοι τοὺς ἐξ ἴσου — ἀκουόντων, ἢ ἀλλήλους οἱ σφόδρα — *non ſolummodo ſe nil putat peccare, ſed vel laetatur etiam et exſultat, ſi ametur a iunioribus magis, quam ab iis amantur parentes, ſi qui ſunt eorum pii amantesque parentum; ſi ametur a ſenioribus magis, quam ab iis liberi amantur, quotquot eorum nempe liberos caritate amplectuntur; ſi maiori ſtudio ſe familiares proſequantur, quam eſt ſtudium id, quo amicus amicum ſibi conditione locoque parem demereatur; denique ſi magis diligatur a longinquis, ad quos fama ſui nominis ſolummodo permanarit, quam diligant ſeſe mutuo, ſi qui proxime a ſeſe abſint ſedibus et cognatione.*

73) ἢ] *quam*. Sic interpres et Anglus. Ven. et Mor. *οἱ*.

74) f. ἀκουόντων, ἢ ἀλλήλους οἱ σφ. *quam inter ſe amant valde vicini.*

χρήσιμοι· ἄνευ δὲ φιλίας, οὐδὲ οἱ σφόδρα ἐγγὺς ὠφέλιμοι. τοσούτου δὲ ἀξίαν κρίνει τὴν φιλίαν, ὥστε οὐδένα ἡγεῖται τῶν πώποτε ἠδικῆσθαι ὑπὸ φίλου, ἀλλὰ τοῦτο δὴ τῶν λεγομένων ἀδυνάτων [75]) εἶναι, ὥστε καὶ παθεῖν ὑπὸ φίλου κακῶς, τῶν ἀδυνάτων εἶναι κέκρικεν. ἅμα γάρ τις ἀδικῶν πεφώραται, καὶ δῆλον πεποίηκεν, ὅτι οὐκ ἦν φίλος. ὅσοι δὲ πεπόνθασι δεινὸν, ὑπ' ἐχθρῶν πεπόνθασι, λεγομένων μὲν φίλων, ἀγνοουμένων δὲ, ὅτι ἦσαν ἐχθροί. δεῖ [76]) οὖν καὶ μέμφεσθαι [77]) τὴν αὐτῶν ἄγνοιαν, ἀλλὰ μὴ ψέγειν τὸ τῆς φιλίας ὄνομα. καίτοι πατέρα γε ὄντα, οὐκ ἀδύνατον υἱὸν ἀδικῆσαι, καὶ παῖδα περὶ τοὺς γονέας ἐξαμαρτεῖν· ὁμοίως δὲ ἀδελφοὺς ἀλλήλων κακόν τι ἀπολαῦσαι. οὗτος δὲ πάνυ [78]) τὴν φιλίαν ἱερὸν νενόμικεν, ὥστε καὶ τοὺς θεοὺς αὐτῷ πειρᾶται ποιεῖν φίλους. ἐν ἅπασι μὲν οὖν τοῖς εἰρημένοις ἔστι συννοεῖν, ὅτι πάντα τἀναντία τοῖς τυράννοις κακὰ πρόσεστιν, ὧν ἐμνήσθημεν ἀγαθῶν, οὐχ ἥκιστα δὲ ἐν τῷ νῦν λεγομένῳ. πάντων γὰρ ἀπορώτατός ἐστι φιλίας τύραννος. οὐδὲ γὰρ δύναται ποιεῖσθαι φίλους. τοὺς μὲν γὰρ ὁμοίως αὐτῷ πονηροὺς ὄντας, ὑφορᾶται· ὑπὸ δὲ τῶν ἀνομοίων καὶ ἀγαθῶν, μισεῖται. ὁ δὲ μισούμενος [79]), ἐχθρὸς, καὶ τοῖς ἀδί-

75) ἀδυνάτων, quae vera est Casauboni emendatio, adscripserat etiam vir doctus Venetae meae, et expressit interpres latinus. ἀδύνατον Ven. et Morell.

76) δεῖ] bene, si sua ex persona Dio loquitur; sin autem aptum hoc est e κέκρικεν, necesse est, vt legatur δεῖν.

77) καὶ μέμφεσθαι] lego vno verbo καταμέμφεσθαι.

78) πάνυ cohaeret cum ἱερόν.

79) f. ὁ δὲ μισούμενος ἐχθρός. ἐχθρὸς δὲ καὶ τοῖς δικαίοις καὶ τοῖς ἀδίκοις ὁ ἄδικος. *qui odio*, vel *exosus est*, *is idem inimicus est. Sed inimicus est iustis perinde iniustisque iniustus.* et iniustus est tyrannus. ergo ab omnibus odio et inimicitiis exagitatur, omnibus est exosus, ab omnibus pro hoste habetur.

κοις, ἄδικος. οἱ μὲν γὰρ δικαίως μισοῦσιν αὐτόν· οἱ δὲ τῶν αὐτῶν ἐπιθυμοῦντες, ἐπιβουλεύουσιν. 45. ὥστε ὁ μὲν Πέρσης ἕνα τινὰ ἔσχεν, ὀφθαλμὸν βασιλέως λεγόμενον, καὶ τοῦτον οὐ σπουδαῖον ἄνθρωπον, ἀλλὰ ἐκ τῶν ἐπιτυχόντων, ἀγνοῶν, ὅτι τοῦ ἀγαθοῦ βασιλέως οἱ φίλοι πάντες εἰσὶν ὀφθαλμοί. φιλοίκειος δὲ καὶ φιλοσυγγενής, πῶς οὐκ ἂν εἴη διαφερόντως; ὅς γε τοὺς οἰκείους καὶ τοὺς συγγενεῖς, μέρος νενόμικε τῆς αὑτοῦ ψυχῆς; καὶ προνοεῖ γε[80] οὐ μόνον, ὅπως μετέχωσι τῆς λεγομένης εὐδαιμονίας, πολὺ δὲ μᾶλλον, ὅπως[81] ἄξιοι δοκῶσι, κοινωνεῖν τῆς ἀρχῆς. καὶ τοῦτο ἐσπούδακεν ἐξάπαντος, ὅπως μὴ διὰ τὴν συγγένειαν αὐτούς, ἀλλὰ διὰ τὴν ἀρετὴν φαίνεται[82] προτιμῶν. καὶ τοὺς μὲν[83] ἐγγίζοντας[84] μάλιστα πάντων ἀγαπᾷ, καὶ φίλους ἀναγκαίους νενόμικεν. τοὺς μὲν γὰρ φίλους ἐστὶ διαλύσασθαι[85] δυσχέρειάν τινα ἐν αὐτοῖς ἐνιδόντα· πρὸς δὲ τοὺς συγγενεῖς, οὐχ οἷόν τε διαλύσασθαι τὴν συγγένειαν, ἀλλ' ὁποῖοί ποτ' ἂν ὦσιν, ἀνάγκη τοῦτο ἀκούειν τὸ ὄνομα. γυναῖκα δέ, οὐ κοίτης μόνον, ἢ ἀφροδισίων κοινωνὸν νενόμικε, βουλῆς δὲ καὶ ἔργων, καὶ τοῦ ξύμπαντος βίου συνεργόν. μόνος δὲ τὴν εὐδαιμονίαν, οὐχ ἡδυπάθειαν νενόμικε, πολὺ δὲ μᾶλλον καλοκαγαθίαν

τὴν

80) προνοεῖ γε] malim aut προνοεῖται simpliciter, aut προνοεῖταί γε coniunctim.

81) ὅπως] *vt digni videantur participare imperium.* idem expressit in latinis interpres, et in marg. Venetae meae notauit vir doctus, et Morellus in codice regio reperit. Casauboni εἴπερ, quod et mihi venit in mentem, si praeferimus, necesse erit, vt κοινωνῶσι legatur. Ven. dat ὅπερ, et Mor. οὔπερ.

82) malim φαίνηται, et reperio nunc idem a viro docto in marg. Venetae meae annotatum.

83) μὲν] huic respondet δὲ versu 4. a fin.

84) ἐγγίζοντας] nouo modo dictum pro ἀγχιστεύοντας, vt 85. διαλύσασθαι, pro *a se dimittere, ablegare.*

τὴν δὲ ἀρετὴν, οὐκ ἀνάγκην, ἀλλὰ βούλησιν· τὴν δὲ καρτερίαν, οὐ ταλαιπωρίαν, ἀλλ' ἀσφάλειαν. καὶ τὰς μὲν ἡδονὰς αὔξει τοῖς πόνοις, καὶ μείζους διὰ τοῦτο καρποῦται· τοὺς δὲ πόνους ἐπελαφρύνει τῷ ἔθει. ταῦτα δὲ ἡγεῖται συμφέροντα καὶ ἡδέα. ὁρᾷ γὰρ τοὺς μὲν ἰδιώτας, εἰ μέλλουσιν ὑγιαίνειν καὶ παραμένειν [86]) εἰς γῆρας, οὔποτε ἀργῷ καὶ ἀπόνῳ τῷ σώματι τροφὴν προσφέροντας· ἀλλὰ τοὺς μὲν, τέχνας ἐργαζομένους, ἐνίας δ' αὐτῶν καὶ πολὺν ἐχούσας κάματον, καὶ τοὺς μὲν χαλκέας [87]), τοὺς δὲ ναυπηγοὺς, τοὺς δὲ οἰκοδόμους. ὅσοι δὲ κέκτηνται γῆν, διαπονοῦντας πρότερον [88]) τὰ περὶ γεωργίαν· ὅσοι δὲ ἐν ἄστει διάγουσι, τῶν κατὰ πόλιν τι πράττοντας. τῶν τε σχολὴν ἀγόντων τὰ γυμνάσια μεστὰ, καὶ τὰς παλαίστρας [89]), καὶ τοὺς μὲν τρέχοντας ἐν τοῖς δρόμοις, τοὺς δὲ αὖ παλαίοντας, τοὺς δὲ ἄλλο τι περὶ τὴν ἀγωνίαν [90]), οὐκ ὄντας ἀθλητάς. ἁπλῶς δὲ εἰπεῖν, ἑκάστων [91]) τῶν μὴ σφόδρα ἀνοήτων, καὶ

86) παραμένειν pro *permanere, perdurare.* veteres dixiſſent διαγίγνεσθαι.

87) aut poſt χαλκέας, aut poſt ναυπηγοὺς, aut poſt οἰκοδόμους denique deeſt ὄντας; aut alias haec tria ſubſtantiva cum participiis ſunt permutanda, vt ſit χαλκεύοντας, ναυπηγοῦντας, οἰκοδομοῦντας.

88) πρότερον] f. προθύμως, vel tale quid.

89) recte Caſaubonus emendat καὶ τὰς παλαίστρας, ſcil. ὁρᾷ. Ven. et Mor. dant καὶ παλαῖστραι.

90) f. τοὺς δὲ ἄλλο τι ἀσκοῦντας τῶν περὶ τὴν ἀγωνίαν.

91) locum hunc Caſaubonus ait grauius affectum eſſe, quam vt repentina opera poſſit a ſe reſtitui. Quae olim ad hunc locum attuli, cum ipſemet nunc improbem, referre nil iuuat, neque expedit. Sed ponam viri docti e marg. Venetae meae annotationem, tametſi non magis ei calculum meum tribuo. Primum ἕκαστον correxerat pro ἑκάστων; deinde adſcripſerat haec latina: Vnumquemque, qui non valde ſit fatuus, et cibos et lauacra, et labores et omnes exercitationes eo referre, vt bene valeat

καὶ σιτίων, καὶ λουτρῶν, καὶ ὑγιεινῶν, καὶ πάντων ὁ ἄρχων ἁπάντων τούτων διαφέροι, τῷ μὴ μάτην πονεῖν, μηδὲ τὸ σῶμα μόνον αὔξειν, ἀλλ' ἕνεκα πράξεων· ἢ γὰρ ἦλθε 92) πρός τι τῶν δεομένων προνοίας, ἢ ἔφθασεν ὅπου δεῖ τάχους, ἢ κατήνυσέ τι τῶν οὐ ῥᾳδίων ἀνυσθῆναι, ἢ στρατιὰν ἐξέταζει 93), ἢ χώραν ἡμέρωσεν, ἢ πόλιν ᾤκισεν, ἢ ποταμοὺς ἔζευξεν, ἢ γῆν ὁδωτὴν ἐποίησεν. καὶ οὐχ οὗτος δ' ἡγεῖται μακάριον 94), ὅτι ἔξεστι κεκτῆσθαι καλλίστους μὲν ἵππους, κάλλιστα δὲ ὅπλα, καλλίστην δὲ ἐσθῆτα, καὶ τἆλλα ὁμοίως· ἀλλ' ὅτι φίλους τοὺς καλλίστους. καὶ πολύ γε αἴσχιον φιλίας ἐνδεέστερον ἔχειν τῶν ἰδιωτῶν, ἢ τούτων τινός. ᾧ γὰρ ἐξ ἁπάντων ἀνθρώπων ἐκλέξασθαι τοὺς πιστοτάτους ὑπάρχει, καὶ σχεδὸν οὐδείς ἐστιν, ὃς οὐκ ἂν ἄσμενος ὑπακούσειεν αὐτῷ,

leat — quod deest in graeco contextu. Haec ille, quisquis fuit; quae conferens cum latinis Naogeorgi, videt aut ab ipso profecta esse, aut mutuo petita. Proferam nunc meam hoc de loco, quae nunc est, sententiam: videtur itaque, caeteris omnibus saluis et intactis relictis, solummodo pro ἀνοήτων leg. esse ἀνονήτων et pro τούτων leg. τούτῳ; vnde haec exsistet sententia: *Paucis vt omnia complectar, quibusque in rebus, quae cum sint non admodum inutiles*, (e. c. *cibis* et *lauacris*) *tum prosint valetudini, hoc praestet rector omnium, vt* — ἑκάστων τούτῳ idem est ac si dixisset περὶ ἕκαστα τούτῳ vel ἐν ἑκάστοις τούτῳ διαφέροι, τῷ — illorum ἑκάστων alia sunt non plane inutilia, alia etiam valetudini conuenientia.

92) ἦλθε] scil. robori dans operam, et bono corporis habitui per exercitia gymnastica, et per alimenta conuenientia.

93) aut ἐξήταξεν, aut ἐξέταξεν, alterum ab ἐξετάζω, alterum ab ἐκτάττω.

94) οὐχ οὗτος δ' ἡγεῖται μακάριος dat Veneta, non μακάριον. videtur in illo superuacaneo δ' latere εἶναι, et in οὗτος, οὕτως; quod hic significabit, *ideo, propterea. non ideo sibi videtur beatus.*

αὐτῷ, βουλομένῳ χρῆσθαι, πῶς οὐ καταγέλαστον τὸ μὴ χρῆσθαι τοῖς σπουδαιοτάτοις; οἱ μὲν γὰρ πολλοὶ τῶν δυναστῶν τοὺς ὁπωσδήποτε πλησίον γενομένους, καὶ τοὺς κολακεύειν ἐθέλοντας, τούτους μόνους ὁρῶσι, τοὺς δὲ ἄλλους πάντας [95]) ἀπελαύνουσι, καὶ τούς γε βελτίστους ἔτι μᾶλλον. ὁ δὲ ἐξ ἁπάντων ποιεῖται τὴν ἐκλογὴν, ἄτοπον ἡγούμενος Μυσῶν [96]) μὲν ἵππους μεταπέμπεσθαι, ὅτι βελτίους εἰσὶ τῶν Θεσσαλῶν, καὶ κύνας Ἰνδικὰς, ἀνθρώποις δὲ μόνοις χρῆσθαι τοῖς ἐγγύς. πάντα γὰρ ὑπάρχει τούτῳ, δι᾽ ὧν ἐστι φιλίαν κτᾶσθαι [97]). προσάγεται γὰρ εἰς εὔνοιαν, τοὺς μὲν φιλοτίμους, ἔπαινος· τοὺς δὲ ἡγεμονικοὺς, τῶν ἄλλων μεταλαμβάνειν [98])· τοὺς δὲ αὖ πολεμικοὺς, τὸ πράττειν τὶ τῶν πολεμικῶν· τοὺς δὲ ἐπιμελεῖς, πράγματα διοικεῖν· τούς γε μὴν φιλοστόργους, ἡ συνήθεια. τίς ἂν δύναται μᾶλλον ἄρχοντας ἀποδεικνύειν; τίς δὲ πλειόνων δεῖται τῶν ἐπιμελουμένων; τίς δὲ κύριος πλειόνων [99]) μεταδοῦναι πραγμάτων; τίνι δὲ ἔξεστιν ἑτέρῳ πιστεύειν τὰ πρὸς πόλεμον; αἱ παρὰ τίνος δὲ τιμαὶ φανερώτεραι; ἢ παρὰ τίνι δὲ εὐδοξοτέρα τράπεζα; εἰ δὲ ὠνητὸν ὑπάρ-

95) τούτους μόνους — πάντας] haec verba desunt Venetae, et Morellus auctorem edere insuper habuit, a quo ista accepta Dioni dedit.

96) μυσῶν] nescio rursus, qua auctoritate hoc nitatur. In Veneta est νησῶν; item in regio codice, teste Morello; vnde recte fiat ἐκ νυσῶν aut νισῶν vel νισσῶν, e *Nysis arcessere.* eodem Casaubonus quoque et Morellus inclinarunt.

97) Veneta dat: δι᾽ ὧν ἐπὶ φιλίᾳ κτητήν. vnde effici poterat: δι᾽ ὧν ἐστι φιλία κτητή.

98) margo Morell. dat τὸ ἄρχειν μετ. prope a vero. ipsum tamen verum est τὸ ἀρχῶν μ. *honores capessere;* et sic quoque vir doctus in Veneta mea correxit; accessit item interpres ad hanc sententiam.

99) μειζόνων margo Morell.

πολεμίοις μάχεσθαι, τοὺς αἰχμαλώτους οἴκοι λαβόντες ἔκτειναν.

in lectione quis est qui veri vestigia non cernat? qui non videat, tarditatem typothetae diligentiam correctoris irritam fecisse. ουν ex ὅμοιον transfer ad ἐποίουν, et ει ex ἐποίει ad οἱ. Morell. omittit ει. Eadem Veneta dat hoc elogium in fine disputationis: ἐγγὺς παραινετικοῦ ἐστιν, ὁποῖον εἶναι δεῖ τὸν βασιλέα. testatur Morellus principio suarum ad hanc disputationem annotationum, hoc idem elogium in codice regio a librario ad finem esse reiectum.

ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Φασί ποτε Ἀλέξανδρον Διογένει συμβαλεῖν, οὐ πάνυ τι σχολάζοντα, πολλὴν ἄγοντι σχολήν. ἦν γὰρ ὁ μὲν βασιλεὺς Μακεδόνων τε καὶ ἄλλων πολλῶν· ὁ δὲ φυγὰς ἐκ Σινώπης. ταῦτα δὲ λέγουσι καὶ γράφουσι πολλοὶ, τὸν Ἀλέξανδρον[1]) οὐχ ἧττον θαυμάζοντες, ἢ ἐπαινοῦντες, ὅτι τοσούτων ἄρχων, καὶ τῶν τότε μέγιστον δυνάμενος, οὐχ ὑπερεώρα πένητος ἀνθρώπου συνουσίαν, νοῦν ἔχοντος καὶ δυναμένου καρτερεῖν. οἱ γὰρ ἄνθρωποι χαίρουσι φύσει πάν-

1) τὸν Ἀλέξανδρον —] exit sententia, tolerabilis illa quidem, et ferenda, si ista sic ab auctore sunt profecta. Sed vix credo illum tam ieiune scripsisse. videtur enimvero sic dedisse: τῶν Ἀλεξάνδρου οὐχ ἥκιστα θαυμάζοντες, ὅτι — omisso illo ἢ ἐπαινοῦντες, quod Scholium esse cum res ipsa, tum vocabulum ἢ prodit. v. ad p. 539, 18. ed. Morell. vt sententia haec sit: *Caeterarum Alexandri laudum hanc non minima prosequentes admiratione,* [seu *praedicatione*, vt scholiastes recte exposuit] *quod* —

πάντες τιμωμένην ὁρῶντες φρόνησιν ὑπὸ τῆς μεγίστης ἐξουσίας τε καὶ δυνάμεως. ὥστε οὐ μόνον τἀληθῆ διηγοῦνται περὶ τῶν τοιούτων, ἀλλὰ καὶ αὐτοὶ πλάττουσιν ὑπερβαλλόντως[2]). προσέτι καὶ τἄλλα ἀφαιρούμενοι τῶν φρονίμων, οἷον χρήματα καὶ τιμὰς, καὶ τὴν τοῦ σώματος δύναμιν· ὅπως διὰ μόνην δόξωσι τιμᾶσθαι τὴν ξύνεσιν. ὡς δὲ εἰκὸς ἐκείνοις γενέσθαι τὴν ξυνουσίαν ἐκείνην, εἴποιμ' ἂν, ἐπειδὴ καὶ τυγχάνομεν σχολὴν ἄγοντες ἀπὸ τῶν ἄλλων πραγμάτων. ἦν μὲν γὰρ, ὥς φασιν, ὁ Ἀλέξανδρος ἀνθρώπων φιλοτιμότατος, καὶ μάλιστα δόξης ἐραστὴς[3]), καὶ τοῦ καταλιπεῖν ὡς μέγιστον αὐτοῦ ὄνομα, ἐν πᾶσιν Ἕλλησι καὶ βαρβάροις. καὶ ἐπεθύμησε τιμᾶσθαι σχεδὸν, οὐχ ὑπὸ τῶν ἀνθρώπων μόνον πανταχοῦ[4]), ἀλλ' εἴ πως δυνατὸν ἦν, ὑπό γε[5]) τῶν ὀρνίθων καὶ τῶν ἐν τοῖς ὄρεσι θηρίων. τῶν μὲν οὖν ἄλλων ἁπάντων κατεφρόνει, καὶ οὐδένα ᾤετο ἀξιόμαχον αὐτῷ περὶ τούτου τοῦ πράγματος· οὔτε τὸν Πέρσην, οὔτε τὸν Σκύθην, οὔτε τὸν Ἰνδὸν, οὔτε ἐν τοῖς Ἕλλησιν οὐδένα ἄνδρα, οὔτε πόλιν[6]). ᾔσθάνετο γὰρ, ὅτι μικροῦ[7]) διεφθαρμένοι πάντες εἰσὶ τὰς ψυχὰς, ὑπὸ τρυφῆς καὶ ἀργίας, καὶ τοῦ τε κερδαίνειν, καὶ ἡδο-

2) ὑπερβαλλόντως] non plane damno, vſus tamen poſtulat ὑπερβάλλοντες. deinde aut καὶ προσέτι leg. eſt, aut προσέτι δὲ καὶ — aut ſic denique diſtinguendum: πλάττουσιν, ὑπερβάλλοντες προσέτι, καὶ τἄλλα — Sed praeferam alterutram priorum duarum rationum.

3) ἐξεταστής lectio vitioſa in marg. Morell. annotata, eſt in Veneta.

4) μόνον τῶν πανταχοῦ.

5) ὑπό γε] l. ὑπό τε. conf. p. 4, 9. edit. Mor.

6) f. οὐδένα, οὔτ' ἄνδρα, οὔτε πόλιν.

7) μικροῦ cohaeret cum πάντες. μικροῦ πάντες eſt idem atque μικροῦ δεῖν πάντες, aut παρὰ μικρὸν πάντες. *paene omnes, vt parum abſit* — et ſic quoque interpres.

ἡδονῆς 8) ἥττονες. περὶ δὲ τοῦ Διογένους πυνθανόμενος, τῶν τε λόγων οὓς ἔλεγε, καὶ τῶν ἔργων ὧν ἔπραξε, καὶ ὅπως διήνεγκε τὴν φυγὴν, ἐνίοτε μὲν 45.
κατεφρόνει τῆς πενίας τἀνδρὸς καὶ τῆς εὐτελείας, ἅτε νέος ὢν, καὶ τραφεὶς ἐν βασιλικῷ τύφῳ· πολλάκις δὲ ἐθαύμαζε καὶ ἐζηλοτύπει τῆς τε ἀνδρείας τοῦτον, καὶ τῆς καρτερίας, καὶ μάλιστα τῆς δόξης· ὅτι τοιοῦτος ὢν πᾶσι τοῖς Ἕλλησι γιγνώσκοιτο καὶ θαυμάζοιτο, καὶ οὐδεὶς ἐδύνατο τῶν ἄλλων οἷος ἐκεῖνος γενέσθαι τῇ φιλοτιμίᾳ. καὶ ὅτι αὐτῷ μὲν ἔδει τῆς Μακεδόνων φάλαγγος, καὶ τοῦ Θετταλῶν ἱππικοῦ, καὶ Θρακῶν καὶ Παιόνων, καὶ ἄλλων πολλῶν, εἰ μέλλοι βαδίζειν ὅποι βούλοιτο, καὶ τυγχάνειν ὧν ἐπιθυμεῖ 9)· ὁ δὲ μόνος ἀπῄει πάνυ ἀσφαλῶς οὐ μόνον ἡμέρας, ἀλλὰ καὶ νυκτὸς, ἔνθα αὐτῷ ἐδόκει. καὶ ὅτι αὐτὸς μὲν χρυσίου καὶ ἀργυρίου παμπόλλου ἐδεῖτο, ὥστε ἐπιτελέσαι τὶ ὧν ἐβούλετο. ἔτι δὲ εἰ μέλλοι πειθομένους ἕξειν Μακεδόνας, καὶ τοὺς ἄλλους Ἕλληνας θεραπευτέον αὐτῷ, τούς τε ἄρχοντας καὶ τὸν ἄλλον ὄχλον, λόγοις τε καὶ δώροις πολλάκις· ὁ δὲ οὐδένα ἀνθρώπων ὑπῄει θωπεύων, ἀλλὰ τἀληθῆ πρὸς ἅπαντας λέγων· καὶ οὐδεμίαν δραχμὴν κεκτημένος, ὡς ἐβούλετο ἔπραττε· καὶ τῶν προκειμένων οὐδενὸς ἀπετύγχανε· καὶ τὸν βίον ἔζη μόνος, ὃν ἡγεῖτο ἄριστον καὶ εὐδαιμονέστατον· καὶ οὐκ ἂν ἠλλάξατο τὴν ἐκείνου βασιλείαν, οὐδὲ τὸν τῶν Περσῶν τε καὶ Μήδων πλοῦτον ἀντὶ τῆς ἑαυτοῦ πενίας. διὰ ταῦτα δὴ δακνόμενος, εἴ τις αὐτοῦ διοίσει 10), ῥᾳδίως οὕτως καὶ ἀπραγμόνως ζῶν, καὶ προσέτι οὐχ ἧττον ὀνο-

8) καὶ τῆς ἡδονῆς.
9) ἐπιθυμεῖ] cum praecesserit βούλοιτο, melius conueniat ἐπιθυμοῖ, vel attice ἐπιθυμείη. possit quoque ἐβούλετο et ἐπεθύμει legi.
10) εἴ τις αὐτοῦ διοίσει.] se-a quoquam superari.

ὀνομαστὸς ἔσοιτο. τυχὸν δέ τις[11]) καὶ ὠφεληθήσεσθαι νομίζων ἀπὸ τῆς συνουσίας τἀνδρὸς, πάλαι μὲν ἐπεθύμει θεάσασθαι τὸν ἄνδρα, καὶ συγγενέσθαι αὐτῷ. ἐπεὶ δὲ ἧκεν εἰς Κόρινθον, καὶ τάς τε πρεσβείας ἀπεδέξατο[12]) τὰς παρὰ τῶν Ἑλλήνων, καὶ τἄλλα τὰ τῶν ξυμμάχων διῴκησεν, ἔφη τοῖς περὶ αὐτὸν, ὅτι σχολάσαι τι βούλοιτο, καὶ ᾤχετο οὐκ ἐπὶ θύρας τοῦ Διογένους· οὐ γὰρ ἦσαν αὐτῷ θύραι, οὔτε μείζους οὔτε ἐλάττους, οὔτε οἶκος ἴδιος, οὐδὲ ἑστία, καθάπερ τοῖς μακαρίοις· ἀλλὰ οἴκοις μὲν ἐχρῆτο ταῖς πόλεσι, καὶ ἐνταῦθα διέτριβεν ἐν τοῖς κοινοῖς τε καὶ ἱεροῖς, ἅπερ ἱδρύονται τοῖς θεοῖς. ἑστίαν δὲ ἐνόμιζε τὴν γῆν ἅπασαν, ἥπερ ἐστὶ κοινὴ τῶν ἀνθρώπων ἑστία καὶ τροφός. καὶ τότε ἐτύγχανεν ἐν τῷ Κρανίῳ διατρίβων μόνος. οὐδὲ γὰρ μαθητάς τινας, οὐδὲ τοιοῦτον περὶ αὐτὸν ὄχλον εἶχεν, ὥσπερ οἱ σοφισταὶ καὶ αὐληταὶ, καὶ οἱ διδάσκαλοι τῶν χορῶν. προσῆλθεν οὖν αὐτῷ καθημένῳ, καὶ ἠσπάσατο. καὶ ὃς ἀνέβλεψε πρὸς αὐτὸν γοργὸν, ὥσπερ οἱ λέοντες, καὶ ἐκέλευσεν ἀποστῆναι σμικρόν. ἐτύγχανε γὰρ ἀλεαινόμενος πρὸς τὸν ἥλιον. ὁ οὖν Ἀλέξανδρος, εὐθὺς ἠγάσθη τοῦ ἀνδρὸς τὸ θάρσος, καὶ τὴν ἡσυχίαν, ὅτι οὐ κατεπλάγη ἐπιστάντος αὐτῷ[13]). καὶ γάρ πως πεφύκασιν οἱ μὲν θαῤῥαλέοι τοὺς θαῤῥαλέους φιλεῖν, οἱ δὲ δειλοὶ, τοὺς μὲν ὑφορῶνται καὶ μισοῦσιν ὡς ἐχθροὺς, τοὺς δὲ ἀγεννεῖς προσίενται καὶ ἀγαπῶσιν. ὅθεν τοῖς μὲν ἀλήθεια καὶ παῤῥησία πάντων ἐστὶν ἥδιστον· τοῖς δὲ κολακεία καὶ τὸ ψεῦδος. καὶ ἀκούουσιν ἡδέως, οἱ μὲν τῶν πρὸς χάριν ὁμιλούντων· οἱ δὲ τῶν πρὸς ἀλήθειαν. ὁ οὖν Διογένης ὀλίγον ἐπισχὼν, ἤρετο αὐτὸν, ὅστις εἴη, καὶ τί βουλόμενος

11) τις] recte dat Veneta τι. *quicquam* aliqua in re.
12) ἀπεδέξατο] a se auditas cum responsis dimisisset.
13) αὐτοῦ margo Morell.

μενος ἥκοι πρὸς αὐτὸν, ἢ, ἔφη, τῶν ἐμῶν τι ληψόμενος; ἢ γὰρ, ἔφη, χρήματά ἐστί σοι, καὶ ἔχοις ὅτου ἂν μεταδώῃς; πολλά γε, εἶπε, καὶ πολλοῦ ἄξια, ὧν σὺ οὐκ οἶδα εἴ ποτε δυνήσῃ μεταλαβεῖν. οὐ μέντοι ἄορας, οὐδὲ λέβητας, οὐδὲ κρατῆρας, οὐδὲ κλίνας καὶ τραπέζας τυγχάνω κεκτημένος, ὥς τινές φασι κεκτῆσθαι Δαρεῖον ἐν Πέρσαις. τί δὲ, ἔφη, σὺ οὐκ οἶδας Ἀλέξανδρον τὸν βασιλέα; τό γε ὄνομα, ἔφη, ἀκούω πολλῶν λεγόντων, ὡς κολοιῶν πετωμένων[14])· αὐτὸν δὲ οὐ γινώσκω· οὐ γάρ εἰμι ἔμπειρος αὐτοῦ τῆς διανοίας. ἀλλὰ νῦν, ἔφη, ὄψει καὶ τὴν διάνοιαν. ἥκω γὰρ ἐπ' αὐτὸ τοῦτο, ἐμαυτόν γε[15]) παρέξων σοι καταμαθεῖν, καὶ σε ὀψόμενος. ἀλλὰ χαλεπῶς, ἔφη, με ἂν ἴδῃς σὺ, ὥσπερ[16]) τὸ φῶς, οἱ τὰ ὄμματα[17]) ἀσθενεῖς. τόδε δέ μοι[18]) εἰπέ· σὺ ἐκεῖνος εἶ Ἀλέξανδρος, ὃν λέγουσιν ὑποβολιμαῖον; καὶ ὃς ἀκούσας, ἠρυθρίασε μὲν καὶ ὠργίσθη· κατέσχε δὲ ἑαυτόν. μετενόει δὲ, ὅτι εἰς λόγους ἠξίωσεν ἐλθεῖν ἀνδρὶ σκαιῷ τε καὶ ἀλαζόνι, ὡς αὐτὸς[19]) ἐνόμιζεν. ὁ οὖν Διογένης καταμαθὼν αὐτὸν τεταραγμένον, ἐβουλήθη μεταβαλεῖν αὐτοῦ τὴν ψυχὴν, ὥσπερ οἱ παῖδες τοῖς ἀστραγάλοις[20]). εἰπόντος δὲ αὐτοῦ, πόθεν δέ σοι ἐπῆλθεν ἡμᾶς ὑποβολιμαίους εἰπεῖν; ὁπόθεν, ἔφη, καὶ τὴν μητέρα σου ἀκούω ταῦτα περὶ σοῦ λέγειν.

14) πετωμένων] sic etiam Veneta. Sed l. πετομένων. non enim πετῶμαι, sed πέτομαι vsurpatur.

15) ἐμαυτόν γε] l. ἐμαυτόν τε..

16) ἴδῃς σὺ, ὥσπερ] Veneta ἴδῃσοι ὥσπερ. forte voluit illa dare ἴδῃς, οἷωσπερ. sed vulgata a Morello bene habet.

17) οἱ τυφλώττοντες margo Mor.

18) τόδε δέ μοι recte dat Veneta. τόδέ μοι Mor.

19) αὐτὸς] non male sic quidem, sed melius εὐθὺς. statim a principio congressus; paulo enim post detractus ipsi est ille error. v. p. 149. 5. sqq.

20) τοῖς ἀστραγάλοις] nisi si quid deest, leg. est τοὺς ἀστραγάλους.

λέγειν. ἢ οὐκ Ὀλυμπιάς ἐστιν ἡ εἰποῦσα, ὅτι οὐκ ἐκ Φιλίππου τυγχάνεις γεγονὼς, ἀλλ᾽ ἐκ δράκοντος, ἢ Ἄμμωνος, ἢ οὐκ οἶδα ὅτου ποτὲ θεῶν, ἢ ἀνθρώπων, ἢ θηρίων; καὶ τοιοῦτος ὢν ὑποβολιμαῖος ἂν εἴης. ἐνταῦθα ὁ Ἀλέξανδρος ἐμειδίασε, καὶ ἥσθη ὡς οὐδέποτε, καὶ ἔδοξεν αὐτῷ ὁ Διογένης οὐ μόνον οὐ σκαιὸς, ἀλλὰ καὶ δεξιώτατος ἁπάντων, καὶ μόνος εἰδὼς χαρίζεσθαι. τί οὖν, ἔφη, πότερον οὖν [21]) ἀληθὴς ἢ ψευδὴς εἶναι δοκεῖ ὁ λόγος, ἢ οὐκ; ἄδηλόν ἐστιν, ἔφη. ἄδηλον, ἔφη, ἐστίν; ἐὰν μὲν γὰρ ἦς σώφρων καὶ ἀνδρεῖος καὶ τὴν τοῦ Διὸς ἐπιστάμενος τέχνην τὴν βασιλικὴν, οὐδέν σε κωλύει τοῦ Διὸς εἶναι υἱόν· ἐπεὶ τοῦτό γε καὶ Ὅμηρόν φασι λέγειν, ὅτι πατήρ ἐστιν ὁ Ζεὺς, ὥσπερ τῶν θεῶν, καὶ τῶν ἀνδρῶν· ἀλλ᾽ οὐ τῶν ἀνδραπόδων, οὐδὲ τῶν φαύλων τε καὶ ἀγεννῶν οὐδενός· ἐὰν δὲ δειλὸς ἦς καὶ τρυφερὸς καὶ ἀνελεύθερος, οὔτε σοι θεῶν, οὔτε ἀνθρώπων τῶν ἀγαθῶν [22]) προσήκοι. ἀλλὰ τοῖς μὲν ἐν Θήβαις Σπαρτοῖς ποτε λεγομένοις [23]) σημεῖον λέγεται εἶναι τοῦ γένους, λόγχη τις, οἶμαι, ἐπὶ τοῦ σώματος· ὅστις δὲ τοῦτο τὸ σημεῖον μὴ ἔχοι, οὐ δοκεῖ [24]) τῶν Σπαρτῶν εἶναι· τοῖς δὲ τοῦ Διὸς ἐκγόνοις οὐκ οἴει σημεῖον εἶναι τῇ ψυχῇ; ἐξ οὗ φανεροὶ ἔσονται, τοῖς δυναμένοις χωρίζειν, εἴτε ἐξ ἐκείνου γεγονότες

21) οὖν] malim νῦν. *ecquid tibi nunc videtur haec fama vera an falsa esse? an non liquet?* ἢ οὐ πάνυ δῆλόν ἐστιν, ἔφη. Alexander puta. [scil. τὸ πρᾶγμα, vel τὸ ἀποφάσκειν περὶ τούτου] Cui respondet Diogenes: ἄδηλον, ἔφη, ἐστίν. *nondum liquet.* quo fit, vt neutram in partem pronunciare et famam hanc neque pro vera laudare, neque pro falsa damnare queam, sed ampliare necesse habeam.

22) f. οὔτε σοι θεῶν οὐδὲν, οὔτε ἀνθρώπων τῶν γ᾽ ἀγαθῶν πρ.

23) λεγομένοις an γενομένοις sit praeferendum, haud constat.

24) aut οὐκ ἐδόκει leg. aut si praesens hic seruatur, necesse est, vt ποτε ante λεγομένοις deleatur.

εἰσὶν, εἴτε μή; πάνυ οὖν ἥσθη τούτῳ τῷ λόγῳ Ἀλέξανδρος. μετὰ δὲ τοῦτο ἤρετο αὐτόν, πῶς ἄν, ἔφη, ἄριστα βασιλεύσω [25]); καὶ ὃς δεινὸν ὑποβλέψας, ἀλλ' οὐδὲ, ἔφη, ἔστι βασιλεύειν κακῶς, οὐ μᾶλλον, ἢ κακῶς ἀγαθὸν εἶναι. ὁ γὰρ βασιλεὺς ἀνθρώπων ἄριστον [26]) ἐστὶν, ἀνδρειότατος ὤν, καὶ δικαιότατος, καὶ φιλανθρωπότατος, καὶ ἀνίκητος ὑπὸ παντὸς πόνου, καὶ πάσης ἐπιθυμίας. ἢ σὺ οἴει τὸν ἀδύνατον [27]) ἡνιοχεῖν, ἡνίοχον τοῦτον εἶναι; ἢ τὸν ἄπειρον τοῦ κυβερνᾶν, κυβερνήτην; ἢ τὸν οὐκ ἐπιστάμενον ἰᾶσθαι, ἰατρόν; οὐδ' ἂν πάντες [28]) φῶσιν Ἕλληνες καὶ βάρβαροι, καὶ πολλὰ διαδήματα καὶ σκῆπτρα καὶ τιάρας προσάψωσιν αὐτῷ, καθάπερ τὰ δέρια [29]) τοῖς ἐκτιθεμένοις παιδίοις, ἵνα μὴ ἀγνοῆται. καθάπερ οὖν οὐκ ἔστι κυβερνᾶν μὴ κυβερνητικῶς [30]). οὕτως οὐδὲ βασιλεύειν μὴ βασιλικῶς. καὶ ὁ Ἀλέξανδρος φοβηθεὶς, μὴ ἄρα ἄπειρος ἀναφανῇ τῆς βασιλικῆς ἐπιστήμης, καὶ τίς, ἔφη, σοι δοκεῖ τὴν τέχνην ταύτην παραδιδόναι; ἢ ποῖ δεῖ πορευθέντα μαθεῖν;

25) βασιλεύσω] in marg. Mor. est lectio Venetae βασιλεύοι, quae si seruatur, necesse erit ἔφη del. aut possit βασιλεύοιμι legi. Praeterea notandum, non ἄριστα esse in Veneta, sed κάλλιστα. vtrum optes, nil interest, vtrique bene respondet βασιλεύειν κακῶς et κακῶς ἀγαθὸν εἶναι.

26) ἄριστον] vir doctus in Veneta mea ν cum ς mutauerat, non male ille quidem; bene tamen habet vulgata. ἄριστον *res optima, praestantissima*.

27) recte dat Veneta ἢ σὺ οἴει τὸν ἀδύνατον. Morell. ἢ — τὸ ἀδύν.

28) οὐδ' ἂν πάντες] h. e. οὐκ οἴησει τοῦτο, οὐδὲ ἐὰν πάντες.

29) recte emendat Casaubonus δέῤῥαια. possit quoque περιδέραια legi, eodem sensu.

30) f. κυβερνητικῷ et βασιλικῷ. quemadmodum nemo nauem bene scit gubernare, cui natura solertiam huius artis negarit, sic neque regnare nouit is, qui careat naturali solertia gubernandi homines.

μαθεῖν; ὃ οὖν Διογένης εἶπεν· ἀλλ' ἐπίστασαι αὐτὴν, εἴπερ ἀληθὴς ὁ τῆς Ὀλυμπιάδος λόγος, καὶ γέγονας ἐκ τοῦ Διός· ἐκεῖνος γάρ ἐστιν, ὁ τὴν ἐπιστήμην ταύτην πρῶτος καὶ μάλιστα ἔχων, καὶ οἷς ἐθέλει μεταδιδούς· οἷς δὲ ἂν μεταδῷ, πάντες οὗτοι Διὸς παῖδές εἰσί τε καὶ λέγονται. ἢ σὺ οἴει τοὺς σοφιστὰς εἶναι τοὺς διδάσκοντας βασιλεύειν; ἀλλ' ἐκείνων μὲν οἱ πολλοὶ οὐχ ὅπως βασιλεύειν, ἀλλ' οὐδὲ ζῆν ἴσασιν. οὐκ οἶσθα, ἔφη, ὅτι διττή ἐστι παιδεία; ἡ μέν τις δαιμόνιος, ἡ δὲ ἀνθρωπίνη; ἡ μὲν οὖν θεία μεγάλη, καὶ ἰσχυρὰ, καὶ ῥᾳδία[31])· ἡ δὲ ἀνθρωπίνη, μικρὰ, καὶ ἀσθενὴς, καὶ πολλοὺς ἔχουσα κινδύνους, καὶ ἀπάτην οὐκ ὀλίγην· ὅμως δὲ ἀναγκαία προσγενέσθαι ἐκείνῃ, εἰ ὀρθῶς γίγνοιτο[32]). καὶ καλοῦσιν οἱ πολλοὶ ταύτην μὲν παιδείαν, καθάπερ οἶμαι παιδείαν[33]), καὶ νομίζουσι τὸν πλεῖστα γράμματα εἰδότα, Περσικά τε καὶ Ἑλληνικὰ, καὶ τὰ Σύρων, καὶ τὰ Φοινίκων, καὶ πλείστοις ἐντυγχάνοντα βιβλίοις, τοῦτον σοφώτατον, καὶ μάλιστα πεπαιδευμένον· πάλιν δὲ ὅταν ἐντύχωσι τῶν τοιούτων τισὶ μοχθηροῖς, καὶ δειλοῖς καὶ φιλαργύροις, ὀλίγου ἄξιόν φασι τὸ πρᾶγμα, καὶ τὸν ἄνθρωπον· τὴν δὲ ἑτέραν, ἐνίοτε μὲν παιδείαν, ἐνίοτε δὲ ἀνδρείαν, καὶ μεγαλοφροσύνην. καὶ οὕτω δὴ δίχα παιδείας ἐκάλουν οἱ πρότερον τοὺς τῆς ἀγαθῆς παιδείας ἐπιτυγχάνοντας, καὶ τοὺς τὰς ψυχὰς ἀνδρείους

31) post ῥᾳδία videtur καὶ ἀσφαλὴς deesse, vt respondeat alteri membro κινδύνους ἔχουσα καὶ ἀπάτην οὐκ ὀλίγην.

32) εἰ ὀρθῶς γίγνοιτο] scil. τὸ πρᾶγμα, vel τὸ δέον.

33) καθάπερ οἶμαι παιδείαν] negat Casaubonus se locum hunc expedire posse. Vir doctus in Veneta mea κυρίως *proprie* ad οἶμαι addebat; mihi videtur Dio pro postrema voce παιδιὰν scripsisse; *quasi* παιδιὰν *ludum puerilem.* Saepe haec duo vocabula errore librariorum inter se permutantur.

δρείους καὶ πεπαιδευμένους, ὡς Ἡρακλέα ἐκεῖνον. οὐκοῦν ὅστις ἂν ἐκείνην τὴν παιδείαν ἔχει καλῶς πεφυκὼς, ῥᾳδίως καὶ ταύτης γίνεται μέτοχος, ὀλίγα ἀκούσας, καὶ ὀλιγάκις, αὐτὰ τὰ μέγιστα καὶ κυριώτατα, καὶ μεμύηται καὶ φυλάττει ἐν τῇ ψυχῇ. καὶ οὐδεὶς ἂν αὐτὸν ἔτι τούτων ἀφέλοιτο [34]) οὔτε καιρὸς, οὔτε ἄνθρωπος, οὔτε σοφιστὴς, ἀλλ' οὐδ' ἂν πυρί τις ἐγκαῦσαι [35]) βουλόμενος· ἀλλὰ κἂν ἐμπρήσῃ τις τὸν ἄνθρωπον, ὥσπερ τὸν Ἡρακλέα φασὶν αὐτὸν ἐμπρῆσαι, μένειν [36]) αὐτοῦ τὰ δόγματα ἐν τῇ ψυχῇ. καθάπερ [37]), οἶμαι, τῶν κατακαιομένων νεκρῶν τοὺς ὀδόντας φασὶ διαμένειν, τοῦ ἄλλου σώματος δαπανηθέντος ὑπὸ τοῦ πυρός. οὐ γὰρ μαθεῖν, ἀλλ' ὑπομνησθῆναι δεῖται μόνον. ἔπειτα εὐθὺς εἶδέ τε καὶ ἐγνώρισεν, ὡς ἂν ἐξ ἀρχῆς τὰ δόγματα ἔχων ταῦτα ἐν τῇ αὐτοῦ διανοίᾳ· προσέτι δὲ, ἐὰν μὲν ἀνδρὶ περιπέσῃ, ὥσπερ ὁδὸν ἐπισταμένῳ, ῥᾳδίως ἐκεῖνος ὑπέδειξεν αὐτῷ, καὶ μαθὼν εὐθὺς ἄπεισιν [38])· ἐὰν δὲ ἀγνοοῦντι καὶ ἀλαζόνι σοφιστῇ κατατρίψῃ [39]) περιάγων αὐτὸν, ὁτὲ μὲν πρὸς ἀνατολὰς,

ὁτὲ

34) οὐδεὶς ἂν — ἀφέλοιτο] idem eſt atque οὐδεὶς ἂν αὐτοῦ ἔτι ταῦτα ἀφέλοιτο, quae eſt vulgaris dicendi ratio.

35) ἐγκαῦσαι hic non eſt *inurere*, vt picturae v. c. et notae inuruntur, ſed idem quod συγκαῦσαι *comburere*; ſaepe ἐν in compoſitis vſurpatur pro σύν.

36) μένει.

37) agnoſco in hac ſententia, frigida, et Dione, et multo magis Diogene, indigna, ingenium ſophiſticum aetatis illius, quae Dionem tulit. multa huius ſunt generis apud Plutarchum.

38) ἄπεισιν] ſcil. diſcipulus ſapientiae a magiſtro. facile quidem, re ipſa monſtrante, intelligitur hoc, malim tamen αὐτὸς addi, quo tanto clarius ſit diſcrimen atque oppoſitio inter ἐκεῖνος et αὐτός.

39) κατατρίψῃ] malim κατατρίψει, ſcil. ille ineptus, vanus et glorioſus ſophiſta conteret eum, ſuum diſcipulum, h. e. non ſolummodo morabitur eum, et vacuum

vera

ὁτὲ δὲ πρὸς δύσιν, ὁτὲ δὲ πρὸς μεσημβρίαν ἕλκων, οὐδὲν αὐτὸς εἰδὼς, ἀλλὰ εἰκάζων, καὶ πολὺ πρότερον αὐτὸς ὑπὸ τοιούτων ἀλαζόνων πεπλανημένος. ὥσπερ αἱ ἀμαθεῖς καὶ ἀκόλαστοι κύνες, ἐν τῇ θήρᾳ μηδὲν ξυνιεῖσαι, μηδὲ γνωρίσασαι τὸ ἴχνος, ἐξαπατῶσιν ἄλλας τῇ φωνῇ καὶ τῷ σχήματι, ὡς 40) εἰδυῖαί τε καὶ ὁρῶσαι 41), καὶ πολλαὶ συνέπονται ταύταις, αἱ ἀφρονέσταται σχεδὸν, ταῖς μάτην φθεγγομέναις. τούτων αἱ 42) μὲν ἄφθογγοι καὶ σιωπῶσαι, μόνον αὗται 43) ἐξαπατῶνται· αἱ δὲ προπετέσταται καὶ ἀνοητόταται μιμούμεναι τὰς πρώτας, θορυβοῦσι, καὶ μιμοῦνται 44) ἄλλας ἐξαπατᾷν. τοιοῦτον εὕροις ἂν καὶ περὶ τοὺς καλουμένους σοφιστὰς πολὺν ὄχλον ἐνίοτε συνεπόμενον ἀνθρώπων ἠλιθίων 45)· καὶ γνώσῃ, ὅτι οὐδὲν διαφέρει σοφιστὴς ἀνθρώπου 46) εὐνούχου ἀκολάστου. καὶ ὃς ἀκούσας, ἐθαύμασε, κατὰ τί σοφιστὴν εὐνούχῳ παρέβαλεν, καὶ ἤρετο αὐτόν· ὅτι, εἶπε, τῶν εὐνούχων φασὶν οἱ ἀσελγέστατοι, ἄνδρες εἶναι καὶ ἐρᾷν τῶν γυναικῶν, καὶ συγκαθεύδουσιν αὐταῖς καὶ ἐνοχλοῦσι 47), γίγνεται δ' οὐδὲν πλέον, οὐδ' ἂν τάς τε νύ-

vera doctrina relinquet, sed etiam vires eius frustra consumet in discendo res inutiles.

40) ὡς] in Veneta est *οἱ*. forte fuit in libris quibusdam οἷον, quod ad sententiam idem est, atque ὡς.

41) ὁρῶσαι] sic recte Veneta, ὡρῶσαι Morell.

42) τούτων αἱ] malim καὶ τούτων αἱ, aut τούτων δ' αἱ.

43) αὗται] imo vero αὐταί. *ipsae solae.*

44) loco μιμοῦνται postulat sententia φιλοτιμοῦνται, contendunt et certant inter se, velut de re praeclara et gloriam afferente, quis alterum magis decipere possit.

45) recte dat Veneta ἠλιθίων, Morell. ἠλιθίον.

46) ἀνθρώπου] imo vero ἄνθρωπος.

47) ἐνοχλοῦσι bene habere, recte admonuit Wolfius, Angli ineptum ἐνοχεύουσι castigans, et auctores aliquot laudans, de incredibili eunuchorum salacia et mulierositate commemorantes.

κτας καὶ τὰς ἡμέρας συνῶσιν αὐταῖς· καὶ παρὰ τοῖς σοφισταῖς πολλοὺς εὑρήσεις γηράσκοντας ἀμαθεῖς, πολὺ κάκιον πλανωμένους ἐν τοῖς λόγοις, ἢ τὸν Ὀδυσσέα φησὶν Ὅμηρος ἐν τῇ θαλάσσῃ, καὶ πρότερον εἰς ᾅδου ἂν ἀφίκοιτο[48]), ὥσπερ ἐκεῖνος, ἢ γένοιτο ἀνὴρ ἀγαθὸς, λέγων τε καὶ ἀκούων. καὶ σὺ, ἐπείπερ[49]) οὕτω πέφυκας, ἐὰν τύχῃς ἐπισταμένου ἀνδρὸς, ἱκανή σοι ἔτι[50]) μία ἡμέρα, πρὸς τὸ συνιδεῖν τὸ πρᾶγμα[51]) καὶ τὴν τέχνην[52]), καὶ οὐδὲν ἔτι δεήσῃ ποικίλων σοφισμάτων ἢ λόγων· ἐὰν δὲ μὴ τύχῃς διδασκάλου τοῦ Διὸς, ἢ ἄλλου τοιούτου, ταχὺ καὶ σαφῶς φράζοντος ἃ δεῖ ποιεῖν, οὐδέν σοι πλέον, οὐδὲ ἂν ὅλον κατατρίψῃς τὸν βίον ἀγρυπνῶν τε καὶ ἀσιτῶν, παρὰ τοῖς κακοδαίμοσι σοφισταῖς· τοῦτο δὲ οὐκ ἐγὼ λέγω νῦν, ἀλλ' Ὅμηρος ἐμοῦ πρότερος. ἢ οὐκ ἔμπειρος εἶ τῶν Ὁμήρου ἐπῶν; ὁ δὲ Ἀλέξανδρος μέγιστον ἐφρόνει, ὅτι ἠπίστατο μὲν τὸ ἕτερον ποίημα ὅλον τὴν Ἰλιάδα, πολλὰ δὲ καὶ τῆς Ὀδυσσείας. θαυμάσας οὖν ἔφη· καὶ ποῦ διειλέχθη[53]) περὶ τούτων Ὅμηρος; ἐκεῖ, ἔφη, ὅπου τὸν Μίνω λέγει τοῦ Διὸς ὀαριστήν. ἢ οὐ τὸ ὀαρίζειν ὁμιλεῖν ἐστιν; οὐκοῦν ὁμιλη-

48) Conſtructio poſtulabat *ἀφίκοιντο*. ſed retulit ad ſententiam, ſcil. eiusmodi aliquis diſcipulus ſapientiae appetens, magiſtro vtens ſophiſta.

49) ἐπείπερ] non affirmat Diogenes Alexandrum illinc eſſe oriundum, vnde ſe ferret, ſed in dubio relinquit, et conditionem addit, *ſi quidem* ita natus re vera es, vti te natum fers et vis habere, ſcil. a patre Ioue. quare malim εἴπερ, *dummodo ſis*, *ſi quidem es*.

50) ἔτι] lege ἐςί.

51) τὸ πρᾶγμα] ſcil. τὸ ἄρχειν.

52) τὴν τέχνην] ſcil. τὴν βασιλικήν.

53) διειλέχθη] ſaltim διελέχθη dediſſet, multo melius vir doctus ad marginem Venetae meae ſyllabam vltimam in διείλεκτοι, quod in illa eſt, mutauerat in το. poteſt hoc quidem ferri, ſed Dio ſine dubio dedit διείλεκται.

ὁμιλητὴν τοῦ Διός φησιν αὐτὸν εἶναι, ὥσπερ ἂν εἰ ἔφη μαθητήν. ἆρ' οὖν ὑπὲρ[54]) τίνων ἄλλων αὐτὸν οἴει μανθάνειν τε καὶ ὁμιλεῖν τῷ Διῒ πραγμάτων, ἢ τῶν δικαίων καὶ βασιλικῶν; ἐπεί τοι καὶ λέγεται δικαιότατος ὁ Μίνως πάντων γενέσθαι. πάλιν δὲ ὅταν λέγῃ διοτρεφεῖς τοὺς βασιλέας καὶ Διῒ φίλους, ἄλλο τι οἴει λέγειν αὐτὸν, ἢ τὴν τροφὴν αὐτῶν, ἣν ἔφη εἶναι διδασκαλίαν καὶ μαθητείαν; ἢ σὺ οἴει λέγειν αὐτὸν ὑπὸ τοῦ Διὸς τοὺς βασιλέας τρέφεσθαι, ὥσπερ ὑπὸ τίτθης γάλακτι καὶ οἴνῳ, καὶ σιτίοις, ἀλλ' οὐκ ἐπιστήμῃ, καὶ ἀληθείᾳ; ὁμοίως δὲ καὶ φιλίαν[55]), οὐκ ἄλλην, ἢ τὸ τ' αὐτὰ βουλεύεσθαι[56]) καὶ διανοεῖσθαι[57]), ὁμόνοιάν τινα οὖσαν. οὕτως γὰρ ἤδη που καὶ τοῖς ἀνθρώποις δοκοῦσιν οἱ φίλοι πάντων μάλιστα ὁμονοεῖν, καὶ μὴ διαφέρεσθαι περὶ μηδενός. ὃς ἂν οὖν τῷ Διῒ φίλος εἴη, καὶ ὁμονοῇ πρὸς ἐκεῖνον, ἔσθ' ὅπως ἀδίκου τινὸς ἐπιθυμεῖ[58]) πράγματος, ἢ πονηρόν τε[59]) καὶ αἰσχρὸν διανοηθήσε-

54) ἆρ οὖν ὑπέρ τινων — πραγμάτων] offendor non nihil hac graecitate, quod idem Caſaubonus quoque paſſus eſt, item Anglus. poteſt tamen fieri, vt illa aetate, qua Dio vixit, graecis *μανθάνειν diſcere* pro *μαθητεύειν* vſurparetur, h. e. pro *muniis diſcipuli fungi*, vel, vt nos deteriore latinitate dicimus, *in ſtatu diſciplinae agere.* alias melius vtique conueniret aut φοιτᾷν aut θαμίζειν.

55) φιλίαν] ſcil. ἔφη ὅμηρος, quod a communi eſt repetendum. Sententia haec eſt: Homerus cum reges appellat διῒ φίλους, hoc vult ſignificare, eadem eos cum Ioue velle.

56) βουλεύεσθαι noui interdum pro βούλεσθαι vſurpari. Sed non vacant iſtiusmodi loci ſuſpicione corruptelae. quare hic malim βούλεσθαι.

57) poſt διανοεῖσθαι videtur Διῒ excidiſſe, quod cum res ipſa, tum inſequentia καὶ τοῖς ἀνθρώποις ſuadent, quae ſenſu careant, niſi Διῒ addas.

58) ἐπιθυμεῖ] inſequens διανοηθήσεται poſtulat ἐπιθυμήσει. alias poſſit etiam ἐπιθυμῇ aut ἐπιθυμείη legi.

59) τε] lege τι.

θήσεται; αὐτὸ δὲ τοῦτο ἔοικεν δηλοῦν, καὶ ὅταν ἐγκωμιάζων τινὰ λέγῃ τῶν βασιλέων, ποιμένα λαῶν. τοῦ γὰρ ποιμένος οὐκ ἄλλο τι ἔργον, ἢ πρόνοια, καὶ σωτηρία, καὶ φυλακὴ προβάτων. ὥςε [60]) κατακόπτειν, οὐ μὰ Δία καὶ σφάττειν, καὶ δέρειν. καίτοι [61]) ἐνίοτε πολλὰ πρόβατα ἐλαύνει μάγειρος εἰς ὠνησάμενος. ἀλλὰ πλεῖςον διαφέρει μαγειρικὴ, καὶ ποιμενική· σχεδὸν ὅσον βασιλική τε καὶ τυραννίς [62]). ὅτε οὖν Ξέρξης καὶ Δαρεῖος ἄνωθεν ἐκ Σούσων ἤλαυνον πολὺν ὄχλον Περσῶν τε καὶ Μήδων, καὶ Σακκῶν [63]), καὶ Ἀράβων, καὶ Αἰγυπτίων δεῦρο εἰς τὴν Ἑλλάδα, ἀπολούμενον, πότερον βασιλικῶν [64]), ἢ μαγειρικὸν ἔπραττον ἔργον, λείαν ἐλαύνοντες κατακοπησομένην; καὶ ὁ Ἀλέξανδρος, σοὶ, ἔφη, ὡς ἔοικεν, οὐ δοκεῖ βασιλεὺς εἶναι, οὐδὲ ὁ μέγας βασιλεύς; καὶ ὁ Διογένης μειδιάσας, οὐ μᾶλλον, εἶπεν, ὦ Ἀλέξανδρε, ἢ ὁ σμικρὸς δάκτυλος. ἦ οὐδ' ἄρα [65]) ἐγὼ, ἔφη, καταλύσας ἐκεῖνον, μέγας βασιλεὺς

60) *ὥςε* cum *οὐ* muta, et insequens *οὐ* dele. nam istius *ὥςε* est correctio. In Veneta et marg. Mor. est *ὥςε κατοπτεύειν οὐ μὰ Δ.* quod interpres latinus reddidit. vir doctus in Veneta mea adscripsit *κατοπτᾷν assare.* Sed verum est, quod Morellus dedit, *κατακόπτειν.*

61) *καίτοι*] bene habet. varians in marg. Morell. lectio *καὶ μὴν*, sed illa deterior; ex eo videtur esse nata, quod in Veneta est *καὶ τὴν.*

62) dubito, sitne *τυραννὶς* relinquendum, an reliquis *μαγειρικὴ*, *ποιμενικὴ* et *βασιλικὴ*, scil. *τέχνη*, vel *ἐργασία*, accommodandum. Porro pro *οὖν* malim *γοῦν.*

63) *σακῶν.*

64) *βασιλικῶν*] in Veneta est *βασιλικοῦν*, vnde vir doctus deleto *υ* fecit *βασιλικὸν*, non male, si abessent insequentia, quae clare produnt, auctorem dedisse *πότερον βασιλέων, ἢ μαγείρων ἔργον, λείαν ἐλαυνόντων κατακοπησ.*

65) sic distingue: *δάκτυλος ἦ.* hucusque Diogenes. tum Alexander: *οὐδ' ἄρα* —

λεὺς ἔσομαι; οὐ τούτου γε ἕνεκα, εἶπεν ὁ Διογένης. οὐδὲ γὰρ τῶν παίδων ὁ νικήσας, ὅταν παίζωσιν, ὡς[66] αὐτοί φασι, βασιλέα[67], τῷ ὄντι βασιλεύς ἐστιν. οἱ μέντοι παῖδές[68] φασιν, ὅτι ὁ νενικηκὼς, καὶ λεγόμενος βασιλεὺς, σκυτοτόμου υἱός ἐστι, ἢ τέκτονος, καὶ δεῖ μανθάνειν αὐτὸν τὴν τοῦ πατρὸς τέχνην· ὁ δὲ ἀποδρὰς, παίζει μεθ' ἑτέρων[69], καὶ τότε μάλιστα οἴεται σπουδάζειν· ἐνίοτε δὲ καὶ δοῦλος καταλιπὼν τὸν δεσπότην. ἴσως οὖν καὶ ὑμεῖς τοιοῦτόν τι ποιεῖτε, ἑκάτερος ὑμῶν παῖδας ἔχοντες τοὺς φιλονεικοῦντας[70], ὁ μὲν Πέρσας, καὶ τοὺς ἄλλους τοὺς κατὰ τὴν Ἀσίαν· σὺ δὲ Μακεδόνας τε καὶ τοὺς Ἕλληνας. καὶ ὥσπερ ἐκεῖνοι σφαίρᾳ στοχάζονται ἀλλήλων, ὁ δὲ πληγεὶς ἥττηται· καὶ σὺ νῦν Δαρείου στοχάζῃ, καὶ σοῦ ἐκεῖνος, καὶ τυχὸν ἂν πλήξαις τε καὶ ἐκβάλοις αὐτόν· ἐπισκοπώτερος γάρ εἶναί μοι δοκεῖς. ἔπειτα οἱ μὲν ἐκείνου πρότερον ὄντες, μετὰ σοῦ ἔσονται, καὶ ὑποκύψουσι, καὶ

66) *ὡς* haud equidem improbem, tametsi Casaubonus malit *ὄν*.

67) *βασιλέα*] Veneta *βασιλέας*, de quo statuant alii, num sit praeferendum.

68) *παῖδες*] nescio, cur Casaubono displiceat, vt malit *παρόντες*. sententia haec est: Pueros regem ludentes si quis praetereuntium interroget, cuias ille sit, qui cum titulo regis victor abierit, ipsi pueri respondent, esse filium sutoris. Pueri enim ludentes optime norunt, cuias sit, praetereuntes autem nesciunt, ideoque interrogant, vt doceantur a pueris.

69) *μεθ' ἑτέρων*] bene habet, scil. *παίδων cum aliis pueris*. rursus Casaubonum non audio *μεθ' ἑταίρων* suadenti. Dio si hoc voluisset, debebat saltim *μετὰ τῶν ἑταίρων* dare. *ἀποδρὰς*] scil. *τὸν τοῦ πατρὸς οἶκον καὶ τὴν μαθητείαν*.

70) tametsi non multum offendar vulgata *φιλονεικοῦντας*, praeferam tamen Casauboni *συμφιλονεικ.* idem tollit articulum *τοὺς*, non magna de causa.

καὶ σὺ ὀνομασθήσῃ βασιλεὺς ἁπάντων. ὁ οὖν Ἀλέξανδρος πάλιν ἐλυπεῖτο καὶ ἤχθετο. οὐδὲ γὰρ ζῆν ἐβούλετο, εἰ μὴ βασιλεὺς εἴη τῆς Εὐρώπης, καὶ τῆς Ἀσίας, καὶ Λιβύης, καὶ εἴ πού τίς ἐστι νῆσος ἐν τῷ ὠκεανῷ κειμένη. ἐπεπόνθει γὰρ τοὐναντίον, ἤ φησιν Ὅμηρος τὸν Ἀχιλλέα νεκρὸν πεπονθέναι. ἐκεῖνος μὲν γὰρ ἔλεγεν, ὅτι ζῶν βούλοιτο θητεύειν Ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη, Ἢ πᾶσι νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν. ὁ δὲ Ἀλέξανδρος δοκεῖ μοι ἑλέσθαι ἂν καὶ τοῦ τρίτου μέρους τῶν νεκρῶν ἄρχειν ἀποθανὼν, ἢ ζῆν τὸν ἅπαντα χρόνον θεὸς γενόμενος, μόνον εἰ μὴ βασιλεὺς γένοιτο τῶν ἄλλων θεῶν. μόνου δ' ἴσως οὐκ[71]) ἂν ὑπερεῖδε τοῦ Διὸς, εἰ καὶ βασιλέα καλοῦσιν αὐτὸν οἱ ἄνθρωποι. ὅθεν καὶ ἐκόλαζεν αὐτὸν ὁ Διογένης[72]). σὺ μέντοι παίζειν, ἔφη, δοκεῖς. ἐγὼ δὲ ἂν Δαρεῖον ἕλω, καὶ ἔτι τῶν Ἰνδῶν βασιλέα, οὐδέν με κωλύει τῶν πώποτε βασιλέων μέγιστον εἶναι; τί γὰρ ἐμοὶ λοιπόν ἐστι[73]) κρατήσαντι Βαβυλῶνος, καὶ Σούσων, καὶ Ἐκβατάνων, καὶ τῶν ἐν Ἰνδοῖς πραγμάτων; καὶ ὃς ὁρῶν αὐτὸν φλεγόμενον ὑπὸ τῆς φιλοτιμίας, κακίστῃ[74]) ψυχῇ ὅλον τεταμένον καὶ φερόμενον· ὥσπερ αἱ γέρανοι, ὅποι ἂν ὁρμήσωσιν, ἀποτείνασαι ἑαυτὰς, πέτονται· ἀλλ' οὐδὲν ἕξεις[75]), ἔφη, πλέον οὐδενὸς, οὐδὲ τῷ ὄντι βασιλεύσεις ἐφ', ἧς ἔχεις, ταύτης διανοίας, οὐδὲ ἂν ὑπερ-

71) aut in οὐκ est vitium, aut in ὑπερεῖδε. vt nunc iacent verba, necesse est οὐκ tolli.

72) Margo Morell. dat γρ. πάντα τρόπον, ἔφη οὖν ὦ διογ. σὺ μέν μοι π. δ.

73) λοιπόν ἐστι] subaudi πολέμιον.

74) videtur hic locus in mendo cubare, et aliquid deesse. [Anglus κακίστῃ cum καὶ τῇ mutauit] f. ad hunc modum sit restituendus: ὁρῶν αὐτὸν φλεγόμενον ὑπὸ τῆς φιλοτιμίας κάκιστα, καὶ πρὸς τὴν δόξαν τῇ ψυχῇ ὅλον τεταμένον.

75) recte dat Veneta ἀλλ' οὐδὲν ἕξεις. Mor. οὐδέ.

ὑπεραλλόμενος[76]) τὸ ἐν Βαβυλῶνι τεῖχος, ἕλῃς τὴν πόλιν, ἀλλὰ μὴ διορύττων ἔξωθεν καὶ ὑπορύττων. ὁμοίως δὲ τὸ ἐν Σούσοις, καὶ τὸ ἐν Βάκτροις· οὐδ' ἂν ἑτέραν προσλάβοις μείζω τῆς Ἀσίας ἤπειρον, τὸν ὠκεανὸν διανηξάμενος· οὐδ' ἂν Κῦρον μιμησάμενος κατὰ τὸν ποταμὸν εἰσρυῇς[77]), ὥσπερ ὕδρος[78])· ἢ σὺ τοὺς ἀλεκτρυόνας οὐ καλεῖς νόθους, οἳ ἂν ὦσιν ἐξ ἀνομοίων; ἢ οὐ μείζων σοι δοκεῖ διαφορὰ θεοῦ πρὸς γυναῖκα θνητὴν, ἢ γενναίου ἀλεκτρυόνος; εἰ οὖν γέγονας οὕτως, καθάπερ φασὶ, καὶ σὺ νόθος ἂν εἴης, ὥσπερ ἀλεκτρυών. τυχὸν δὲ καὶ μαχιμώτατος ἔσῃ τῶν ἄλλων διὰ ταύτην τὴν νοθείαν. καὶ τίς, εἶπεν, ἔτι μοι καταλείπεται πόλεμος[79]), ἂν ἕλω τούτους, οὓς εἶπον; ὁ πάντων, ἔφη, δυσμαχώτατος, οὐ Περσίζων, οὐ Λυδίζων[80]) τῇ φωνῇ, καθάπερ οἶμαι Δαρεῖος, ἀλλὰ Μακεδονίζων τε καὶ Ἑλληνίζων. καὶ ὃς ἐταράχθη τε καὶ ἠγωνίασε[81]), μή τινα ἐπίσταιτο ἐν Μακεδονίᾳ, ἢ ἐν τῇ Ἑλλάδι παρασκευαζόμενον ὡς πολεμήσοντα. καὶ ἤρετο, τίς οὗτός ἐστιν ἐμὸς πολέμιος ἐν τῇ Ἑλλάδι, ἢ Μακεδονίᾳ; σὺ, ἔφη, ἀγνοεῖς, πάντων μάλιστα γινώσκειν οἰόμενος; ἔπειτα, ἔφη, οὐκ ἐρεῖς αὐτὸν, ἀλλὰ κρύψεις; πάλαι γάρ,

76) In Veneta est ὑπεραλλάμενος, vnde olim ὑπεραλάμενος efficiebam, quod etiam a viro docto in margine Venetae adscriptum est; sed obstant insequentia διορύττων et ὑπορύττων, quae demonstrant partic. praes. temp. hic requiri.

77) v. Herodot. I. 191. p. 90. ed. Wessel.

78) In Veneta vitiose est ὕστερος. Anglus hic non pauca deesse suspicatus est, sed falso. margo Morell. dat ὕβριξ.

79) πόλεμος] imo vero πολέμιος, propter insequentia οὐ περσίζων ὥσπερ Δαρεῖος; et sic quoque interpres.

80) f. οὐδὲ λυδίζων.

81) ἠγωνίασε] sic recte Veneta, verbum enim est ἀγωνιᾶν, non ἀγωνιάζειν, quod nullum est in tota graecitate. Morell. dat ἠγωνίαζε.

γὰρ, εἶπεν, λέγω, σὺ δὲ οὐκ ἀκούεις, ὅτι σὺ σαυτῷ[82]) μάλιστα ἔχθιστος εἶ, καὶ πολεμιώτατος, μέχρις ἂν ἦς κακὸς καὶ ἀνόητος. καὶ οὗτος, ἔφη, ἐστὶν ἀνήρ, ὃν σὺ ἀγνοεῖς, ὡς οὐδένα ἄλλον. οὐδεὶς γὰρ τῶν ἀφρόνων καὶ πονηρῶν ἐπίσταται ἑαυτόν. οὐ γὰρ ἂν[83]) τοῦτο πρῶτον προσέταττεν ὁ Ἀπόλλων ὡς χαλεπώτατον ἑκάστῳ γνῶναι ἑαυτόν. ἢ οὐ τὴν ἀφροσύνην ἡγῇ μεγίστην καὶ τελεωτάτην πασῶν νόσον καὶ βλάβην τοῖς ἔχουσι, καὶ τὸν ἄφρονα ἄνδρα αὐτὸν[84]) αὐτῷ βλαβερώτατον; ἢ οὐ τὸν βλαβερώτατον ἑκάστῳ καὶ πλείστων κακῶν αἴτιον τοῦτον ἔχθιστον καὶ πολεμιώτατον ἐκείνῳ ὁμολογεῖς εἶναι; πρὸς ταῦτα χαλέπαινε, καὶ πήδα, ἔφη, καὶ μιαρώτατον ἀνθρώπων ἐμὲ νόμιζε, καὶ λοιδόρει πρὸς ἅπαντας, ἐὰν δέ σοι δόξῃ, τῷ δορατίῳ διαπερόνησον, ὡς ἀκούσῃ[85]) παρὰ μόνου ἀνθρώπων ἐμοῦ τἀληθῆ, καὶ παρ' οὐδενὸς ἄλλου ἀνθρώπων ἂν μάθοις. πάντες γάρ εἰσι χείρους ἐμοῦ, καὶ ἀνελευθερώτατοι[86]). ταῦτα δὲ ἔλεγεν ὁ Διογένης, παρ' οὐδὲν μὲν ἡγούμενος, εἰ καί τι πείσεται, πλὴν σαφῶς γε εἰδὼς, ὅτι οὐδὲν ἔσοιτο. ἠπίστατο γὰρ τὸν Ἀλέξανδρον δοῦλον ὄντα τῆς δόξης καὶ οὐδέποτ' ἂν ἁμαρτόντα περὶ ἐκεῖνον. ἔφη οὖν, μηδὲ τὸ σημεῖον τὸ βασιλικὸν ἔχεις; καὶ ὁ Ἀλέξανδρος θαυμάσας, οὐκ ἄρτι ἔλεγες, ἔφη, ὅτι οὐδὲν δεῖ σημείων τῷ βασιλεῖ; ναὶ μὰ Δί', εἶπεν, τῶν γε ἔξωθεν, οἷον τιάρας, καὶ πορφύρας· τούτων γὰρ οὐδέν ἐστιν ὄφελος· τὸ δὲ ἐκ τῆς φύσεως αὐτῷ δεῖ προσεῖναι πάντων μάλιστα. καὶ τί τοῦτό ἐστιν, ἔφη

82) αὐτῷ lectio marg. Morell. est in Veneta.
83) οὐ γὰρ ἂν] *nam alias non* h. e. nam, si stulti ipsi sese nossent, non praecepisset hoc Apollo, vt rem difficillimam.
84) αὐτὸν] τοῦτον Veneta et margo Morell.
85) ὡς ἀκούσῃ] *nam audies nihilo minus.*
86) malim cum Anglo ἀνελευθερώτεροι.

ὁ Ἀλέξανδρος; ὃ καὶ τῶν μελισσῶν, ἦ δ' ὅς, τῷ βασιλεῖ πρόσεστιν. ἢ οὐκ ἀκήκοας, ὅτι ἐστὶ βασιλεὺς ἐν ταῖς μελίτταις φύσει γιγνόμενος, οὐκ ἐκ γένους τοῦτο ἔχων, ὥσπερ ὑμεῖς φατε, ἀφ' Ἡρακλέους ὄντες; τί οὖν τοῦτό ἐστιν, εἶπεν ὁ Ἀλέξανδρος, τὸ σημεῖον; οὐκ ἀκήκοας, εἶπε, τῶν γεωργῶν, ὅτι μόνη ἐκείνη ἡ μέλιττα ἄνευ κέντρου ἐστὶν, ὡς οὐδὲν αὐτῇ δέον ὅπλου πρὸς οὐδένα; οὐδεμία γὰρ αὐτῇ τῶν ἄλλων μελιττῶν ἀμφισβητήσει [87]) περὶ τῆς βασιλείας, οὐδὲ μάχεται τοῦτο ἐχούσης [88]). σὺ δέ μοι δοκεῖς, οὐ μόνον περιπατεῖν, ἀλλὰ καὶ καθεύδειν ἐν τοῖς ὅπλοις. οὐκ οἶσθα, ἔφη, ὅτι φοβουμένου ἐστὶν ἀνθρώπου ὅπλα ἔχειν; φοβούμενος δὲ, οὐδέποτ' ἂν οὐδεὶς γένοιτο βασιλεὺς, οὐ μᾶλλον ἢ δοῦλος. ἀκούσας δὲ ὁ Ἀλέξανδρος, ὀλίγου ἐκ τῆς χειρὸς ἀφῆκε τὸ δοράτιον. ταῦτα δὲ ἔλεγεν ὁ Διογένης, προτρέπων αὐτὸν εὐεργεσίᾳ πιστεύειν καὶ τῷ δίκαιον παρέχειν αὐτὸν, ἀλλὰ μὴ τοῖς ὅπλοις. σὺ δὲ, ἔφη, καὶ τὸν θυμὸν ἐν τῇ ψυχῇ φορεῖς ἠκονημένον, χαλεπὸν οὕτως καὶ βίαιον κέντρον. οὐκ ἀπορρίψας οὖν ταῦτα, ἃ νῦν ἔχεις, ἐξωμίδα λαβὼν, λατρεύσεις τοῖς αὐτοῦ κρείττοσιν· ἀλλὰ περιελεύσῃ διάδημα ἔχων καταγέλαστον [89]); μικροῦ δὲ ὕστερον ἴσως λόφον φύσεις, καὶ τιάραν, ὥσπερ οἱ ἀλεκτρυόνες; οὐκ ἐννενόηκας τὴν τῶν Σακκῶν ἑορτὴν, ἣν Πέρσαι [90]) ἄγουσιν, οὗ νῦν ὥρμηκας στρατεύεσθαι; καὶ ὃς εὐθὺς ἠρώτα, ποίαν

87) ἀμφισβητεῖ, ob sequens μάχεται, nisi μαχεῖται aut μαχήσεται malumus.

88) ἐχούσῃ. cohaeret enim cum αὐτῇ; et sic videtur quoque vir doctus in Veneta mea correxisse. τοῦτο redit ad σημεῖον.

89) καταγέλαστος.

90) f. ἣν καὶ Πέρσαι. *Sacarum ludos, quos Persae quoque agunt.*

ποιάν τινα[91]· ἐβούλετο γὰρ πάντα εἰδέναι τὰ τῶν Περσῶν πράγματα. λαβόντες, ἔφη, τῶν δεσμωτῶν ἕνα τῶν ἐπὶ θανάτῳ, καθίζουσιν εἰς τὸν θρόνον τοῦ βασιλέως, καὶ τὴν ἐσθῆτα διδόασιν αὐτῷ αὐτήν[92], καὶ τρυφᾷν, καὶ ταῖς παλλακαῖς χρῆσθαι τὰς ἡμέρας ἐκείνας ταῖς βασιλέως, καὶ οὐδεὶς οὐδὲν αὐτὸν κωλύει ποιεῖν, ὧν βούλεται. μετὰ δὲ ταῦτα ἀποδύσαντες καὶ μαστιγώσαντες, ἐκρέμασαν. τίνος οὖν ἡγῇ τοῦτο εἶναι σύμβολον; καὶ διὰ τί γίγνεσθαι παρὰ τοῖς Πέρσαις; οὐχ ὅτι πολλάκις ἀνόητοι ἄνθρωποι καὶ πονηροὶ, τῆς ἐξουσίας ταύτης καὶ τοῦ ὀνόματος τυγχάνουσιν, ἔπειτα χρόνῳ[93] τινὰ ὑβρίσαντες αἴσχιστα καὶ τάχιστα ἀπόλλυνται; οὐκοῦν τότε, ἐπειδὰν ἄρωσι τὸν ἄνθρωπον ἐκ τῶν δεσμῶν, εἰκός ἐστιν τὸν μὲν ἀνόητον καὶ ἄπειρον τοῦ πράγματος χαίρειν καὶ μακαρίζειν ἑαυτὸν ἐπὶ τοῖς γιγνομένοις· τὸν δὲ εἰδότα ὀδύρεσθαι καὶ μὴ θέλειν ἑκόντα συνακολουθεῖν, ἀλλὰ μᾶλλον, ὥσπερ εἶχε, μένειν ἐν ταῖς πέδαις. μὴ οὖν πρότερον, ὦ μάταιε, βασιλεύειν ἐπιχείρει πρὶν ἢ φρονῆσαι. τέως δὲ, ἔφη, κρεῖττον μηδὲν προστάττειν[94], ἀλλὰ μόνον αὐτὸν ζῆν, διφθέραν (ἱμάτιον[95] γεωργικὸν, στερεὸν, πρὸς ὄμβρων μάλιστα ἀποφυγὴν ἱκανὸν) ἔχοντα. σὺ δὲ, ἔφη, κελεύεις με διφθέραν λαβεῖν τὸν ἀφ᾽ Ἡρακλέους γεγονότα, καὶ τῶν Ἑλλήνων ἡγεμόνα, καὶ Μακε-

91) ποιάν τινα] sic recte Veneta, ποῖά τινα Morell.

92) possit vulgata ferri, modo αὐτὴν deleatur, et post βασιλέως addatur ἐῶσι, quod facile potuit propter soni similitudinem excidere. praefero tamen lectionem marg. Morell. αὐτῷ βασιλικὴν, καὶ προστάττειν ἐῶσι καὶ πίνειν καὶ τρ.

93) χρόνον.

94) f. μηδὲν μηδενὶ προστάττειν.

95) verba illa ἱμάτιον ad ἱκανὸν delenda esse, vt e scholio perperam intrusa, recte admonuerunt Casaubonus et Morellus.

Μακεδόνων βασιλέα; πάνυ γε, εἶπεν, ὥσπερ ὁ πρόγονός σȣ. ποῖος, ἔφη, πρόγονος; Ἀρχέλαος. ἢ ȣ̓κ αἰπόλος ἦν ὁ Ἀρχέλαος, ȣ̓δὲ ἦλθεν εἰς Μακεδονίαν αἶγας ἐλαύνων; πότερον ȣ̂ν ἐν πορφύρᾳ μᾶλλον ἢ ἐν διφθέρᾳ οἴει 96) τȣ̂το ποιεῖν; καὶ ὁ Ἀλέξανδρος ἀνέθει 97) τε καὶ ἐγέλασεν, καὶ ἔφη· τὰ περὶ τὸν χρησμὸν, ὦ Διόγενες, λέγεις 98). ὁ δὲ ϛρυφνῷ 99) τῷ προσώπῳ, ποῖον, εἶπε, χρησμὸν 100), ȣ̓κ οἶδα ἔγωγε; πλὴν αἰπόλος ἦν Ἀρχέλαος. ἀλλ᾽ ἂν ἀπαλλαγῇς τȣ̂ τύφȣ, καὶ τῶν νῦν πραγμάτων, ἔσῃ βασιλεὺς, ȣ̓ λόγῳ τυχὸν, ἀλλὰ ἔργῳ· καὶ κρατήσεις ȣ̓ μόνον τῶν ἀνθρώπων ἁπάντων, ἀλλὰ καὶ τῶν γυναικῶν, ὥσπερ ὁ Ἡρακλῆς, ὃν σὺ 1) φῂς πρόγονον εἶναι. καὶ ὃς, ποίων ἔφη γυναικῶν, ἢ τυχὸν 2) ἔφη, ὅτι τῶν Ἀμαζόνων λέγεις; ἀλλ᾽ ἐκείνων, ἦ δ᾽ ὃς, ȣ̓δὲν ἦν κρατῆσαι χαλεπόν· ἑτέρȣ δέ τινος γένȣς, δεινȣ̂ καὶ ἀγρίȣ παντελῶς. ἢ ȣ̓κ ἀκήκοας τὸν Λιβυκὸν μῦθον; καὶ ὃς ȣ̓κ ἔφη ἀκηκοέναι. διηγεῖτο δὲ μετὰ ταῦτα προθύμως καὶ ἡδέως, βȣλόμενος αὐτὸν παραμυθήσασθαι, καθάπερ αἱ τίτθαι τὰ παι-

96) οἴει] *putas, existimas. vtranam in veste putas eum,* (Archelaum) *id fecisse*, vt nempe capellas ageret, in pellicea, an in purpurea. et sic quoque interpres, et sic est claris et perspicuis literis in Veneta. Morell. dat εἶει.

97) ἀνέθει] in Veneta est ἀνήθη, vnde effici debebat ἀνείθη.

98) In Veneta est λήγεις; forte dedit auctor ληρεῖς. *garris, nugaris.*

99) ϛρυφνεῖ lectio marg. Morell. est in Ven. De exomide, seruili veste, v. Wolf in Anecd. Gr. T. I. p. 226.

100) f. χρησμὸν, ὃν ȣ̓κ οἶδα ἔγωγέ, πλὴν ὅτι αἰπόλος.

1) σὺ] malim vtique aut σε aut σοι cum Morello.

2) si τυχὸν seruas, delendum ὅτι, aut hoc seruato recipiendum istius loco, e marg. Morell. et e texto Venetae δῆλον.

παιδία, ἐπειδὴ αὐτοῖς πληγὰς ἐμβάλλωσι 3), παραμυθούμεναι καὶ χαριζόμεναι, μῦθον αὐτοῖς ὕστερον διηγήσαντο. εὖ δὲ ἴσθι, ἔφη, ὅτι οὐ πρότερον ἔσῃ βασιλεὺς, πρὶν ἂν ἱλάσῃ τὸν σαυτοῦ δαίμονα, καὶ θεραπεύσας ὡς δεῖ, ἀποδείξῃς ἀρχικόν τε καὶ ἐλευθέριον, καὶ βασιλικόν· ἀλλὰ μὴ, ὃν 4) νῦν ἔχεις, δοῦλον, ἀνελεύθερον, καὶ πονηρόν. ἐνταῦθα δὴ ὁ Ἀλέξανδρος ἐκπεπληγμένος τοῦ ἀνθρώπου τὸ ἀνδρεῖον, καὶ τὸ ἀδεὲς, νομίσας πλέον τι τῶν ἄλλων ἐπίστασθαι αὐτὸν, παντοδαπὸς ἦν ἱκετεύων, μὴ φθονῆσαι μηδένα τρόπον, ἀλλὰ φράσαι, τίς ἐστιν ὁ δαίμων αὐτοῦ, καὶ πῶς χρὴ ἱλάσκεσθαι αὐτόν. ἤλπιζε γὰρ ὄνομά τι ἀκούσεσθαι δαίμονος, καὶ θυσίας τινὰς ἢ καθαρμοὺς, οὓς δεῖ ἐπιτελέσαι. κατιδὼν οὖν αὐτὸν ὁ Διογένης τεθορυβουμένον 5), καὶ σφόδρα τῇ ψυχῇ μετέωρον, προσέπαιζε καὶ περιῆλθεν, εἴ πως δύναιτο κινηθεὶς ἀπὸ τοῦ τύφου 6) καὶ τῆς δόξης μικρόν τι ἀνανεῦσαι. καὶ γὰρ δὴ ᾐσθάνετο αὐτὸν, νῦν μὲν ἡδόμενον, νῦν δὲ λυπούμενον ἐν τῷ αὐτῷ. καὶ τὴν ψυχὴν αὐτοῦ ἄκριτον οὖσαν, ὥσπερ τὸν ἀέρα ἐν ταῖς τροπαῖς, ὅταν ἐκ τοῦ αὐτοῦ νέφους ὕῃ τε καὶ λάμ-

3) ἐμβάλωσι in aor. χαριζόμεναι tueatur per me licet, videtur tamen conuenientius esse ὑποκοριζόμεναι *blandientes, et mollibus nominibus appellantes.*

4) ὃν hic loci valet, more Latino, idem atque *qualem.*

5) lege τεθορυβημένον, quo etiam ducit Veneta, in qua est τεθορημένον.

6) offendit ad hunc locum olim Casaubonus, qui pro κινηθεὶς malit κενωθεὶς, nulla, quod equidem videam, satis idonea de causa. Offendi egomet quoque in meo opusculo Dioneo, vbi proposui hanc coniecturam, leg. esse κινηθεὶς ὑπὸ τοῦ λόγου, τοῦ τύφου; non male id quidem, sed satis per se stat salua vulgata. κινεῖσθαι per se significat aliqua oratione commoueri, et ἀνανεύειν ἀπὸ τύφου *a fastu insubido resipiscere*, velut a crapula quadam, bene graecum est.

λάμπῃ ὁ ἥλιος. συνίει δὲ, ὅτι καὶ τοῦ τρόπου κατεφρόνει, ἐν ᾧ διελέγετο πρὸς αὐτὸν, ἅτε οὐδέποτε ἀκηκοὼς δεινοῦ λέγειν ἀνδρὸς, ἀλλὰ τοὺς τῶν σοφιστῶν θαυμάζων λόγους, ὡς ὑψηλούς τε καὶ μεγαλοπρεπεῖς. βουλόμενος οὖν χαρίσασθαι αὐτῷ, ἅμα τε ἐπιδεῖξαι, ὅτι οὐκ ἀδύνατός ἐστιν ὥσπερ ἵππον εὐμαθῆ καὶ πειθόμενον, ὅταν αὐτῷ δοκῇ, τῷ λόγῳ ἐπᾶραι, λέγει πρὸς αὐτὸν οὕτως περὶ δαιμόνων· ὅτι οὐκ εἰσὶν ἔξωθεν τῶν ἀνθρώπων οἱ πονηροὶ καὶ ἀγαθοὶ δαίμονες, οἱ τὰς συμφορὰς καὶ τὰς εὐτυχίας φέροντες αὐτοῖς· ὁ δὲ ἴδιος ἑκάστου νοῦς, οὗτός ἐστι δαίμων τοῦ ἔχοντος ἀνδρός· ἀγαθὸς μὲν ὁ τοῦ φρονίμου καὶ ἀγαθοῦ δαίμων· πονηρὸς δὲ ὁ τοῦ πονηροῦ· ὡσαύτως δὲ ἐλεύθερος μὲν, ὁ τοῦ ἐλευθέρου· δοῦλος δὲ, ὁ τοῦ δούλου· καὶ βασιλικὸς μὲν, ὁ τοῦ βασιλικοῦ καὶ μεγαλόφρονος· ταπεινὸς δὲ, ὁ τοῦ ταπεινοῦ καὶ ἀγεννοῦς. ἵνα δὲ, ἔφη, μὴ καθέκαστον ἐπιὼν πολύ τι πλῆθος ἐπάγωμαι λόγων, ἐρῶ τοὺς κοινοτάτους καὶ φανερωτάτους δαίμονας, ὑφ᾽ ὧν ἅπαντες, ὡς εἰπεῖν, ἐλαύνονται τύραννοι, καὶ ἰδιῶται, καὶ πλούσιοι, καὶ πένητες, καὶ ὅλα ἔθνη, καὶ πόλεις. ἐνταῦθα δὴ πάντα[7]) ἀνεὶς κάλων, μάλα ὑψηλῶς καὶ ἀδεῶς τὸν ἑξῆς διεπέραινε λόγον. πολλαὶ[8]) μὲν, ὦ παῖ Φιλίππου, περὶ πάντα κακίαι τε καὶ διαφθοραὶ τῶν ἀθλίων[9]) ἀνθρώπων, καὶ τοσαῦται σχεδὸν, ὅσας οὐ δυνατὸν διελθεῖν. τῷ ὄντι γὰρ κατὰ τὸν ποιητὴν,

7) aut πάντας leg. eſt, et κάλως in plurali, quod equidem malim, aut πάντα κάλων in ſingulari cum Caſaubono, et codice regio. πάντα — καλῶς Ven. et Morelliana.

8) In Veneta eſt πάλαι, vnde poſſit quoque πᾶσαι effici, quod cum inſequente πάντα bene conueniret.

9) ἀθλίων abeſt a Veneta.

Οὐκ ἔστιν οὐδὲν δεινὸν, ὧδ' εἰπεῖν ἔπος,
Οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος [10],
Ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.

Τριῶν δὲ ἐπικρατούντων, ὡς ἔπος εἰπεῖν, βίων, εἰς οὓς μάλιστα ἐμπίπτουσιν οἱ πολλοὶ, μὰ Δί' οὐ μετὰ λογισμοῦ σκεψάμενοι ἢ δοκιμάσαντες, ἀλόγῳ δὲ ὁρμῇ καὶ τύχῃ προσενεχθέντες, τοσούτους φατέον εἶναι καὶ δαίμονας, οἷς συνέπονται καὶ λατρεύουσιν ὁ πολὺς καὶ ἀμαθὴς ὅμιλος, ἄλλοι ἄλλῳ, καθάπερ πονηρῷ ἡγεμόνι καὶ μαινομένῳ, πονηρὸς καὶ ἀσελγὴς θίασος. ἔστι δὲ τούτων, ὧν ἔφην βίων, ὁ μὲν ἡδυπαθὴς, καὶ τρυφερὸς, περὶ τὰς τοῦ σώματος ἡδονάς· ὁ δ' αὖ φιλοχρήματος καὶ φιλόπλουτος· ὁ δὲ τρίτος ἀμφοτέρων ἐπιφανέστερός τε καὶ μᾶλλον τεταραγμένος, ὁ φιλότιμος καὶ φιλόδοξος, ἐκδηλοτέραν καὶ σφοδροτέραν ἐπιδεικνύμενος τὴν ταραχὴν, καὶ τὴν μανίαν, ἐξαπατῶν αὑτὸν, ὡς καλοῦ δή τινος ἐραστήν. φέρε οὖν, καθάπερ οἱ κομψοὶ τῶν δημιουργῶν ἐπὶ πάντα ἐν βραχεῖ [11]) φέρουσι τὴν αὑτῶν ἐπίνοιαν καὶ τέχνην, οὐ μόνον τὰς τῶν θεῶν ἀπομιμούμενοι φύσεις ἀνθρωπίνοις εἴδεσιν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον, ποταμούς τε ἐνίοτε γράφοντες, ἀνδράσιν ὁμοίους, καὶ κρήνας ἔν τισι γυναικείοις εἴδεσι,

10) συμφορὰν καὶ δαιμόνιον dant Veneta, et regius quoque codex, vnde conſtat in libris aliquibus olim ſic fuiſſe exaratum et lectum locum hunc Euripideum:
οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος,
οὐδὲ πάθος οὐδὲν, συμφορὰν κατὰ δαιμόνιον.
h. e. non eſt appellare vocabulum vllum ita graue, neque eſt appellare caſum vllum aduerſum per fortunam diuinitus immiſſam euenientem. ἔπος itaque ſit res nomen ſortita, et quam liceat nomine ſuo proprio certoque deſignare et ab aliis rebus diſcernere.

11) ἐν βραχεῖ] ſcil. ἔπει aut ῥήματι. *vt multa paucis verbis complectar.*

δεσι, καὶ νήσους, καὶ πόλεις, καὶ τὰ ἄλλα μικροῦ δεῖν ξύμπαντα, ὁποῖον καὶ Ὅμηρος ἐτόλμησεν, ἐπιδείξας Σκάμανδρον φθεγγόμενον ὑπὸ τῇ δίνῃ. κἀκεῖνοι[12]) φωνὰς μὲν οὐκ ἔχουσι προσθεῖναι τοῖς εἰδώλοις· εἴδη δὲ οἰκεῖα, καὶ σημεῖα ἀπὸ[13]) τῆς φύσεως· οἷον τοὺς ποταμοὺς κατακειμένους γυμνοὺς τὸ πλέον, γένειον[14]) πολὺ καθεικότας, μυρίκην, ἢ καλάμην ἐστεφανωμένους. οὐκοῦν καὶ ἡμεῖς μὴ χείρους μηδὲ φαυλότεροι περὶ τοὺς λόγους φαινῶμεν, ἤπερ ἐκεῖνοι περὶ τὰς αὐτῶν τέχνας, τοῦ[15]) πλάττειν καὶ ἀφομοιοῦν τοὺς τρόπους τοῦ τριπλοῦ δαίμονος, τῶν τριῶν βίων τὴν ἐναντίαν ἕξιν καὶ ἀντίστροφον ἐπιδεικνύμενοι τῆς[16]) τῶν λεγομένων φυσιογνωμόνων ἐμπειρίας καὶ μαντικῆς. οἱ μὲν γὰρ ἀπὸ τῆς μορφῆς καὶ τοῦ εἴδους τὸ ἦθος γινώσκουσι καὶ ἀπαγγέλλουσιν· ἡμεῖς δὲ ἀπὸ τῶν ἠθῶν καὶ τῶν ἔργων, χαρακτῆρα καὶ μορφὴν ἀξίαν ἐκείνων σπάσωμεν, εἰ

12) Anglus vult κἂν ἐκεῖνοι.

13) ἀπὸ malim abesse.

14) γυμνοὺς τὸ πλέον, γένειον] *plerumque nudos.* sic Anglus. Morell. dat γυμνοὺς, τὸ πλέον γέν. haec praua interpunctio decepit latinumque interpretum, et virum doctum in Veneta mea, vt pro πλέον, ille *cana barba* redderet, hic πολιὸν adscriberet.

15) τοῦ] si bene habet, addendum est ἐπί. ἐπὶ τοῦ idem est, atque ἐν τῷ in confingendis oratione ad naturaeque veritatem assimilandis moribus, qui sunt illorum cuique geniorum proprii, quibus a geniis tergeminae vitae humanae reguntur, ne videamur artificibus quicquam concedere. Id quod consequemur, si rationem instituamus contrariam illi rationi, quam sequuntur coniectores ex oris lineamentis.

16) comma post ἐπιδεικνύμενοι deleui. τὴν ἐναντίαν ἕξιν cohaeret cum τῆς ἐμπειρίας. Non solum cum datiuo construitur ἐναντίος, sed etiam cum genitiuo, plane vt ὅμοιος. pro τῆς adscripserat vir doctus in Veneta mea ἀπὸ τῆς, quod ipsum etiam interpres expressit.

ἄρα μᾶλλον[17]) ἅψασθαι δυνησόμεθα τῶν πολλῶν καὶ φαυλοτέρων, πρὸς[18]) τὸ ἀποδεῖξαι τὴν τῶν βίων ἀτοπίαν. οὐδὲ γὰρ ἄσχημον, οὐδὲ νεμεσητὸν καὶ ποιηταῖς παραβαλλομένους[19]), καὶ χειροτέχναις, καὶ καθαρταῖς[20]) ὁρᾶσθαι, εἰ δέοι σπεύδειν πανταχόθεν[21]) εἰκόνας καὶ παραδείγματα πορίζειν, ὅπως ἂν ἰσχύσωμεν ἀποτρέψαι κακίας καὶ ἀπάτης, καὶ πονηρῶν ἐπιθυμιῶν, εἰς ἀρετῆς δὲ φιλίαν προαγαγεῖν, καὶ ἔρωτα ζωῆς ἀμείνονος· ἣ[22]) ὡς εἰώθασιν ἔνιοι, τὸ[23]) περὶ τὰς τελετὰς καὶ τὰ καθάρσια, μῆνιν Ἑκάτης ἱλασκόμενοί τε καὶ ἐξάντη φάσκον-

17) olim ſuadebam εἰ ἄρα οὕτω μᾶλλον. eſt vtique οὕτω neceſſarium ad ſententiam, ſed ſubaudiri poteſt, vt addatur nil admodum opus eſſe nunc videtur.

18) πρὸς cohaeret cum σπάσωμεν — *demonſtrandae ergo turpitudinis.*

19) παραβαλλομένους] nos aſſimilantes, illorumque mores noſtris exprimentes.

20) καθαρταῖς verum eſt. καθαρταὶ et τελεσταὶ erant homines quaeſtum ſordidum et infamem exercentes, vt propemodum apud nos circulatores, et opiliones atque carnifices. nam hi tres ſunt plerumque medici infimi popelli. Margo Morell. dat καθάπερ ταῖς.

21) σπεύδειν καὶ vel ὥστε πανταχόθεν. verbum σπεύδειν hic eſt eodem ſenſu vſurpatum atque latinum *feſtinare*, h. e. magno ſtudio et contentione laborare. Niſi quid hic addimus, καὶ vel ὥστε, adoptandum erit πορίζοντας e marg. Morell. et V. L. Venetae.

22) ἢ] id eſt μᾶλλον. Conſtructio haec eſt: οὐκ ἄσχημον μᾶλλον, οὐδὲ μᾶλλον νεμεσητόν ἐστιν ἡμᾶς ὁρᾶσθαι etc. ἢ νεμεσητόν ἐστιν, ὡς ἔνιοι εἰώθασι — Omiſſi μᾶλλον multa paſſim occurrunt exempla.

23) τὸ] τῶν. οἱ περὶ τὰς τελετὰς ſunt τελεσταί. ſubauditur στρεφόμενοι vel γιγνόμενοι vel tale quid, vt apud Ariſtidem T. II. 240, 3. οἱ ἐν τοῖς ὄνοις, vbi alii ἐπὶ dant, quod etiam probum, ſcil. ταττόμενοι. ſunt talia multa penes graecos.

φάσκοντες ποιήσειν· ἔπειτα, οἶμαι, φάσματα πολλὰ καὶ ποικίλα πρὸ τῶν καθαρμῶν ἐξηγούμενοι καὶ ἐπιδεικνύντες, οἷά φασιν ἐπιπέμπειν χολουμένην τὴν θεόν. εἶεν ὁ μὲν δὴ φιλοχρήματος δαίμων, χρυσοῦ καὶ ἀργύρου, καὶ γῆς, καὶ βοσκημάτων, καὶ συνοικιῶν, καὶ πάσης κτήσεως ἐραστής. ἆρα οὐκ ἂν σκυθρωπός τε καὶ συννεφὴς ἰδεῖν, εἰ[24] ἐν σχήματι ταπεινῷ καὶ ἀγεννεῖ πλάττοιτο ὑπὸ δημιουργοῦ μὴ φαύλου τὴν τέχνην; αὐχμηρὸς καὶ ῥυπῶν· οὔτε παῖδας, ἢ γονέας, οὔτε πατρίδα φιλῶν, ἢ συγγένειαν ἄλλο τι νομίζων, ἢ τὰ χρήματα· τοὺς δὲ θεοὺς πλέον οὐκ εἶναι λογιζόμενος, ὅτι μὴ πολλοὺς αὐτῷ μηδὲ μεγάλους θησαυροὺς παραδεικνύουσιν, ἢ θανάτους οἰκείων τινῶν, καὶ συγγενῶν, ὅπως ἔχοι κληρονομεῖν· τὰς δὲ ἑορτὰς, ζημίαν ἄλλως ἡγούμενος, καὶ ματαίαν δαπάνην· ἀγέλαστος καὶ ἀμειδίαστος, ὑφορώμενος ἅπαντας, καὶ βλαβεροὺς ἡγούμενος, καὶ ἀπιστῶν πᾶσιν· ἁρπακτικὸν βλέπων, ἀεὶ κινῶν τοὺς δακτύλους, ἤτοι τὴν αὑτοῦ λογιζόμενος οὐσίαν, ἢ τῶν ἄλλων τινὸς, τἄλλα δὲ ἀναίσθητος, καὶ ἀμαθής· παιδείας καὶ γραμμάτων καταγελῶν, πλὴν ὅσης[25] περὶ λογισμοὺς καὶ σύμβολα, τυφλοῦ καὶ δικαίως λεγομένου[26] καὶ γραφομένου τοῦ πλούτου, τυφλότερος ἐραστής· περὶ πάντα λυττῶν κτήματα, καὶ οὐδὲν ἀπόβλητον ἡγούμενος· οὐχ[27], ὥσπερ τὴν μαγνῆτιν

24) εἰ videtur delendum, et recte abest a Veneta.

25) ὅσης] potest referri ad παιδείας. In Veneta est ὅσους. possit quoque ὅσα legi, scil. στρέφεται vel tale quid, vt ὅσα ad γράμματα redeat. possit item πλὴν ὅσον: σύμβολα olim habui suspectum; sed idem id esse, atque vsitatius συμβόλαια, loci aliquot Demosthenici planum faciunt.

26) f. τυφλοῦ δικαίως καὶ λεγομένου.

27) οὐχ] est hic loci pro οὐ μόνον. *non solummodo ferrum, quemadmodum magnes facit, ad se attrahens.*

γνῆτιν λίθον ἕλκειν φασὶ πρὸς αὐτὴν, τὸν σίδηρον· ἀλλὰ καὶ χαλκὸν, καὶ μόλυβδον προσαγόμενος, κἂν ψάμμον, ἢ λίθον διδῴης [28]· πανταχῇ καὶ περὶ πάντα σχεδόν τι τὸ ἔχειν τοῦ μὴ ἔχειν λυσιτελέστερόν τε καὶ ἄμεινον ἡγούμενος, μάλιστα δὲ περὶ τὴν τοῦ ἀργυρίου κτῆσιν ἔμφρων καὶ συντεταμένος. ὅτι δὴ τάχιστα [29]), καὶ ἀδαπανώτατα πρόεισι, σὺν ἡμέρᾳ καὶ νυκτὶ προβαίνων, καὶ φθάνων, οἶμαι, τὰς τῆς σελήνης γε ὁδοὺς [30]· τὸ δὲ τῆς ἀπεχθείας, καὶ τὸ τοῦ μίσους, καὶ βλασφημιῶν οὐδαμῇ λογιζόμενος· ἔτι δὲ τῇ μὲν ἄλλῃ κτήσει καλλωπισμόν τινα προσεῖναι καὶ διατριβὴν ἡγούμενος· τὸ δὲ ἀργύριον ὡς ἐν βραχυτάτῳ συνειληφέναι τὴν τοῦ πλούτου δύναμιν. τοῦτο οὖν διώκει καὶ ζητεῖ πανταχόθεν, οὐδέν τι μεταστρεφόμενος, οὔτ' εἰ μετ' αἰσχύνης οὔτε εἰ μετ' ἀδικίας γίγνοιτο, πλὴν ὅσον τὰς κολάσεις ὑφορώμενος. ὁ δὲ δὴ δοκῶν ἀσφαλέστερος, δειλίᾳ κρατηθεὶς, καὶ ἀχαρίστου [31] ψυχὴν ἔχων, τὰ μὲν ἁρπάζοντος, ἐν ἐλπίσι λήσεσθαι [32]· τοῖς δὲ ἐπιβλέ-

28) διδῴης] in Veneta est διδῶντις, vnde quoque effici potest διδῷ τις, quod cum olim annotassem, postmodum etiam a viro docto in Veneta mea reperi annotatum. Margo Morell. dat διδοὺς τις.

29) f. ὅτι δὴ ὁ τόκος τάχιστα. nam alias nil est, quo insequentia προβαίνων et φθάνων referantur; non enim possunt haec masculina, neque ad ἀργύριον, quod neutrius generis est, neque ad κτῆσιν, quod foeminini, referri.

30) scribe cum V. L. Venetae σελήνης περιόδους.

31) καὶ ἀχαρίστου] margo Morell. et V. L. Venetae dant κυνὸς ἀχρήστου, quam amplector egregiam lectionem, hactenus, vt lectori liberum relinquam, vtrum ἀχρήστου an ἀχαρίστου malit. nam κυνὸς pro καὶ vtique est tenendum. dummodo ἀχαρίστου hic accipiatur pro ἀχαρίτου, *scaeui, exosi, diri, degeneris.*

32) aut ἐν ἐλπίδι τοῦ λήσεσθαι legendum est, aut ἐὰν ἐλπίζῃ λήσεσθαι, vt in marg. Morell. annotatum est. aut deni-

βλέποντος[33]) καὶ ἄκοντος ἀπεχομένου διὰ τοὺς ἐφεστηκότας φύλακας. ἔστω δὴ[34]) βραχὺς ἰδεῖν, δουλοπρεπὴς, ἄγρυπνος, οὐδέποτε μειδιῶν, ἀεί τῳ λοιδορούμενος καὶ μαχόμενος, πορνοβοσκῷ μάλιστα προσεοικὼς τό, τε σχῆμα καὶ τὸν τρόπον ἀναιδεῖ καὶ γλίσχρῳ, βαπτὸν[35]) ἀμπεχομένῳ τριβώνιον, μιᾶς τινος τῶν ἑταιρῶν ὧν ἴσμεν[36]). ὁ δὲ δαίμων, αἰσχρὸς καὶ ἀπρεπὴς, τοὺς αὐτοῦ φίλους τε καὶ ἑταίρους, μᾶλλον δὲ δούλους τε καὶ ὑπηρέτας λωβώμενος, καὶ καταισχύνων πάντα τρόπον, ἐάν τε ἐν ἰδιώτου σχήματι λάβῃ τινὰς, ἄν τε[37]) ἐν βασιλέως. ἢ οὐ πολλοὺς τῶν καλουμένων βασιλέων ἰδεῖν ἐστι καπήλους, καὶ τελώνας, καὶ πορνοβοσκούς; ἀλ-

λὰ

denique ἐὰν ἐλπὶς ᾖ λήσεσθαι, quod malim, et reperi in V. L. Venetae.

33) ἐπιβλέπειν hic loci est *oculum cupidum alicui rei adiicere.*

34) ἔστω δὴ] scil. ὁ δαίμων, numen illud imaginarium, quod vim auaritiei omnem complectitur. fortassis huc transferenda sunt e versu 7. vocabula haec ὁ δὲ δαίμων. ἔστω δὴ ὅδε ὁ δαίμων βραχὺς ἰδεῖν. nam ibi verba illa manifeste redundant et amputanda sunt. sententia haec est, vt e p. 77, 16. et 41. ed. Mor. collatis cum hac apparet: fingatur ab aliquo pictore, aut fictore vel statuario, ad hunc, quem ei praescribemus, modum. conf. quoque p. 80, 2. ed. Mor. pro βραχὺς vir doctus in Veneta mea τραχὺς correxit. non male ille quidem ita, sed neque causae quicquam video, cur vulgata repudietur. semper adhaesit staturae humili contemtus aliquid atque auersationis, cum facile sit in hunc errorem delabi, vt existimes, in corpore minuto minutum item animum versari.

35) βαπτὸν] *floridum*, variis coloribus persperfum. v. Cuperi Obferv. 2, 8.

36) ἑταιρῶν, ὧν ἴσμεν] cuiusmodi fuit Thais, Lais, Phryne, aliaeque infamia nobilitatae per scripta veterum didita.

37) ἄν τε] l. ἐάν τε ob praemissum ἐάν τε.

λὰ Ἐρόμωνα[38]) μὲν καὶ Σάραβον, ὅτι ἐν Ἀθήναις καπηλεύουσι καὶ ὑπὸ[39]) Ἀθηναίων τοῦτο ἀκούουσι τὸ ὄνομα, δικαίως φαμὲν ἀκούειν· Δαρεῖον δὲ, τὸν πρότερον, ὅτι ἐν Βαβυλῶνι καὶ Σούσοις ἐκαπήλευε, καὶ Πέρσαι αὐτὸν[40]) ἔτι καὶ νῦν καλοῦσι κάπηλον, οἴει ὡς οὐ δικαίως κεκλῆσθαι; ἴδιόν γε μὴν τούτῳ συμβέβηκεν παρὰ τοὺς ἄλλους δαίμονας· ἐνίοτε μὲν γὰρ ἔχει καὶ κρατεῖ τῆς ψυχῆς, ἐνίοτε δὲ ἐκείνῃ συνέπεται, διὰ τὸ πάσης ἐπιθυμίας καὶ σπουδῆς ὑπηρέτην τε καὶ διάκονον, καὶ ἀπροφάσιστον[41]), εἶναι τὸν πλοῦτον. ἀλλ' ἐγὼ λέγω νῦν, ἡγούμενον τὸν αὐτὸν[42]), καὶ προεστηκότα τῆς τοῦ δυστυχοῦς ἀνθρώπου διανοίας, οὔτε ἐφ' ἡδονήν τινα, οὔτε εἰς δόξαν ἀναφέροντα τὴν τῶν χρημάτων κτῆσιν, οὐδὲ ὡς ἀναλώσοντα καὶ χρησόμενον ξυνάγοντα· ἀνέξοδον δὲ καὶ ἀχρεῖον φυλάττοντα τὸν πλοῦτον, τῷ ὄντι κατάκλειστον ἔν τισι κρυπτοῖς καὶ ἀφεγγέσι βαράθροις[43]).

εἶεν.

38) Ἐρόμωνα] nimis abit a veſtigiis literarum Θεαρίωνα Caſauboni. propius ad illa et ad veritatem accedit Δρόμωνα, quod Morellus e codicibus ſuis protulit.

39) malim καπηλεύοντες ὑπὸ —

40) malim *αὐτοὶ ipſi Perſae.* v. Dauis ad Maximum Tyrium p. 508. et ὡς aut del. eſt, aut cum οὕτως mutandum, aut denique, illo ſeruato, κεκλῆσθαι eſt cum κέκληται mutandum.

41) καὶ ἀπροφάσιστον bene ſi habet, accipiendum eſt pro καὶ ταῦτα ἀπροφ. et eum quidem promtiſſimum, nulla vtentem excuſatione, nulla tergiuerſatione. καὶ ſimplex Noſter pro *καὶ ταῦτα, et id quidem*, vſurpat etiam alibi.

42) malim aut τὸν deleri, aut ante ἡγούμενον collocari.

43) βαράθροις] celauit nos Morellus, vnde lectionem hanc hauſerit. Ipſe e regio profert θαλάμοις, quod mihi haud ſpernendum videtur; idem H. Stephani coniecturam θυλάκοις, ne ipſam quidem contemnendam. ecquis enim neſcit veteres pecunias ſuas ſeu in fiſcis ſparteis, ſeu in bulgis ſcorteis aſſeruaſſe? In Veneta eſt βαλλάκοις, vnde

vir

εἶεν. ὁ δὲ δὴ δεύτερος ἀνήρ τε καὶ δαίμων ἐκείνου τοῦ ἀνδρὸς, ὁ τὰ τῆς ἡδονῆς ἀναφαίνων ὄργια, καὶ τὴν θεὸν ταύτην θαυμάζων, καὶ προτιμῶν ἀτεχνῶς γυναικείαν θεὸν, ποικίλος καὶ πολυειδὴς, περί τε ὀσμὰς καὶ γεύσεις ἀπλήρωτος· ἔτι δὲ, οἶμαι, περὶ πάντα ὁράματα [44]), πάντα δὲ ἀκούσματα πρὸς ἡδονήν τινα φέροντα, πάσας δὲ ἀφὰς προσηνεῖς τε καὶ μαλακὰς, λουτρῶν δὲ [45]) ὁσημέραι θερμῶν, μᾶλλον δὲ δὶς τῆς ἡμέρας, καὶ χρίσεων, οὐ κάματον ἰωμένων· πρὸς δὲ αὖ τούτοις ἐσθήτων τε [46]) μαλακῶν καὶ ἑλίξεις καὶ κατακλίσεις [47]) ἠσκημένας, καὶ διακονίας ἀκριβεῖς καθ' ἑκάστην ἐπιθυμίαν τε καὶ χρείαν, περὶ πάντα ταῦτα δεινῶς ἐπτοημένος, μάλιστα μὲν [48]) καὶ ἀκρατέστατα περὶ [49]) τὴν τῶν ἀφροδισίων ὀξεῖαν καὶ διάπυρον μανίαν θηλυκῶν τε καὶ ἀῤῥενικῶν μίξεων, καὶ ἔτι πλειόνων ἀῤῥήτων καὶ ἀνω-

vir doctus in marg. effecit βαλαντίοις. non miraris in tam parua voce vna tantam discrepantiam?

44) f. περὶ πάντα μὲν ὁράματα, ob insequens δὲ.

45) loco δὲ leg. est τε; redit enim ad praemissum ἀφὰς προσηνεῖς, λουτρῶν τε καὶ χρίσεων καὶ ἐσθήτων.

46) aut τε est delendum, aut leg. ἐσθήτων τε καὶ στρωμνῶν μαλακῶν, scil. ἀφάς. *immani dementatus admiratione atque studio harum rerum ad tactum mollium et blandarum.*

47) ἑλίξεις καὶ κατακλίσεις] contorsiones atque inclinationes corporis, quaesitae, affectatae, quae arte et doceantur atque discantur, et exerceantur; coactae simulatrices mendacesque vultus et manuum pedumque compositiones, iactationes, agitationesque, item aliarum rerum, vt pileorum, ventilabrorum, pyxidum puluere ptarmico plenarum; quidquid denique nos vocabulis *Compliments* et *grimaces* complectimur, et elegantiae morum annumeramus; quod et veteres fecisse, ex hoc Dionis loco constat. ἕλξεις καὶ κατακλήσεις margo Morell.

48) μὲν] l. δέ.

49) περὶ] malim ἐπὶ ob sequens ἐπί. Constructio enim haec est: φερόμενος ἐπὶ μανίαν τῶν ἀφροδισίων.

ἀνωνύμων αἰσχρȣργιῶν· ἐπὶ πάντα ὁμοίως τὰ τοιαῦτα Φερόμενος, καὶ ἀγόμενος, ȣ̓δὲν ἀπώμοτον, ȣ̓δὲ ἄπρακτον ποιȣ́μενος. νῦν γὰρ δὴ ἕνα τȣ́των τίθεμεν, τὸν ἁπάσας τὰς τοιαύτας παρειληφότα νόσȣς, καὶ ἀκρασίας τῆς ψυχῆς, ἵνα μὴ πολύν τινα ἀθροίσωμεν ἑσμὸν τινῶν μοιχικῶν 50) δαιμονίων, φιλοψύχων 51) καὶ φιλοίνων, καὶ ἄλλων δὴ μυρίων· ἀλλ' ἁπλῶς ἕνα δαίμονα τιθῶμεν, τὸν ἀκόλαστον, καὶ δεδȣλωμένον ὑφ' ἡδονῆς. ἐὰν μὲν ἐπιῤῥέῃ ποθὲν ἀνελλιπὲς τὸ τῆς χορηγίας 52) χρῆμα, τῶν βασιλικῶν, ἤ τινος μεγάλης ἰδιωτικῆς ὑπȣ́σης ȣ̓σίας, ἐν πολλῇ καὶ ἀφθόνῳ κυλινδȣ́μενον ἀσελγείᾳ μέχρι γήρως· εἰ δὲ μὴ, ταχὺ μάλα ἐξαναλώσαντα τὰ παρόντα, πένητα ἀκρατῆ, καὶ ἀκόλαστον, ἐν σπάνει καὶ ἱμέρῳ, δεινῶς τῶν ἐπιθυμιῶν λειπόμενον 53). εἰ δέ τινας ȣ̔͂τος τῶν ὑπ' αὐτȣ̃ κρατȣμένων εἰς γυναικεῖον μετέβαλε βίον τε καὶ σχῆμα· ὥσπερ οἱ μῦθοι φασὶ τȣ̀ς μεταβαλόντας ἐξ ἀνθρώπων εἰς ὄρνιθας, ἢ θηρία· ἐὰν τύχωσι 54) τοιαύτης ἡττηθέν-

50) melius ſit transpoſitis vocabulis μοιχικῶν τινῶν.

51) Φιλοψύχων] alienum ab hoc loco vocabulum: ſententia poſtulat *guloſus*; quare malim Φιλόψων aut Φιλοψώνων.

52) diſtinguo et lego ſic: τὸ τῆς χορηγίας, [quod idem eſt atque ἡ χορηγία ipſa] χρημάτων βασιλικῶν, ſcil. ὑπόντων, quod e proximo ὑπȣ́σης ſubaudiendum eſt. *Si affluant iugiter inexhauſtae et infinitae ſumtuum faciendorum copiae, ſiue e regiis quibusdam, ſi quae praeſto ſint, opibus, ſiue e priuata magna re familiari.*

53) ſic diſtinguo et lego: *ἱμέρῳ δεινῷ, τῶν — in ardente quodam et inſatiabili deſiderio libidinum, quas conſequi nequit.* λείπεσθαι ductum a currentibus in ſtadio. λείπεσθαι τῶν ἐπιθυμιῶν eſt, relinqui velut a cupiditatibus, quaſi praecurrentibus et effugientibus inſectantem, neque conſequi eas poſſe.

54) ἐὰν τύχωσι] ſi ſcilicet accidat, vt eiusmodi cuidam libidini ſeruiant, cui deditus eſt ipſorum dominus.

θέντες ἡδονῆς· πάλιν δὲ [55]) κἀνταῦθα ἐν τῇ χορηγίᾳ πέφηνεν. ὁ μὲν γὰρ ἀσθενής τε καὶ ἄτολμος ἐκ τούτου τοῦ γένους δαίμων ἐπί τε τὰς γυναικείας νόσους, καὶ ἄλλας αἰσχύνας, ὁπόσαις πρόσεστι ζημία καὶ ὀνείδη, προσάγει ῥαδίως· ὅπου δὲ ἡδονῶν τινῶν [56]) τιμωρίαι πρόσεισι, θανάτοις ἢ δεσμοῖς κολάζουσαι τοὺς ἐξαμαρτάνοντας, ἢ χρημάτων πολλαῖς [57]) ἐκτίσεσιν, οὐ πάνυ τι πρὸς ταῦτα πρόεισιν [58]). ὁ δὲ ἀγενέστερος [59]) τε καὶ θρασύτερος, πάντα ἁπλῶς

ὑπερ-

55) δὲ hic abundat, iteratum ob praemissum δὲ schemate Herodoteo. Idem est, ac si, δὲ omisso, dixisset πάλιν κἀνταῦθα ἐν χορηγίᾳ πέφηνεν. rursus videt se constitutum in copiis, vnde suis libidinibus satis faciat; nam ciues eiusmodi effoeminati deliciarum copias, et sumtus iis quaerendis, studiose suppeditabunt.

56) non plane damnabo ἡδονῶν τινῶν; potest enim cum τιμωρίαι copulari. *Si propositae sunt poenae quarumdam libidinum.* erit dum πρόσεισι idem atque ὕπεισιν, ὑπάρχουσι. malim tamen ἡδονῶν τισι. sin autem libidinibus quibusdam adiacent quasi poenae; si poenis illae sancitae sunt.

57) πολλαῖς est etiam in Veneta, malim tamen πολλῶν, quod in V. L. Ven. reperi. ibidem quoque malim ταύτας, redit enim ad ἡδονὰς, illas voluptates, quae extremis sunt suppliciis sancitae.

58) γρ. ἐφίεισι (sic) margo Morell.

59) ἀγενέστερος] imo vero εὐγενέστερος. *fortior, acrior, excitatior.* Exemplo Dionis sententiam, paulo illam hic loci obscuriorem, illustrabo. Rex ignauus, luxuriae, ganeae, musicae, scenae, mulieribus deditus, si ciuibus imperat similibus sibi, nunquam caret pastu libidinum, quibus ciues affatim copiarum sponte sua administrant. Is autem, tametsi immani flagrat ardore libidinum, tamen cauet alienas vxores et filias attrectare, repressus a metu poenarum, quibus violatio domesticarum cuique necessitatum sancita est. Non audet ille, pro ea, qua est ignauia, imbellitate, et animi deiectione, facinus, quo committendo sciat vitae discrimen se aditurum. Alius autem, perinde libidinosus, sed audacior illo, et flagran-

ὑπερβαίνειν ἀναγκάζει, τά τε ἀνθρώπινα καὶ τὰ 45. θεῖα. ἀλλ' ὁ μὲν ἀσθενής τε καὶ ἄτολμος ἔνθα προσθέμενος 60) τὴν τοιαύτην αἰσχύνην ὁμολογεῖ οὐδενὸς ἀνδρείου πράγματος ἁπτόμενος, ἀλλὰ παραχωρήσας τῶν κοινῶν καὶ πολιτικῶν πράξεων, τοῖς ἄμεινον βεβιωκόσιν. ὁ δὲ ἴταμὸς καὶ ἄτροπος 61), πολλὰς ὕβρεις τε καὶ αἰσχύνας ὑπομείνας 62), ὀστράκου φασὶ μεταπεσόντος, στρατηγὸς ἢ δημαγωγὸς πέφηνεν, ὀξὺ καὶ διάτορον βοῶν, ὥσπερ οἱ τῶν δραμάτων ὑποκριταὶ ἀποῤῥίψας μεταξὺ τὴν γυναικείαν στολὴν, ἔπειτα στρατιώτου τινὸς ἢ ῥήτορος στολὴν ἁρπάσας, περιέρχεται συκοφάντης, καὶ φοβερὸς, ἀντίον πᾶσι βλέπων. ἆρ' οὖν ἀῤῥενωπόν τι καὶ σεμνὸν εἶδος τῷ τοιούτῳ δαίμονι πρέπει, ἢ μᾶλλον ὑγρόν τε καὶ μαλθακόν; οὐκοῦν τὸ οἰκεῖον αὐτῷ σχῆμα προσθήσομεν, οὐχ, ὃ πλαττόμενος ἐνδύεται πολλάκις, ἀνδρεῖον καὶ φοβερόν. προΐτω γε μὴν διατρυφῶν τε,

grantior, vel haec ipſa quoque flagitia nil cunctetur perpetrare. Hic, tametſi et ipſe eſt ἀγεννής, paulo tamen plus τῆς εὐγενείας in venis alit, atque ille, ſi comparatione licet in vitiis vti.

60) ἔνθα προσθέμενος] videtur Dio reliquiſſe ἐν φανερῷ προσθέμ. in medio proponens, nil celans, eiusmodi turpitudinem ſibi adeſſe, haud diſſimulans, eam confitetur, eo, quod nullam partem reip. nullum virile munus attingit.

61) ἄτροπος vnde habuerit Morellus, ignoro. In Veneta eſt ἄτρεπος, vnde aut εὔτρεπτος, *mutabilis*, qui facile formas omnes induat, aut ἄτρεπτος, *durus*, *peruicax*, *contumax*, qui a ſententia ſua nullis admonitionibus nullisque periculis ſe patiatur abduci, aut denique ἄτρεστος, *intrepidus*, *nil metuens*, *imperterritus*, eſt efficiendum; ad quod poſterius margo Morellianae adducit, in qua eſt ἄτρετος.

62) ὑπομείνας] poſteaquam turpia, infamia et infanda multa perpetrauit, quibus probra ſibi contraxit.

φῶν τε, καὶ μύρου [63]) καὶ οἴνου ἀποπνέων, ἐν κροκωτῷ, μετὰ πολλοῦ καὶ ἀτάκτου γέλωτος, μεθύοντι προσεοικὼς, κωμάζοντι μεθημέραν ἀσελγῆ κῶμον· στεφάνους τινὰς ἐστεφανωμένος ἑώλους, τήν τε κεφαλὴν καὶ περὶ τῷ τραχήλῳ καὶ πλάγιος φερόμενος, ὀρχούμενός τε καὶ ᾄδων θῆλυ καὶ ἄμουσον μέλος. ἀγέσθω δὲ ὑπὸ γυναικῶν ἀναισχύντων καὶ ἀκολάστων, ἐπιθυμιῶν τινων λεγομένων, ἄλλων ἐπ' ἄλλα ἑλκουσῶν· μηδεμίαν αὐτῶν ἀπωθούμενος, μηδὲ ἀντιλέγων· ἀλλ' ἑτοίμως δὲ [64]) καὶ προθύμως συνεπόμενος. αἱ δὲ, μετὰ πολλοῦ καμάτου [65]), κυμβάλων τε καὶ αὐλῶν, φέρουσαι μαινόμενον αὐτὸν σπουδῇ προΐτωσαν [66]). ὁ δ' ἐκ μέσων ἀναβοάτω τῶν γυναικῶν, ὀξύτερον καὶ ἀκρατέστερον· λευκὸς ἰδεῖν, ἐντρυφερὸς [67]), αἰθρίας καὶ πόνων ἄπειρος, ἀποκλίνων τὸν τράχηλον, ὑγροῖς τοῖς ὄμμασι μάχλον ὑποβλέπων, ἀεὶ τὸ σῶμα καταθεώμενος, τῇ ψυχῇ δὲ οὐδὲν προσέχων, οὐδὲ τοῖς ὑπ' αὐτῆς προστασσομένοις. τοῦτον ἀγαλματοποιὸς ἢ γραφεὺς ἀναγκαζόμενος εἰκάζειν, οὐκ ἂν ὁμοιότερον ἄλλῳ ἐργάσαιτο, ἢ τῷ Σύρων βασιλεῖ μετ' εὐνούχων καὶ παλλακῶν ἔνδον διαβιοῦντι, στρατοπέδου τε καὶ πολέμου καὶ ἀγορᾶς ἀθεάτῳ [68]) τὸ παράπαν. προηγείσθω δὲ καὶ τούτων, ἀπάτη, πάνυ ὡραία καὶ πιθανὴ, κεκοσμημένη κόσμοις πορνικοῖς, μειδιῶσα καὶ ὑπισχνου-

63) f. προΐτω γε μὴν, νὴ Δία, τρυφῶν τε, καὶ μύρων — nam ſic poſtulat graecae linguae vſus, et in Veneta eſt μύρον, quod eo ducit; ſic eadem paulo poſt dat προσεοικὸς, vbi recte Morellus repoſuit προσεοικώς.
64) aut plane delendum eſt δὲ, aut cum τε mutandum.
65) καμάτου] *trepidatione fatigante.*
66) in V. L. Venetae eſt προΐᾶσιν.
67) τρυφερὸς noui, ἐντρυφερὸς mihi eſt ignotum, et dubito de graecitate huius vocabuli.
68) Veneta dat ἀθεάτο.

σχυμένη πλῆθος ἀγαθῶν, ὡς ἐπ' αὐτὴν ἄγουσα τὴν εὐδαιμονίαν, ἕως ἂν εἰς τὸ βάραθρον καταβάλῃ λαθοῦσα, εἰς πολύν τε καὶ ῥυπαρὸν βόρβορον· ἔπειτα ἐάσῃ κυλινδεῖσθαι, μετὰ τῶν στεφάνων καὶ τοῦ κροκωτοῦ. τοιούτῳ δεσπότῃ λατρεύουσαι, καὶ τοιαῦτα πάσχουσαι, πλανῶνται κατὰ τὸν βίον, ὅσαι ψυχαὶ πρὸς μὲν πόνους δειλαὶ καὶ ἀδύνατοι, δεδουλωμέναι δὲ ἡδοναῖς, φιλήδονοι καὶ φιλοσώματοι, βίον αἰσχρὸν καὶ ἐπονείδιστον οὐχ ἑλόμεναι ζῶσιν, ἀλλὰ ἐνεχθεῖσαι πρὸς αὐτόν. οὐκ οὖν μετὰ τοῦτον ὁ λόγος[69]), ὥσπερ ἐν ἀγῶνι Σφηττοῖ, τρίτον εἰσάγει χορὸν, ὃς ἔχει[70]) τὸν φιλότιμον, οὐ πάνυ προθύμως τὸν νῦν[71]) ἀγωνιούμενον· καίτοι φιλόνεικον ὄντα τῇ φύσει περὶ πάντα καὶ πρωτεύειν ἀξιοῦντα· πλὴν οὐ περὶ δόξης ἢ τιμῆς ἡ κρίσις αὐτῷ τανῦν ἕστηκεν, ὑπὲρ δὲ πολλῆς καὶ δικαίας ἀδοξίας. φέρε δὴ ποῖόν τι πλάττωμεν τό, τε σχῆμα καὶ εἶδος[72]) τοῦ φιλοτίμου δαίμονος; ἢ δηλονότι πτερωτόν τε καὶ ὑπηνέμιον; κατὰ τὸ ἦθος αὐτοῦ καὶ τὴν ἐπιθυμίαν, ἅμα τοῖς πνεύμασι φερόμενον· ὁποίους τοὺς Βορεάδας ἐνεθυμήθησάν τε καὶ ἔγραψαν οἱ γραφεῖς· ἐλα-

φροὺς

69) refert Morellus ſententiam a ſcholiaſte graeco ad hunc locum, ſed perobſcure, vt videatur ipſe non recte percepiſſe. Poſuiſſet ipſa verba graeca, quorum ſententiam ſatis habuit latinis verbis adumbrare; ſic melius de mente graeculi conſtaret. Vtinam Caſaubonus promus condus antiquitatis graecae lucis aliquid ad h. l. attuliſſet.

70) ὃς ἔχει] melius videtur Veneta dare ὡς ἐκεῖ. *vt ibi*, apud Sphettios, fieri *ſolebat*. Sed vt verum fatear, neutram lectionem ſatis intelligo. In Veneta ineſſe video tautologiam; niſi in choris tertiis Sphettiorum ſemper φιλότιμοι ſunt inducti, de quo non conſtat, et eſt haud probabile.

71) τὸν νῦν] ſic recte Veneta, ſubauditur ἀγῶνα. Morell. τανῦν.

72) malim καὶ τὸ εἶδος.

φρὲς 73) τε καὶ μεταρσίους, ταῖς τοῦ πνεύματος αὔραις συνθέοντας. ἀλλὰ ἐκεῖνοι μὲν ὁπότε βουληθεῖεν, ἐπεδείκνυντο τὴν αὐτῶν δύναμιν, τέως δὲ μετὰ τῶν ἄλλων ἡρώων ἐν τῇ ἀργοῖ συνέπλεον ναυτιλλόμενοι, καὶ τἄλλα πράττοντες οὐδενὸς ἧττον. ὁ δὲ τῶν φιλοδόξων ἀνδρῶν προστάτης, ἀεὶ μετέωρος, οὐδέποτε γῆς ἐφαπτόμενος, οὐδὲ ταπεινοῦ 74) τινος, ἀλλὰ ὑψηλὸς καὶ μετάρσιος. ὅταν μὲν αἰθρίας τύχῃ καὶ γαλήνης, ἢ ζεφύρου τινὸς ἐπιεικῶς πνέοντος, ἀεὶ μᾶλλον ἀγαλλόμενος 75) τε καὶ ἰὼν εἰς αὐτὸν τὸν αἰθέρα, καὶ πολλάκις δ' ἐν σκοτεινῷ νέφει κρυπτόμενος, ἀδοξίας τινὸς συντρεχούσης, καὶ φόβου, παρὰ τῶν πολλῶν ἀνθρώπων, οὓς ἐκεῖνος θεραπεύει καὶ τιμᾷ, καὶ τῆς εὐδαιμονίας τῆς αὐτοῦ κυρίους ἀπέδειξεν. οὐδέν γε μὴν 76) προσέοικεν ἀσφαλείας ἕνεκεν, οὔτε ἀετοῖς, οὔτε γεράνοις, οὔτε ἄλλῳ τινὶ πτηνῷ γένει τὴν φύσιν· ἀλλὰ μᾶλλον ἄν τις αὐτὸν προσεικάσειε τῇ Ἰκαρίου 77) βιαίῳ καὶ παρὰ φύσιν φορᾷ· οὗ δυνατὸν τέχνημα ἐπιχειρήσαντος Δαιδάλου τεχνήσασθαι. τοιγαροῦν ὑπὸ νεότητος καὶ ἀλαζονείας ἐπιθυμῶν ὑψηλότερος τῶν ἄστρων φέρεσθαι, χρόνον μέν τινα ἐσώζετο βραχὺν, χαλωμένων δὲ τῶν δεσμῶν, καὶ τοῦ κηροῦ ῥέοντος, ἐπωνυμίαν ἀπὸ τοῦδε τῷ πελάγει πα-

73) recte Veneta ἐλαφροὺς, Morell. ἐλαφοὺς.

74) ταπεινοῦ] sic etiam vir doctus in Veneta mea correxit, pro ὑψηλοῦ, quod Veneta dat et margo Morell. in quo si insunt verae lectionis vestigia, videtur latere οὐδ' εὐψέκτου τινός. *nil attingit, quod in reprehensionem facile incurrat.*

75) ἀγαλλόμενος] imo vero ἀταλλόμενος. *crescens magis magisque.*

76) οὐδέν γε μὴν] sic recte dat Veneta. οὐδενί γε μὴν Mor.

77) Ἰκαρίου] sic appellatur mare, vir Icarus. l. itaque Ἰκάρου. Est quidem etiam homo Icarius aliquis, sed ille fuit Atticus, ab hoc Icaro fabulis nobilitato, Daedali filio, diversus. v. Hemsterhus ad Lucian. T. I. p. 248.

παρέσχεν, ἅπερ ἠφανίσθη πεσών. κἀκεῖνος ἀσθενέσι καὶ κούφοις τῷ ὄντι πιστεύσας πτεροῖς· λέγω δὲ τιμαῖς τε καὶ ἐπαίνοις ὑπὸ τῶν ἀνθρώπων τῶν πολλῶν ὡς ἔτυχε γιγνομέναις[78]) ἐπισφαλῶς καὶ ἀσταθμήτως φέρεται καὶ φέρει τὸν ἄνδρα τὸν αὐτοῦ ζηλωτήν τε καὶ ὑπηρέτην· νῦν μὲν ὑψηλὸν καὶ μακάριον πολλοῖς φαινόμενον, πάλιν δὲ αὖ, ταπεινόν τε καὶ ἄθλιον, ἀλλὰ [79]) πρώτῳ καὶ μάλιστα αὐτῷ δοκοῦντα. εἰ δέ τῳ οὐ φίλον πτηνὸν αὐτὸν διανοῆσαι καὶ ποιεῖν· ὧδε ἀφομοιούτω [80]) αὐτὸν τῇ τοῦ Ἰξίονος χαλεπῇ καὶ βιαίῳ φορᾷ τε καὶ ἀνάγκῃ, τροχοῦ τινος ῥύμῃ [81]), κύκλῳ κινουμένου τε καὶ φερομένου. οὐ γὰρ ἀπεοικός, οὐδὲ μακρὰν δὴ τῶν σοφῶν τε καὶ κομψῶν εἰκασμάτων εἴη ἂν καὶ ὁ τροχὸς δόξῃ παραβαλλόμενος, τῇ τε κινήσει καὶ μεταβολῇ πάνυ ῥᾳδίως περι-

78) Caſaubonus corrigit γιγνομένοις. recte ille quidem, ſi firmum et probum eſt ἐπαίνοις, quod Morellus, neſcio quo auctore, pro ἐπινοίαις ſubſtituit, quod in Veneta eſt, reiectum in marginem Pariſinae. Sed praefero ἐπινοίαις, ideo et alterum eſt ſeruandum. homo vanus, gloriae populari deditus, fidit et auferendum ſe dat opinionibus popularibus, iisque ſeruit. Gloria nihil eſt, niſi opinio hominum magnifica de aliquo; quae opinio vt mutatur, quod ſaepiſſime momento fit, ita illa quoque gloria concidit. In honoribus quoque, quos habent ciues ſuis principibus, regnat ἐπίνοια, aliis alia honorum genera, ſaepe illa ridicula et ſtolida, comminiſcentibus, alio alium vincere nouitate et inſolentia commenti ſtudente.

79) ſic diſtinguo et lego: καὶ ἄθλιον ἅμα, πρώτῳ — vt primus omnium ſentiat, ſe deductum ad humilem conditionem locoque deiectum, ſed vna quoque miſerum eſſe, et nemo alius eum ipſum eſſe exiſtimet magis, atque ipſe ſe.

80) ἀφομοιούτω] ſic lego cum Caſaubono. in Veneta eſt ἀφωμοιοῦτο. facile apparet errore typothetarum vocales eſſe permutatas. Morell. dat ἀφομοιοῦτο.

81) ῥύμῃ] ſic recte dat Veneta. ῥήμῃ Morell.

περιθέων, ἐν δὲ[82]) τῇ περιφορᾷ παντοῖα σχήματα τὴν ψυχὴν ἀναγκάζει[83]) λαμβάνειν μᾶλλον, ἢ ὁ τῶν κεραμέων, τὰ ἐπ' αὐτῷ πλαττόμενα. ἄνδρα δὴ τοιοῦτον εἰλούμενον ἀεὶ καὶ περιφερόμενον, κόλακα δήμων τε καὶ ὄχλων[84]) ἐν ἐκκλησίαις, ἢ ἐπιδείξεσι βασιλέων ἢ τυράννων λεγομένων φιλίαις καὶ θεραπείαις, τίς οὐκ ἂν ἐλεήσειε τῆς φύσεως καὶ τῆς[85]) βίας; λέγω δὲ οὐχ, ὃς ἂν ἀπὸ τοῦ βελτίστου προεστηκώς, πολύ τι πλῆθος ἀνθρώπων, πειθοῖ καὶ λόγῳ μετ' εὐνοίας καὶ δικαιοσύνης πειρᾶται ῥυθμί-

82) δὲ] imo vero τε, ob praecedens τε. Constructio est: περιθέων τε — ἀναγκάζων τε. aut si δὲ seruatum malis, erit pro τε leg. μὲν. τῇ μὲν κινήσει — ἐν δὲ τῇ περιφορᾷ.

83) l. ἀναγκάζων.

84) post ὄχλων sustuli comma, et transtuli pone ἐκκλησίαις. in demorum aut plebium concionibus, aut in regum ostensionibus, aut in tyrannorum sic dictis amicitiis. nam et paulo post sic distinguendum et scribendum esse puto: τυράννων λεγομέναις φιλίαις, sublato commate post τυράννων. ἐπιδείξεις, quod vocabulum *ostensiones* reddidi, sunt idem, atque *processiones*, quomodo saeculis paulo iunioribus appellabantur, pompae omnes principum, siue in publicum procederent cum turba *ostensionalium* suorum comitum, apparitorum, protectorum, et si qui alii eos tegebant, et circumstabant, aut praeambulabant, aut pone sequebantur, siue publice in ista turba seruorum praesiderent, vt in curia, in ludis, in foro, cum legatis exteris responsa darent, et quae sunt alia hoc de genere. v. Suetonii narrationem de Nerone Tiridatem Romae accipiente. Tyrannorum et regulorum consiliarii et ministri appellabantur φίλοι, vt vel e controuersia Demosthenis cum Aeschine constat. Sententia itaque huius loci haec est: Homo hoc praeditus ingenio adulator est, siue in populorum versatur concionibus, siue in pompis et palatiis principum, siue denique in comitatu et ministerio regulorum.

85) τοῦ βίου, quod margo dat Morellianae, est etiam in V. L. Venetae.

ζειν τε καὶ ἄγειν ἐπὶ τὰ βελτίω. ἐχέτω δὴ καὶ οὗτος ἡμῖν ὁ δαίμων τέλος, ἵνα μὴ νῦν στολάς τε καὶ μορφὰς προστιθέντες αὐτῷ, καὶ τἄλλα τὰ προσήκοντα, πολὺν καὶ ἄπειρον εἰσφερώμεθα λόγων ὄχλον. εἴη δ' ἂν αὐτοῦ τὸ ἦθος, ὡς ἐν βραχεῖ περιλαβεῖν, φιλόνεικον, ἀνόητον, χαῦνον, ἀλαζονείᾳ καὶ ζηλοτυπίᾳ καὶ πᾶσι τοῖς τοιούτοις ἔγγιστα, χαλεποῖς καὶ ἀγρίοις πάθεσιν. ἅπαντα γὰρ ταῦτα, φιλοτίμῳ τρόπῳ ψυχῆς[86]), ἀκοινώνητα καὶ ἄγρια καὶ χαλεπὰ ἀνάγκη πᾶσα συνέπεσθαι. ἔτι δὲ αὐτὸν πολὺ μᾶλλον ἄττειν[87]) καὶ ἀνώμαλον ἔχειν τὴν διάνοιαν· ἅτε ἀνωμάλῳ δουλεύοντα καὶ προσέχοντα πράγματι· πυκνότερόν τε καὶ συνεχέστερον, ἢ τοὺς κυνηγέτας φασὶ, χαίροντα, καὶ λυπούμενον· ἐκείνοις γὰρ δὴ μάλιστα τοῦτο πλεῖστον καὶ συνεχέστατον συμβαίνειν λέγουσι, φαινομένης τε καὶ ἀπολλυμένης τῆς ἄγρας. ὅταν μὲν γὰρ εὐδοκιμήσεις[88]) ἔπαινοί τε συμβαίνωσιν αὐτοῖς, ἡ ψυχὴ τοῦ τοιούτου ἀνδρὸς αὔξει καὶ βλαστάνει, καὶ θαυμαστὸν ἴσχει μέγεθος· καθάπερ Ἀθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ μιᾷ βλαστῆσαι[89]) καὶ πλεί-

ονα

86) f. φιλοτίμῳ τρόπῳ ψυχῆς, ἅτ' ἀκοινωνήτῳ καὶ ἀγρίῳ καὶ χαλεπῷ, ἀνάγκη πᾶσα συνέπεσθαι.

87) ἄττειν, verbum egregium, et huic rei optime conueniens, et Platoni adamatum, ductum de fatuis ignibus, et si quae sunt alia inconstantia, temere subsilientia atque vagantia. margo Morell. dat eius scholium, seu interpretationem, μεταλλάττειν.

88) Veneta εὐδοκιμήσης dat, et αὐτοῖς, quod posterius etiam margo Morell. exhibet; vnde facile potest vera lectio erui. η posterius in priore vocabulo cum ει muta, et habebis veram Dionis manum; nam αὐτοῖς bene habet, et significat vniuerso huic hominum generi. εὐδοκιμήσεις est nominat. plur. a nom. substant. εὐδοκίμησις. Morell. dat. εὐδοκιμήσῃ — αὐτῷ.

89) βλαστῆσαι καὶ πλείονα γενέσθαι bene habet, tametsi Casau-

οἷα γενέσθαι; ταχὺ δὲ αὖ πάλιν συςέλλεται, καὶ ταπεινοῦται, καὶ φθίνει, ψόγου τινὸς προσπεσόντος, ἢ δυσθυμίας 90). ἀπάτη δὲ καὶ τούτῳ παρέπεται τῷ δαίμονι ἁπασῶν πιθανωτάτη. οὐ γὰρ ὡς ἡ τοῦ φιλαργύρου καὶ φιληδόνου 91), λαμπρὸν μὲν οὐδὲν λόγῳ, ἐδύναντο 92) ὑποσχέσθαι· οὐδ᾽ ὡς ἐπὶ σεμνὰ καὶ λαμπρὰ προήγαγον τοὺς ἀπατωμένους ὑπ᾽ αὐτῶν, ἀλλὰ μόνον τὸ τῶν ἀγαθῶν αὐτοῖς ὄνομα ἐπεφήμιζον καὶ προσετίθεσαν, οὕτως ἡ τοῦδε ἀπάτη, ἀλλ᾽ ἐπᾴδουσα 93) καὶ γοητεύουσα, φησὶ φιλόκαλον αὐτὸν εἶναι 94). καὶ, ὡς ἐπ᾽ ἀρετήν τινα ἢ εὔ-

M 4 κλειαν,

Caſaubonum offendit. progerminaſſe e terra, et auctum fuiſſe, atque adoleuiſſe.

90) δυσθυμίας non plane improbo. poſſunt omnino animum ambitioſi multae ſollicitudines deprimere. conuenire tamen huic loco melius videtur δυσφημίας.

91) poteſt vulgata defendi; malim tamen perſpicuitatis maioris gratia, aut ſic legi: ὡς ἡ τοῦ φιλ. καὶ ἡ τοῦ φιληδ. ſcil. ἀπάτη, — aut ſic: ὡς αἱ τοῦ φιλαργ. καὶ φιληδ. ſcil. ἀπάται.

92) ἐδύναντο] ſic dedi; nam de duabus ſermo eſt illuſionibus et praeſtigiis errorum. Sequitur etiam προήγαγον, ἐπεφήμιζον et προσετίθεσαν. Sententia haec eſt: Cum alterae iſtae ambae praeſtigiae, quarum altera auaro, altera voluptuario et libidinoſo imponit, nil poſſent promittere, quod verbo tenus ſaltim eſſet magnificum atque ſplendidum, et auribus blandiretur — non haec illuſio item fallit verbo ad ipſas aures ſordido atque faſtidioſo, ſed vel maxime ſpecioſum iactat vocabulum, quo vel ſapientiſſimi quique facile decipiantur. Ven. et Mor. dant ἐδύνατο.

93) ἐπᾴδουσα] ſic recte Morell. in Veneta eſt ἐπαινοῦσα, vnde vir doctus fecerat in marg. Venet. ἐπαικάζουσα, *verberibus propellens*, quod reperio in latinis Naogeorgi. vides originem erroris latina obſidentis.

94) εἶναι ſi bene habet, idem eſt atque δεῖν εἶναι. quomodo malim, perſpicuitatis ergo, ſcribi, tametſi ſcio ſaepiſſime in ſimilibus locis δεῖν omitti, et infinitiuum ſaepiſſime ſignificare, non id, quod ſit, ſed quod eſſe oporteat.

κλειαν, ἄγειν, τὴν δόξαν. πάλιν οὖν ἐνθάδε κινδυνεύσῃ 95) τὸ δεύτερον, εἰς τὸν αὐτὸν πεσεῖν μῦθον τοῦ Ἰξίονος. καὶ γὰρ ἐκεῖνόν φασιν, ἐπιθυμήσαντα τῶν Ἥρας μακαρίων γάμων, νεφέλῃ τινὶ συγγενόμενον σκοτεινῇ καὶ ἀχλυώδει, ἄχρηστα 96) καὶ ἀλλόκοτα γεννῆσαι τέκνα, τὸ τῶν Κενταύρων γένος, ποικίλον καὶ συμπεφορημένον. ὁ γὰρ 97) εὐκλείας ἔρωτι διαμαρτὼν, ἔπειτα δόξης ἐπιθυμίᾳ συνὼν, τῷ ὄντι νεφέλῃ λέληθεν ἀντὶ τῆς θείας καὶ σεμνῆς ὁμιλίας συνών. ἐκ δὲ τῶν τοιούτων συνουσιῶν ἢ γάμων ὠφέλιμον μὲν ἢ χρήσιμον οὐδὲν ἂν γένοιτο· θαυμαστὰ δὲ καὶ ἄλογα, προσεοικότα τοῖς κενταύροις, δημαγωγῶν τινων πολιτεύματα, καὶ ξυγγράμματα 98) σοφιστῶν. ξεναγοὶ γὰρ καὶ σοφι-

σταὶ

teat. Sententia est: Vanitas eum, quem captum tenet, φιλόκαλον iubet esse, studiosum elegantiae.

95) κινδυνεύσῃ] malim κινδυνεύομεν, et paulo post ἐμπεσεῖν.

96) ἄχρηστα hic loci est idem atque ἀχάριτα, importuna, scaeua, immania, quorum nihil sit χρηστὸν, nihil εὔχαρι, nihil humanum, nihil frugi.

97) Casaubonus ἐν apponi vult ad γὰρ, quod equidem minus putem necesse esse. Constructio est: διαμαρτὼν τῆς εὐκλείας ἔρωτι (id est ἐν τῷ ἔρωτι, κατὰ τὸν ἔρωτα) cum excidisset Euclea, quae dea est honesta et laudabilis et studio digna, et ab ea aut reiectus esset, aut aberrasset a recta via ea, quam amaret, potiundi. Vt τὴν δόξαν opponit, tanquam scortum, τῇ εὐκλείᾳ, tanquam matronae pudicae, sic rursus τὴν ἐπιθυμίαν flagitiosam consuetudinem opponit τῷ ἔρωτι amori honesto. Si quid mutandum sit, quod nil video opus admodum esse, malim ἔρωτος scribi. διαμαρτάνειν τοῦ ἔρωτος τῆς εὐκλείας est sententia et graeca et plana.

98) post συγγράμματα videtur ξεναγῶν καὶ deesse; nam alias inutile esset, quod statim subiicit ξεναγοὶ γάρ. prodit hoc ξεναγοὺς quoque antea nominatos fuisse, et satis est credibile, idem olim quoque factitatum esse, in oppidis graecis, quod hodie fit in nostris, vt conscriptores mili-

σαὶ καὶ δημαγωγοί· (λέγω δὲ[99]) διακρίνων[100]) στρατηγούς τε καὶ σοφιστὰς, καὶ πολιτικοὺς ἄνδρας ἀπὸ τῶν νῦν εἰρημένων[']) ἤτοι πάντες ἐκείνῳ τῷ δαίμονι προσνέμεσθαι ἄξιοι, καὶ τῆς ἐκείνου μερίδος τε καὶ ἑταιρείας ἀριθμεῖσθαι. καὶ δὴ νῦν μὲν ἐπεξῆλθον τοὺς ὑφ' ἑνὸς[1]) ἑκάστου τῶν εἰρημένων δαιμόνων ἐλαυνομένους· πολλάκις δὲ καὶ δύο τὸν αὐτὸν ἢ πάντες εἰλήχασι, τἀναντία ἀλλήλοις πράττοντες καὶ ἀπειλοῦντες, εἰ μὴ πείθοιτο, μεγάλαις τισὶ περιβαλεῖν ζημίαις. ὁ μὲν φιλήδονος, ἀναλίσκειν εἰς τὰς ἡδονὰς κελεύων, καὶ μήτε χρυσοῦ, μήτε ἀργύρου, μήτε ἄλλου κτήματος φείδεσθαι μηδενός· ὁ δ' αὖ φιλοχρήματος καὶ μικρολόγος, οὐκ ἐῶν, ἀλλὰ κατέχων τε καὶ ἀπειλῶν, εἰ πείσεται ἐκείνῳ, λιμῷ τε καὶ δίψῃ, καὶ ἁπάσῃ πενίᾳ τε καὶ ἀπορίᾳ διολλύειν αὐτόν. πάλιν δὲ ὁ μὲν φιλόδοξος συμβουλεύει καὶ παρακαλεῖ προΐεσθαι τὰ ὄντα τιμῆς ἕνεκα· ὁ δὲ[2]), καὶ πρὸς τοῦτον ἀπομάχεται καὶ ἀντιβαίνει. καὶ μὴν ὅ γε τῆς ἡδονῆς φίλος, καὶ ὁ τῆς δόξης, οὔποτε δύνανται συνᾷσαι, οὐδὲ τὸ αὐτὸ εἰπεῖν. ὁ μὲν γὰρ καταφρονεῖ τῆς δόξης καὶ λῆρον ἡγεῖται, καὶ τὸ τοῦ Σαρδαναπάλου προφέρεται πολλάκις ἐλεγεῖον[3])·

M 5 Τόσσ'

militum proponerent in publico tabulas, quibus iuuentutem ad ſtipendia militaria lautis propoſitis conditionibus, ſed vanis et commentitiis, quarum nihil eſſet, aut parum reapſe repraeſentandum, inuitarent. et has tabulas appellat Dio συγγράμματα. ξεναγοὶ qui fuerint olim, conſtat e Demoſthene; erant nimirum mangones hominum, qui milites conſcriberent, et aere ſuo alerent, et regibus aut populis, qui militibus indigerent, pro certa mercede vſurpandos permitterent.

99) verba haec λέγω δὲ — εἰρημένων parentheſi incluſi.
100) deeſſe videntur haec verba τοὺς ὡς ἀληθῶς.
1) ὑφ' ἑνὸς] ſic recte Veneta, ἐφ' ἑνὸς Morell.
2) ὁ δὲ] ſcil. φιλοχρήματος.
3) ἐλεγεῖον] obſerua ſic appellari diſtichum hexametrum; recte

Τόσσ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα καὶ μετ' ἐρώτων
Τέρπν' ἔπαθον· τὰ δὲ λοιπὰ καὶ ὄλβια πάντα λέλειπται.

καὶ μάλιστα τὸν θάνατον ἀεὶ πρὸ ὀφθαλμῶν δείκνυσιν, ἐξ οὗ οὐδενὸς [4]) ἔτι τῶν ἡδέων δυνησόμενος μετασχεῖν. ὁ δὲ φιλόδοξος ἄγει [5]) τε καὶ ἀφέλκει τῶν ἡδονῶν, τά τε ὀνείδη καὶ τὰς λοιδορίας ἐπανατεινόμενος. οὐκ ἔχων οὖν ὅ ποιήσει, καὶ ὅποι τράπηται, καὶ καταδύσηται [6]), ἀποδιδράσκει πολλάκις εἰς τὸ σκότος, καὶ πειρᾶται λανθάνειν [7]) τῷ ἑτέρῳ χαρίζεσθαι καὶ ὑπηρετεῖν. ὁ δὲ ἀποκαλύπτει, καὶ εἰς τὸ μέσον αὐτὸν ἕλκει. οὕτω δὴ ψυχὴν διαφορουμένην τε καὶ διασπωμένην, ἀεί ποτε ἐν μάχῃ καὶ στάσει διηνεκεῖ πρὸς αὑτὴν οὖσαν, ἀνάγκη πρὸς πᾶσαν ἀφικνεῖσθαι δυστυχίαν. ὥσπερ γὰρ τὰ νοσήματα, ἀλλήλοις ἐπιπλεκόμενα, τἀναντία δοκοῦντα πολλάκις, χαλεπὴν καὶ ἄπορον ποιεῖ τὴν ἴασιν· τὸν αὐτὸν οἶμαι τρόπον, ἀνάγκη γίνεσθαι καὶ τῶν [8])

τῆς

recte vero, tametsi paulo inusitatius. ἐλεγεῖον est breue quodcunque carmen, quocunque versuum genere conscriptum.

4) V. L. Venetae dat ὡς οὐδενὸς. quod si adsciscas, (et profecto tolerabilius est, quam vulgata, vnde sententia prorsus nulla exsistit,) leg. erit δυνησομένῳ. *mortem ei iugiter ob oculos ponit, vt carituro sic omni facultate suavibus omnibus fruendi.*

5) ἄγει] malim ἀπάγει.

6) καταδύσηται] sic vir doctus quoque in Veneta mea correxit, quod in ea est καταδύσεται, non satis graui de causa, nam sic etiam ποιήσει debebat cum ποιήσῃ mutari, quod si autem illud probum videbatur, cur non item hoc. poterat pari modo τράπηται cum τραπεῖται mutari. Sed auctores graeci, praesertim iuniores, non sunt ita seueri exactores suae dictionis; quibus aliquid negligentiae in dictione condonandum est.

7) aut λανθάνων scrib. est, aut χαριζόμενος καὶ ὑπηρετῶν.

8) τῶν] imo vero τὴν, scil. ἴασιν. *pari modo necesse est vt*

sanatio

τῆς ψυχῆς συμμιγνυμένων τε καὶ συμπλεκομένων εἰς τὸ αὐτὸ παθῶν. ἀλλὰ δὴ μεταβαλόμενοι [9]) καθαράν τε καὶ κρείττω τῆς πρότερον ἁρμονίας,
15. τὸν ἀγαθὸν καὶ σώφρονα ὑμνῶμεν δαίμονα καὶ θεὸν, οἵ ποτε [10]) ἐκείνου τυχεῖν ἐπέκλωσαν ἀγαθῇ μοίρᾳ παιδείας ὑγιοῦς καὶ λόγου μεταλαβοῦσιν. καὶ δὴ πεπρωμένον αὐτοῖς ἐκ θεῶν ἐγένετο.

ſanatio animorum quoque fiat difficilis, atque ardua, cum multi morbi mentium coaluere.

9) praeferam e Veneta μεταβαλλόμενοι.

10) tentauit, non expediit hunc locum Caſaubonus. Breuibus dicam, quomodo mihi videatur eſſe conſtituendus: pro οἵ ποτε malim aut οἷς ποτε aut ὅσοις ποτὲ, et pro ἀγαθῇ, malim ἀγαθαὶ μοῖραι· *nos omnes quotquot ſumus, ſi quibus Moerae (vel Parcae) propitiae fatali ſorte communionem Genii ſobrii atque boni impertierunt, quod factum eſt eo, quod ſana inſtitutione vſi ſumus, et elegantiam morum percepimus, recteque ratione vtimur; praedicemus hunc bonum atque ſobrium genium.*

Subſcriptum eſt huic orationi in Veneta hoc elogium, quod Morellus teſtatur etiam in ſuo codice regio fuiſſe: Διογένης ἢ περὶ βασιλείας πρὸς ἀλέξανδρον τὸν μακεδόνα.

ΛΙΒΥ-

ΛΙΒΥΚΟΣ ΜΥΘΟΣ.

Μῦθον Λιβυκὸν ἐκπονεῖν, καὶ περὶ τὰ τοιαῦτα κατατρίβειν τὴν περὶ λόγους φιλοπονίαν, οὐκ εὐτυχὲς μὲν, οὐ γὰρ οὐ[1]) τῶν πρὸς ζῆλον τοῖς ἐπιεικεστάτοις ἀνθρώπων ἀπιστευόντων, ἀλλ᾽ ὅμως οὐκ ἀφεκτέον, ὀλιγωρίᾳ τῆς περὶ τὰ τοιαῦτα ἀδολεσχίας. τάχα γὰρ ἄν ποτε καὶ ἡμῖν χρείαν οὐ φαύλην παράσχοι ἑλκόμενά πῃ πρὸς τὸ δέον, καὶ παραβαλλόμενα τοῖς οὖσι καὶ ἀληθέσιν. ἡ δὲ τοιαύτη δύναμις καὶ ἐπιχείρησις ὁμοία δοκεῖ τῇ τῶν γεωργῶν ἐμπειρίᾳ περὶ τὰ φυτὰ, ἐάν περ ἱκανῶς γίγνηται· ἐκεῖνοι γὰρ ἐνίοτε τοῖς ἀκάρποις καὶ ἀγρίοις ἐνθέντες καὶ ἐμφυτεύσαντες τὰ ἥμερα καὶ καρποφόρα, χρήσι-

Sitne haec disputatio referenda ad locum superioris, qui est p. 163, antep. quod visum fuit aliis, Casaubono minus, id in medio nunc relinquam.

1) vulgatam lectionem tuetur Casaubonus, sed frustra; non multum tamen a Dionis aberrauit sententia, quae haec est: *Penes homines elegantes fidem non inuenire non est vnum eorum, quae studium commoueant.* vnde apparet sic esse leg. οὐ γὰρ ἓν [vel ἐστὶ] τῶν πρὸς ζῆλον, τοῖς ἐπιεικέσι τῶν ἀνθρώπων ἀπιστεύεσθαι. potest quoque comma a ζῆλον pone ἀνθρώπων reuocari, vt sententia sit: *Fidem nullam inuenire, id vero non est in rebus studium commouentibus hominum elegantium.* οὐ secundum natum est aut ex ἓν, aut ex ἐστι, vel denique ex οὕτω. et solet profecto οὕτω in mstis per paulo diductius οὐ exarari. sic saepius reperi in scholiis Demosthenis Augustan. Quod si admittas, erit οὕτως idem atque latinum *admodum.* non admodum laborare solent elegantes homines, vt fides sibi nulla habeatur. pro τοῖς est in Veneta τῆς, et pro ἀπιστευόντων, ἀποστευόντων (hac figura ς, quod est sigma simplex, neque tamen in media voce poni solet). neutrum ad indagandam veram lectionem multum conducit. Interpres quid secutus sit, haud perspicio.

χρήσιμον ἀντὶ ἀχρήστου, καὶ ὠφέλιμον ἀντὶ ἀνωφελοῦς ἀπέδειξαν τὸ φυτόν. οὕτω δὴ καὶ τοῖς ἀνωφελέσι μυθεύμασι λόγος ἐμβληθεὶς χρήσιμος, καὶ συμφέρων, οὐδὲ ἐκεῖνα εἴασε μάτην λελεγμένα. τυχὸν δὲ καὶ οἱ πρῶτοι συντιθέντες αὐτὰ [2]), πρός τι τοιοῦτον συνέθεσαν, αἰνιττόμενοι καὶ μεταφέροντες, τοῖς δυναμένοις ὀρθῶς ὑπολαμβάνειν. τόδε μὲν δὴ προοίμιον, ὡς ἔφη τις, τοῦ νόμου. τὸ λοιπὸν δ' ἂν, αὐτὸν [3]) εἴη τὸν νόμον ἢ τὸν μῦθον λέγειν τε καὶ ᾄδειν, ὁποίῳ μάλιστα ἀφομοιοῦμεν εἰκάσματι τὰς ἐπιθυμίας. λέγεται γὰρ πάλαι ποτὲ θηρίων εἶναί τι γένος [4]), χαλεπὸν καὶ ἄγριον, πλεῖστον καὶ μάλιστα γιγνόμενον ἐν τοῖς ἀοικήτοις τῆς Λιβύης. ἥδε γὰρ ἡ χώρα καὶ νῦν ἔτι δοκεῖ παντοδαπὰς φέρειν ζώων φύσεις, ἑρπετῶν τε καὶ ἄλλων θηρίων. ἐν οἷς εἶναι [5]) καὶ τοῦτο τὸ γένος, ὑπὲρ οὗ νῦν ὁ λόγος. σύνθετον τὴν τοῦ σώματος ἰδέαν σχεδὸν ἐκ τῶν πλεῖστον διαφερόντων, παντελῶς ἄτοπον. πλανᾶσθαι δὲ αὐτὸ μέχρι τῆσδε τῆς θαλάττης [6]) ἐπὶ τὴν Σύρτιν τροφῆς ἕνεκα. θηρᾶν μὲν γὰρ καὶ τἄλλα θηρία, τούς τε λέοντας, καὶ παρδάλεις, ὡς ἐκεῖνα τάς τε ἐλάφους καὶ τοὺς ἀγρίους ὄνους, καὶ τὰ πρόβα-

2) aut αὐτοὶ leg. aut αὐτὰ, quod et margo Morell. exhibet, et vir doctus marg. Venetae meae adſcripſit. αὐτοῖς textus Morell.

3) αὐτὸν] ſic lego, et ſic quoque, praeter Caſaubonum, vir doctus in marg. Venetae meae correxit. ἑαυτὸν Morell.

4) Sumta eſt haec fabula ex Alexandro Myndio apud Athenaeum p. 221. De tetro illo et immani ſerpente, quem Regulus peremit, v. Shaw Voyages p. 183. not. f. et p. 325. vbi exiſtimat eſſe Arabum ثعبان conf. et Gell. N. A. 6, 3.

5) εἶναι] aptum eſt a communi λέγεται paulo ante.

6) τῆσδε τῆς θαλάττης ſignificat mare mediterraneum, quod Romani *ſuum* appellabant.

πρόβατα· μάλιστα δὲ ἥδεσθαι τῇ τῶν ἀνθρώπων ἄγρᾳ. ὧν δὴ καὶ ἕνεκα ἐγγὺς ἀφικνεῖσθαι τῶν οἰκουμένων μέχρι τῆς Σύρτεως. ἔστι δὲ ἡ Σύρτις, κόλπος θαλάττης, εἰσέχων ἐπὶ πολὺ τῆς χώρας, καὶ τριῶν ἡμερῶν, φασὶ, πλοῦς ἀκωλύτως πλέουσι. τοῖς δὲ κατενεχθεῖσιν οὐκ εἶναι 7) τὸν ἔκπλουν δυνατόν. βράχεα γὰρ καὶ διθάλαττα, καὶ ταινίαι μακραὶ μέχρι πολλοῦ διήκουσαι παντάπασιν ἄπορον καὶ δύσκολον παρέχουσι τὸ πέλαγος. οὐ γὰρ ἐστὶ κατ᾽ ἐκεῖνα τὸ τῆς θαλάττης ἀγγεῖον 8) καθαρόν. κοῖλος δὲ καὶ ψαμμώδης ὁ τόπος ὢν, ἐκδέχεται 9) τὸ πέλαγος, οὐδὲν ἔχων στερεόν. ὅθεν οἶμαι θῖνές τε μεγάλαι, καὶ χώματα ἐν αὐτῷ γίγνονται τῆς ψάμμου· καθάπερ ἐν τῇ χώρᾳ συμβαίνει τὸ τοιοῦτον ἀπὸ πνευμάτων, ἐκεῖ δὲ μᾶλλον ὑπὸ τοῦ κλύδωνος. ἔστι δὲ καὶ τὰ κύκλῳ τοιαῦτα σχεδὸν, ἐρημίαι, καὶ θῖνες. ἀλλὰ γὰρ δὴ τούς τε ναυηγοὺς ἀπὸ τῆς θαλάττης ἐπανιόντας, καὶ εἴ τινας 10) τῶν Λιβύων κατ᾽ ἀνάγκην διεξιόντας ἢ πλανωμένους ἐπιφαινόμενα ἥρπαζε τὰ θηρία. ἡ δὲ φύσις αὐτῶν τοῦ σώματος καὶ ἡ ἰδέα τοιάδε. τὸ μὲν πρόσωπον γυναικεῖον εὐειδοῦς γυναικός· μαστοὶ δὲ καὶ στήθη πολύ τι κάλλιστα, καὶ τράχηλος ὁποῖα 11) οὔτε παρθένου θνητῆς γένοιτ᾽ ἂν, οὔτε νύμφης ἀκμαζούσης, οὔτε πλάττων ἢ γράφων οὐδεὶς δυνήσεται ἀπεικάσαι· τό τε

7) οὐκ εἶναι] scil. φασί.

8) τὸ τῆς θαλάττης ἀγγεῖον] solent portus, et vniuersum mare, cum cacabo comparari, in quo veteres populos, graecos et latinos, imitati sunt recentiores.

9) ante ἐκδέχεται videtur epithetum desiderari, vocabulo πέλαγος aptum, e. c. πολὺ vel παμπληθές.

10) καὶ εἴ τινας] accedit ad Latinismum. idem est ac si dixisset: καὶ τῶν Λιβύων τινὰς ἥρπαζεν, εἴ τινας τύχῃ ἁρπάζον.

11) ὁποῖα potest aduerbialiter accipi, pro *quemadmodum*. alias leg. sit ὁποῖος, quo tamen opus nil est.

τό τε χρῶμα λαμπρότατον, καὶ ἀπὸ τῶν ὀμμάτων φιλοφροσύνη καὶ ἵμερος ταῖς ψυχαῖς ἐνέπιπτεν, ὁπότε προσίδοι[12]) τις. τὸ δὲ λοιπὸν σῶμα, σκληρόν τε καὶ ἄρρηκτον φολίσι· καὶ τὸ κάτω πᾶν ὄφις. ὑστάτη δὲ κεφαλὴ τοῦ ὄφεως, μάλα ἀναιδής. τὰ δὲ θηρία αὐτὰ[13]), πτερωτὰ μὲν οὐ λέγεται γενέσθαι, καθάπερ αἱ σφίγγες, οὐδὲ διαλέγεσθαι, ὡς ἐκεῖναι· οὐδὲ ἄλλην ἱέναι φωνὴν[14]). ἀλλὰ συρίττειν μόνον, ὥσπερ οἱ δράκοντες, ὀξύτατα. τῶν δὲ πεζῶν ἁπάντων[15]) τάχιστα· ὡς μηδένα ἄν ποτε ἐκφυγεῖν αὐτά· καὶ τῶν μὲν ἄλλων, ἀλκῇ κρατεῖν, ἀνθρώπων δὲ ἀπάτῃ παραφαίνοντα τὰ στήθη, καὶ τοὺς μαστοὺς, καὶ ἅμα προσβλέποντα, καταγοητεύειν δὲ, καὶ ἔρωτα ἐμβάλλειν δεινὸν τῆς ὁμιλίας, καὶ τοὺς[16]) προσιέναι καθάπερ γυναιξί· τὰ δὲ μένειν ἀτρεμοῦντα, καὶ κάτω πολλάκις βλέποντα, μιμούμενα γυναῖκα κοσμίαν. γενόμενον[17]) δὲ ἐγγὺς συναρπάζειν· ἔχειν γὰρ δὲ[18]) καὶ χεῖρας θηριώδεις, ἃς ὑπο-

12) προσίδοι] poſſit quoque προσίδῃ eſſe. in Veneta eſt προσίδι, ambigue ad vtrumque.

13) αὐτὰ ſi bene habet, reſpectum habet ad partes belluae modo enumeratas. *ipſae autem belluae* vniuerſe ſpectatae. malim tamen ταῦτα.

14) ἱέναι φωνὴν perinde dicitur, et neſcio, an elegantius etiam, atque ἀφιέναι, quod Morellianae margo dat.

15) poſt ἁπάντων deeſt aut εἶναι aut φέρεσθαι, aut tale quid.

16) adſcripſit quidem vir doctus Venetae τοῦ, vti etiam Morellus ſuae; ſed bene habet τοὺς. ſubauditur ἀνθρώπους. malim tamen ad hoc τοὺς addi μέν. *et homines quidem prope accedere.*

17) aut γενομένους leg. aut γενομένων, vt ſubaudiatur αὐτούς.

18) in δὲ latet τε, et deeſt aliquid. e. c. πόδας τε, vel ὁπλάς τε, vel ſimile quid.

ὑποκρύπτει[19]) τέως. ὁ μὲν οὖν ὄφις εὐθὺς δακὼν[20]), ἀπέκτεινεν ἀπὸ τοῦ ἰοῦ· τὸν δὲ νεκρὸν κατεσθίουσιν ἅμα τε ὄφις[21]) καὶ τὸ ἄλλο θηρίον. ὅδε μὲν δὴ ὁ μῦθος, οὐ παιδίῳ[22]) πλασθεὶς, ὡς ἂν ἧττον ἢ θρασὺς καὶ ἀκόλαστος· ἀλλὰ τοῖς μείζοσι καὶ τελεωτέραν ἀφροσύνην ἔχουσιν, ὑφ᾽ ἡμῶν δεῦρο μετενεχθεὶς[23]), τάχ᾽ ἂν ἱκανῶς ἐπιδεῖξαι δύναιτο, ὁποῖόν ἐστι τὸ τῶν ἐπιθυμιῶν γένος, ὅτι[24]) ἄλογοι οὖσαι καὶ θηριώδεις, ἔπειτα, ἡδονήν τινα παραδεικνύουσαι, προσαγόμεναι τοὺς ἀνοήτους ἀπάτῃ καὶ γοητείᾳ, διαφθείρουσιν οἴκτιστα καὶ ἐλεεινότατα. καὶ χρὴ δεδιέναι, πρὸ ὀφθαλμῶν ἔχοντας· ὥσπερ αἱ τίτθαι τοὺς παῖδας[25]), ὁπόταν παρὰ καιρὸν τροφῆς ἢ παιδιᾶς, ἢ ἄλλου τινὸς ὀρέγωνται· καὶ ἡμεῖς[26]) ὁπόταν ἢ τροφῆς[27]), ἢ χρημάτων, ἢ ἀφροδισίων, ἢ δόξης, ἢ ἄλλης τινὸς ἡδονῆς ἐρῶμεν, μήποτε προσιόντες

ταῖς

19) Veneta dat ἀποκρύπτειν. equidem malim hic loci infinitiuum, siue cum ἀπο siue cum ὑπο compositum verbum praeferatur.

20) δακῶν] imo vero δακών.

21) ὁ ὄφις, cum articulo, ob sequentem articulum καὶ τὸ ἄλλο θηρίον.

22) παιδίῳ] malim παιδὶ, tametsi non nescio, et posse et solere, praemisso vocabulo παιδίον, et si quae sunt alia huius generis, adiectiuum aut participium subiungi generis masculini, aut foeminini, respectu scil. ad sexum hominis habito, de quo agitur, non ad genus vocabuli, cuiusmodi genera grammatici vsurpant. v. ad N. 30. annotanda.

23) μετενεχθεὶς] Ven. et Mor. dant μετανεχθεὶς.

24) malim καὶ ὅτι, tametsi ipsemet copulam fateor esse non admodum necessariam.

25) τοὺς παῖδας] scil. aut δεδίασι, aut πρὸ ὀφθαλμῶν ἔχουσι.

26) potest ἡμεῖς defendi, vt aptum aut ex ἐρῶμεν aut e συναρπασθῶμεν. malim tamen ἡμᾶς, vt sit aptum aut e δεδιέναι, aut πρὸ ὀφθαλμῶν ἔχοντας.

27) malim τρυφῆς.

ταῖς πανέργοις ταύταις, συναρπασθῶμεν ὑπ' αὐτῶν, ἐπ' ὀλέθρῳ καὶ διαφθορᾷ πασῶν αἰσχίστῃ. καὶ γάρ τοι καὶ τὸ λοιπὸν τοῦ μύθου ταύτῃ τρέπειν 28) οὐ χαλεπὸν, ἀνδρὶ ἀδολέσχῳ, καὶ πλείω 29) σχεδὸν ἢ δεῖ σχολὴν ἄγοντι. προστιθέασι γὰρ, ὡς δὴ βασιλεύς τις τῶν Λιβύων ἐπεχείρησεν ἀνελεῖν τόδε τὸ φῦλον τῶν θηρίων, ἀγανακτῶν τῇ διαφθορᾷ τοῦ λαοῦ. καὶ γὰρ τυγχάνειν αὐτῶν πολλὰς 30) αὐτοῦ κατῳκισμένας, τὸν ὑπὲρ τὴν Σύρτιν δρυμὸν καταλαβούσας, πυκνόν τε καὶ ἄγριον. συναγαγόντος 31) δὴ πλῆθος στρατοῦ πολὺ, εἶναι γὰρ οὐκ ἀφανεῖς 32) τοῖς τε σύρμασι τῶν

28) τρέπειν] sic etiam, praeter interpretem, voluit vir doctus, qui in marg. Venetae meae adscripsit *τρέπειν accommodare, conuertere.* Ven. et Morell. dant πρέπειν.

29) καὶ πλείω] sic recte dat Veneta, quod Morellus quoque e suo codice affert, sed Morelliana omittit καὶ.

30) πολλὰς] redit ad belluas, hac disputatiuncula agitatas. Acutum quidem commentum Casauboni est, at commentum tamen, πόλεις hic desiderari. Tametsi τῶν θηρίων praemisisset Dio, quod est generis neutrius, subiungit tamen nihilominus πολλὰς, non ad genus grammaticum vocabuli θηρίων, sed ad sexum belluarum respiciens, quibus ait vbera fuisse. recte itaque sexum foemineum illis et hic tribuit, et n. 35. vbi τὰς ἀπολειφθείσας vsurpauit. conf. modo dicta ad n. 22. Nolim itaque quicquam hic loci mutari, qui sanus est.

31) potest συναγαγόντος defendi. *qui rex cum congregasset,* tametsi περισχόντα insequatur. non ita rara est haec constructio, neque graecis, neque latinis, atque vulgo existimetur. verum tamen cum codex Morelli, ipso teste, dat συναγαγόντα, quae est consueta dicendi ratio, praeferam hoc.

32) ἀφανεῖς] sic praeter Morellum, vir doctus quoque in marg. Venetae meae admonuit leg. esse, addito, *scil. eas feras.* Consentiunt in idem interpres latinus, et Casaubonus et Anglus ignotus apud Wolfium in Anecdotis graecis. ἀφανὴς Ven. et Mor.

τῶν ὄφεων καὶ ὀσμῆς[33]) αὐτόθεν δεινῆς φερομένης, οὕτως περισχόντα πανταχόθεν, πῦρ ἐμβάλλειν[34])· καὶ τὰς μὲν ἀπολειφθείσας[35]), ἀπολέσθαι μετὰ τῶν σκύμνων, τοὺς δὲ Λίβυας φεύγειν κατὰ τάχος ἀπὸ τοῦ χωρίου· μήτε νύκτα μήτε ἡμέραν ἀναπαυομένους, μέχρι νομίζοντες πολὺ προειληφέναι, κατέζευξαν παρὰ ποταμόν τινα. τῶν δὲ θηρίων ὁπόσα ἀπῆν κατὰ θήραν, ἐπειδὴ τάχιστα ᾔσθοντο ἀπολωλότας τοὺς φωλεοὺς, καταδιώξαντα τὴν στρατιὰν πρὸς τὸν ποταμόν· τοὺς μὲν ὕπνῳ καταλαβόντας[36]), τοὺς δὲ ἄλλους ἀπειρηκότας ὑπὸ τοῦ κόπου, διέφθειραν πανσυδί. τότε μὲν οὖν ἀτελὲς αὐτῷ γενέσθαι τὸ ἔργον τῆς διαφθορᾶς τοῦ γένους. ὕστερον δὲ τὸν Ἡρακλέα τὴν σύμπασαν γῆν καθαίροντα ἀπό τε τῶν θηρίων καὶ τῶν τυράννων, κἀκεῖσε ἀφικέσθαι· καὶ τόν τε τόπον ἐμπρῆσαι· καὶ τὰ φεύγοντα ἐκ τοῦ[37]) πυρὸς, τὸ μὲν[38]) τῷ ῥοπάλῳ παίοντα

τα

33) ὀσμῆς α. δεινῆς φερομένης non plane ausim damnare. potest enim accipi pro ὅτι ὀσμὴ δεινὴ ἐφέρετο. malim tamen, quod ratio planior et vsitatior flagitat, καὶ ὀσμαῖς αὐτόθεν δειναῖς φερομέναις.

34) malim ἐμβαλεῖν. verum tamen paulo post sequitur φεύγειν, et auctores in eiusmodi narrationibus sibi haud constant in vsu temporum.

35) recte emendauit Anglus ἀποληφθείσας. *occupatas,* priusquam aut sentirent, aut effugere possent, aut, vt Anglus ipse vertit, tametsi haud appositissime inclusas.

36) dubium non est καταλαβόντα leg. esse, vt Casaubonus admonuit, et participium passiuum desiderari; num autem ἁλόντας desit, quod idem Casaub. suspicatus est, an πεπεδημένους, quod equidem malim, auctoritati meliorum codicum est relinquendum, vt pronuncient.

37) recte Morellus ἐκ τοῦ reposuit, altera vitiosa lectione αὐτοῦ, quam Veneta dat, in marginem reiecta.

38) potest τὸ μὲν defendi et accipi pro *partim quidem.* malim tamen, vt planius, τὰ μὲν, ob insequens τὰ δὲ. probo etiam Angli κατακαίνειν, quod dudum ante Morellus e codice suo annotauerat.

τα κατακαίειν, ὁπόσα ὁμόσε ᾔει. τὰ δὲ ἀποδιδράσκοντα, τοῖς βέλεσι. τυχὸν ἂν οὖν ὁ μῦθος αἰνίττεται λέγων, τῶν πολλῶν 39) μὲν εἴ πȣ 40) τὶς ἐπεχείρησε καθᾶραι τὴν αὐτȣ ψυχὴν ὥσπερ ἄβατον 41) καὶ μεςόν τινα θηρίων χαλεπῶν τόπον, ἐξελὼν δὲ καὶ ἀπολέσας τὸ τῶν ἐπιθυμιῶν γένος 42), εἶτ' ἐλπίσας ἀπηλλάχθαι καὶ διαπεφευγέναι, ȣκ ἰσχυρῶς ἀποδράσας, ὀλίγον ὕςερον ὑπὸ τῶν λειπομένων ἐπιθυμιῶν ἀπολέσθαι καὶ διαφθαρῆναι. Ἡρακλέα δὲ τὸν Διὸς καὶ Ἀλκμήνης ἐπεξελθεῖν 43) καὶ ἀποφῆναι καθαρὰν καὶ ἥμερον τὴν αὐτȣ διάνοιαν. καὶ τȣτο αὐτῷ 44) βȣλεσθαι δηλȣν τῆς γῆς τὴν ἡμέρωσιν. βȣλεσθε οὖν βραχύ τι καὶ τῶν νεωτέρων 45)

 λόγων

39) τὰς πολλὰς margo Morell.

40) quod Morellus e codice ſuo affert εἴποι, id etiam in Veneta eſt; vnde εἴτοι quoque poſſit effici. ſed teneo vulgatum εἴ πȣ.

41) ἄβατον] ſic recte Veneta et Morellus in animaduerſionibus, ſed textus Morell. dat ἄβατο.

42) γένος abeſt a Veneta, et abeſſe a ſuo quoque codice annotauit Morellus; poteſt etiam abeſſe, ſalua ſententia. ſed aut in ἐλπίσας eſt vitium, et leg. eſt ſiue ἤλπισε ſiue ἐλπίσαι, aut ſi bene habet ἐλπίσας, deeſt poſt ἀποδράσας aliquod verbum, e. c. ἐθάῤῥησεν, aut ἐῤῥαθύμησεν, aut tale quid.

43) ἐπεξελθεῖν] rem inchoatam et affectam, ad finem vsque perduxiſſe et perfeciſſe.

44) τȣτο αὐτῷ] ſic recte emendauit Caſaubonus lect. Morell. τȣτον αὐτό. hoc ſignificare celebratam Herculis purgationem atque manſuefactionem orbis terrarum. h. e. cum dicatur Hercules orbem terrarum purgaſſe, et habitabilem reddidiſſe, nil aliud ſignificari, quam eum operam dediſſe, vt ſemina fibrasque vitiorum ex animo ſuo euelleret. τȣτο etiam in Veneta eſt, in qua ſaepe ο pro ω vitioſe vſurpatum reperi, vt hic loci in αὐτὸ factum eſt.

45) recte rurſus dat Veneta τῶν νεωτέρων, quod a Morello temere in oram eiectum eſt. τοῖς νεωτέροις textus Morell.

λόγων ἐπιχαρισώμεθα τοῦ μυθολογήματος; οὕτω γὰρ πάνυ πείθονται αὐτῷ, καὶ νομίζουσιν ἀληθὲς, ὥστε ὕστερόν ποτε φασὶν ἐπιφανῆναι τοῦ γένους τούτου, βαδίζουσιν εἰς Ἄμμωνος Ἕλλησι θεωροῖς μετὰ πολλῆς δυνάμεως παραπεμπούσης, ἱππέων, καὶ τοξοτῶν. δόξαι γὰρ αὐτοῖς ἐπὶ θινός τινος κατακεῖσθαι γυναῖκα, διφθέραν ἐπιβεβλημένην ἄνωθεν, ὥσπερ αἱ Λίβυσσαι, ἐπιδεικνύειν δὲ τὰ στήθη καὶ τοὺς μαστοὺς καὶ τὸν τράχηλον ἀνακλῶσαν. κᾆτα ὑπολαβεῖν [46]) ἔκ τινος κώμης τῶν ἑταιρουσῶν τινὰ γυναικῶν ἐνταῦθα ἰέναι πρὸς τὸν ὄχλον. δύο δέ τινας νεανίσκους, ἐκπλαγέντας τὸ εἶδος, ἰέναι πρὸς αὐτὴν, τὸν ἕτερον φθάνοντα. τὸ δὲ θηρίον ὡς ἔλαβεν αὐτὸν, κατασύραν εἰς κοῖλόν τι τῆς ψάμμου, κατεσθίειν. καὶ τὸν ἕτερον νεανίσκον ὑπερβαλόντα, θεάσασθαι καὶ ἀνακραγεῖν· καὶ οὕτως ἐπιβοηθῆσαι τὸ λοιπὸν πλῆθος. τὸ δὲ θηρίον ἐφορμῆσαι τῷ νεανίσκῳ, προϊσχόμενον τὸν ὄφιν, καὶ ἀποκτεῖναν, οἴχεσθαι μετὰ συριγμοῦ. τὸν δὲ νεκρὸν εὑρεθῆναι σαπρὸν δὴ καὶ μυδῶντα· καὶ τοὺς Λίβυας τοὺς ἡγεμόνας τῆς ὁδοῦ οὐκ ἐᾶν ἅπτεσθαι τοῦ σώματος, ὡς ἅπαντας ἀπολουμένους.

46) ὑπολαβεῖν] existimasse, habuisse pro meretrice, scil. illos graecos legatos ad Iouis Ammonis templum contendentes. immerito locum hunc sollicitant Casaubonus et Anglus. Subauditur αὐτοὺς, addi nil opus est.

ΔΙΟ-

ΔΙΟΓΕΝΗΣ Η ΠΕΡΙ ΤΥΡΑΝΝΙΔΟΣ.

ΛΟΓΟΣ ΕΚΤΟΣ.

Διογένης ὁ Σινωπεὺς, ὅτε ἔφυγεν ἐκ Σινώπης, ἀφικόμενος εἰς τὴν Ἑλλάδα, διῆγε ποτὲ μὲν ἐν Κορίνθῳ, ποτὲ δὲ Ἀθήνησιν· ἔφη δὲ μιμεῖσθαι τοῦ Περσῶν βασιλέως τὴν δίαιταν· καὶ γὰρ ἐκεῖνος τῷ μὲν χειμῶνι ἐν Βαβυλῶνι καὶ Σούσοις, ἐνίοτε δ' ἐν Βάκτροις διῆγεν, ἐν τοῖς εὐδιεινοτάτοις τῆς Ἀσίας· τοῦ δὲ θέρους ἐν Ἐκβατάνοις τῆς Μηδικῆς, ὅπου ψυχρότατος ὁ ἀὴρ ἀεί ποτέ ἐστι, καὶ τῷ περὶ Βαβυλῶνα χειμῶνι τὸ θέρος ὅμοιον. οὕτω δὲ καὶ αὐτὸς μεταλλάττειν [1]) τὴν οἴκησιν, κατὰ τὰς ὥρας τοῦ ἔτους. τὴν μὲν γὰρ Ἀττικὴν [2]) μήτε ὄρη μεγάλα ἔχειν, μήτε ποταμοὺς διαῤῥέοντας, καθάπερ τήν τε Πελοπόννησον καὶ Θετταλίαν· εἶναι γὰρ τὴν χώραν ἀραιὰν [3]), καὶ τὸν ἀέρα κοῦφον, ὡς μήτε ὕεσθαι πολλάκις, μήτε ὑπομένειν [4]) τὸ πινόμενον ὕδωρ, περιέ-

1) *μεταλλάττειν*] ſic recte Veneta. *μεταλλάττων* Morell.
2) ſignificat Atticam eſſe hiemi tolerandae accommodatam; nam apricam eſſe. quae regio montibus et fluuiis caret, ea eſt calori propior. montes enim et fluuii cum ventos afferant, et vapores atque nebulas, frigora creant.
3) ſignificat ſolum eſſe ſpongioſum, vt humor illapſus facile in terrae interiora ſubſidat. ergo carere Atticam quoque lacubus et paludibus; et proinde calidiorem quoque eſſe locis vliginoſis.
4) Caſaubonus vult verba transponi ad hunc modum: *μήτε ὑπομένειν τὸ ὕδωρ πινόμενον*. ea transpoſitio quam vim habeat, ſcire, ait, eruditos. Eruditus ergo ego non ſum, qui neque ſciam, neque ſentiam, niſi ſi hoc voluit, ſolum Atticum non ſuſtinere aquam diu, vtpote quae cito abſorbeatur. Sed vulgata lectio ſententiam hanc reddit, bonam illam et menti Dionis accommodatam;

περιέχεσθαί τε ὀλίγου πᾶσαν αὐτὴν ὑπὸ τῆς θαλάττης· ὅθεν δὴ καὶ τοὔνομα λαβεῖν, οἷον ἀκτήν τινα οὖσαν· τὴν δὲ αὖ πόλιν5) ἐν τῷ χθαμαλῷ κεῖσθαι, καὶ πρὸς μεσημβρίαν. σημεῖον δέ· τοὺς γὰρ ἀπὸ τοῦ Σουνίου καταίροντας εἰς τὸν Πειραιᾶ μὴ δύνασθαι ἄλλως, ἢ Νότῳ, καταῖραι. εἰκότως οὖν τὸν χειμῶνα γίγνεσθαι πρᾶον. ἐν δὲ τῇ Κορίνθῳ, τὸ θέρος εὔπνουν, διὰ τοὺς εἰσήκοντας κόλπους6), ἀεί ποτε τῶν πνευμάτων ἐκεῖ συῤῥεόντων. ὅ τε7) Ἀκροκόρινθος ἐπισκιάζει8), καὶ αὐτὴ μᾶλλον ἐπὶ τὸ Λε-

χαῖον

tam; quas aquas coelitus demissas solum Atticum imbiberit, eas id non sustinere, quod facit solum quodque pingue, aut saxosum, sed cito, velut per colum quoddam, transmittere. Interpres videtur ad mentem Casauboni reddidisse. Controuersia versatur in verbo πίνεσθαι, quod vsurpari perinde potest de aqua, quae hauritur a solo, cum coelitus delabitur, quam de ea, quae a solo transmittitur ad profundiora et penitiora loca. Potest Casauboni coniectura probari, sed et pari iure vulgata defendi.

5) πόλιν] vrbem Athenas; modo de solo Attico vniuerso disputauerat, iam de vrbe commemorat. Ven. et Mor. dant πάλιν. miror tam exstans vitium potuisse Casaubono latere.

6) non dicitur sinus maris εἰσήκειν, sed εἰσέχειν. .v. p. 190, 4. quare leg. puto εἰσέχοντας.

7) Morelliana dat ἥ τε ἀκροκόρινθος, et Morellus iubet articulum ὁ substitui e codice suo, quia Acrocorinthus sit generis masc. nulla ei medicinae gratia; ecquis enim ei auctor fuit vlceris ciendi; cur corrumpit prius locum, quo postmodum sanet? In Veneta est ὅ τε, et sic dedi.

8) ἐπισκευάζει, quod margo Morell. dat, est in Veneta. Sed in V. L. Venetae est ἐπισκιάζει, quod merito Morellus praetulit. ἐπισκιάζειν h. l. non est defendere a borea, sed a sole; omnia enim eo tendunt, vt doceant Corinthum esse frigidiusculam, et degendae accommodatam aestati, minus hiemi. sita itaque fuit arx Corinthi a parte vrbis australi, non boreali. αὐτὴ] sic dedi, et hoc Casaubonus iam admonuit. opponit ipsam vrbem

Corin-

χαῖον καὶ πρὸς τὴν ἄρκτον ἀποκλίνει. πολὺ δὲ καλλίονας ὑπάρχειν τὰς πόλεις ταύτας Ἐκβατάνων, καὶ Βαβυλῶνος, καὶ πολὺ ἄμεινον κατεσκευάσθαι τῶν ἐκεῖ βασιλείων τό, τε Κράνιον[9]) καὶ τὴν Ἀθήνησιν ἀκρόπολιν, καὶ τὰ προπύλαια· μεγέθει δὲ λείπεσθαι μόνον· καίτοι διακοσίων σταδίων εἶναι τὴν περίμετρον τῶν Ἀθηνῶν τοῦ Πειραιέως συντιθεμένου, καὶ τῶν διὰ μέσου τειχῶν πρὸς τὸν περίβολον τοῦ ἄστεος· οἰκεῖσθαι γὰρ πάλαι καὶ ταῦτα ξύμπαντα· ὥστε τὸ ἥμισυ ἔχων Ἀθήνας Βαβυλῶνος, εἰ τυγχάνει[10]) ἀληθῆ λεγόμενα περὶ τῶν ἐκεῖ. καὶ μὴν τό γε τῶν λιμνῶν[11]) κάλλος, ἔτι δὲ ἀνδριάντας καὶ γραφὰς καὶ χρυσόν τε καὶ ἄργυρον καὶ χαλκόν· τὸ δὲ[12]) νόμισμα, καὶ τὰ ἔπιπλα, καὶ τὴν τῶν οἰκιῶν κατασκευήν, ὑπερβάλλειν μὲν τὰ ἐνταῦθα[13])· πλὴν αὐτῷ γε οὐ πολὺ μέλειν τῶν

N 4 τοιου-

Corinthum arci, Acrocorintho dictae. Morell. et Ven. dant αὐτῇ.

9) κράνειον exarari solet per diphthongum. nomen id erat luci apud Corinthum, cum gymnasio, vbi deambulare inter arbores et fontes solebant, et frigus captare. v. Kuhn. ad Pausan. p. 115.

10) τυγχάνει] sic recte dat Veneta. τυγχάνειν Morell.

11) λιμνῶν] Sic Veneta quoque, et recte quidem. Nam Casauboni λιμένων tametsi mirifica blanditur veri specie, solas si cogites Athenas, perit tamen omnis illa verisimilitudo, si tecum reputas, vrbes graecas hic cum Persicis componi, quarum nulli essent portus; nam neque Babyloni portus fuit, neque Susis, neque Ecbatanis, vtpote medio in continente sitis; sed erant lacus vel piscinae, quare tenendam arbitror editam lectionem.

12) δὲ] malim τε.

13) ὑπερβάλλειν μὲν τὰ ἐνταῦθα.] Subaudi τὰ ἐκεῖ. opes et lautitias, quae illic, apud Persas, sint, superiores esse his, quae hic, apud Graecos, sint. vitiose quidem omisit alteram comparandarum rerum partem Dio, facile tamen intelligitur, quid voluerit significare. praeterea duo accusatiui si essent copulati, poterant minus attento dubitatio-

τοιούτων. τὸ δὲ τῆς ὁδοῦ μῆκος ἐκείνῳ μὲν ὥστε μεταβῆναι, πάμπολυ γίγνεσθαι. σχεδὸν οὖν αὐτὸν μὲν 14) ἐν ὁδῷ διάγειν τοῦ χειμῶνος, καὶ τοῦ θέρους τὸ πλέον· αὐτὸν δὲ πλησίον 15) καταλύσαντα Μεγαράδε Ἀθήνησι γενέσθαι τῇ ὑστεραίᾳ πάνυ ῥᾳδίως, εἰ μὲν βούλοιτο, ἐπ' Ἐλευσῖνος 16)· εἰ δὲ μή, βραχυτέραν διὰ Σαλαμῖνος, δι' ἐρήμων σταθμῶν πορευόμενον· ὥστε πλεονεκτεῖν βασιλέως, καὶ μᾶλλον τρυφᾶν· ἄμεινον γὰρ κατεσκευάσθαι τὴν οἴκησιν. ταῦτα δὲ εἰώθει μὲν παίζων λέγειν· ὅμως δὲ ἐνεδείκνυτο τοῖς θαυμάζουσι τὸν πλοῦτον τοῦ Πέρσου, καὶ τὴν λεγομένην εὐδαιμονίαν, ὅτι οὐδέν ἐστι τῶν ἐκείνου πραγμάτων, οἷον νομίζουσι. τῶν μὲν γὰρ οὐδὲν ὄφελος εἶναι· τὰ δὲ καὶ σφόδρα πένησιν ἐξεῖναι ποιεῖν. οὐδὲ γάρ, ὡς ἐνόμιζον ἔνιοι τῶν ἀφρόνων, ἀμελὲς ἦν αὐτῷ περὶ τοῦ σώματος 17). ἀλλ' ἐκεῖνοι μὲν ὁρῶντες ῥιγοῦντα καὶ θυραυλοῦντα, καὶ διψῶντα πολλάκις, ἡγοῦντο ἀμελεῖν τοῦ ὑγιαίνειν, καὶ τοῦ ζῆν· ὁ δέ, ταῦτα πάσχων, μᾶλλον μὲν τῶν ἀεὶ ἐμπιπλαμένων, μᾶλλον δὲ τῶν ἔνδον μενόντων, καὶ μηδέποτε, μήτε ψύχους μήτε καύματος πειρωμένων, ὑγίαινέ τε καὶ ἔζη.

bitationem iniicere, vtra pars esset praestans, vtra victa. condonari multa veterum dictioni debent, obscure, dubie, hiulce dicta, quae nos in nostris dialectis, quas hodie vsurpamus, planius, certius, plenius repraesentamus.

14) μὲν abest ab Aldina. nil refert. eadem dat αὐτῷ, quod si admittas, necesse erit, vt διαγίνεσθαι scribatur. vtram lectionem, hanc an vulgatam optes, nil interest ad sententiam.

15) πλησίον] in loco propinquo, ad Corinthum puta, seu posteaquam Corintho discessisset.

16) ἐπ' ἐλευσῖνος] per Eleusinem, itinere illuc directo, traiiciendo aut praetereundo prope illam vrbem.

17) videtur Dio dedisse ἀμελὴς ἦν τῶν περὶ τὸ σῶμα, aut ἀμελὲς ἦν αὐτῷ τῶν τοῦ σώματος οὐδέν.

ἔζη. ἔτι δὲ ἥδιον μὲν ἀλεαινόμενος ᾐσθάνετο, ἥδιον δὲ σιτίοις προσεφέρετο[18]), πολὺ δὲ μάλιστα[19]) ταῖς ὥραις ἔχαιρε. καὶ τοῦτο μὲν εὐφραίνετο θέρους προσιόντος, ὁπότε ἤδη διαχέοι τὸν ἀέρα· τοῦτο δὲ οὐκ ἤχθετο παυομένου, ἅτε ἀπαλλαττόμενος τοῦ σφοδροῦ καύματος. ταῖς δὲ ὥραις ξυνεπόμενος, καὶ κατ' ὀλίγον αὐτῶν πειρώμενος, ἀλύπως ἀφικνεῖτο πρὸς ἑκατέραν τὴν ὑπερβολήν. πυρὶ δὲ, ἢ σκιᾷ, ἢ σκέπῃ σπανίως ἐχρῆτο, προλαμβάνων τὸν καιρόν[20]). οὐδὲ[21]), ὥσπερ οἱ ἄλλοι ἄνθρωποι, ὅτι μὲν ἔξεστιν αὐτοῖς ἀεὶ πῦρ καίειν, εὐποροῦσι δὲ ἐσθῆτος, ἔχουσι δὲ οἰκίας, ἐὰν καὶ μικρὸν αἴσθωνται ψύχους, εὐθὺς ἀποδιδράσκουσι τὸν ἀέρα, καὶ τὰ σώματα ἄχρηστα[22]) ποιοῦσι καὶ ἀδύνατα ἀνέχεσθαι χειμῶνος. ὅτι δὲ ἔξεστιν αὐτοῖς οἰκίᾳ μὲν ἀφθόνως χρῆσθαι τοῦ

18) σιτίοις προσεφέρετο haud placet. προσφέρεσθαί τινι est alicui, rei aut homini, occurrere, rationem cum eo agendi, aut eum eamue accipiendi tractandique tenere; foret itaque σιτίοις προσφέρεσθαι sese ad cibos quoquo modo habere; quod ab hoc loco alienum est; quare malim σιτία. multo libentius, cupidius, maiori cum appetitu, et voluptate saporis, sumebat cibos, vel vescebatur.

19) μάλιστα] imo vero μᾶλλον. Solent eiusmodi vocabula in codicibus manu exaratis per compendia vel siglas repraesentari, vnde magna seges errorum.

20) προλ. τὸν καιρὸν] eo, quod longa exercitatione ferendi seu frigoris, seu caloris, corpus quibusque mutationibus et rationibus tempestatum tolerandis assuefecisset, antequam seu frigus seu calor acerrimus ingrueret.

21) οὐδὲ] Subaudi ἐποίει. neque ita agebat et instituebat suos mores, vt caeteri homines. apodosis est p. 202, 13. ὁ δὲ λιμῷ μὲν —

22) ἄχρηστα] scil. πρὸς τὸν χειμῶνα, vel πρὸς τὸν ἀέρα, inhabilia, quae neque χρῆσθαι τῷ ἀέρι καὶ τῷ χειμῶνι, et quibus vti nemo possit ad vllum opus peragendum in aëre paulo rigidiore.

θέρους, πίνειν δὲ οἶνον ὁπόσον βούλονται, διὰ τοῦτο ἄπειροι μὲν ἡλίου διατελοῦσιν, ἄπειροι δὲ τοῦ διψῆν κατὰ φύσιν 23) οἰκείαν. καὶ τροφῇ μὲν οὐχ ἧττον τῶν γυναικῶν, ἄπονοι δὲ καὶ ἀργοὶ τὰ σώματα, κραιπάλης δὲ καὶ λήθης τὰς ψυχὰς γέμοντες. ὅθεν δὴ καὶ ἐπιμηχανῶνται αὐτοῖς καὶ σιτία πονηρὰ, καὶ βαλανεῖα τούτου χάριν 24). τῆς δ' αὐτῆς ἡμέρας πολλάκις, δέονται μὲν ἀνέμου, δέονται δὲ ἐσθῆτος, δέονται δὲ ὁμοῦ χιόνος 25) καὶ πυρός. τὸ δὲ πάντων ἀτοπώτατον, ἐπιθυμοῦσι καὶ λιμοῦ, καὶ δίψης. ἀκόλαστοι δὲ ὄντες οὐχ ἥδονται ἀφροδισίοις, διὰ τὸ μὴ περιμένειν ὀρέγεσθαι αὐτῶν· ὅθεν ζητοῦσιν ἀχαρίστους καὶ ἀτερπεῖς ἡδονάς. ὁ δὲ λιμῷ μὲν ἐχρῆτο καὶ δίψῃ πρὸ τῆς τροφῆς ἑκάστοτε· καὶ ἐνόμιζε τοῦτο ἱκανώτατον καὶ δριμύτατον τῶν ὄψων. τοιγαροῦν ἥδιον μὲν προσεφέρετο μάζαν, ἢ οἱ ἄλλοι τὰ πολυτελέστατα τῶν σιτίων· ἥδιον δὲ ἔπινε τοῦ ῥέοντος ὕδατος, ἢ οἱ ἄλλοι τὸν Θάσιον οἶνον. κατεγέλα δὲ τῶν, ὁπότε διψῷεν, τὰς μὲν κρήνας παρερχομένων· ζητούντων δὲ, ὁπόθεν πάντως 26) ὠνήσαιντο Χῖον ἢ Λέσβιον· καὶ πολὺ ἔφασκεν ἀφρονεστέρους εἶναι τῶν βοσκημάτων· ἐκεῖνα γὰρ οὐδέποτε διψῶντα, κρήνην, οὐδὲ ῥεῦμα καθαρὸν παρελθεῖν,

οὐδὲ

23) Nequit hic locus ſine meliorum ope librorum ſanari; nam ſubeſſe lacunam, quamquam non illam ingentem, apparet. Interea haud multum a Dionis mente aberremus, ſic legentes: — κατὰ φύσιν. οἰκουρίας καὶ τρυφῆς μεστοὶ, οὐχ ἧττον τῶν γυναικῶν, ἄπονοι μὲν καὶ ἀργοὶ — Caſaubonus vult κατὰ φύσιν. οἰκοτρόφοι μὲν — et ſic etiam margo Morell.

24) τούτου χάριν] hac de cauſa, quod cibos noxios in ſe ingerunt, quo minus noceant, et quo vis eorum peſtifera frangatur aut ſuperetur per balnea.

25) χειμῶνος margo Morell.

26) πάντως] quoque pretio, quantiuis, emant, dummodo eo potiantur.

οὐδὲ πεινῶντα, ἀπέχεσθαι τῶν ἁπαλωτάτων φύλλων, καὶ πόας τῆς ἱκανῆς τρέφειν. οἰκίας δὲ τὰς καλλίστας καὶ τὰς ὑγιεινοτάτας, ἐν ἁπάσαις ταῖς πόλεσιν ἔχειν ἀναπεπταμένας, τά τε ἱερὰ, καὶ τὰ γυμνάσια. ἱμάτιον δὲ ἓν ἐξήρκει τοῦ θέρους αὐτῷ, καὶ τοῦ χειμῶνος· τοῦ γὰρ ἀέρος ἠνείχετο ῥᾳδίως· ἅτε δὴ συνήθης αὐτῷ γενόμενος. τοὺς δὲ πόδας οὐδέποτε ἔσκεπεν. οὐ γὰρ ἔφη τρυφερωτέρους εἶναι τῶν ὀφθαλμῶν καὶ τοῦ προσώπου. ταῦτα γὰρ, ἀσθενέστατα πεφυκότα, μάλιστα ἀνέχεσθαι τὸ ψύχος, διὰ τὸ γυμνοῦσθαι ἀεί. μὴ γὰρ εἶναι τοῖς ἀνθρώποις δυνατὸν καταδησαμένους τὰ ὄμματα βαδίζειν, ὥσπερ τοὺς πόδας. ἔφη δὲ τοὺς πλουσίους ὁμοίους εἶναι τοῖς νεογνοῖς βρέφεσι, δεῖσθαι γὰρ ἀεί ποτε σπαργάνων. ὑπὲρ οὗ δὲ πλεῖστα μὲν πράγματα ἔχουσιν ἄνθρωποι, πλεῖστα δὲ χρήματα ἀναλίσκουσι· πολλαὶ δὲ ἀνάστατοι πόλεις διὰ ταῦτα γεγόνασι, πολλὰ δὲ ἔθνη τούτων ἕνεκεν οἰκτρῶς ἀπόλωλεν, ἁπάντων ἐκείνῳ χρημάτων ἀτοπώτατον[27]) ἦν, καὶ ἀδαπανώτατον. οὐ γὰρ ἔδει αὐτὸν οὐδαμόσε ἐλθεῖν ἀφροδισίων ἕνεκεν, ἀλλὰ παίζων ἔλεγεν, ἁπανταχοῦ παρεῖναι αὐτῷ τὴν Ἀφροδίτην προῖκα· τοὺς δὲ ποιητὰς καταψεύδεσθαι τῆς θεοῦ, διὰ τὴν αὐτῶν ἀκρασίαν, πολύχρυσον καλοῦντας. ἐπεὶ δὲ πολλοὶ τοῦτο ἠπίστουν, ἐν τῷ φανερῷ ἐχρῆτο, καὶ πάντων ὁρώντων· καὶ ἔλεγεν, εἴπερ οἱ ἄνθρωποι

27) ἀτοπώτατον] vocabulum h. l. manifeste corruptum, modisque emendandi variis tentatum. Casaubonus ἀπονώτατον aut εὐπορώτατον commendat, quorum hoc posterius etiam socer eius, H. Stephanus, Venetae suae, Morello teste, adscripserat. dedi ipsemet olim duo alios modos de meo. Sed praefero omnibus coniecturam Naogeorgi, si is est vir ille doctus, qui esse videtur, qui Venetae exemplum, quo vtor, notulis passim distinxit. Ille enim, quisquis est, ἑτοιμώτατον adscripsit, quod optime cum sententia et cum vestigiis literarum conuenit.

ποι οὕτως εἶχον, οὐκ ἂν ἑάλω ποτὲ ἡ Τροία, οὐδ' ἂν ὁ Πρίαμος, ὁ Φρυγῶν βασιλεὺς, ἀπὸ τοῦ Διὸς γεγονὼς, ἐπὶ τῷ βωμῷ τοῦ Διὸς ἐσφάγη. τοὺς δὲ Ἀχαιοὺς οὕτω φάναι [28]) ἄφρονας, ὥστε καὶ τοὺς νεκροὺς νομίζειν προσδεῖσθαι γυναικῶν, καὶ τὴν Πολυξένην σφάττειν ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως. ἔφη δὲ τοὺς ἰχθύας σχεδόν τι φρονιμωτέρους φαίνεσθαι τῶν ἀνθρώπων· ὅταν γὰρ δέωνται τὸ σπέρμα ἀποβαλεῖν, ἐλθόντας [29]) ἔξω προσκνᾶσθαι πρὸς τὸ τραχύ. θαυμάζειν δὲ τῶν ἀνθρώπων, τὸν μὲν πόδα [30]) μὴ θέλειν ἀργυρίου κνᾶσθαι, μηδὲ τὴν χεῖρα, μηδὲ ἄλλο μηδὲν τοῦ σώματος, μηδὲ τοὺς πάνυ πλουσίους ἀναλῶσαι ἂν ὑπὲρ τούτου δραχμήν· ἓν δὴ ἐκεῖνο τὸ μέρος [31]) πολλάκις πολλῶν ταλάντων, τοὺς δέ τινας ἤδη καὶ τῇ ψυχῇ παραβαλλομένους. ἔλεγε δὲ παίζων, καὶ τὴν συνουσίαν ταύτην εὕρεμα εἶναι τοῦ Πανὸς, ὅτε τῆς Ἠχοῦς ἐρασθεὶς οὐκ ἐδύνατο λαβεῖν, ἀλλ' ἐπλανᾶτο ἐν τοῖς ὄρεσι νύκτα καὶ ἡμέραν. τότε οὖν Ἑρμῆν διδάξαι αὐτὸν, οἰκτείραντα τῆς ἀπορίας, ὥς γε υἱὸν αὐτοῦ. καὶ τὸν, ἐπεὶ ἔμαθε, παύσασθαι τῆς πολλῆς ταλαιπωρίας· ἀπ' ἐκείνου δὲ τοὺς ποιμένας χρῆσθαι μαθόντας. τὰ μὲν τοιαῦτα ἐνίοτε τῶν ἄλλων καταγελῶν ἔλεγε τῶν τετυφωμένων καὶ ἀνοήτων· μάλιστα δὲ ὕβριζε τοὺς σοφιστὰς, τοὺς σεμνοὺς εἶναι θέλοντας, καὶ πλέον τι τῶν ἄλλων εἰδέναι οἰομένους. ἔλεγε δὲ, διὰ τὴν μαλακίαν τοὺς ἀνθρώπους ἀθλιώτερον ζῆν τῶν θηρίων. ἐκεῖνα γὰρ

ὕδατι

28) φάναι] imo vero φῦναι a φυμί. *ita natura dementes fuisse.*
29) ἐλθόντας etiam in texto Venetae est, sed in V. L. est ἰόντας, eadem sententia.
30) f. τῶν ἀνθρώπων τὸ τὸν μὲν πόδα.
31) f. ἓν δὲ δὴ ἐκεῖνο, penem puta, vel et naturam muliebrem, velle sibi perfricari; quid quod esse, qui, vt ea frictionis voluptate fruantur, caput ipsi suum periculo obiicere, et mortis discrimen adire, nil dubitent.

ὕδατι μὲν ποτῷ χρώμενα, τροφῇ δὲ βοτάνῃ, τὰ πολλὰ δὲ αὐτῶν γυμνὰ ὄντα δι' ἔτους, εἰς οἰκίαν δὲ οὐδέποτε εἰσιόντα, πυρὶ δὲ οὐδὲν χρώμενα. τοῦτο μὲν 32) ζῆν ὁπόσον ἡ φύσις ἑκάστοις ἔταξε χρόνον, ἐὰν μηδεὶς ἀναιρῇ· τοῦτο δὲ ἰσχυρὰ, καὶ ὑγιαίνοντα διάγειν ὁμοίως ἅπαντα, δεῖσθαι δὲ μηδὲν ἰατρῶν, μηδὲ φαρμάκων. τοὺς δὲ ἀνθρώπους οὕτω μὲν πάνυ φιλοζώους ὄντας, τοσαῦτα δὲ μηχανωμένους πρὸς ἀναβολὴν τοῦ θανάτου, τοὺς μὲν πολλοὺς αὐτῶν μηδὲ εἰς γῆρας ἀφικνεῖσθαι, ζῆν δὲ νοσημάτων γέμοντας, ἃ μηδὲ ὀνομάσαι ῥᾴδιον, τὴν δὲ γῆν αὐτοῖς μηδὲ ἐξαρκεῖν παρέχουσαν φάρμακα· δεῖσθαι δὲ καὶ σιδήρου, καὶ πυρός. καὶ μήτε Χείρωνος, μήτε Ἀσκληπιοῦ, μήτε τῶν Ἀσκληπιαδῶν ἰωμένων, μηδὲν αὐτοῖς ὄφελος εἶναι, διὰ τὴν αὐτῶν ἀκολασίαν καὶ πονηρίαν, μηδὲ μάντεων μαντευομένων, μηδὲ ἱερέων καθαιρόντων. εἰς δὲ τὰς πόλεις συνελθόντας, ἵνα 33) μὴ ὑπὸ τῶν ἔξωθεν μηδὲν ἀδικῶνται, τοὐναντίον αὐτοὺς ἀδικεῖν, καὶ τὰ δεινότατα πάντα 34) ἐργά-

32) V. L. Venetae admonet in aliis codicibus τοῦτο μὲν et τοῦτο δὲ desiderari. Locum hunc expressit Maximus Tyrius p. 429, 25. vt ibi Dauisius obseruauit.

33) ἵνα μὴ] videtur commentum Morelli esse. In Veneta est ὅπερ; pro quo vir doctus adscripsit ὅπως, quod verum est, et a Morello in marg. quoque annotatum. Erit itaque locus hic postmodum legendus: συνελθόντας, ὅπως ὑπὸ —

34) non reprehendam vulgatam lectionem, tametsi, vsitatius si dixisset, dicturus erat verbis transpositis πάντα τὰ δεινότατα. quodsi tamen ordinem verborum, qui nunc est in libris vulgatis, seruamus, haud inuenuste ad πάντα addideris πάντας. *neminem non nullo non genere atrocissimarum iniuriarum afficere.* Non audio hic Casaubonum; in αὐτοὺς suffecerit lenem spiritum cum aspero mutari, nil opus est vtrumque vocabulum αὐτοὺς αὐτοὺς copulari. prius satis intelligitur a superioribus. pari modo necesse nil est διὰ deleri, quod vult Casaubonus, et

ἐργάζεσθαι, ὥσπερ ἐπὶ τοῦτο [35]) ξυνεληλυθότας. διὰ ταῦτα δὲ δοκεῖν αὐτῷ, καὶ τὸν μῦθον λέγειν, ὡς τὸν Προμηθέα κολάζοι ὁ Ζεὺς, διὰ τὴν εὕρεσιν καὶ μετάδοσιν τοῦ πυρὸς, ὡς ἀρχὴν τοῦτο καὶ ἀφορμὴν [36]) τοῖς ἀνθρώποις μαλακίας καὶ τρυφῆς. οὐ γὰρ δὴ τὸν Δία μισεῖν τοὺς ἀνθρώπους, οὐδὲ φθονεῖν αὐτοῖς ἀγαθοῦ τινος. ἐπεὶ δὲ ἔλεγόν τινες οὐ δυνατὸν εἶναι ζῆν τὸν ἄνθρωπον ὁμοίως τοῖς ἄλλοις ζώοις, διὰ τὴν ἁπαλότητα τῶν σαρκῶν, καὶ διότι ψιλός ἐστιν, οὔτε θριξὶ σκεπόμενος, ὥσπερ τὰ πολλὰ τῶν θηρίων, οὔτε πτεροῖς, οὔτε δέρμα ἰσχυρὸν ἐπαμπέχεται· πρὸς ταῦτα ἀντέλεγεν, οὕτω μὲν σφόδρα ἁπαλοὺς εἶναι διὰ τὴν δίαιταν· φεύγειν μὲν γὰρ ὡς τὸ πολὺ τὸν ἥλιον, φεύγειν δὲ τὸ ψύχος, τὴν δὲ ψιλότητα τοῦ σώματος μηδὲν ἐνοχλεῖν· ἐπεδείκνυε δὲ τούς τε βατράχους, καὶ ἄλλα οὐκ ὀλίγα ζῶα, πολὺ μὲν ἁπαλώτερα ἀνθρώπου, πολὺ δὲ ψιλώτερα, καὶ ἔνια τούτων ἀνεχόμενα, οὐ τὸν ἀέρα μόνον, ἀλλὰ καὶ ἐν τῷ ψυχροτάτῳ ὕδατι ζῆν δυνάμενα τοῦ χειμῶνος. ἐπεδείκνυε δὲ τῶν ἀνθρώπων αὐτῶν, τούς τε ὀφθαλμοὺς, καὶ τὸ πρόσωπον, οὐδὲν δεόμενον σκέπης. καθόλου δὲ ἐν μηδενὶ τόπῳ γίγνεσθαι ζῶον, ὃ μὴ δύναται ζῆν ἐν αὐτῷ· ἢ πῶς ἂν ἐσώθησαν οἱ πρῶτοι γενόμενοι ἄνθρωποι, μήτε πυρὸς ὄντος, μήτε οἰκιῶν, μήτε ἐσθῆτος, μήτε ἄλλης τροφῆς, ἢ τῆς αὐτομάτου; ἀλλὰ τὴν πανουργίαν τοῖς ὕστερον καὶ τὰ [37]) πολλὰ εὑρίσκειν καὶ μηχανᾶσθαι πρὸς τὸν

et δὲ δοκεῖ cum δ' ἐδόκει mutari; quod si admittas, stare non iam poterit τὸν μῦθον, sed cum ὁ μῦθος erit mutandum. sed rectum est δοκεῖν subaudito ἔφη.

35) ἐπὶ τοῦτο] ad hoc, huius rei consequendae ergo. possit quoque ἐπὶ τούτῳ legi, *sub hac lege, hoc pacto.* Sed vulgata bene habet.

36) f. ὡς ἀρχὴν τοῦτ' ὂν καὶ ἀφορμήν.

37) τὰ bene habet, tametsi Casaubonus cum τὸ mutatum vult.

τὸν βίον, οὐ πάνυ τι συνενεγκεῖν. οὐ γὰρ πρὸς ἀνδρείαν, οὐδὲ δικαιοσύνην χρῆσθαι τῇ σοφίᾳ τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς ἡδονὴν διώκοντας οὖν τὸ ἡδὺ[38]), καὶ ἐξάπαντος ἀεὶ ζῆν ἀηδέστερον καὶ ἐπιπονώτερον· καὶ δοκοῦντας προμηθεῖσθαι σφῶν αὐτῶν, κάκιστα ἀπόλλυσθαι, διὰ τὴν πολλὴν ἐπιμέλειάν τε καὶ προμήθειαν. καὶ οὕτω δὴ τὸν Προμηθέα δικαίως λέγεσθαι, δεδεμένον ἐν πέτρᾳ, κείρεσθαι τὸ ἧπαρ ὑπὸ τοῦ ἀετοῦ. ὁπόσα μὲν οὖν πολυδάπανα καὶ δεόμενα πραγματείας, καὶ ταλαιπωρίας, ταῦτα μὲν ἀφῄρει, καὶ βλαβερὰ τοῖς χρωμένοις ἀπέφαινεν· ὅσα δὲ ῥᾳδίως καὶ ἀπραγμόνως ἐστὶν ἐπικουρεῖν τῷ σώματι καὶ πρὸς χειμῶνα, καὶ πρὸς λιμὸν, καὶ πρὸς τὸ παῦσαί τινα ὄρεξιν τοῦ σώματος, οὐ παρέπεμπεν οὐδὲν αὐτῶν[39])· ἀλλὰ καὶ τόπους ᾑρεῖτο τοὺς ὑγιει-

vult. sed inter καὶ et τὰ vocabulum vnum deest, e. c. τρυφὴν, vel ἀπληστίαν, vel tale quid. *sed nequitiam et luxuriem, libidinem, insatiabilitatem, improbitatem reperire posteris atque excogitare et comminisci per callidas machinationes illa multa ad vitae subsidium, quae nil conducant.* ἃ οὐ πάνυ τι συνενεγκεῖν (scil. ἔφη aiebat Diogenes) aut, si ἃ posteriori loco excludas, erit sic interpretandum: *quod autem posteriorum aetatum hominibus nequitia — reperiat et machinetur illa multa — hoc vero haud conducere.* possit quoque συνενεγκὸν legi ad modum illorum notorum, δέον, ἐξὸν, et quae sunt alia huius generis complura. *cum nil admodum expediret*, aut *tametsi ea res ipsis parum prodesset.*

38) Casaubonus post ἡδὺ addit ἀεὶ, non male ille quidem, et vel eleganter quoque, neque repudiem, si Dio sic dedisset. Potest tamen vulgata percommode ferri, si καὶ pro καὶ ταῦτα accipiatur. *homines, qui voluptates sectentur, et sectentur quidem vndecunque et quibuscunque modis.* non probo Anglum, pro ἐξάπαντος substituentem ἐξαπατηθέντας.

39) οὐδὲν αὐτῶν] non improbo, sed Veneta dat οὐδὲ αὐτῶν, vnde poterat etiam effici οὐδὲ αὐτός.

ὑγιεινοὺς μᾶλλον, ἢ τοὺς νοσώδεις, καὶ τοὺς εὐφόρους 40) ἑκάστῃ τῇ ὥρᾳ. καὶ τροφῆς ὅπως εὐπορήσει 41) τῆς ἱκανῆς ἐπεμελεῖτο, καὶ ἐσθῆτος τῆς μετρίας· πραγμάτων δὲ καὶ δικῶν, καὶ φιλονεικιῶν, καὶ πολέμων, καὶ στάσεων, ἐκτὸς ἦν. καὶ μάλιστα ἐμιμεῖτο τῶν θεῶν τὸν βίον. ἐκείνους γὰρ μόνους φησὶν Ὅμηρος ῥαδίως ζῆν, ὡς τῶν ἀνθρώπων ἐπιπόνως καὶ χαλεπῶς βιούντων. τὰ δὲ τοιαῦτα 42) ἔφη καὶ τὰ θηρία δρᾶν. τοὺς μὲν γὰρ πελαργοὺς τὰ θερμὰ τοῦ θέρους ἀπολείποντας, εἰς τὸν εὔκρατον ἀέρα ἀφικνεῖσθαι, καὶ διαγαγόντας 43) ἐνταῦθα ὁπόσον ἥδιστον 44) τοῦ χρόνου, μετὰ ταῦτα ἀθρόους ἀπιέναι, τὸν χειμῶνα ἀποχωροῦντας 45). τὰς δὲ γεράνους ἐπιφοιτᾶν τῷ σπόρῳ, χειμῶνα μετρίως φερούσας, καὶ τῆς τροφῆς ἕνεκα. τὰς δὲ ἐλάφους καὶ τοὺς λαγὼς,

40) εὐφόρους] in Veneta eſt ἐφόρους. vnde intelligatur pars annotationis a Caſaubono ad hunc locum adſcriptae. Vir doctus adſcripſit in ora Venetae meae ἀφόρους, cum addita latina interpretatione *ſteriles*. Nullus dubito hoc ipſum eſſe in vera et primigenia editione interpretationis Naogeorgianae, quae ad manum mihi non eſt. Morellus enim *feraces* ſubſtituit; quod typi diuerſitas indicat, ſed ille prauum aeque prauo mutauit. τόποι εὔφοροι ἑκάστῃ ὥρᾳ non ſunt *feraces*, ſed quos quacunque anni tempeſtate facile tu feras, qui tibi et incolis bene conveniant et ſalubres ſint.

41) non damno εὐπορήσει. malim tamen εὐπορήσεις.

42) malim quatuor vocabulis τὰ δέ τοι αὐτά, vt τοι eleganter redundet.

43) καὶ διαγαγόντας recte dat Veneta, ſed Morell. omittit καὶ.

44) ὁπόσον ἥδιστον] non ſic fert vſus linguae graecae, ſed ἥδιον, quod exiſtimo a Dione profectum.

45) ἀποχωροῦντας] ſic etiam correxit Vir doctus in Veneta mea, in qua eſt ἀποχωροῦντα. offendor, ne quid celem, inſolentia dictionis ἀποχωρεῖν τὸν χειμῶνα, pro *hiemi accedenti quaſi de via decedere*, eam effugere; cuius donec de probitate dictionis conſtiterit, ampliabo.

λαγὼς, τοῦ μὲν ψύχους, εἰς τὰ πεδία, καὶ τὰ κοῖλα καταβαίνειν ἐκ τῶν ὀρῶν· κἀνταῦθα ὑποστέλλειν τοῖς ἀπηνέμοις [46]) καὶ προσηνέσι· τοῦ δὲ καύματος, εἰς τὴν ὕλην ἀποχωρεῖν, καὶ τὰ βορειότατα τῶν χωρίων. ὁρῶν δὲ τοὺς ἄλλους ἀνθρώπους ἅπαντα μὲν τὸν βίον ταραττομένους, ἅπαντας δὲ ἀλλήλοις ἐπιβουλεύοντας, ἀεὶ δὲ ἐν κακοῖς ὄντας μυρίοις, μηδέποτε δὲ ἡσυχίαν δυναμένους ἄγειν, ἀλλὰ μηδὲ ἐν ταῖς ἱερομηνίαις, μηδὲ ἐὰν ἐκεχειρίαν ἐπαγγέλλωσι [47]), καὶ ταῦτα ξύμπαντα δι᾽ οὐδὲν ἕτερον τὰ μὲν δρῶντας, τὰ δὲ πάσχοντας, ἢ ὅπως ζῆν δυνύσωνται [48]), καὶ μάλιστα δὴ δεδιότας, μήποτε αὐτοὺς ἐπιλίπῃ τὰ ἀναγκαῖα δὴ λεγόμενα,

46) ἀπηνέμοις] sic Veneta. Morell. dat ἀπονέμοις. Casaubonus ait scribendum esse cum interprete ἀπανέμοις. neutrum credas velim. Vir doctus, qui nonnulla codici, quo vtor, Venetae alleuit, si idem est cum Naogeorgo, nil quicquam ille a lectione Venetae recessit; iure ille quidem, nam vera ea est lectio. vocabulum ἀπήνεμος est elegans, neque tralaticium, aut vsu obtritum. Constet hinc, quanti referat veteres bonas neque contaminatas ab imperitorum audacia editiones inspicere. Poterat Casaubonus illa correctione supersedere, si hic loci Venetam adisset. Aut nimis supinus indormiuit Morellus operarum suarum socordiae, neque satis diligenter emaculauit madidas a prelo paginas, aut nimium inscitiae suae graecarum literarum permisit, et bona multa primae editionis, quae non intelligeret, corrupit, lectore non admonito. non paucos Aldinae locos affectos Morellus e suis libris feliciter emendauit, haud infitiabor; contra tamen negari nequit, eum multis Aldinae bonis et sanis vulnera imposuisse.

47) ἐπαγγέλλωσι] sic recte corrigit Casaubonus, ἀπαγγέλλ. Morell.

48) ὅπως ζῆν δυνήσωνται] sic recte dat Veneta, quomodo Casaubonus e coniectura restituit. Morell. dat δυνήσονται et omittit ζῆν.

γόμενα, ἔτι δὲ φροντίζοντας καὶ ζητοῦντας, ὅπως παισὶ καταλείπωσι τοῖς αὑτῶν πολλὰ χρήματα· ἐθαύμαζεν, ὅτι μηδὲν αὐτὸς πράττων [49]) τοιοῦτον, ἀλλὰ μόνος δὴ τῶν ἁπάντων ἐλεύθερός ἐστι, καὶ οὐδεὶς ἄλλος συνίησι τῆς αὐτοῦ μάλιστα εὐδαιμονίας [50]). ὥστε οὐκ ἔθ᾽ αὑτὸν ἠξίου τῷ Περσῶν βασιλεῖ παραβάλλειν· πολὺ γὰρ εἶναι τὸ μεταξύ· τὸν μὲν γὰρ ἀθλιώτατον ἁπάντων τυγχάνειν, φοβούμενον μὲν ἐν τοσούτῳ χρυσῷ πενίαν, φοβούμενον δὲ νόσους, τῶν δὲ νοσερῶν ἀπέχεσθαι μὴ δυνάμενον, ἐκπεπληγμένον [51]) δὲ τὸν θάνατον, καὶ πάντας ἐπιβουλεύειν αὐτῷ νομίζοντα, μέχρι τῶν παίδων καὶ ἀδελφῶν. διὰ δὲ ταῦτα μηδὲ ἐσθίοντα ἥδεσθαι, τῶν ἡδίστων αὐτῷ παρόντων, μήτε πίνοντα ἐπιλανθάνεσθαι τῶν ὀχληρῶν. μηδεμίαν δὲ ἡμέραν διάγειν ῥᾳδίως, ἐν ᾗ βλέπειν αὐτὴν [52]) μὴ τὰ δεινότατα πάσχοντα. καὶ τοῦτο μὲν νήφοντα ἐπιθυμεῖν μέθης, ὥστε [53]) ἀπαλλαγησόμενον τῶν συμφορῶν· τοῦτο δ᾽ αὖ μεθύοντα, ἀπολωλέναι νομίζειν, ὡς ἀδύνατον αὐτῷ

τι

49) aut leg. eſt πράττει, aut πράττων ſignificat aliquid abeſſe, e. c. φαίνεται.

50) ſi bene habet hic locus, quod videtur, eſt ἡ μάλιστα εὐδαιμονία idem atque μεγίστη εὐδαιμονία καὶ τούτου τοῦ ὀνόματος μάλιστα ἀξία. Alius dixiſſet τῆς αὐτοῦ εἰς τὰ μάλιστα εὐδαιμονίας.

51) ἐκπεπληγμένον] ſic recte Veneta. ἐκπεπληγμένων Morell.

52) αὐτὴν] correxit vir doctus in ora Venetae αὐτὸν, nam in ea quoque eſt vulgata. verum tenent ambo. Copulandae ſunt ambae lectiones et locus erit ſanus. leg. ſcil. ἐν ᾗ βλέπειν αὐτὸν ἣν μὴ τὰ δειν. vitium ex eo natum eſt, quod primi editores, quicunque fuerunt, virgulam ſuper τ poſitam, a ſummo verſus inferiora, et a ſiniſtra verſus dextram deductam, quae terminationem ον indicat, praeteruiderunt.

53) ὥστε] in V. L. Venetae eſt ὡς τότε ἀπαλλαγ. quae lectio eſt non contemnenda. ὥς γε margo Morell.

τι βοηθεῖν. ἔτι δὲ ἐγρηγορότα μὲν εὔχεσθαι καθυπνῶσαι, ὅπως ἐπιλάθηται τῶν φόβων, κοιμώμενον δὲ ἀναστῆναι τὴν ταχίστην, ἅτε ὑπ' αὐτῶν τῶν ἐνυπνίων ἀπολλύμενον. τῆς δὲ χρυσῆς αὐτῷ πλατάνου, καὶ τῶν Σεμιράμιδος οἰκοδομημάτων, καὶ τῶν ἐν Βαβυλῶνι τειχῶν, μηδὲν ὄφελος γιγνόμενον. τὸ δὲ δὴ πάντων παραλογώτατον, φοβεῖσθαι μὲν τοὺς ἀνόπλους, πιστεύειν δὲ αὑτὸν 54) τοῖς ὡπλισμένοις. καὶ διερευνᾶσθαι μὲν τοὺς προσιόντας, μή τις ἔχοι σίδηρον, ἐν μέσῳ δὲ ζῆν τῶν σιδηροφορούντων. φεύγειν δὲ ἀπὸ μὲν τῶν ἀνόπλων πρὸς τοὺς ὡπλισμένους, ἀπὸ δὲ τῶν ὡπλισμένων χωρεῖν πρὸς τοὺς ἀνόπλους· ἀπὸ μὲν γὰρ τοῦ πλήθους φυλάττεσθαι τοῖς δορυφόροις, ἀπὸ δὲ τῶν δορυφόρων, εὐνούχοις. οὐκ ἔχειν 55) δὲ οἷς ἂν πιστεύσας, οὐδὲ ὅποι τραπόμενος, δυνήσεται ζῆν μίαν ἡμέραν ἀφόβως. ὑφορᾶσθαι δὲ τὰ σιτία καὶ τὸν ποτόν, καὶ τοὺς προπειράσαντας 56) ταῦτα ἔχειν, ὥσπερ ἐν ὁδῷ πολεμίων γεμούσῃ τοὺς προερευνῶντας 57). ἀλλὰ μηδὲ τοῖς ἀναγκαίοις θαῤῥεῖν, μήτε γυναικί, μήτε 58) παισί. οὕτω δὲ χαλεποῦ ὄντος τοῦ πράγματος καὶ δυστυχοῦς τῆς μοναρχίας, μηδὲ ἀπαλλαγῆναί ποτε αὐτοῦ, μήτε βούλεσθαι, μήτε δύνασθαι. καίτοι πάντα, ὅσα δεινὰ τοῖς ἀνθρώποις, παραμυθίαν ἔχει, τὸ μικρὸν 59) τυχὸν ἀναπαύσασθαι αὐτῶν.

54) αὑτὸν] sic dedi cum aspero. *sese credere et fidei commendare.* αὐτὸν Morell.

55) ἔχειν. Ven. et Mor. dant. ἔχει.

56) lectionem marg. Morell. praeferam, προπειράσοντας.

57) προερευνήσοντας (sic) margo Morell.

58) μήτε παισὶ recte dat Veneta, quomodo Casaubonus quoque constituit. παισὶ μήτε Morell.

59) possit μικρὸν pro μετὰ μικρὸν accipi. malim tamen hoc. possit quoque μικροῦ, vbi subauditur δέοντος, vel συμβάντος. negat Morellus μικρὸν in regio codice se reperisse; et maluit Anglus τὸ μετὰ μικρὸν χρόνον ἀναπαύ-

καὶ γὰρ ὅςις ὑπὸ δεσμῶν ἔχεται, προσδοκᾷ ποτε λυθῆναι· καὶ τῷ τὴν πατρίδα φεύγοντι οὐκ ἀδύνατον κατελθεῖν· καὶ τῷ νοσοῦντι μέχρι τῆς τελευτῆς [60]), ἐςὶν ἐλπίζειν τὴν ὑγίειαν· τῷ δὲ οὐκ ἔςιν ἀπαλλαγῆναι τοῦ πράγματος· ἀλλ' οὐδέ γ' εὔξασθαι γοῦν, εἰ μή γε ἕτερον [61])· ὅσοις δὲ ἀνιᾶσθαι συμβέβηκε τῶν φίλων τινὸς ἀποθανόντος, σαφῶς ἐπίςανται, ὅτι παύσονταί ποτε λυπούμενοι τῷ χρόνῳ· τοῖς δὲ τοὐναντίον ἐπιγίγνεσθαι [62]) μᾶλλον τὰ χαλεπά. καὶ οὐ ῥάδιον μὲν ἄνδρα γηρᾶσαι τύραννον. χαλεπὸν δὲ τυράννου γῆρας, οὐχ οἷον ἵππου φησίν [63]). οἵ τε γὰρ πεπονθότες κακῶς πλείους, οἵ τε καταφρονοῦντες. αὐτὸς δὲ τῷ σώματι βοηθεῖν ἀδύνατος αὐτῷ. πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους, ἢ λυπεῖν τοὺς πειραθέντας, καὶ πενία, καὶ φυγὴ, καὶ δεσμοὶ, καὶ ἀτιμία. τοῦ θανάτου δὲ εἴ τις ἀφέλοι τὸ δέος, οὐδὲν ὑπολείπεται δυσχερές. οὐ γὰρ μόνον αὐτὸς ὁ θάνατος οὐκ ἐνοχλεῖ τοὺς παθόντας, ἀλλ' οὐδὲ ἔτι [64]) λυποῦνται. ὁ δὲ φόβος οὕτω χαλεπός ἐςιν, ὥςε πολλοὶ ἤδη προέλαβον τὸ ἔργον· οἱ μὲν ἐν νηῒ χειμαζόμενοι,

παύσεσθαι; ſed χρόνον poteſt omitti, et aoriſtus ſaepe pro futuro vſurpatur, ſi res ſit incerta.

60) tolle comma; malim enim μέχρι τῆς τελευτῆς ad ἐλπίζειν referre, quam ad νοσοῦντι. aegroto licet ſanitatem ſperare, donec ſuperſit adhuc, vsque dum extremum reddiderit ſpiritum.

61) εἰ μή γε ἕτερον] ſic margo Morell. *niſi ſi quis alius optet, regi contingere, vt finem regnandi faciat*; textus Morell. μήτε ἕτερον, et Veneta εἰ μήτε ἕτερον.

62) ἐπιγίγνεσθαι] ſcil. συμβέβηκε.

63) Φησὶ bene habet, ſcil. ἡ παροιμία. vir tamen doctus in marg. Venetae adſcripſit Φασί.

64) οὐδὲ ἔτι] melius hoc, quam οὐδέν ἔτι, quod eſt in V. L. Ven.

μενοι, οὔτε[65]) περιέμειναν καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς ἀπέσφαξαν· οἱ δὲ πολεμίων προειληφότων[66]), σαφῶς εἰδότες, ὅτι οὐδὲν πείσονται δεινότερον. τοῦτο δὲ τὸ χαλεπὸν ἀεὶ πάρεστι τοῖς μονάρχοις, ὁμοίως μὲν ἡμέρας, ὁμοίως δὲ νυκτός. καὶ τοῖς μὲν καταδικασθεῖσιν ἡμέρα ῥητὴ πρόκειται, ἐν ᾗ δεῖ ἀποθνήσκειν· τοῖς δὲ καὶ τοῦτο ἄδηλον, εἴτε μετ' ὀλίγον, εἴτε ἤδη, καὶ οὐδεὶς καιρὸς, ὅτε ὁ βραχύτατος ἀπήλλακται τούτου τοῦ δέους· ἀλλὰ καὶ ἐσθίοντα ἀνάγκη δεδιέναι, καὶ θύοντα τοῖς θεοῖς. εἰ δέ ποτε ἐπέλθοι τοῖς τοιούτοις παίζειν, καὶ πρὸς ἀφροδισίοις γιγνόμενον[67]), ἐὰν καὶ πάνυ τύχῃ ἐρῶν, μεμνῆσθαι τοῦ θανάτου, ὡς τυχὸν ὑπ' αὐτῶν τῶν ἐρωμένων ἀπολούμενον, καὶ συμπίνειν τούτῳ τῷ φόβῳ, καὶ συγκαθεύδειν. ὥστε μοι δοκεῖ τότε μὲν[68]) χαίρειν, ἐπειδὴ πληγῇ ἀνὴρ τύραννος, ὡς τοῦ μεγίστου κακοῦ ἀπηλλαγμένος. τὸ δὲ πάντων ἀτοπώτατον, οἱ μὲν γὰρ ἄλλοι ἴσασιν ἐν ταῖς ἀνιάτοις γινόμενοι συμφοραῖς, ὥστε[69]) οὐ πολὺν χρόνον κακοπαθοῦσιν· οἷς ἂν μὴ ἀδύνατον ᾖ τὸ ἀποθνήσκειν· οἱ δὲ τύραννοι τὰ μέγιστα κακὰ ἔχοντες, ἐν τοῖς μεγίστοις νομίζουσιν ἀγαθοῖς εἶναι, οἶμαι τῇ δόξῃ τῶν ἄλλων ἀνθρώπων, ἐξηπατημένοι τοῦ πράγματος[70]). καὶ ταύτην ὁ

65) οὔτε] l. οὐδέ. *ne exspectarunt quidem.*

66) προειληφότων sic nude positum miror. exspectabam τὴν ἀποφυγὴν ἀπειλ. *occupato effugio.* num πόλιν εἰληφότων dedit Dio? Solet vocabulum πόλις in libris manuscriptis sigla exarari, quae videri queat errori locum dedisse.

67) γιγνόμενον] subaudi a communi ἀνάγκη ἐστί. quod vt iteretur, causae nil video, cur cum Casaubono contendam. Praecessit pluralis τοῖς τοιούτοις, insequitur singularis γιγνόμενον et τύχῃ ἐρῶν, quod solitum est.

68) μὲν videtur delendum, aut cum μέγα mutandum.

69) ὥστε] imo vero ὥς γε.

70) lectio vulgata si bene habet, quod in dubio relinquam, est

θεὸς αὐτοῖς τὴν ἄγνοιαν συνέζευξεν, ἵνα παραμένωσι κολαζόμενοι. δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων, ὁ μὲν βίος ἀμείνων· ὁ δὲ θάνατος διὰ τοῦτο[71]) λυπηρότερος. οἱ δὲ αὖ κακῶς ζῶντες, τὸν βίον δοκοῦσι δυσχερέστερον φέρειν· τὸν δὲ θάνατον ἤδη[72]) προσδέχεσθαι. τοῖς δέ γε τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα, ἢ τοῖς ἄλλοις· ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ ἐπιθυμούντων τεθνάναι· τὸν δὲ θάνατον οὕτω δεδοίκασιν, ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ. πεφυκότος δὲ τοῦ τὰ μὲν ἡδέα μᾶλλον εὐφραίνειν, ὅταν ᾖ σπάνια· τοῖς δὲ συνεχῶς χρωμένοις εἰς ἀηδίαν περιίστασθαι· τὰ δὲ κακὰ χαλεπώτερα εἶναι, μηδέποτε ἀπαλλαττόμενα· σχεδὸν ἀμφότερα τοῖς τυράννοις καὶ τὰ ἡδέα καὶ τὰ λυπηρὰ ἀεὶ πάρεστιν· ὡς λυπούμενον μὲν, μηδὲ[73]) παύσασθαι σχεδὸν, ἡδόμενον δὲ μηδέποτε αἰσθάνεσθαι. δέδοικε δὲ ἀεί ποτε τῶν μὲν πλουσίων τὴν δύναμιν, τῶν δὲ ἀπόρων τὴν ἐπιθυμίαν τοῦ πλούτου. μόνοις δὲ τοῖς μονάρχοις, τῶν μὲν εὖ παθόντων οὐδεὶς οἶδε χάριν· οὐδέποτε γὰρ ἡγοῦνται τῶν ἱκανῶν τυγχάνειν, οἱ δὲ μὴ τυγχάνοντες ὧν βούλονται, πάντων μάλιστα μισοῦσιν αὐτούς. καὶ μὴν ἐπιφθονώτατος ἁπάντων ὁ πλεῖστα, κἂν δικαίως, ἔχων· ὥστε οὐδεὶς τυράννου ἐπιφθονώτερός ἐστι. πρὸς δὲ τούτοις, ἀνάγκη μὲν αὐτῷ χαρίζεσθαι τοῖς περὶ αὐτόν· εἰ δὲ μὴ, τάχιστα ἀπολεῖται. χαρίζεσθαι δὲ πολλάκις πολλοῖς, οὐ ῥᾴδιον, μὴ ἄλλων ἀφαιρούμενον.

ἔχει

est ἡ τῶν ἄλλων ἀνθρώπων δόξα τοῦ πράγματος idem atque ἡ τ. ἄ. ἀ. δόξα περὶ τοῦ πρ.

71) διὰ τοῦτο] scil. τὸ εὖ πράττειν.

72) ἤδη displicet. vir doctus adscripsit ἡδὺ, quod nihilo magis placet. videtur Dio dedisse τὸν δὲ θάνατον νῦν ἤδη — aut ὅσον οὐκ ἤδη πρ. *iam nunc* aut *tantum non iam nunc praestolari.* Casaubonus vult ἡδεῖς προσδ.

73) μηδὲ] V. L. Ven. μηδέποτε, non male.

ἔχει δὲ καὶ τοὺς ἀφαιρεθέντας ἐχθροὺς, καὶ τοὺς εἰληφότας ὑπόπτους, καὶ ζητοῦντας ὅτι τάχιστα ἀπηλλάχθαι. τὰ μὲν οὖν πόῤῥω, διὰ τὸ πολὺ ἀφεστάναι, φοβεῖται· τὰ δὲ ἐγγὺς, ὅτι πλησίον ἐστὶν αὐτοῦ. καὶ παρὰ μὲν τῶν μακρόθεν, ὑφορᾶται πόλεμον· παρὰ δὲ τῶν ἐγγὺς, δόλον. καὶ τὴν μὲν εἰρήνην ἀσύμφορον νομίζει, διὰ τὴν τῶν ἀνθρώπων σχολήν· τὸν δὲ πόλεμον, ὅτι ἀνάγκη τοὺς ὑπηκόους ἐνοχλεῖν, καὶ χρήματα πορίζοντα, καὶ στρατεύεσθαι προσαναγκάζοντα. τοιγαροῦν πολέμου μὲν ὄντος, εἰρήνης ἐρῶσιν· εἰρήνης δὲ γενομένης, εὐθὺς μηχανῶνται πόλεμον. καὶ τοῦτο μὲν τῶν ἐπιτηδείων ἀφθόνων ὄντων, δεδοίκασι τοῦ πλήθους τὴν ὕβριν· τοῦτο δὲ εἴ τις ἔνδεια καταλαμβάνοι, τὴν ὀργήν. ἡγοῦνται δὲ μήτε ἀποδημεῖν ἀσφαλῶς, μήτε μένειν, μήτε προϊέναι, μήτε ἔνδον διαιτᾶσθαι παρ᾽ αὐτοῖς, ἀλλὰ μηδὲ ἐπιβαίνειν, οὗ ἂν ἐπιβαίνωσιν, ἀσφαλῶς· ἅπαντα δὲ εἶναι μεστὰ [74] ἐνέδρας καὶ δόλων. ἀναλογίζεται δὲ ἕκαστος αὐτῶν, καὶ τοὺς θανάτους τῶν τυράννων, καὶ τὰς ἐπιβουλὰς, ὅσαι [75] πώποτε γεγόνασι, καὶ ξύμπαντα ταῦτα ἐπ᾽ αὐτὸν εἶναι νομίζει, καὶ οὕτως ἔχει περιφόβως, ὡς ξύμπαντας ἐκείνους τοὺς θανάτους ἀποθανούμενος· καὶ περιβλέπειν μὲν ἀεὶ καὶ περιστρέφεσθαι, βουλεύεται δὲ [76]), πανταχόθεν πληγήσεσθαι οἰόμενος. αὐτὸ [77]) δὲ

74) μεστὰ] sic margo Morell. recte, sed textus Mor. et Ven. μετὰ.

75) ὅσαι probo, si e codice msto est; in Veneta lego ὅσα. malim ὅσων.

76) Casaubonus deleri vult δὲ, et βούλεται subiicit pro βουλεύεται. neutrum placet; melius interpres latinus, qui περιβλέπει et περιστρέφεται expressit, quod vtrumque verum est.

77) αὐτὸ] imo vero αὐτῷ aut αὐτὸν, nam perinde est. ipsi autem per pudorem metumque haud licet, vt hoc faciat, vt scil. manus ipse sibi violentas inferat.

τȣ̃το ȣ̓κ ἔξεστι ποιεῖν ὑπὸ αἰσχύνης ἅμα καὶ φόβȣ. ὅσῳ γὰρ ἂν ἐνδηλότερος[78]) ἢ φοβȣ́μενος ἀνὴρ τύραννος, τοσȣ́τῳ μᾶλλον ἐπιβȣλεύȣσι καταφρονȣ̃ντες τῆς δειλίας. ἔστιν ȣ̃ν ὁ βίος ὅμοιος, ὥσπερ εἴ[79]) τις καθείρξειέ τινα ἐν εἱρκτῇ μικρᾷ, τῶν μὲν ἄνωθεν ξιφῶν κρεμαμένων· τῶν δὲ κυκλόθεν περιπεπηγότων, καὶ τȣ́των ἁπτομένων τȣ̃ χρωτός. ȣ̓ τῷ σώματι μόνον[80]), ἀλλὰ καὶ τῇ ψυχῇ τȣ̃ τυράννȣ περιπέπηγε τὰ ξίφη, ὥστε τὸν ἐν ᾅδȣ Τάνταλον, ὅν φασι κεφαλῆς ὑπερτέλλοντα δειμαίνειν πέτρον, πολὺ ῥᾴδιον[81]) διάγειν. ȣ̓ γὰρ δὴ ἔτι φοβεῖται ὁ Τάνταλος, μὴ ἀποθάνῃ· τῷ δὲ τυράννῳ ζῶντι τȣ̃το ξυμβέβηκεν, ὃ ἐκείνῳ νεκρῷ λέγȣσιν. ὅσοι μὲν ȣ̃ν μιᾶς γεγόνασι τύραννοι πόλεως, ἢ χώρας ὀλίγης, τȣ́τοις δὲ ȣ̓κ ἀδύνατον ἀποδράσειν[82]) ἐκ τῆς ἀρχῆς, καὶ ἀλλαχόσε ποι καταφυγόντας ζῆν· καίτοι ȣ̓δεὶς ἄνδρα ἀγαπᾷ τύραννον, ἀλλὰ μισȣ̃σί τε καὶ ὑποπτεύȣσι, καὶ ῥᾳδίως ἐκδιδόασι τοῖς ἠδικημένοις· ὅσοι δὲ πολλῶν πόλεων ἄρχȣσι, καὶ ἐθνῶν, καὶ ἀπείρȣ γῆς· ὥσπερ ὁ τῶν Περσῶν βασιλεύς· τȣ́τοις, ȣ̓δὲ

ἂν

78) leuiculum mendum, quod in Venetam irrepsit, sapienter et feliciter correxit Morellus, tametsi vel coecus videre debebat. neque tangerem hoc, nisi iuuaret originem erroris aperire, qui interpreti illusit. Nam cum in Veneta ἐν ab δειλότερος (nam per diphthongum ει exaratum est) longiuscule disiunctum, vt appareret duo vocabula esse, imposuit hoc Naogeorgo, vt existimaret locum sic esse legendum: ὅσῳ γὰρ ἂν ᾖ δειλότερος ἢ φοβ. sic adscripsit vir doctus in ora Venetae meae. Morellus admonet in regio suo vitiose esse exaratum ἐνδειλότερος.

79) malim ὥσπερ ἂν εἰ.

80) f. ȣ̓ γὰρ τῷ σώματι μόνον.

81) ῥᾴδιον] imo vero ῥᾷον.

82) f. τȣ́τȣς μὲν ȣ̓κ ἀδύνατον ἀποδρασείειν, a verbo desideratiuo ἀποδρασείω, *cupio aufugere.*

ἄν ποτε παραστῇ συνεῖναι[83]) τῶν κακῶν, κἂν θεῶν τις ἀφέλοι τὴν ἄγνοιαν αὐτῶν, οὐ δυνατὸν ἐκφυγεῖν. δοκεῖ δὲ οὐδέποτε ἂν ἀσφαλῶς ζῆν, οὐδ' εἰ χαλκοῦς[84]) ἢ σιδηροῦς γένοιτο· ἀλλὰ καὶ οὕτως ἂν κατακοπεὶς ἢ καταχωνευθεὶς ἀπολέσθαι. ἐὰν μὲν οὖν τις αὐτῷ διαλέγηται θαῤῥῶν[85]), ὁ δὲ ὀργίζεται, καὶ δέδοικε τὴν παῤῥησίαν· ἐὰν δὲ θεραπεύων καὶ ὑποκατακλινόμενος[86]), ὑποπτεύει τὴν θεραπείαν. καὶ ὑπὸ μὲν τῶν ἐλευθερίως[87]) προσερχομένων οἴεται ὑβρίζεσθαι· ὑπὸ δὲ τῶν ταπεινοτέρως ἐξαπατᾶσθαι. καὶ λοιδορούμενος, πολλαπλασίως ἀνιᾶται ἄλλως[88]), ὅτι δὴ τύραννος ὤν, ἀκούει κακῶς· ὑπαινούμενος δὲ οὐχ ἥδεται. οὐ γὰρ φρονοῦντας οὕτως οἴεται λέγειν. τοῦ δὲ καλλίστου καὶ λυσιτελεστάτου κτήματος ἀπάντων ἐστὶν ἀπορώτατος, εὐνοίας καὶ φιλίας. ἐλπίσαι δὲ οὐδὲν δύναται παρ' οὐδενός, ἀλλὰ πρότερον οἱ[89]) τοὺς ἀγρίους λέοντας τρέφοντες ἀγαπήσουσιν, ἢ τυράννους οἱ θεραπεύοντες, καὶ προσιόντες. ἐγὼ δέ, βαδίζω μέν, ὅποι βούλομαι νύκτωρ, βαδίζω δὲ μεθ' ἡμέραν μόνος, θαῤῥῶν[90]) δέ, εἰ δέοι καὶ διὰ στρατοπέδου πορευόμενος, ἄνευ κηρυκείου, καὶ διὰ λῃστῶν·

83) συνεῖναι non a σύνειμι, ſed a συνίημι eſt repetendum; et caſtigatioris dictionis ſtudioſi auctores librariique malunt συνιέναι hoc ſenſu vſurpare.
84) ſententia puerilis et frigida, ſed ſophiſta digna.
85) θαῤῥῶν recte dat Veneta, παῤῥῶν Morell.
86) ὑποκατακλινόμενος] ſic Veneta, et quomodo coniectauit Caſaubonus. ὑπερκατ. Morell.
87) ἐλευθερίως — ταπεινοτέρως] ſic recte Caſaubonus. ἐλευθερίων — ταπεινοτέρων Ven. et Morell.
88) ἄλλως] imo vero ἄλλων. *quam alii.*
89) οἱ malim deduci in verſum proximum inferiorem et ante τρέφοντες collocari. alias, manente ordine verborum vulgato, erit αὐτοὺς, *leones* puta, ſubaudiendum ad ἀγαπήσουσιν.
90) θαῤῥῶ in indicat.

οὐδεὶς γὰρ ἐμοὶ πολέμιος, οὐδὲ ἐχθρός ἐστι βαδίζοντι. ἂν δὲ ἅπας ἐκλίπῃ ὁ χρυσὸς, ἅπας δὲ ὁ ἄργυρος, ἅπας δὲ ὁ χαλκὸς, οὐκ ἂν ἐγὼ βλαβείην, οὐδὲ μικρόν. ἂν δὲ ἅπασαι μὲν αἱ οἰκίαι πέσωσιν ὑπὸ σεισμοῦ 91), καθάπερ ἐν Σπάρτῃ ποτέ· καὶ πάντα διαφθαρῇ τὰ πρόβατα, ὡς μηδένα ἐσθῆτος εὐπορῆσαι· μὴ μόνον δὲ τὴν Ἀττικὴν, ἀλλὰ καὶ Βοιωτίαν, καὶ Πελοπόννησον, καὶ Θετταλίαν ἀπορία 92) καταλάβῃ, ὥσπερ ἤδη πρότερόν φασιν, οὐδὲν ἐγὼ χεῖρον οὐδὲ ἀπορώτερον βιώσομαι. παρὰ πόσον μὲν γὰρ ἔσομαι γυμνότερος τοῦ νῦν, πόσῳ δὲ ἀοικότερος; ἱκανὰ δέ μοι τροφὴν παρασχεῖν, καὶ μῆλα 93), καὶ κέγχροι, καὶ κριθαὶ, καὶ ὄροβοι τὰ εὐτελέστατα τῶν ὀσπρίων, καὶ φηγὸς ὑπὸ τῇ τέφρᾳ, καὶ ὁ τῆς κρανείας καρπὸς, ᾗ 94) φησιν Ὅμηρος εὐωχεῖν τοὺς τοῦ Ὀδυσσέως ἑταίρους τὴν Κίρκην, ὑφ' ὧν ἀντέχει τρεφόμενα καὶ τὰ μέγιστα θηρία.

91) σεισμοῦ aut σεισμῶν. prius adſcr. quoque V. D. Venetae meae. Ven. et Mor. dant σεισμόν.

92) ἀπορία in nomin. vt V. D. quoque annotauit. Morell. et Ven. dant in datiuo.

93) Veneta dat μᾶλα. Doriſmus in Dione locum non habet. Horribilis ille terrae motus, qui Spartam euertit, a Noſtro paulo ante commemoratus, euenit anno quarto Olymp. 77. v. Diodor. Sic. XI. 62. p. 471.

94) ᾗ] ſic recte Veneta, *qua ratione*; niſi ad κρανείαν *cornum* referre malis, quod eſt durius. poſſit quoque ᾧ legi, ſcil. καρπῷ. Morell. dat ᾗ, et pro μέγιστα reperit Morellus in ſuo codice μεγάλα, ſed vulgatum praeſtat.

ΕΥΒΟΙΚΟΣ Η ΚΥΝΗΓΟΣ.

ΛΟΓΟΣ Ζ'.

Τὸ δὲ μὴν [1]) αὐτὸς ἰδὼν, οὐ παρ' ἑτέρων ἀκούσας, διηγήσομαι. ἴσως γὰρ οὐ μόνον πρεσβυτικὸν πολυλογία, καὶ τὸ μηδένα διωθεῖσθαι ῥᾳδίως τῶν ἐμπιπτόντων λόγων· πρὸς δὲ τῷ πρεσβυτέρῳ [2]), τυχὸν ἂν εἴη καὶ ἀλητικόν. αἴτιον δὲ, ὅτι πολλὰ τυχὸν οἱ πρεσβύτεροι πεπόνθασιν, ὧν οὐκ ἀηδῶς μέμνηνται. ἐρῶ δ' οὖν, οἵοις ἀνδράσι καὶ ὅντινα βίον ζῶσι, συνέβαλον ἐν μέσῃ σχεδὸν τῇ Ἑλλάδι. ἐτύγχανον μὲν οὖν ἀπὸ Χίου περαιούμενος μετά τινων ἁλιέων, ἔξω τῆς θερινῆς [3]) ὥρας, ἐν μικρῷ παντελῶς ἀκατίῳ. χειμῶνος

1) τὸ δὲ μὴν] Casaubonus vult τόδε μὴν; idemque testatur Morellus a codice Parisino confirmari. nihilo tamen magis mihi persuadent ita leg. esse. non primam vocem vitiose exhibitam esse autumo, sed tertiam τὴν, pro qua malim νῦν, vt sit τὸ δὲ νῦν. quod suspicionem creat, aut intercidisse paucula quaedam, aut certe a lectore subaudienda esse, quorum haec sit sententia: καὶ τὰ μὲν μέχρι τῶνδε παρ' ἑτέρων ἀκούσας διηγησάμην. et haec quidem hactenus, quae ab aliis fama tradita retuli. Nunc autem ordior ea narrare, quae ipsemet oculis meis vidi.

2) Casaubono consentit, praeter necessitatem rei, etiam Anglus. Inepta sunt, quae et Anglus et Wolf. et ad h. l. et ad n. 5. disputant; quibus supersedere poterant, si graeci sermonis fuissent peritiores, neque suas opes omnes in collectaneis depositas habuissent, sed in vsu auctorum.

3) ἔξω τῆς θερινῆς tametsi vniuerse quamcunque aliam tempestatem praeter aestiuam significat, hic loci tamen non aliam indicat, praeter eam, quae statim insequitur aestiuam, id est autumnalem, quae est ἐπ' ἐξόδῳ τῆς θερινῆς ὥρας, vergente, inclinante aestate, cum mare incipit saeuire.

μῶνος δὲ γενομένου, χαλεπῶς καὶ μόλις διεσώθημεν πρὸς τὰ κοῖλα τῆς Εὐβοίας· τὸ μὲν δὴ ἀκάτιον, εἰς τραχύν τινα αἰγιαλὸν ὑπὸ τοῖς κρημνοῖς[4]) ἐκβαλόντες, διέφθειραν[5]), αὐτοὶ δὲ ἀπεχώρησαν πρός τινας πορφυρεῖς[6]) ὑφορμοῦντας ἐπὶ τῇ πλησίον χηλῇ, κἀκείνοις συνεργάζεσθαι διενοοῦντο, αὐτοῦ μένοντες. καταληφθεὶς[7]) δὴ μόνος, οὐκ ἔχων, εἰς τίνα πόλιν σωθήσομαι, παρὰ τὴν θάλατταν ἄλλως ἐπλανώμην· εἴ που τινὰς ἢ παραπλέοντας, ἢ ὁρμοῦντας ἴδοιμι. προεληλυθὼς δὲ συχνὴν, ἀνθρώπων μὲν οὐδένα ἑώρων· ἐπιτυγχάνω δὲ ἐλάφῳ, νεωστὶ κατὰ τοῦ κρημνοῦ πεπτωκότι παρ᾽ αὐτὴν τὴν ῥαχίαν, ὑπὸ τῶν κυμάτων παιομένῳ, φυσῶντι ἔτι. καὶ μετ᾽ ὀλίγον ἔδοξα ὑλακῆς ἀκοῦσαι κυνῶν ἄνωθεν, μόλις πως[8]), διὰ τὸν ἦχον τὸν ἀπὸ τῆς θαλάττης. προελθὼν δὲ καὶ προβὰς[9]) πάνυ χαλεπῶς πρός τι ὑψηλὸν, τούς τε κύνας ὁρῶ[10]) ἠπορημένους καὶ διαθέοντας· ὑφ᾽ ὧν εἴκαζον, ἀποβιασθὲν τὸ ζῶον, ἀλέσθαι κατὰ τοῦ κρημνοῦ· καὶ μετ᾽ ὀλίγον ἄνδρα,

4) ὑπὸ τοῖς κρημνοῖς] a scopulis. ὑπὸ hic idem est atque *per*, *propter*. in locum cum adegissent nauiculam, quem locum coeci, aut parum exstantes scopuli fecissent asperum.

5) διέφθειραν] tradiderunt vndis confringendum.

6) Morellus ad vocem πορφυρεῖς affert scholium, in quo emendando suam iactat solertiam, sed eam profecto infelicem et sinistro loco adhibitam. rectum enim est κητουλάριοι. *cetularii* vulgari sermone appellabantur hi piscatores purpurarii a voc. κήτη, cete. Inepta itaque est etymologia scholiastae, et nota digna, non ipsa vox.

7) f. καταλειφθεὶς *derelictus*.

8) f. μόλις δέ πως.

9) mauult Anglus προσβὰς, in quo ei Wolf, pro more suo, assentitur. Sed frustra ambo. προελθεῖν est in via plana procedere, προβῆναι est in altum eniti, contendere.

10) ὁρῶ] sic dedi, nam alias pendet oratio sublimis, et natat, fulcro destituta. ὁρῶν Morell. et Ven.

δρα, κυνηγέτην ἀπὸ τῆς ὄψεως καὶ τῆς στολῆς, τὰ γένεια ὑγιῆ 11), κομῶντα, οὐ φαύλως οὐδὲ ἀγεννῶς, ἐξόπισθεν· οἵους ἐπὶ Ἴλιον φησὶν Ὅμηρος ἐλθεῖν, Εὐβοέας 12), σκώπτων 13) ἐμοὶ δοκεῖν καὶ καταγελῶν, ὅτι τῶν ἄλλων Ἀχαιῶν καλῶς ἐχόντων, οἱ δὲ ἐξ ἡμίσεως ἐκόμων. καὶ ὃς ἀνηρώτα με· ἀλλ' ἦ, ὦ ξένε, τῇ δέ που φεύγοντα ἔλαφον κατενόησας; κἀγὼ πρὸς αὐτόν· ἐκεῖνος, ἔφην, ἐν τῷ κλύδωνι ἤδη, καὶ ἀγαγὼν ἔδειξα. ἑλκύσας οὖν αὐτὸν ἐκ τῆς θαλάττης, τό τε δέρμα ἐξέδειρε μαχαίρᾳ, κἀμοῦ ξυλλαμβάνοντος, ὅσον οἷός τε ἦν καὶ τῶν σκελῶν ἀποτεμὼν τὰ 14) ὀπίσθια, ἐκόμιζεν ἅμα τῷ δέρματι. παρεκάλει δὲ κἀμὲ συνακολουθεῖν, καὶ συνεστιᾶσθαι τῶν κρεῶν. εἶναι δὲ οὐ μακρὰν τὴν οἴκησιν. ἔπειτα ἕωθεν, ἔφη, παρ' ἡμῖν κοιμηθεὶς, ἥξεις ἐπὶ τὴν θάλατταν, ὡς τά γε νῦν οὐκέτι πλώϊμα. καὶ μὴ τοῦτο, εἶπε, φοβηθῇς. βουλοίμην 15) δ' ἂν ἔγωγε

καὶ

11) τὰ γένεια ὑγιῆ] non rasum quoad malas, barba integra. exponit Morellus pluribus, sed more suo ineptiuscule.

12) Euboeae incolae frontem vsque ad verticem tondebant, occiput sinebant prolixe comatum, coma profusa super scapulas dependente. v. Plutarch. Theseo p. 5. et Libanii T. II. ed. Mor. p. 489, 42.

13) σκώπτων. vitium typographicum σκόπτων e Ven. in Morell. est deriuatum.

14) Viderunt iam Casaubonus et Anglus leg. esse ἀποτεμὼν τὰ, duobus vocabulis; videtur idem interpres quoque sensisse, quem Wolfius cauisset reprehendere, si meminisset participia graecorum aoristorum et perfectorum actiua posse saepe in latinis reddi per participia perfect. pass. quod est vulgatissimum. Ven. dat ἀποτεμῶντα, et Mor. ἀποτεμόντα.

15) φοβηθῇς. βουλοίμην] sic recte Veneta. Sententia haec est. Venator negarat mare ista tempestate amplius esse nauigabile; qua oratione videns consternatum et trepidantem Dionem, confirmat eum his verbis: Noli, inquit, ab hac oratione perterreri, nam tua equidem causa

καὶ μετὰ πέντε ἡμέρας λῆξαι τὸν ἄνεμον· ἀλλὰ οὐ ῥᾴδιον, εἶπεν, ὅταν οὕτω πιεσθῇ τὰ ἄκρα τῆς Εὐβοίας ὑπὸ τῶν νεφῶν, ὥς γε νῦν κατειλημμένα ὁρᾷς. καὶ ἅμα ἠρώτα με, ὁπόθεν δὴ, καὶ ὅπως ἐκεῖ κατηνέχθην, καὶ εἰ μὴ[16]) διεφθάρη τὸ πλοῖον. μικρὸν ἦν παντελῶς, ἔφην· ἁλιέων τινῶν περαιουμένων, κἀγὼ μόνος ξυνέπλουν[17]) ὑπὸ σπουδῆς τινος. διεφθάρη δ' ὅμως[18]) ἐπὶ τὴν γῆν ἐκπεσόν. οὔκουν[19]) ῥᾴδιον, ἔφη, ἄλλως. ὅρα γὰρ, ὡς ἄγρια καὶ σκληρὰ τῆς νήσου τὰ πρὸς τὸ πέλαγος. καὶ ταῦτ', εἶπεν, ἐστὶ τὰ κοῖλα τῆς Εὐβοίας λεγόμενα, ὅπου κατενεχθεῖσα ναῦς, οὐκ ἂν ἔτι σωθείη· σπανίως δὲ σώζονται καὶ τῶν ἀνθρώπων τινὲς, εἰ μὴ ἄρα, ὥσπερ

ſa velim mare intra quintum diem placari. Sed valde vereor, ne diutius pergat ſaeuire. Non ſolet quidem animus ſollicitus pacari oſtendendo periculo: ſed vtrumque vult venator, et bono Dionem eſſe animo iubet, et de imminentibus moleſtiis admonet, quo rebus ille ſuis mature conſulat. Morell. dat φοβηθείς. βουλόμην.

16) μὴ bene habet. neſcio, quae ἀβλεψία Caſaubonum hic deceperit. *annon perierit nauigium?* idem eſt ac ſi dixiſſet: tu negas id periſſe? fieri id poteſt? vix credam. fieri nequit, vt ex hoc aeſtu maris et ex hac tanta procella ſaluum euaſerit.

17) ξυνέπλουν] non ſic ſolent graeci formare verbum πλέω et inde ducta; ſed ἔπλεον et ξυνέπλεον, quod malim. ducit eo quoque Veneta, in qua eſt ξυνέπλον.

18) διεφθάρη δὲ ὅμως] tametſi leue eſſet, tamen periit. Solent nauigia leuia facilius tempeſtatem et naufragium effugere, quia magis cedunt, leuius natant, minus ventis et vndis reſiſtunt, minus in arenis ſubſidunt, minus in ſcopulos et breuia impingunt; vt arbores flexiles et graciles minus ſunt ruinae a vi turbinum obnoxiae, quam robuſtae, annoſae et peruicaces.

19) οὔκουν] Morellus praefert e ſuo codice οὐκ ἦν — idem Anglus quoque adſcripſerat; ſed vtrumque bene habet. ſubauditur γίγνεσθαι. *non facile erat aliter euenire.* ſed pro ὅρα malim ὁρᾷς, *vides.*

περ ὑμεῖς [20]), ἐλαφροὶ παντελῶς πλέοντες. ἀλλ' ἴθι, καὶ μηδὲν δείσῃς [21]). νῦν μὲν ἐκ τῆς κακοπαθείας ἀνακτήσῃ σαυτόν. εἰσαύριον δὲ, ὅτι ἂν ᾖ δυνατὸν, ἐπιμεληθησόμεθα, ὅπως σωθῇς, ἐπειδή σε ἔγνωμεν ἅπαξ. δοκεῖς δέ μοι τῶν ἀστυκῶν [22]) εἶναί τις, οὐ ναύτης, οὐδ' ἐργάτης, ἀλλὰ ἄλλην τινὰ ἀσθένειαν [23]) τοῦ σώματος ἀσθενεῖν ἔοικας, ἀπὸ τῆς ἰσχνότητος. ἐγὼ δὲ ἄσμενος ἠκολούθουν. οὐ γάρ ἐπιβουλευθῆναί ποτε ἔδεισα· οὐδὲν ἔχων, ἢ φαῦλον ἱμάτιον. καὶ πολλάκις μὲν δὴ καὶ ἄλλοτε ἐπειράθην ἐν τοῖς τοιούτοις καιροῖς, ἅτε ἐν ἄλῃ συνεχεῖ, αὐτὰρ οὖν δὴ καὶ τότε, ὡς ἔστι πενία χρῆμα τῷ ὄντι ἱερὸν καὶ ἄσυλον· καὶ οὐδεὶς ἀδικεῖ πένητας, οὐδέν γε ἧττον [24]), ἢ τοὺς τὰ κηρύκεια ἔχοντας. ὃς [25]) δὴ καὶ τότε θαῤῥῶν, εἱπόμην, ἅτε ἔχων οὐδὲν, ἢ φαῦλον ἱμάτιον [26]). ἦν δὲ σχεδόν τι περὶ τὰ

20) ὑμεῖς] sic dedi. tu, cum piscatoribus, tui traiectus comitibus; quemadmodum etiam interpres reddidit, et vir doctus Venetae meae adscripsit. Morell. dat ἡμεῖς.

21) δείσῃς] imo vero δείσας. aut illo seruato, leg. νῦν μὲν γὰρ ἐκ τῆς κακ.

22) ἀστυκῶν] Veneta dat ἀστικῶν. vtroque modo vocabulum exaratur.

23) ἀλλ' — ἀσθένειαν] videntur hic quaedam desiderari. sententia postulat haec ferme: ἀλλ' ἄλλην τινὰ τέχνην ἐπιτηδεύειν. καὶ μὴν καί τινα ἀσθένειαν. *Sed aliam quandam artem exercere. sed et praeterea morbo corpus tuum tentari videtur, id quod e macie tua colligo.*

24) οὐδέν γε ἧττον] Morellus testatur in codice suo a se lectum esse πολύ γε ἧττον, idque probat ipse et commendat. videtur in libris Dionis olim gemina esse versata lectio, altera οὐδέν γε μᾶλλον, altera πολύ γε ἧττον, quarum perinde est vtram optes.

25) ὃς] adscripsit vir doctus Venetae meae ὡς, malim tamen οἷς. *quibus ego fisus* vel *fretus*.

26) ἔχων οὐδὲν ἢ φ. ἱ.] modo dixerat idem paulo ante. in medio relinquam, vtrum censendus sit Dio hoc studiose

se

τὰ τετταράκοντα στάδια πρὸς τὸ χωρίον. ὡς οὖν ἐβαδίζομεν, διηγεῖτό μοι κατὰ τὴν ὁδὸν τὰ αὑτοῦ πράγματα, καὶ τὸν βίον, ὃν ἔζη μετὰ γυναικὸς αὑτοῦ καὶ παίδων. ἡμεῖς γάρ, ἔφη, δύ' ἐσμέν, ὦ ξένε, τὸν αὐτὸν οἰκοῦντες τόπον. ἔχομεν δὲ γυναῖκας ἀλλήλων ἀδελφάς, καὶ παῖδας ἐξ αὐτῶν υἱοὺς καὶ θυγατέρας. ζῶμεν δὲ ἀπὸ θήρας ὡς τὸ πολύ, μικρόν τι τῆς γῆς ἐπεργαζόμενοι. τὸ γὰρ χωρίον οὐκ ἔστιν ἡμέτερον, οὔτε πατρῷον, οὔτε ἡμεῖς ἐκτησάμεθα. ἀλλὰ ἦσαν οἱ πατέρες ἡμῶν ἐλεύθεροι μέν, πένητες δὲ οὐχ ἧττον ἡμῶν, μισθοῦ βουκόλοι, βοῦς νέμοντες ἀνδρὸς μακαρίου τῶν ἐνθένδε τινὸς ἐκ τῆς νήσου, πολλὰς μὲν ἀγέλας καὶ ἵππων καὶ βοῶν κεκτημένου, πολλὰς δὲ ποίμνας, καλοὺς δὲ καὶ πολλοὺς ἀγρούς, πολλὰ δὲ ἄλλα χρήματα [27]), ξύμπαντα δὲ ταῦτα τὰ ὄρη. οὗ δὴ ἀποθανόντος, καὶ τῆς οὐσίας δημευθείσης· φασὶ δὲ καὶ αὐτὸν ἀπολέσθαι διὰ τὰ χρήματα ὑπὸ τοῦ βασιλέως· τὴν μὲν ἀγέλην εὐθὺς ἀπήλασαν, ὥστε κατακόψαι [28])· πρὸς δὲ τῇ ἀγέλῃ καὶ τὰ ἡμέτερα ἄττα βοΐδια. καὶ τὸν μισθὸν οὐδεὶς ἀπέδωκε. τότε μὲν δὴ ἐξ ἀνάγκης αὐτοῦ κατεμείναμεν, οὗπερ ἐτύχομεν τὰς βοῦς ἔχοντες, καί τινας σκηνὰς πεποιημένοι, καὶ αὐλὴν διὰ ξύλων, οὐ μεγάλην, οὐδὲ ἰσχυρὰν [29]), μόσχων

ἕνεκεν,

se inculcare voluisse, an librarius imprudens de suo addiderit e superioribus repetitum.

27) malim πολλὰ δὲ καὶ ἄλλα χρ.

28) ὥστε κατακόψαι] satis intelligo, armenta, boues, capras, oues, sues abigi ad macellum, quo carnes earum concidantur. sed erant in illis gregibus equi, qui non sic conciduntur. ergo κατακόψαι hic latino more vsurpauit Dio, pro *diuendere, sectioni subiicere, consecare?* notum, qui sint latinis *sectores*, quae *sectiones*. malim tamen istaec pro ingeniosis commentis, quam pro veris scitis, haberi.

29) ἰσχυρὰν] tenacem, impetui resistere valentem, ἐχυ-

ρὰν,

ἕνεκεν[30]), ὡς ἂν, οἶμαι, πρὸς αὐτό που τὸ θέρος. τοῦ μὲν γὰρ χειμῶνος ἐν τοῖς πεδίοις ἐνέμομεν, νομὴν ἱκανὴν ἔχοντες, καὶ πολὺν χιλὸν ἀποκείμενον· τοῦ δὲ θέρους ἀπηλαύνομεν εἰς τὰ ὄρη. μάλιστα δ' ἐν τούτῳ τῷ τόπῳ τὸν σταθμὸν ἐποιοῦντο[31]). τότε γὰρ χωρίον ἀπόρρυτον[32]). ἑκατέρωθεν δὲ φάραγξ βαθεῖα καὶ σύσκιος. καὶ διὰ μέσου ποταμὸς οὐ τραχὺς, ἀλλ' ὡς ῥᾷστος ἐμβῆναι, καὶ βουσὶ, καὶ μόσχοις. τὸ δὲ ὕδωρ πολὺ καὶ καθαρὸν, ἅτε τῆς πηγῆς ἐγγὺς ἀναδιδούσης. καὶ πνεῦμα τοῦ θέρους[33]) ἀεὶ διαπνέοντα διὰ τῆς φάραγγος. οἵ τε περικείμενοι δρυμοὶ, μαλακοὶ, καὶ καταρρυτοι, ἥκιστα μὲν οἶστρον τρέφοντες, ἥκιστα δὲ ἄλλην τινὰ βλάβην βουσί. πολλοὶ δὲ καὶ πάγκαλοι λειμῶνες ὑπὸ ὑψηλοῖς τε καὶ ἀραιοῖς[34]) δένδρεσιν ἀνειμένοι. καὶ πάντα μεστὰ

Βοτά-

ρὰν, vel ὀχυρὰν. In V. L. Venetae repetitum eſt idem ἰσχυρὰν, quod eſt in texto; quod indicio eſt, a collectore in aliis repertam eſſe aliam lectionem, quae ſine dubio fuit alterutra ex illis duabus, quas poſui.

30) molitur hic aliquid Caſaubonus, ſed infeliciter. Verba bene habent. faciebamus, inquit paſtor, ſaepim quandam, vitulorum ſolummodo gratia, intra quam vituli continerentur, a ferarum noxiis tuti, et id quidem in iſtam ſolummodo aeſtatem, non vlterius. recte percepit et reddidit interpres hunc locum.

31) ἐποιοῦντο] cum ἀπηλαύνομεν modo dixiſſet, ſubito mutat orationem. ſubaudi itaque *patres noſtri.*

32) ἀπόῤῥυτον] imo vero ἐπίῤῥυτον vel κατάῤῥυτον. quod vtrumque iam Caſaubonus propoſuit, prius ſolummodo Morellus, qui e regio ſuo ἀπόῤῥητον protulit. Vir doctus tamen id ipſum adſcripſit Venetae meae, interpretans *ſemotus.* haud placet. ſine dubio Caſaubonus verum vidit; facile ἀπὸ et κατὰ in codicibus inſtis inter ſe permutantur, quia ſiglis exarantur inter ſe perſimilibus.

33) πνεῦμα τοῦ θέρους] lege πνεύματα θέρους, *aurae per aeſtatem iugiter perſpirantes.* θέρους ita dicitur, vt ἦρος, χειμῶνος, *tempeſtate verna, biberna.*

34) ἀραιοῖς] facile ſuccurrat ὡραίοις, ſed bene habet vul-

βοτάνης εὐθαλοῦς δι' ὅλου τοῦ θέρους· || ὥστε μὴ πολὺν πλανᾶσθαι τόπον. ὧν δὴ ἕνεκα συνήθως ἐκεῖ καθέσασαν[35]) τὴν ἀγέλην. καὶ τότε ἔμειναν ἐν ταῖς σκηναῖς, μέχρι ἂν εὕρωσι μισθόν τινα, ἢ ἔργον[36]), καὶ διετράφησαν ἀπὸ χωρίου μικροῦ παντελῶς, ὃ ἔτυχον εἰργασμένοι πλησίον τοῦ σταθμοῦ. τοῦτο ἐπήρκεσεν αὐτοῖς ἱκανῶς, ἅτε κόπρου πολλῆς ἐνούσης, καὶ σχολὴν ἄγοντες ἀπὸ βοῶν, πρὸς θήραν ἐτράπησαν, τὸ μὲν[37]) αὐτοί, τὰ δὲ καὶ μετὰ κυνῶν. δύο γὰρ τῶν ἑπομένων ταῖς βουσὶν[38]), ὡς δὴ μακρὰν ἦσαν οὐχ ὁρῶντες τοὺς νομεῖς, ἐπέστρεψαν ἐπὶ τὸν τόπον, καταλιπόντες τὴν ἀγέλην. οὗτοι τὸ μὲν πρῶτον συνηκολούθουν αὐτοῖς, ὥσπερ ἐπ' ἄλλο τι· καὶ τοὺς μὲν λύκους ὁπότε ἴδοιεν, ἐδίωκον μέχρι τινός, συῶν δὲ ἢ ἐλάφων οὐδὲν αὐτοῖς ἔμελεν. εἰ δέ ποτε ἴδοιεν τῶν ἀνθρώπων τινὰ ὀψὲ καὶ πρωῒ συνιστάμενοι, ὑλάκτουν τε καὶ ἤμυνον, ὥσπερ ἂν εἰ πρὸς ἄνθρωπον[39]) ἐμάχοντο. γευόμενοι δὲ τοῦ αἵματος, καὶ συῶν καὶ ἐλάφων, καὶ τῶν κρεῶν πολλάκις ἐσθίοντες· ὀψὲ μετα-

gata. gramen laetius prouenit ſub arboribus non nimis denſis.

35) καθέσασαν] ſiccine vſurpatur pro καθεστάκεσαν in plusquamperfecto? Haud ſcio; noui equidem ἕστηκα in perfecto nonnunquam vſurpari eodem ſenſu atque ἔστησα *conſtitui, collocaui*, ſed tutius fuerit καθίστασαν hic exarari.

36) ἢ ἔργον videtur delendum vt e ſcholio vocabuli μισθὸν natum. μισθὸν εὑρίσκειν, ἔργον εὑρίσκειν idem eſt atque μισθοδότην, ἐργοδότην εὑρίσκειν.

37) aut τὸ μὲν, τὸ δὲ, aut τὰ μὲν, τὰ δὲ.

38) ταῖς βουσὶν] illis puta, quae, bonis heri confiſcatis, in vrbem abactae fuiſſent, et macello addictae.

39) neſcio, quid ſibi velit coniectura Morelli ἄνθρωπος πρ. orae ed. ſuae adſcripta. πρὸς ἄνθρωπον idem eſt, atque πρὸς πᾶν ἀνθρώπινον γένος. *quaſi bellum ipſis eſſet cum vniuerſo genere humano.*

μεταμαθόντες, κρέασιν ἀντὶ μάζης ἥδεσθαι. τῶν μὲν[40], ἐμπιπλάμενοι, εἴ ποτε ἀλώη τις, σίτου, ὁπότε δὲ μὴ, πεινῶντες μᾶλλον ἤδη τῷ τοιούτῳ προσεῖχον. καὶ τὸ φαινόμενον ἐδίωκον, πᾶν ὁμοίως, καὶ ὀσμῆς ἀμηγέπη, καὶ ἴχνους ᾐσθάνοντο· καὶ ἀπέβησαν ἀντὶ βουκόλων τοιοῦτοί τινες ὀψιμαθεῖς καὶ βραδύτεροι θηρευταί. χειμῶνος δὲ ἐπελθόντος, ἔργον μὲν οὐδὲν ἦν πεφηνὸς αὐτοῖς, οὔτε εἰς ἄστυ καταβᾶσιν, οὔτε εἰς κώμην τινά. φραξάμενοι δὲ τὰς σκηνὰς ἐπιμελέστερον, καὶ τὴν αὐλὴν πυκνοτέραν ποιήσαντες, οὕτως διεγένοντο, καὶ τὸ χωρίον ἐκεῖνο πᾶν εἰργάσαντο, καὶ τῆς θήρας ἡ χειμερινὴ ῥάων ἐγίγνετο. τὰ γὰρ ἴχνη φανερώτερα, ὡς ἂν ἐν ὑγρῷ τῷ ἐδάφει σημαινόμενα· ἡ δὲ χιὼν, καὶ πάνυ τηλαυγῆ παρέχει· ὥστε οὐδὲν δεῖ ζητοῦντα πράγματα ἔχειν, ὥσπερ ὁδοῦ φερούσης ἐπ' αὐτά, καὶ τὰ θηρία μᾶλλόν τι ὑπομένειν[41]), ὀκνοῦντα. ἔστι δ' ἔτι καὶ λαγὼς καὶ δορκάδας ἐν ταῖς εὐναῖς καταλαμβάνειν. οὕτω δὴ τὸ ἀπ' ἐκείνου διέμειναν, οὐδὲν ἔτι προσδεηθέντες ἄλλου βίου. καὶ ἡμῖν συνέζευξαν γυναῖκας, τοῖς ἀλλήλων υἱέσιν ἑκάτερος τὴν αὐτοῦ θυγατέρα. τεθνήκασι δὴ ἀμφότεροι πέρυσι σχε-

40) locum hunc Casaubonus depositum reliquit pro desperato, questus, obscurissimum esse. Morellus, item impeditum appellans, attulit e regio suo lectionem, a qua magis adhuc impediretur. multo magis inexplicabilia sunt, quae Anglus et Wolf proposuere, quae referre taedet. Breuibus itaque, quomodo constituendum hunc locum existimem, dicam. sana sunt reliqua omnia, praeterquam quod vnum verbum ἀπείχοντο sit post τῶν μὲν addendum, et pro ἀλώη leg. δώη, vt sic decurrat oratio: τῶν μὲν [scil. κρεῶν] ἀπείχοντο, a carnibus ferinis sese abstinebant, easque fastidiebant, si saturati essent pane, modo esset, qui panis sat daret. ἐμπιμπλάμενοι, εἴ ποτε δώη τις, σίτου.

41) ὑπομένει.

δὸν, τὰ μὲν ἔτη πολλὰ ἔλεγον [42]), ἃ ἐβεβιώκεσαν, ἰσχυροὶ δὲ ἔτι καὶ νέοι καὶ γενναῖοι τὰ σώματα. τῶν δὲ μητέρων ἡ ἐμὴ περίεστιν. ὁ μὲν οὖν ἕτερος ἡμῶν οὐδεπώποτε εἰς πόλιν κατέβη, πεντήκοντα ἔτη γεγονώς [43])· ἐγὼ δὲ δὶς μόνον, ἅπαξ μὲν ἔτι παῖς μετὰ τοῦ πατρὸς, ὁπηνίκα τὴν ἀγέλην εἴχομεν. ὕστερον δὲ ἧκέ τις ἀργύριον αἰτῶν, ὥσπερ ἔχοντάς τι, κελεύων ἀκολουθεῖν εἰς τὴν πόλιν. ἡμῖν δὲ ἀργύριον μὲν οὐκ ἦν, ἀλλ' ἀπωμοσάμην μὴ ἔχειν· εἰ δὲ μὴ [44]), δεδωκέναι ἄν. ἐξενίσαμεν δὲ αὐτὸν ὡς ἐδυνάμεθα μάλιστα [45]), καὶ δύο ἐλάφεια δέρματα ἐδώκαμεν, κἀγὼ ἠκολούθησα εἰς τὴν πόλιν. ἔφη γὰρ ἀνάγκην εἶναι τὸν ἕτερον ἐλθεῖν, καὶ διδάξαι περὶ τούτων. εἶδον οὖν, οἷα καὶ πρότερον, οἰκίας πολλὰς, καὶ μεγάλας, τεῖχος ἔξωθεν καρτερὸν, καὶ οἰκήματά τε ὑψηλὰ καὶ τετράγωνα ἐν τῷ τείχει, τοὺς πύργους [46]), καὶ πλοῖα πολλὰ ὁρμοῦντα, ὥσπερ ἐν λίμνῃ, ἐν τῷ λιμένι, κατὰ πολλὴν ἡσυχίαν. τοῦτο δὲ ἐνθάδε οὐκ ἔστιν οὐδαμοῦ, ὅπου κατηνέχθης· καὶ διὰ τοῦτο αἱ ναῦς ἀπόλλυνται. ταῦτα οὖν ἑώρων,

καὶ

42) ἔλεγον] imo vero λέγοντες; non mutarem vulgatam, si mox sequeretur ἦσαν post ἰσχυροὶ δὲ ἔτι. sed cum ibi ὄντες subaudiatur, necesse hic est participium imperfecto suffici.

43) γεγονὼς] sic recte dat Veneta. γεγενὼς Morell.

44) εἰ δὲ μὴ] quod si secus esset, h. e. si pecuniati essemus.

45) sic distinguo: *vt maxime*, quam splendidissime *poteramus*. ἐδυνάμεθα· μάλιστα καὶ — Miserabilem in modum corrupta est distinguendi ratio in Dione vulgato, vtroque; quod in Veneto minus est indignandum, atque in Parisino. nos vero haec, quae minutiora videntur, parum diligenter annotabimus.

46) τοὺς πύργους] haec duo vocabula ita sunt accipienda, vt a Dione ipso subiecta, illuminationis ergo, quo lector intelligeret, quae aedificia venator designasset; nam venatoris quidem illa personam minus decent.

καὶ πολὺν ὄχλον ἐν τούτῳ[47]) συνειργμένον, καὶ θόρυβον ἀμήχανον, καὶ κραυγήν· ὥστε ἐμοὶ ἐδόκουν πάντες μάχεσθαι ἀλλήλοις. ἄγει οὖν με πρός τινας ἄρχοντας. καὶ εἶπε γελῶν· οὗτός ἐστιν, ἐφ' ὃν με ἐπέμψατε. ἔχει δὲ οὐδὲν, εἰ μή γε τὴν κώμην, καὶ σκηνὴν μάλα ἰσχυρῶν ξύλων. οἱ δὲ ἄρχοντες εἰς τὸ θέατρον ἐβάδιζον, κἀγὼ σὺν αὐτοῖς. τὸ δὲ θέατρόν ἐστιν, ὥσπερ φάραγξ, κοῖλον, πλὴν οὐ μακρὸν ἑκατέρωθεν, ἀλλὰ στρογγύλον ἐξ ἡμίσους, οὐκ αὐτόματον, ἀλλ' ᾠκοδομημένον λίθοις. ἴσως δέ μου καταγελᾷς, ὅτι διηγοῦμαι σαφῶς εἰδότι ταῦτα. πρῶτον μὲν οὖν πολύν τινα χρόνον ἄλλα τινὰ ἔπραττεν ὁ ὄχλος, καὶ ἐβόων ποτὲ μὲν πρᾴως καὶ ἱλαρῶς, πάντες ἐπαινοῦντές τινας· ποτὲ δὲ σφόδρα καὶ ὀργίλως. κατὰ δὲ τοῦτο χαλεπὸν τὸ τῆς ὀργῆς αὐτῶν· καὶ τοὺς ἀνθρώπους εὐθὺς ἐξέπληττον, οἷς ἀνέκραγον· ὥστε οἱ μὲν αὐτῶν περιτρέχοντες, ἐδέοντο· οἱ δὲ τὰ ἱμάτια ἐῤῥίπτουν ὑπὸ τοῦ φόβου. ἐγὼ δὲ καὶ αὐτὸς ἅπαξ ὀλίγου κατέπεσον ὑπὸ τῆς κραυγῆς· ὥσπερ κλύδωνος ἐξαίφνης, ἢ βροντῆς ἐπιῤῥαγείσης. ἄλλοι δέ τινες ἄνθρωποι εἰσιόντες, οἱ δ' ἐκ μέσων ἀνιστάμενοι, διελέγοντο πρὸς τὸ πλῆθος· οἱ μὲν ὀλίγα ῥήματα, οἱ δὲ πολλοὺς λόγους. καὶ τῶν μὲν ἤκουον πολύν τινα χρόνον, τοῖς δὲ ἐχαλέπαινον εὐθὺς φθεγξαμένοις, καὶ οὐδὲ γρύζειν ἐπέτρεπον. ἐπεὶ δ' ἐκάθησάν ποτε, καὶ ἡσυχία ἐγένετο, παρήγαγον κἀμέ. καὶ εἶπέ τις· οὗτός ἐστιν, ὦ ἄνδρες, τῶν καρπουμένων τὴν δημοσίαν γῆν πολλὰ ἔτη, οὐ μόνος αὐτὸς, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ πρότερον, καὶ κατανέμουσι τὰ ἡμέτερα ὄρη, καὶ γεωργοῦσι, καὶ θηρεύουσι καὶ ἀμπέλους ἐμπεφυτεύκασι· καὶ οἰκίας ἐνῳκοδομήκασι πολλὰς, καὶ ἄλλα πολλὰ ἔχουσιν ἀγαθὰ,

47) ἐν τούτῳ] malim ἐν ταὐτῷ *in eodem loco.*

γαθὰ, οὔτε τιμὴν καταβαλόντες 48) οὐδενὶ τῆς γῆς, οὔτε δωρεὰν παρὰ τοῦ δήμου λαβόντες. ὑπὲρ τίνος 49) γὰρ ἄν, καὶ ἔλαβον. ἔχοντες δὲ τὰ ἡμέτερα, καὶ πλουτοῦντες, οὔτε λειτουργίαν πώποτε ἐλειτούργησαν οὐδεμίαν, οὐδὲ μοῖράν τινα ἐπιτελοῦσι τῶν γιγνομένων 50)· ἀλλ' ἀτελεῖς καὶ ἀλειτούργητοι διατελοῦσιν, ὥσπερ εὐεργέται τῆς πόλεως. οἶμαι δὲ, ἔφη, μηδὲ ἐληλυθέναι πώποτε αὐτοὺς ἐνθάδε. κἀγὼ ἀνένευσα. ὁ δὲ ὄχλος ἐγέλασεν, ὡς εἶδε. καὶ ὁ λέγων ἐκεῖνος ὠργίσθη ἐπὶ τῷ γέλωτι, καί μοι ἐλοιδορεῖτο. ἔπειτα ἐπιστρέψας 51)· εἰ οὖν, ἔφη, δοκεῖ ταῦτα οὕτως, οὐκ ἂν φθάνοιμεν 52) τὰ κοινὰ διαρπάσαντες, οἱ

48) καταβαλόντες] ſic dedi, quod ipſa rei ratio flagitat atque demonſtrat; et in hoc conſentiunt interpres latinus, Caſaubonus et Anglus. Veneta et Morell.. dant καταλαβόντες, et V. L. Venetae καταβάλλοντες, paulo minus recte, ſed quod ferendo ſit. In regio fuiſſe καταβαλόντες nullus dubito, tametſi operae Morelli manum perperam reddiderunt.

49) τίνος] ſic dedi cum accentu in penultima; interrogat enim. [Morelliana τινὸς] ſed hoc Morellus iam dudum occupauerat, quem olim peperceram inſpicere, non ſine cauſa ego equidem, vidi tamen poſtmodum, olitorem quoque interdum haud importuna loquutum.

50) τῶν γιγνομένων] id eſt τῶν ἐπιβαλλουσῶν, pro rata cuique ſua parte obtingentium. μοῖρα hic eſt contributio, penſio pecuniaria, ad onera reip. leuanda.

51) ἐπιστρέψας] id eſt ἐπιστρεφέως εἰπὼν, *contentione ſpiritus et oratione vſus*, acri et minaci vultu, voce truci et elata, aut ἐπιστρέψας, ſcil. τοὺς ἀκροατὰς πρὸς ἑαυτὸν, aut πρὸς ἑαυτοὺς, obiurgatis, increpatis aſpere auditoribus ad conſiderationem ſeriam et attentam rei propoſitae reuocatis ab intempeſtiuo riſu.

52) οὐκ ἂν φθάνοιμεν] *quid prohibet, quominus publicas opes quam citiſſime diripiamus?* aut vt Anglus reddidit: *cur non, quam citiſſime poſſumus, communia diripimus?* Et ſic ferme Morellus quoque, qui admonet regium ad φθάνοιμεν

οἱ μὲν τὰ χρήματα τῆς πόλεως· ὥσπερ ἀμέλει καὶ νῦν ποιοῦσι τινές· οἱ δὲ, τὴν χώραν κατανειμάμενοι μὴ πείσαντες ὑμᾶς· ἐὰν ἐπιτρέψητε τοῖς θηρίοις τούτοις προῖκα ἔχειν πλέον, ἢ χίλια πλέθρα γῆς τῆς ἀρίστης, ὅθεν ὑμῖν ἔστι τρεῖς χοίνικας Ἀττικὰς σίτου λαμβάνειν κατ' ἄνδρα. ἐγὼ δὲ ἀκούσας ἐγέλασα ὅσον ἐδυνάμην μέγιστον. τὸ δὲ πλῆθος οὐ κατεγέλων, ὥσπερ πρότερον, ἀλλ' ἐθορύβουν. ὁ δὲ ἄνθρωπος ὁ ῥήτωρ ἐχαλέπαινε, καὶ δεινὸν ἐμβλέψας εἰς ἐμὲ εἶπεν· ὁρᾶτε τὴν εἰρωνείαν καὶ τὴν ὕβριν τοῦ καθάρματος, ὡς καταγελᾷ πάνυ θρασέως; ὃν ἀπάγειν ὀλίγου δέω [53]) καὶ τὸν κοινωνὸν αὐτοῦ. πυνθάνομαι γὰρ δύο εἶναι τοὺς κορυφαίους τῶν κατειληφότων ἅπασαν σχεδὸν τὴν ἐν τοῖς ὄρεσι χώραν. οἶμαι γὰρ αὐτοὺς μηδὲ τῶν ναυαγίων ἀπέχεσθαι τῶν ἑκάστοτε ἐκπιπτόντων ὑπὲρ αὐτὰς σχεδόν τι τὰς Καφηρηΐδας [54]) οἰκοῦντας. πόθεν γὰρ οὕτω πολυτελεῖς ἀγροὺς, μᾶλλον δὲ ὅλας κώμας κατεσκευάσαντο, καὶ τοσοῦτο πλῆθος βοσκημάτων, καὶ ζεύγη, καὶ ἀνδράποδα; καὶ ὑμεῖς δὲ ἴσως ὁρᾶτε αὐτοῦ τὴν ἐξωμίδα ὡς φαύλη, καὶ τὸ δέρμα ὃ ἐλήλυθε δεῦρο ἐναψάμενος τῆς ὑμετέρας ἕνεκα ἀπάτης, ὡς πτωχὸς δηλονότι, καὶ οὐδὲν ἔχων. ἐγὼ μὲν γὰρ, ἔφη, βλέπων αὐτὸν, μικροῦ δέδοικα, ὥσπερ, οἶμαι, τὸν Ναύπλιον ὁρῶν ἀπὸ τοῦ Καφηρέως ἥκοντα. καὶ γὰρ οἶμαι πυρσεύειν αὐτὸν ἀπὸ τῶν ἄκρων τοῖς πλέουσιν, ὅπως ἐκπίπτωσιν εἰς τὰς πέτρας. ταῦτα δὲ ἐκείνου λέγοντος, καὶ πολλὰ πρὸς τούτοις, ὁ μὲν ὄχλος ἠγριοῦτο· ἐγὼ δὲ ἠπόρουν καὶ ἐδεδοίκειν, μή τι με ἐργάσωνται κακόν. παρελθὼν δ'

νοιμεν addere ἅπαντες, quod etiam Scholiastes habet, cuius ille interpretationem ad h. l. retulit.

53) δεῖ margo Morell.

54) Veneta dat καφηρίδας.

ἄλλος τις, ὡς ἐφαίνετο ἐπιεικὴς ἄνθρωπος, ἀπό τε τῶν λόγων, οὓς εἶπε, καὶ ἀπὸ τοῦ σχήματος· πρῶτον μὲν ἠξίου σιωπῆσαι τὸ πλῆθος. καὶ ἐσιώπησαν. ἔπειτα εἶπε τῇ φωνῇ πρᾴως, ὅτι οὐδὲν ἀδικοῦσιν οἱ τὴν ἀργὴν τῆς χώρας ἐργαζόμενοι καὶ κατασκευάζοντες, ἀλλὰ τοὐναντίον ἐπαίνου δικαίως ἂν τυγχάνοιεν. καὶ δεῖ μὴ τοῖς οἰκοδομοῦσι καὶ φυτεύουσι τὴν δημοσίαν γῆν χαλεπῶς ἔχειν, ἀλλὰ τοῖς καταφθείρουσι. ἐπεὶ καὶ νῦν, ἔφη, ὦ ἄνδρες, σχεδόν τι τὰ δύο μέρη τῆς χώρας ἡμῶν ὀρεινά ἐστι, δι' ἀμέλειάν τε καὶ ὀλιγανθρωπίαν [55]). κἀγὼ πολλὰ κέκτημαι πλέθρα, ὥσπερ οἶμαι καὶ ἄλλος τις, οὐ μόνον ἐν τοῖς ὄρεσιν, ἀλλὰ καὶ ἐν τοῖς πεδινοῖς, ἃ εἴ τις θέλοι γεωργεῖν, οὐ μόνον προῖκα δώην [56]), ἀλλὰ καὶ ἀργύριον ἡδέως προστελέσαιμι. δῆλον γὰρ, ὡς ἐμοὶ πλέονος ἀξία γίγνεται, καὶ ἅμα ἡδὺ ὅραμα χώρα οἰκουμένη καὶ ἐνεργός· ἡ δ' ἔρημος, οὐ μόνον ἀνωφελὲς κτῆμα τοῖς ἔχουσιν, ἀλλὰ καὶ σφόδρα ἐλεεινόν τε, καὶ δυστυχίαν τινὰ κατηγοροῦν τῶν δεσποτῶν. ὥστε μοι δοκεῖν [57]) μᾶλλον ἑτέρους προτρέπειν, ὅσους ἂν δύνησθε τῶν πολι-

55) ὀλιγανθρωπίαν] ſic recte exhibuit Morell. explicatam ſiglam, quae in Veneta eſt ὀλιγανίαν; quam ſiglam cum non intelligeret vir doctus, quem ſaepe deſigno et laudo, adſcripſit ὀλιγανδρίαν, recte ille quidem ad ſententiam, minus tamen ad veritatem.

56) δώην] ſuaſi olim ἂν addi; recte ad graecitatis exquiſitae rationem. Sunt tamen recentiores graeci auctores in eiusmodi minutiis, ad ἀκρίβειαν pertinentibus, negligentiores, quod neſcio an haud raro librariis ſit imputandum. nam ſaepenumero in Demoſthenis codice Auguſtano ἂν omiſſum reperi, quod eſt in vulgatis, etiam vbi oratio id poſcit.

57) Anglus vult ὥστε χρὴ (μοὶ δοκεῖν), recte ille quidem, ſi Dioni placuiſſet ſic loqui. Sed vulgata idem dicit. προτρέπειν idem eſt atque δεῖν προτρέπειν, *oportere hortari.*

πολιτῶν, ἐργάζεσθαι τῆς δημοσίας γῆς, ἀπολαβόντας, τοὺς μὲν ἀφορμήν τινα ἔχοντας, καὶ πλείω· τοὺς δὲ πένητας, ὅσην ἂν ἕκαστος ᾖ δυνατός[58])· ἵνα ὑμῖν, ἥ τε χώρα ἐνεργὸς ᾖ, καὶ τῶν πολιτῶν οἱ θέλοντες δύο τῶν μεγίστων ἀπηλλαγμένοι[59]) κακῶν, ἀργίας καὶ πενίας. ἐπὶ δέκα μὲν οὖν ἔτη, προῖκα ἐχόντων· μετὰ δὲ τοῦτον τὸν χρόνον, ταξάμενοι μοῖραν ὀλίγην, παρεχέτωσαν ἀπὸ τῶν καρπῶν· ἀπὸ δὲ τῶν βοσκημάτων μηδέν. ἐάν δέ τις ξένος γεωργῇ, πέντε ἔτη καὶ οὗτοι μηδὲν ὑποτελούντων, ὕστερον δὲ διπλάσιον, ἢ οἱ πολῖται. ὃς δὲ ἂν ἐξεργάσηται τῶν ξένων διακόσια πλέθρα, πολίτην αὐτὸν εἶναι, ἵνα ὡς πλεῖστον[60]) ὦσιν οἱ προθυμούμενοι. ἐπεὶ νῦν γε καὶ τὰ πρὸ τῶν πυλῶν ἄγρια παντελῶς ἐστι καὶ αἰσχρὰ δεινῶς· ὥσπερ ἐν ἐρημίᾳ τῇ βαθυτάτῃ, οὐχ ὡς προάστειον πόλεως· τὰ δέ γε ἐντὸς τείχους, σπείρεται τὰ πλεῖστα καὶ κατανέμεται. οὐκοῦν ἄξιον, ἔφη, θαυμάσαι τῶν ῥητόρων, ὅτι τοὺς μὲν ἐπὶ τῷ Καφηρεῖ φιλεργοῦντας, ἐν τοῖς ἐσχάτοις τῆς Εὐβοίας, συκοφαντοῦσι· τοὺς δὲ τὸ γυμνάσιον γεωργοῦντας, καὶ τὴν ἀγορὰν κατανέμοντας, οὐδὲν οἴονται[61]) ποιεῖν δεινόν. βλέπετε γὰρ αὐτοὶ δήπουθεν, ὅτι τὸ γυμνάσιον ὑμῖν ἄρουραν πεποιήκασι[62])· ὥστε τὸν Ἡρακλέα καὶ ἄλλους ἀνδριάντας συχνούς, ὑπὸ τοῦ θέρους ἀποκεκρύφθαι, τοὺς μὲν Ἡρώων, τοὺς δὲ θεῶν· καὶ ὅτι καθ' ἡμέραν τὰ τοῦ ῥήτορος τούτου πρόβατα, ἕωθεν εἰς τὴν ἀγορὰν ἐμβάλλει καὶ κατανέμεται περὶ[63]) τὸ βου-

58) ᾖ δυνατὸς] ſcil. ἐργάζεσθαι, e ſuperioribus.
59) ἀπηλλαγμένοι] ſic recte Veneta, ἀπηλλαγμένη Morell.
60) f. ὡς πλεῖστοι, *quam plurimi.*
61) οἴονται] ſic interpres et Anglus. οἷόν τε Morell. et Ven.
62) πεποιήκασι] ſic V. L. Venetae; πεποίηκεν t. Ven. et Mor.
63) περὶ] malim τὰ περί.

λευτήριον, καὶ τὰ ἀρχεῖα· ὥστε τοὺς πρώτους [64]) ἐπιδημήσαντας ξένους τοὺς μὲν καταγελᾷν τῆς πόλεως, τοὺς δὲ οἰκτείρειν αὐτήν. (πάλιν οὖν ταῦτα ἀκούσαντες, ὠργίζοντο πρὸς ἐκεῖνον [65]) καὶ ἐθορύβουν.) καίτοι ταῦτα ποιῶν τοὺς ταλαιπώρους ἰδιώτας οἴεται δεῖν ἀπαγαγεῖν· ἵνα δηλονότι μηδεὶς ἐργάσηται τὸ λοιπὸν, ἀλλ᾽ οἱ μὲν ἔξω λῃστεύωσιν· οἱ δ᾽ ἐν τῇ πόλει λωποδυτῶσιν. ἐμοὶ δὲ, ἔφη, δοκεῖ, τούτους ἐᾷν [66]) ἐφ᾽ οἷς αὐτοὶ πεποιήκασιν, ὑποτελοῦντας τολοιπὸν ὅσον μέτριον. περὶ δὲ τῶν ἔμπροσθεν προσόδων, συγγνῶναι αὐτοῖς, ὅτι ἔρημον καὶ ἀχρεῖον γεωργήσαντες τὴν γῆν κατεβάλλοντο [67]). ἐὰν δὲ τιμὴν θέλωσι καταβαλεῖν τοῦ χωρίου, ἀποδόσθαι αὐτοῖς ἐλάττονος, ἢ ἄλλοις. εἰπόντος δὲ αὐτοῦ τοιαῦτα, πάλιν ἐξαρχῆς ἐκεῖνος ἀντέλεγεν, καὶ ἐλοιδοροῦντο ἐπιπολύ. τέλος δὲ καὶ ἐμὲ ἐκέλευον εἰπεῖν, ὅ τι βούλομαι. καὶ τί με, ἔφην, δεῖ λέγειν; πρὸς τὰ εἰρημένα, εἶπέ τις τῶν καθημένων. οὐκοῦν λέγω, ἔφην, ὅτι οὐδὲν ἀληθές ἐστιν ὧν εἴρηκεν. ἐγὼ μὲν, ὦ ἄνδρες, ἐνύπνια ᾤμην, ἔφην, ὁρᾷν, ἀγροὺς καὶ κώμας, καὶ τοιαῦτα φλυαροῦντος. ἡμεῖς δὲ οὔτε κώμην ἔχομεν, οὔτε ἵππους, οὔτε ὄνους, οὔτε βοῦς. εἴθε γὰρ ἦν ἔχειν ἡμᾶς ὅσα οὗτος ἔλεγεν ἀγαθά·

ἵνα

64) πρώτους] imo vero πρῶτον, quomodo etiam Anglus voluit. *recens aduenas*, ad vrbem modo appulsos. vulgata si bene habet, significabit idem, poteritque illo Philostrati loco confirmari, p. 131, 14. ἐπειδὴ πρώτῳ ἐνέτυχον τῷ Ἀπολλωνίῳ *vt primum in Apoll. incidi.* miror in tam plano loco Casaubonum labi potuisse.

65) ἐκεῖνον] illum, qui superiora dixerat, oratorem saeuum illum in miserum pastorem.

66) ἐᾷν] sic recte Interpres, et vir doctus in Veneta mea, ἐὰν Mor. et Ven.

67) f. γῆν οὐδὲν κατέβαλον, quod nihil dependerunt. καταβάλλειν hoc significatu in actiuo vsurpatur, non in medio. Casaubonus iterum hic loci dormitabat.

ἵνα καὶ ὑμῖν ἐδώκαμεν, καὶ αὐτοὶ τῶν μακαρίων ἦμεν. καὶ τὰ νῦν δὲ ὄντα ἡμῖν, ἱκανά ἐστιν, ἐξ ὧν εἴ τι βούλεσθε, λάβετε. κἂν πάντα ἐθέλητε, ἡμεῖς ἕτερα κτησόμεθα. ἐπὶ τούτῳ δὲ τῷ λόγῳ ἐπῄνεσαν. εἶτα ἐπηρώτα με ὁ ἄρχων, τί δυνησόμεθα δοῦναι τῷ δήμῳ; κἀγὼ τέσσαρα, ἔφην, ἐλάφεια δέρματα πάνυ καλά· οἱ δὲ πολλοὶ 69) αὐτῶν ἐγέλασαν. ὁ δὲ ἄρχων ἠγανάκτησε πρός με. τὰ γὰρ ἄρκεια 70), ἔφην, σκληρά ἐστιν, καὶ τὰ τράγεια οὐκ ἄξια τούτων. τἄλλα δὲ παλαιά 71)· τὰ δὲ μικρὰ αὐτῶν· εἰ δὲ βούλεσθε, κἀκεῖνα λάβετε. πάλιν οὖν ἠγανάκτει. καὶ ἔφη με ἄγροικον εἶναι παντελῶς. κἀγὼ πάλιν εἶπον· οὐ καὶ σὺ ἀγροὺς λέγεις 72); οὐκ ἀκούεις, ὅτι ἀγροὺς οὐκ ἔχομεν; ὁ δὲ ἠρώτα με, εἰ τάλαντον ἑκάτερος Ἀττικὸν δοῦναι θέλοιμεν. ἐγὼ δὲ εἶπον, οὐχ ἥκιστα μὲν τὰ κρέα ἡμεῖς 73)· ἃ δ' ἂν ᾖ,

διδο-

68) post ἦμεν deest aliquid, ad hanc sententiam ferme: εἰ μὴ καὶ νῦν ἤδη μακάριοι ἐσμέν. οὐδέποτε γὰρ ἡμῖν οὐδὲν τῶν γ' ἀναγκαίων ἐνεδέησεν. fortunati, beati essemus, nisi iam sumus, nam neque quicquam nobis vnquam defuit, necessariorum quidem, et quae sunt, nobis ea sufficiunt. opponit tempus praeteritum praesenti.

69) f. οἱ μὲν πολλοί, aut ἐφ' οἷς οἱ μὲν πολλοί. siue adsciscas ἐφ' οἷς, siue omittas, semper pro δὲ substituendum videtur μέν.

70) ἄρκεια] vir doctus adscripsit ἄρκτεια; recte quidem illc ad vulgarem grammaticorum legem, sed ἄρκος perinde atque ἄρκτος in simplici, et in deriuatis vsurpatur.

71) f. τἄλλα δέ, τὰ μὲν παλαιά.

72) sic distinguo: κἀγώ, πάλιν, εἶπον, οὐ κατ' αἶσαν [aut οὐκ ἐν αἴσᾳ] ἀγροὺς λέγεις. *Ibi ego: Rursus tu, inquam, mihi rura crepas haud oportune*, vel alieno loco, haud conuenienter. aut οὐκ αἰσίως sinistre. oratio pastoris incipit a v. πάλιν.

73) Casaubonus vult οὐχ ἥδιστα μὲν τὰ κρέα ἡμῶν. cui facili et speciosae correctioni non pauca obstant. primum vel sic poterat ἡμεῖς suo loco immotum relinquere; deinde, eum si sequaris, redundabit τὰ vitiose; tertium,

non

δίδομεν. ἔστι δὲ ὀλίγα ἐν ἁλσὶ, τἄλλα δ' ἐν τῷ καπνῷ, ξηρά. οὐ πολὺ ἐκείνων χεῖρω, σκελίδες ὑῶν 74), καὶ ἐλάφειοι, καὶ ἄλλα γενναῖα 75) κρέα. ἐνταῦθα ἐθορύβουν, καὶ ψεύδεσθαί με ἔφασαν. ὁ δὲ ἠρώτα με, εἰ σῖτον ἔχομεν· καὶ πόσον τινά; εἶπον τὸν ὄντα ἀληθῶς· δύο, ἔφην, μεδίμνους πυρῶν, καὶ τέτταρας κριθῶν, καὶ τοσούτους κέγχρων, κυάμων δὲ ἡμίεκτον· οὐ γὰρ ἐγένοντο τῆτες. τοὺς μὲν οὖν πυροὺς καὶ τὰς κριθὰς, ἔφην, ὑμεῖς λάβετε, τὰς δὲ κέγχρους ἡμῖν ἄφετε. εἰ δὲ κέγχρων 76) δεῖσθε, καὶ ταύτας λάβετε. οὐδὲ οἶνον ποιεῖτε; ἄλλος τις ἠρώτησεν; ποιοῦμεν, εἶπον. ἂν οὖν τις ὑμῶν ἀφίκηται, δώσομεν· ὅπως δὲ ἥξει 77), φέρων ἀσκόν τινα· ἡμεῖς γὰρ οὐκ ἔχομεν. πόσαι γάρ τινές εἰσιν ὑμῖν ἄμπελοι; δύο μὲν, ἔφην, αἱ πρὸ τῶν θυρῶν, ἔσωθεν δὲ τῆς αὐλῆς, εἴκοσι· καὶ τοῦ ποταμοῦ πέραν, ἃς ἔναγχος ἐφυτεύσαμεν, ἕτεραι τοσαῦται· εἰσὶ δὲ γενναῖαι σφόδρα, καὶ τοὺς βότρυς φέρουσαι μεγάλους, ὅταν οἱ παριόντες ἐπαφῶσιν 78) αὐτούς. ἵνα δὲ μὴ πράγ-

non decet perſonam paſtoris carnes ſuas commendantis, ipſam bonitatem earum oratione ſua eleuare; quare malim ἥκιστα μὲν in vnum verbum ἡλίσαμεν contrahi: carnes noſtras ſale non condiuimus, ſed pro maxima parte fumo durauimus, quicquid tamen ſalitarum in penu eſt, quod parum eſt, id omne dabimus.

74) ὑῶν] ſic dedi; vitium υἱῶν e Veneta in Pariſinam tranſiit.

75) γενναῖα] ſic interpres et Caſaubonus, carnes nobiles, generoſae. (Morell. et Ven. dant γενέα) Locus, quem Caſaubonus deſignat, habetur in Eius ad Athenaeum animadv. XIV. 19. p. 930. conf. etiam Hemſterhuſ. ad Luciani T. I. p. 9. et Noſtri p. 102, 40. et 108, 14. 113, 26. ed. Mor.

76) f. εἰ δὲ καὶ κέγχρων.

77) ὁπότε δ' ἥξει φερέτω margo Morell.

78) ἐπαφῶσιν] bonum eſt et rei conueniens. idem eſt atque ſi dixiſſet ἀφῶσιν αὐτοὺς ἐπὶ ταῖς ἀμπέλοις. modo prae-

πράγματα ἔχητε καθέκαστον ἐρωτῶντες, ἐρῶ καὶ τἄλλα, ἅ ἐστιν ἡμῖν· αἶγες ὀκτὼ θήλειαι, βοῦς κολοβή, μοσχάριον ἐξ αὐτῆς πάνυ καλὸν, δρέπανα τέτταρα, δίκελλαι τέτταρες, λόγχαι τρεῖς, μάχαιραν ἡμῶν ἑκάτερος κέκτηται πρὸς τὰ θηρία. τὰ δὲ κεράμεια σκεύη τί ἂν λέγοι τις; καὶ γυναῖκες ἡμῖν εἰσὶ, καὶ τούτων τέκνα 79). οἰκοῦμεν δὲ ἐν δυσὶ σκηναῖς καλαῖς· καὶ τρίτην ἔχομεν, οὗ κεῖται τὸ σιτάριον, καὶ τὰ δέρματα. νὴ Δία, εἶπεν ὁ ῥήτωρ, ὅπου καὶ τὸ ἀργύριον ἴσως κατορύττετε. οὐκοῦν, ἔφην, ἀνάσκαψον ἐλθὼν, ὦ μῶρε. τίς δὲ κατορύττει ἀργύριον 80); οὐ γὰρ δὴ φύεταί γε. ἐνταῦθα πάντες ἐγέλων, ἐκείνου, μοι δοκεῖν, καταγελάσαντες. ταῦτά ἐστιν ἡμῖν· εἰ οὖν καὶ πάντα θέλετε, ἡμεῖς ἑκόντες ὑμῖν χαριζόμεθα· καὶ οὐδὲν ὑμᾶς δεῖ ἀφαιρεῖσθαι πρὸς βίαν, ὥσπερ ἀλλοτρίων ἢ πονηρῶν 81). ἔπειτοι καὶ πολῖται τῆς πόλεως ἐσμὲν, ὡς ἐγὼ τοῦ πατρὸς

praetereuntes sinant eas vuas in vite manere, neque auellant.

79) καὶ τούτων τέκνα] bene sic dixit, tametsi etiam poterat κἀκ τούτων dicere. nam τέκνα sunt τὰ τικτόμενα. sed τίκτειν proprie matrum est.

80) κατορύττει ἀργύριον] ludit in ambiguo verbi κατορύττειν, quod perinde de plantis, quae defodiuntur humo, vt crescant, atque de argento, in loculos defosso, h. e. recondito, asseruandi caussa, vsurpatur. Latini pari modo verbum *defodere* ad vtrumque significandum vsurpant. De dictione ἀργύριον κατορύττειν nonnulla disputaui ad Demosthenis vernaculam interpretationem meam. Rursus ad hunc iocum in ambiguitate vocabuli positum redit Noster p. 111, 37. ed. Mor. copulam καὶ si addas, haud parum vehementiae et gratiae loco addideris: τίς δὲ καὶ κατορύττει.

81) ἀλλοτρίων ἢ πονηρῶν] crimen peregrinitatis purgat statim in continenti; alterum, impuri et facinorosi quaestus, p. 239, 4.

πατρὸς ἧκουν. καὶ ποτὲ ἐκεῖνος δεῦρο ἀφικόμενος[82]), ἐπιτυχὼν ἀργυρίῳ διδομένῳ, καὶ αὐτὸς ἔλαβεν ἐν τοῖς πολίταις. οὐκοῦν καὶ τρέφομεν ὑμετέρους πολίτας τοὺς παῖδας[83]). κἄν ποτε δέησθε, βοηθήσουσιν ὑμῖν πρὸς λῃστάς, ἢ πρὸς πολεμίους. νῦν μὲν οὖν εἰρήνη ἐστίν· ἐὰν δέ ποτε συμβῇ καιρὸς τοιοῦτος, εὔξεσθε τοὺς[84]) πολλοὺς φανῆναι ἡμῖν ὁμοίους. μὴ γὰρ δὴ τοῦτόν γε τὸν ῥήτορα νομίζετε μαχεῖσθαι τότε περὶ ὑμῶν· εἰ μή γε λοιδορούμενον ὥσπερ τὰς γυναῖκας. τῶν μέντοι κρεῶν καὶ τῶν[85]) δερμάτων, ὅταν μέν ποτε ἕλωμεν θηρίον[86]), μοῖραν δώσομεν· μόνον πέμπετε τὸν ληψόμενον. ἐὰν δὲ κελεύσητε καθελεῖν τὰς σκηνάς, εἴ τι βλάπτουσι, καθελοῦμεν. ἀλλ' ὅπως δώσετε ἡμῖν ἐνθάδε οἰκίας[87]), ἢ πῶς ὑπενεγκεῖν δυνησόμεθα τοῦ χειμῶνος; ἔστιν ὑμῖν οἰκήματα πολλὰ ἐντὸς τοῦ τείχους, ἐν οἷς οὐδεὶς οἰκεῖ[88])· τούτων ἡμῖν ἓν ἀρκέσει.

εἰ δὲ

82) dedi ἀφικόμενος, quo ducit Veneta, in qua est ἀφικνόμενος. *cum fieret aliquando, vt, in vrbem appulsus, interveniret largitioni numariae, tulit et ipse partem suam ratam.* Erat enim signum inter alia hoc, quo cognosceretur, num quis ciuis esset, si eiusmodi largitiones participaret. ἀφικνήμενος Mor. Pro διδομένῳ coniiciebam olim διαδιδομένῳ, non indignum id quidem Dione, neque a re abhorrens; verum an ita reliquerit, ipsemet nunc dubito.

83) τοὺς παῖδας] recte hoc addit, ne auditor cogitatione ad filias delaberetur, et vt eas numero ciuium excluderet. mares solos significari, articulus τοὺς satis demonstrat, vt ἄῤῥενας addi necesse nil esset.

84) in τοὺς, quod sic positum inutile et vitiosum est, videtur βοηθοὺς, aut συμμάχους, aut potius ἀστοὺς latere.

85) τῶν] sic dedi, vt etiam vir doctus in Veneta mea correxit. Veneta et Morell. dant τόν.

86) malim ὅτων ἂν ποτε ἕλωμεν θηρίων.

87) Veneta melius οἰκίαν.

88) οἰκεῖ] sic dedi: *habitat*; sed viderunt hoc iam interpres et vir doctus in Veneta mea. ἐκεῖ Ven. et Mor.

εἰ δὲ οὐκ ἐνθάδε ζῶμεν, οὐδὲ πρὸς τῇ στενοχωρίᾳ τοσούτων ἀνθρώπων ἐν ταυτῷ διαγόντων, καὶ ἡμεῖς ἐνοχλοῦμεν, οὐ δήπου διά γε τοῦτο μετοικίζεσθαι ἄξιοι ἐσμέν. ὃ δὲ ἐτόλμησεν εἰπεῖν περὶ τῶν ναυαγίων, πρᾶγμα οὕτως ἀνόσιον καὶ πονηρόν· (τοῦτο γὰρ μικροῦ ἐξελαθόμην εἰπεῖν, ὃ πάντων πρῶτον ἔδει με εἰρηκέναι,) τίς ἂν πιστεύσειέ ποτε ὑμῶν; πρὸς γὰρ τῇ εὐσεβείᾳ[89]), καὶ ἀδύνατόν ἐστιν, ἐκεῖθεν καὶ ὁτιοῦν λαβεῖν, ὅπου καὶ τῶν ξύλων οὐδὲν πλέον ἐστὶν ἰδεῖν, ἢ τὴν τέφραν, οὕτω πάνυ σμικρὰ ἐκπίπτει. καὶ ἔστιν ἐκείνη μόνη ἡ ἀκτὴ ἁπασῶν ἀπρόσιτος. καὶ τοὺς λάρους ἅπαξ[90]) εὗρόν ποτε ἐκβεβρασμένους, καὶ τούτους ἐνέπηξα εἰς τὴν δρῦν ἱερὰν[91]), τὴν πλησίον τῆς θαλάττης. μὴ γὰρ εἴη ποτέ, ὦ Ζεῦ[92]), λαβεῖν μηδὲ κερδᾶναι κέρδος τοιοῦτον ἀπὸ ἀνθρώπων δυστυχίας· ἀλλὰ ὠφελήθην μὲν οὐδὲν πώποτε. ἠλέησα δὲ πολλάκις ναυαγοὺς ἀφικομένους, καὶ τῇ σκηνῇ ὑπεδεξάμην, καὶ φαγεῖν ἔδωκα, καὶ πιεῖν· καὶ εἴ τι ἄλλο ἐδυνάμην, ἐβοήθησα, καὶ συνηκολούθησα μέ-

χρι

89) Morellus voluit ἀσεβείᾳ, (quomodo et ipſemet olim conieceram,) et ſic ſe reperiſſe in codice regio confirmat. non mala iſtaec lectio, fateor, *praeterquam enim quod impium ſit miſeros violare.* verumtamen vulgata non minus bonam praeſtat ſententiam, quam interpres bene expreſſit: *praeter pietatem, qua praediti ſumus,* aut, vt vir doctus in Veneta mea reddiderat, *quam colimus.*

90) f. καὶ τοὺς λάρους, οὓς ἅπαξ ποτὲ — *et laros, quos ſemel aliquando reperi, ab vndis eiectos, hos ipſos quoque conſecraui.* ſummam vult abſtinentiam ſuam demonſtrare. Ab ipſis laris, infortunio afflictis, inquit, manus meas abſtinui; nedum vt homines violarem. Ergone laris, vel mortuis vtebantur? quam ad rem? Fallor, an adipem eorum eliquabant?

91) f. εἰς τὴν ἱερὰν δρῦν. videtur haec quercus Neptuno conſecrata fuiſſe.

92) abſurda ſunt, et commemoratu indigna, quae Morellus ad h. l. e ſcholiaſta retulit.

χρι τῶν οἰκουμένων. ἀλλὰ τίς ἄνθρωπος 93) ἐκείνων ἐμοὶ νῦν μαρτυρήσειεν; οὔκουν οὐδὲ τοῦτο ἐποίουν μαρτυρίας ἕνεκεν ἢ χάριτος· οὓς 94) γε οὐδ᾽ ὅθεν ποθὲν ἦσαν ἠπιστάμην. μὴ γὰρ ὑμῶν γε μηδεὶς περιπέσοι τοιούτῳ πράγματι. ταῦτα δὲ ἐμοῦ λέγοντος, ἀνίσταταί τις ἐκ μέσων· κἀγὼ πρὸς ἐμαυτὸν ἐνεθυμήθην, ὅτι ἄλλος οὗτος τυχὸν ἐμοῦ καταψευσόμενος. ὁ δὲ εἶπεν· ἄνδρες· ἐγὼ πάλαι τοῦτον ἀμφιγνοῶν, ἠπίστουν ὅμως 95). ἐπειδὴ σαφῶς αὐτὸν ἔγνωκα, δεινόν μοι δοκεῖ, μᾶλλον δὲ ἀσεβὲς, μὴ εἰπεῖν, ἃ συνεπίσταμαι, μηδὲ ἀποδοῦναι λόγῳ χάριν, ἔργῳ τὰ μέγιστα εὖ παθών. εἰμὶ δὲ, ἔφη, πολίτης, ὡς ἴστε, καὶ ὅδε. (δείξας 96) τὸν παρακαθήμενον, καὶ ὃς ἐπανέστη) ἐτύχομεν δὲ πλέοντες ἐν τῇ Σωκλέους νηῒ τρίτον ἔτος. καὶ διαφθαρείσης τῆς νεὼς περὶ τὸν Καφηρέα, παντελῶς ὀλίγοι τινὲς ἐσώθημεν ἀπὸ πολλῶν. τοὺς 97)

μὲν

93) V. L. Venetae admonet voc. ἄνθρωπος a nonnullis abesse codicibus. sed hoc leue. grauius hoc est, quod aut ἐκεῖνα leg. sit, aut μάρτυς εἴη. sed prius malim.

94) οὓς] malim cum Veneta ὅς γε, quamquam et vulgata potest ferri.

95) ἀμφιγνοῶν ἠπίστουν ὅμως. *ego hunc dudum noscitans, cum nonnulla tamen erroris mei suspicione atque dubitatione, suspendi assensum.* ἐπεὶ δὲ σαφῶς — *posteaquam vero plane et perspicue eum agnoui, quem dubitabam esse* —

96) sic recte docuit interpres verba δείξας ad ἐπανέστη parenthesi esse includenda, vt alia sunt non pauca, quae supinus et imperitus editor Morellus satis distinguere omisit. verum grauiorem errorem, qui verbis πατέρα καθήμενον (sic Ven. et Mor.) insidet, intactum praeteriit interpres. contraho ista duo vocabula in vnum παρακαθήμενον, *assidentem.*

97) τοὺς] sic Casaubonus e coniectura, et Morellus e codice regio emendarunt. Veneta et Morelliana dant τὰς, sed vir doctus quoque in Veneta mea τοὺς adscripsit idem tamen in opposita ora, alio tempore, adscripsit *οἱ* pro τὰς, et ἀπέθανον pro ἀνέλαβον, cum hac interpretatione:

μὲν οὖν πορφυρεῖς ἀνέλαβον· εἶχον γὰρ αὐτῶν τινες ἀργύριον ἐν φασκωλίοις. ἡμεῖς δὲ γυμνοὶ παντελῶς ἐκπεσόντες, δι' ἀτραποῦ τινος ἐβαδίζομεν, ἐλπίζοντες εὑρήσειν σκέπην τινὰ ποιμένων, ἢ βουκόλων· κινδυνεύοντες ὑπὸ λιμοῦ τε καὶ δίψους 98) διαφθαρῆναι. καὶ μόλις ποτὲ ἤλθομεν ἐπὶ σκηνάς τινας, καὶ στάντες ἐβοῶμεν. προελθὼν δὲ οὗτος, εἰσάγει τε ἡμᾶς ἔνδον· καὶ ἀνέκαε πυρῶν 99) οὐκ ἀθρόον, ἀλλὰ κατ' ὀλίγον· καὶ τὸν μὲν ἡμῶν αὐτὸς ἀνέτριβε 100), τὸν δὲ ἡ γυνὴ στέατι· οὐ γὰρ ἦν αὐτοῖς ἔλαιον· τέλος δὲ, ὕδωρ κατέχεον θερμὸν, ἕως ἀνέλαβον ἀπεψυγμένους. ἔπειτα κατακλίναντες, καὶ περιβαλόντες οἷς εἶχον, παρέθηκαν φαγεῖν ἡμῖν ἄρτους πυρίνους, αὐτοὶ δὲ κέγχρον ἑφθὴν ἤσθιον· ἔδωκαν δὲ καὶ οἶνον ἡμῖν πιεῖν, ὕδωρ αὐτοὶ πίνοντες· καὶ κρέα 1) ἐλάφεια

tione: *purpurarum quidam captores perierunt.* Agnosco hic iterum manum Naogeorgi, et video fontem, vnde error interpretationis manauit. οἱ — ἀπολώλεσαν margo Morell.

98) δίψους] haud ignoro, naufragio, praesertim diuturniore, iactatos, praeter famem, siti quoque molesta tentari; quare lectionem hanc improbare nolim, verum tamen cum insequentia testentur illos eiectos corriguisse, et refocillatione opus habuisse, suspicor Dionem hic loci ῥίγους dedisse.

99) πυρῶν] hanc vocem manifeste vitiosam Casaubonus corrigit πῦρ, idem e codice regio Morellus confirmauit. Fortasse satius fuerit in eo acquiescere; quod si cui tamen videatur nescio quid in illa terminatione ων abstrusius latitare, auctor sim, vt πῦρ φρυγάνων legat. *ignem e sarmentis.* Nil attinet commemorare, virum doctum Venetae meae h. l. adscripsisse πυρσὸν, et me olim coniecisse πυρὰν, quae ambo pariter sunt aliena.

100) ἀνέτριβε] olim corrigebam ἐνέτριβε, sed bene habet vulgata. ἀνατρίβειν τινὰ est ἀνὰ τὸν χρῶτα τρίβειν, *in cute fricare.*

1) κρέα] scil. ἔδωκαν, e superioribus. alias pendent illa participia ὀπτῶντες et ἕψοντες.

φεια ὀπτῶντες ἄφθονα· τὰ δὲ ἕψοντες· τῇ δ᾽ ὑστεραίᾳ βουλομένους ἀπιέναι, κατέσχον ἐπὶ τρεῖς ἡμέρας. ἔπειτα προὔπεμψαν εἰς τὸ πεδίον, καὶ ἀπιοῦσι κρέας 2) ἔδωκαν, καὶ δέρμα ἑκατέρῳ πάνυ καλόν. ἐμὲ δὲ ὁρῶν ἐκ τῆς κακοπαθείας ἔτι πονήρως ἔχοντα, ἐνέδυσε χιτώνιον, τῆς θυγατρὸς ἀφελόμενος. ἐκείνη δὲ ἄλλο τι ῥάκος περιεζώσατο 3). τοῦτο, ἐπειδὴ ἐν τῇ κώμῃ ἐγενόμην, ἀπέδωκα. οὕτως ἡμεῖς τε ὑπὸ τούτου μάλιστα ἐσώθημεν μετὰ τοὺς θεούς. ταῦτα δὲ ἐκείνου λέγοντος, ὁ μὲν δῆμος ἤκουεν ἡδέως, καὶ ἐπήνουν με. ἐγὼ δὲ ἀναμνησθείς· χαῖρε, ἔφην, Σωτάδη· καὶ προσελθὼν ἐφίλουν αὐτόν, καὶ τὸν ἑταῖρον 4). ὁ δὲ δῆμος ἐγέλα σφόδρα, ὅτι ἐφίλουν αὐτούς. τότε ἔγνων, ὅτι ἐν ταῖς πόλεσιν οὐ φιλοῦσιν ἀλλήλους. παρελθὼν δὲ ἐκεῖνος ὁ ἐπιεικής, ὁ τὴν ἀρχὴν ὑπὲρ ἐμοῦ λέγων· ἐμοί, ἔφη, ὦ ἄνδρες, δοκεῖ καλέσαι τοῦτον εἰς τὸ Πρυτανεῖον, ἐπὶ ξένια. οὐ γάρ, εἰ μὲν πολέμῳ ἔσωσέν τινα τῶν πολιτῶν ὑπερασπίσας, πολλῶν ἂν καὶ μεγάλων δωρεῶν ἔτυχε· νυνὶ δὲ δύο σώσας πολίτας, τυχὸν δὲ καὶ ἄλλους 5), οἳ οὐ πάρεισιν, οὐκ ἔστιν ἄξιος οὐδεμιᾶς τιμῆς; ἀντὶ δὲ τοῦ χιτῶνος, ὃν ἔδωκεν τῷ πολίτῃ κινδυνεύοντι, τὴν θυγατέρα ἀποδύσας, ἐπιδοῦναι αὐτῷ τὴν πόλιν χιτῶνα καὶ ἱμάτιον, ἵνα καὶ τοῖς ἄλλοις προτροπὴ γένηται, δικαίοις εἶναι, καὶ ἐπαρκεῖν ἀλλήλοις· ψηφίσασθαι

2) κρέας] imo vero κρέα in plurali, vt Latini quoque *carnes*.

3) f. περιεζώσατο, ὃ τούτῳ, ἐπειδὴ — *quod indusium huic reddidi, vt primum in vicum perueni*; primum puta vicum a solitudine, quo pastor ille hunc ciuem deduxerat.

4) perinde est ἑταῖρον legas, quod interpres retinuit, an ἕτερον, quod Casaubonus coniecit et Morellus e codice regio confirmauit.

5) ἄλλους] sic lego cum interprete et viro docto in Veneta mea. ἄλλοις Morell.

σασθαι δὲ αὐτοῖς καρποῦσθαι τὸ χωρίον, καὶ αὐτοὺς, καὶ τὰ τέκνα, καὶ μηδένα αὐτοῖς ἐνοχλεῖν· δοῦναι δὲ αὐτῷ καὶ ἑκατὸν δραχμὰς, εἰς κατασκευήν· τὸ δὲ ἀργύριον τοῦτο ὑπὲρ τῆς πόλεως, ἐγὼ παρ' ἐμαυτοῦ δίδωμι. ἐπὶ τούτῳ δὲ ἀπηνέσθη 6). καὶ τὰ ἄλλα ἐγένετο, ὡς εἶπε. καὶ ἐκομίσθη παραχρῆμα εἰς τὸ θέατρον τὰ ἱμάτια, καὶ τὸ ἀργύριον. ἐγὼ δὲ οὐκ ἐβουλόμην λαβεῖν. ἀλλ' εἶπον· ὅτι οὐ δύνασαι δειπνεῖν ἐν τῷ δέρματι. οὐκοῦν, εἶπον, τὸ σήμερον ἄδειπνος μενῶ 7). ὅμως δὲ ἐνέδυσάν με τὸν χιτῶνα, καὶ περιέβαλλον τὸ ἱμάτιον. ἐγὼ δὲ ἄνωθεν βαλεῖν ἐβουλόμην τὸ δέρμα· οἱ δὲ οὐκ εἴων. τὸ δὲ ἀργύριον οὐκ ἐδεξάμην οὐδένα τρόπον· ἀλλ' ἀπωμοσάμην μὴ λήψεσθαι. εἰ δὲ ζητεῖτε, τίς λάβῃ, τῷ ῥήτορι, ἔφην, δότε, ὅπως κατορύξῃ αὐτό. ἐπίσταται γὰρ δηλονότι. ἀπ' ἐκείνου δὲ ἡμᾶς οὐδεὶς ἠνώχλησε. σχεδὸν οὖν εἰρηκότος αὐτοῦ, πρὸς ταῖς σκηναῖς ἦμεν. κἀγὼ γελάσας εἶπον· ἀλλ' ἕν τι ἀπεκρύψω τοὺς πολίτας, τὸ κάλλιστον τῶν κτημάτων. τί τοῦτο; εἶπε. τὸν κῆπον, ἔφην, τοῦτον, πάνυ καλὸν, καὶ λάχανα πολλὰ καὶ δένδρα ἔχοντα. οὐκ ἦν, ἔφη, τότε, ἀλλ' ὕστερον ἐποιήσαμεν. εἰσελθόντες οὖν εὐωχούμεθα τὸ λοιπὸν τῆς ἡμέρας, ἡμεῖς μὲν κατακλιθέντες ἐπὶ φύλλων τε καὶ δερμάτων, ἐπὶ στιβάδος ὑψηλῆς 8), ἡ δὲ γυνὴ πλησίον παρὰ τὸν ἄν-

6) ἀπηνέσθη] Casaubonus et vir idem doctus corrigunt ἐπῃνέθη, quod Morellus e codice regio confirmauit.

7) μενῶ] sic interpres, vir doctus in Veneta mea, et Casaubonus, et, teste Morello, codex regius idem confirmat. μενεῖ Ven. et Mor. Proximum errorem Morell. ἐνέδεισαν miror ob omnibus praeteritum, praeter interpretem, qui recte ἐνέδυσαν expressit.

8) ὑψηλῆς] sic vir doctus orae Venetae meae adscripsit, et Morellus quoque in annotationibus iussit. ὑψηλοῖς Ven. et ὑψηλοῦς Mor.

δρα καθημένη. θυγάτηρ δὲ, ὡραία γάμου, διηκονεῖτο, καὶ ἐνέχει πιεῖν μέλανα οἶνον ἡδύν. οἱ δὲ παῖδες τὰ κρέα παρεσκεύαζον, καὶ αὐτοὶ ἅμα ἐδείπνουν παρατιθέντες, ὥστε ἐμὲ εὐδαιμονίζειν τοὺς ἀνθρώπους ἐκείνους, καὶ οἴεσθαι μακαρίως ζῆν πάντων μάλιστα ὧν ἠπιστάμην. καίτοι πλουσίων μὲν 9) οἰκίας τε καὶ τραπέζας ἠπιστάμην, οὐ μόνον ἰδιωτῶν, ἀλλὰ καὶ σατραπῶν, καὶ βασιλέων· οἳ μάλιστα ἐδόκουν μοι τότε ἄθλιοι, καὶ πρότερον δοκοῦντες, ἔτι μᾶλλον 10)· ὁρῶντι τὴν ἐκεῖ πενίαν τε καὶ ἐλευθερίαν, καὶ ὅτι οὐδὲν ἀπελείποντο, οὐδὲ τῆς περὶ τὸ φαγεῖν καὶ πιεῖν ἡδονῆς, ἀλλὰ καὶ τούτοις 11) ἐπλεονέκτουν σχεδόν τι. ἤδη δ᾽ ἱκανῶς ἐχόντων ἡμῶν, ἦλθε κἀκεῖνος ὁ ἕτερος. συνηκολούθει δὲ υἱὸς αὐτῷ, μειράκιον οὐκ ἀγεννὲς, λαγὼ φέρων. εἰσελθὼν δὲ οὗτος, ἠρυθρίασεν, ἐν ὅσῳ δὲ ὁ πατὴρ αὐτοῦ ἠσπάζετο ἡμᾶς, αὐτὸς ἐφίλησε τὴν κόρην, καὶ τὸν λαγὼ ἐκείνῃ ἔδωκεν. ἡ μὲν οὖν παῖς ἐπαύσατο διακονουμένη, καὶ παρὰ τὴν μητέρα ἐκαθέζετο· τὸ δὲ μειράκιον ἀντ᾽ ἐκείνης διηκονεῖτο. κἀγὼ τὸν ξένον ἠρώτησα· αὕτη, ἔφην, ἐστὶν, ἧς τὸν χιτῶνα ἀποδύσας τῷ ναυαγῷ ἔδωκας; καὶ ὃς γελάσας· οὐκ, ἔφη, ἀλλ᾽ ἐκείνη, εἶπε, πάλαι πρὸς ἄνδρα ἐδόθη, καὶ τέκνα ἔχει μεγάλα ἤδη, πρὸς ἄνδρα πλούσιον εἰς κώμην. οὐκοῦν, ἔφην, ἐπαρκοῦσιν ὑμῖν 12), ὅτι ἂν δέησθε; οὐδὲν, εἶπεν ἡ γυνὴ, δεόμεθα ἡμεῖς. ἐκεῖνοι δὲ λαμβάνουσι, καὶ ὁπηνίκα

τις

9) μὲν] apodosin non habet, vt saepe.

10) erat planior futura oratio, si Dioni placuisset verba sic construere: οἳ, μάλιστά μοι δοκοῦντες ἄθλιοι καὶ πρότερον, τότε ἐδόκουν ἔτι μᾶλλον. est quidem ea verborum sententia.

11) malim κἂν τούτοις.

12) ἔφην — ὑμῖν] sic interpres, vir doctus in Veneta mea, et Casaubonus. ἔφη — ἡμῖν Ven. et Morell.

τις[13]) θηραθῇ, καὶ ὀπώραν, καὶ λάχανα. οὐ γὰρ ἔστι κῆπος παρ' αὐτοῖς[14]). πυροὺς ἐλάβομεν, σπέρμα ψιλὸν, καὶ ἀπεδώκαμεν αὐτοῖς εὐθὺς τῆς θερείας[15]). τί οὖν, ἔφην, καὶ ταύτην διανοεῖσθε πλουσίῳ διδόναι, ἵνα ὑμῖν καὶ αὐτὴ πυροὺς δανείσῃ; καὶ ἐνταῦθα μέντοι ἄμφω ἠρυθριασάτην, ἡ κόρη, καὶ τὸ μειράκιον. ὁ δὲ πατὴρ αὐτῆς ἔφη· πένητα ἄνδρα λήψεται, ὅμοιον ἡμῖν κυνηγέτην· καὶ μειδιάσας ἔβλεψε πρὸς τὸν νεανίσκον. κἀγώ· τί οὖν οὐκ ἤδη δίδοτε; ἢ δεῖ ποθὲν αὐτὸν ἐκ κώμης ἀφικέσθαι; δοκῶ μὲν, εἶπεν, οὐ μακρὰν ἐστιν· ἀλλ' ἔνδον ἐνθάδε. καὶ ποιήσομέν γε τοὺς γάμους ἡμέραν ἀγαθὴν ἐπιλεξάμενοι. κἀγὼ, πῶς, ἔφην, κρίνετε τὴν ἀγαθὴν ἡμέραν; καὶ ὅς, ὅταν μὴ μικρὸν ᾖ τὸ σελήνιον· δεῖ δὲ καὶ τὸν ἀέρα εἶναι καθαρόν· αἰθρίαν λαμπράν. κἀγώ· τί δαὶ τῷ ὄντι κυνηγέτης ἀγαθός ἐστιν; ἔφην. ἔγωγε, εἶπεν ὁ νεανίσκος, καὶ ἔλαφον καταπονῶ, καὶ συνεφίσταμαι[16]). ὄψει δὲ αὔριον, ἂν θέλῃς, ὦ ξένε. καὶ τὸν λαγὼ τοῦτον σὺ, ἔφην, ἔλαβες; κἀγὼ, ἔφη γελάσας, τῷ λιναρίῳ

13) τις Casaubonus cum τι mutat. aut hoc verum est, aut, quod malim, τις θήρα ᾖ *cum quid ferae captum est*, cum capturae cuiusdam copia est. idem est ac si dixisset καὶ θήραν, ὁπηνίκα τις ᾖ vel παρῇ.

14) Ista breuitas orationis mulierem illiteratam et garrulam egregie decet.

15) εὐθὺς τῆς θερείας] *statim a messe*, post messem peractam continuo; ita infra p. 187, 11. ed. Mor. παραχρῆμα τῆς εὐεργεσίας, *statim a beneficio accepto*. Apud Phot. Biblioth. p. 172, 34. αὐτίκα τοῦ ἀνακύψαι τῆς νόσου *statim a morbo superato*. v. Vales. ad initium H. E. Eusebii; vbi notat aliquos, qui dictionem παραυτίκα τῆς ἐπιβουλῆς haud percepissent. Demosthenes de Halonneso p. 50, 28. παραχρῆμα τῶν λόγων εἰρημένων καὶ εὐθὺς τοῦ ψηφίσματος ἀναγνωσθέντος.

16) f. καὶ συῒ συνεφίσταμαι. apro confodiendo accingor, consurgo in aprum, vt cum eo congrediar.

ρίῳ τῆς νυκτός. ἦν γὰρ αἰθρία πάνυ καλή, καὶ ἡ σελήνη τηλικαύτη τὸ μέγεθος, ἡλίκη οὐδεπώποτε ἐγένετο. ἐνταῦθα μέντοι ἐγέλασαν ἀμφότεροι· οὐ μόνον ὁ τῆς κόρης πατὴρ, ἀλλὰ καὶ ὁ ἐκείνου. ὁ δὲ ᾐσχύνθη, καὶ ἐσιώπησε. λέγει οὖν ὁ τῆς κόρης πατήρ· ἐγὼ μὲν, ἔφη, ὦ παῖ, οὐδὲν ὑπερβάλλομαι. ὁ δὲ πατήρ σου περιμένει, ἔστ' ἂν ἱερεῖον πρίηται πορευθείς [17]. δεῖ γὰρ θῦσαι τοῖς θεοῖς. εἶπεν οὖν ὁ νεώτερος ὁ [18] ἀδελφὸς τῆς κόρης· ἀλλὰ ἱερεῖον πάλαι γε οὗτος παρεσκεύακε. καὶ ἔστιν ἔνδον τρεφόμενον, ὄπισθεν τῆς σκηνῆς, γενναῖον. ἠρώτων οὖν αὐτόν· ἀληθῶς; ὁ δὲ ἔφη. καὶ πόθεν σοί, ἔφασαν, ὅτε τὴν ὗν [19] ἐλάβομεν τὴν τὰ τέκνα ἔχουσαν. τὰ μὲν ἄλλα διέδρα· καὶ ἦν, ἔφη, ταχύτερα τοῦ λαγώ· ἑνὸς δὲ ἐγὼ λίθῳ ἔτυχον. καὶ ἄλλοι τὸ δέρμα ἐπέβαλον [20]· τοῦτο ἠλλαξάμην ἐν τῇ κώμῃ, καὶ ἔλαβον ἀντ' αὐτοῦ χοῖρον, καὶ ἔθρεψα ποιήσας ὄπισθεν συφεόν. ταῦτα, εἶπεν, ἄρα ἡ μήτηρ σου ἐγέλα, ὁπότε [21] θαυμάζοιμι ἀκούων γρυλλιζούσης τῆς συὸς, καὶ τὰς κριθὰς οὕτως ἀνήλισκες. αἱ γὰρ Εὐβοΐδες, εἶπεν [22], οὐχ ἱκαναὶ ἦσαν πιᾶναι, εἰ μή γε βαλά-

νους

17) πορευθεὶς] profectus, nescio quo. hoc est, vndecunque tandem, e loco quodam dissito, quo eundum ipsi sit, arcessendi ergo.

18) ὁ videtur delendum.

19) τὴν ὗν] *suem feram*, non domesticam.

20) ἐπέβαλον] imo vero ἀπέβαλλον. pellem detrahebant, aprum tenellum excoriabant.

21) sic recte Morellus locum hunc idonea distinctione explanauit. *Haec itaque causa est*, *inquit* (pater iuuenis sponsi), *cur mater tua*, (vxor mea) *saepe riserit*, *si quando ego mirarer*. Veneta et textus Mor. sic distinguunt: ταῦτα εἶπεν ἄρα ἡ μήτηρ σου, ἐγέλα —

22) locus difficilis. primum obscurum est; ad quem referatur εἶπεν, ad patrem iuuenis desponsi, an ad iuuenem ipsum. potest vtrumque esse, posterius tamen ego malim,

νους ἤθελον ἐσθίειν. ἀλλὰ εἰ βούλεσθε ἰδεῖν αὐτὴν, ἄξω πορευθεὶς. οἱ δὲ ἐκέλευον. ἀπῄεσαν οὖν ἐκεῖνός τε καὶ οἱ αὐτόθεν παῖδες δρόμῳ, χαίροντες. ἐν δὲ τούτῳ ἡ παρθένος ἀναστᾶσα, ἐξ ἑτέρας σκηνῆς ἐκόμισεν οὖα[23] τετμημένα, καὶ μέσπιλα, καὶ μῆλα χειμερινὰ, καὶ τῆς γενναίας σταφυλῆς βότρυς σφριγῶντας· καὶ ἔθηκεν ἐπὶ τὴν τράπεζαν, καταψή-

lim, et quae paulo poſt leguntur, ea clare demonſtrant, non poſſe ab alio, quam a iuuene, filio patris modo locuti, hanc orationem profectam eſſe. deinde neque hoc planum, quo redeat εὐβοΐδες, ad ſuesne, an ad τὰς κριθάς. malim ad ſues. verum πιαίνειν non eſt *pingueſcere*, ſed *pinguefacere*. plana tamen eſt ſententia. tu mirabaris, pater, inquit filius, cur hordea minuerentur; ego nempe operam dabam, vt ſcrofa cito pingueſceret. quare parcendum hordeis non erat. Et vel ſic tamen aegre poteram id conſequi; nam porci Euboici ea ſunt natura, vt ſine glandibus aegre pingueſcant. θέλουσιν ἐσθίειν idem eſt atque μέλλουσιν ἐσθίειν aut ἐσθίουσιν. v. Herodot. I. 109. p. 55, 10. Dixi de hoc vſu verbi θέλειν pro μέλλειν pluribus ad Conſtantini Ceremoniale. videor mihi in hac tota dictione iuuenis colorem quendam plebeiae graecae dictionis, at illius tamen haud ſordidae, agnoſcere.

23) egregia eſt Caſauboni emendatio, et tanti auctoris ingenio digna, οὖα *ſorba*. quae etiam, teſte Morello, a codice regio confirmatur. (Veneta et Morelliana dant οὖν) ſed τετμημένα bonum eſt et in ſaluo. veteres ſorba, quae ſunt mala, noſtratibus *Meeläpfel* appellata, quaſi dicas mala farinacea, media diſſecare, et ad ſolem ſiccare, et comedere ſolebant, item vinum aliquod, aut cereuiſiam ex iis excoquere. quae nos omnia docet Dioſcorides, I. 174. qui cum c. 170. et 171. de meſpilis tradidiſſet, quibuscum ſorba quodammodo conueniunt, quare etiam a Dione h. l. copulata ſunt, de ſorbis haec affert: οὖα τὰ μηλίζοντα καὶ μήπω πέπειρα τμηθέντα καὶ ξηρανθέντα ἐν ἡλίῳ, σταλτικὰ γίνεται κοιλίας ἐσθιόμενα. καὶ τὸ ἐξ αὐτῶν δὲ ἄλευρον ἀλεσθέντων ἀντὶ τῶν ἀλφίτων λαμβανόμενον, καὶ τὸ ἀφέψημα δὲ αὐτῶν πινόμενον τὸ αὐτὸ ποιεῖ.

σασα φύλλοις ἀπὸ τῶν κρεῶν, ὑποβαλοῦσα καθαρὰν πτερίδα. ἧκον δὲ καὶ οἱ παῖδες τὴν ὗν ἄγοντες μετὰ γέλωτος καὶ παιδιᾶς. συνηκολούθει δὲ ἡ μήτηρ τοῦ νεανίσκου, καὶ ἀδελφοὶ δύο παιδάρια· ἔφερον δὲ ἄρτους τε καθαροὺς, καὶ ὠὰ ἑφθὰ, ἐν ξυλίνοις πίναξι, καὶ ἐρεβίνθους φρυκτούς. ἀσπασαμένη δὲ τὸν ἀδελφὸν ἡ γυνὴ καὶ τὴν θυγατέρα, καὶ 24) τὴν ἀδελφιδῆν, ἐκαθέζετο παρὰ τὸν αὑτῆς ἄνδρα, καὶ εἶπεν· ἰδοῦ τὸ ἱερεῖον, ὃ πάλαι οὗτος ἔτρεφεν εἰς τοὺς γάμους, καὶ τἄλλα τὰ 25) παρ' ἡμῖν ἕτοιμά ἐστι καὶ ἄλευρα, καὶ ἄλφιτα πεποίηται· μόνον ἴσως οἰναρίου προσδεησόμεθα· καὶ τοῦτο οὐ χαλεπὸν ἐκ τῆς κώμης λαβεῖν. παρειστήκει δὲ αὐτῇ πλησίον οὗτος, πρὸς τὸν κηδεστὴν ἀποβλέπων. καὶ ὃς μειδιάσας εἶπεν· οὗτος, ἔφη, ἐστὶν ὁ ἐπέχων 26)· ἴσως γὰρ ἔτι βούλεται πιᾶναι τὴν ὗν. καὶ τὸ μειράκιον· αὕτη μὲν, εἶπεν, ὑπὸ τοῦ λίπους διαῤῥαγήσεται. κἀγὼ βουλόμενος αὐτῷ βοηθῆσαι· ὅρα, ἔφην, μὴ, ἕως πιαίνεται ἡ ὗς, οὗτος ὑμῖν λεπτὸς γένηται. ἡ δὲ μήτηρ· ἀληθῶς, εἶπεν, ὁ ξένος λέγει, ἐπεὶ καὶ νῦν λεπτότερος αὑτοῦ γέγονεν· καὶ πρώην ᾐσθόμην τῆς νυκτὸς αὐτὸν ἐγρηγορότα, καὶ προελθόντα ἔξω τῆς σκηνῆς. οἱ κύνες, ἔφη, ὑλάκτουν, καὶ ἐξῆλθον ὀψόμενος. οὐ σύ γε, εἶπεν 27), ἀλλὰ περιεπάτεις ἀλύων.

μὴ

24) recte Anglus καὶ deletum vult. mulier adueniens salutabat primum fratrem, deinde huius filiam, futuram nurum suam, quae eadem erat ipsius quoque ἀδελφιδῆ, e fratre neptis.

25) τἄλλα τὰ —] haud satis placet τὰ, malim sic legi: καὶ τἄλλ' ἅττα παρ' ἡμῖν.

26) ἐπέχων] sic codex regius, *remorans*, *rem extrahens*. aut cum Casaubono ἀνέχων, quod eodem redit. ἀπέχων Ven. et Mor.

27) εἶπεν] imo vero εἶπον, nam mater sua ipsius ad filium verba, quae tum habuisset, refert. *mentiris*, *inquam*,

non

μὴ ἐν πλείω χρόνον ἐῶμεν ἀνιᾶσθαι αὐτόν. καὶ περιβαλοῦσα ἐφίλησε τὴν μητέρα τῆς κόρης. ἡ δὲ πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς, ποιῶμεν, εἶπεν, ὡς θέλουσι. καὶ ἔδοξε ταῦτα· καὶ εἶπον· εἰς τρίτην ποιῶμεν τοὺς γάμους. παρεκάλουν δὲ κἀμὲ προσμεῖναι τὴν ἡμέραν. κἀγὼ προσέμεινα οὐκ ἀηδῶς, ἐνθυμούμενος ἅμα τῶν πλουσίων ὁποῖά ἐστι τά τε ἄλλα, καὶ τὰ περὶ τοὺς γάμους· προμνηστριῶν τε πέρι[28]), καὶ ἐξετάσεων οὐσιῶν τε καὶ γένους, προικῶν τε, καὶ ἕδνων, καὶ ὑποσχέσεων, καὶ ἀπατῶν[29]), ὁμολογιῶν τε καὶ συγγραφῶν, καὶ τελευταῖον πολλάκις, ἐν αὐτοῖς τοῖς γάμοις, λοιδοριῶν, καὶ ἀπεχθειῶν. διόπερ καὶ ἅπαντα δὴ τοῦτον τὸν λόγον διῆλθον, οὐκ ἄλλως, οὐδ' ὡς τάχ' ἂν δόξαιμί τισιν ἀδολεσχεῖν βουλόμενος[30])· ἀλλ' ὅπερ ἐξ ἀρχῆς ὑπεθέμην βίου, καὶ τῆς τῶν πενήτων διαγωγῆς, παράδειγμα ἐκτιθεὶς, ὃ αὐτὸς ἠπιστάμην, τῷ βουλομένῳ θεάσασθαι· λόγων τε καὶ ἔργων, καὶ κοινωνιῶν τῶν πρὸς ἀλλήλους· εἴ γε δὴ τῶν πλουσίων ἐλαττοῦνται διὰ τὴν πενίαν· πρὸς τὸ ζῆν εὐσχημόνως, καὶ κατὰ φύσιν, τῷ παντὶ[31])

πλέον

non tu canum ergo ſurrexiſti, ſed *quia te curae tuae de ſponſa tua dormire non ſinunt, ideo ſollicitus in atrio deambulas.*

28) πέρι] ſic cum accentu ad penultimam reiecto, quia praepoſitio eſt poſtpoſita; et ſic quoque videtur Anglus voluiſſe, niſi ſi ex aliquo codice mſto hoc repetiit, et id ſuo γράφεται indicare voluit. quicquid id eſt, πέρι eſt vera lectio, a codice Morelli confirmata. Ven. et Mor. dant πατρί.

29) ἀπατῶν noli mouere. Impoſturae merae ſunt pleraque, quibus in matrimonia coeuntes ineſcantur, et irretiuntur, ſiue quae vir mulieri promittit, ſiue quae mulier, aut eius neceſſarii, illi; mercatura haec vxoria fraudis habet multum.

30) βουλόμενος] vltro, ſponte mea, nemine exigente.

31) Morell. dat καὶ τῷ παντὶ, ſed Caſaubonus vidit hic loci ἢ abeſſe; quare legit ἢ καὶ — aſſentior, nam neceſſe

πλέον ἔχουσι· καὶ δῆτα καὶ τὸ τοῦ Εὐριπίδου σκοπῶν, εἰ καὶ κατ᾽ ἀλήθειαν ἀπόρως αὐτοῖς ἔχει τὰ πρὸς τοὺς ξένους, ὡς μήτε ὑποδέξασθαί ποτε δύνασθαι, μήτε ἐπαρκέσαι δεομένῳ τινί· οὐδαμῇ τοιοῦτον εὑρίσκω τὸ τῆς ξενίας· ἀλλὰ καὶ πῦρ ἐναύοντας, προθυμότερον τῶν πλουσίων, καὶ ὁδῶν ἀπροφασίστους ἡγεμόνας· ἐπεί τοι τὰ τοιαῦτα καὶ αἰσχύνοιτο ἂν[32])· πολλάκις δὲ καὶ μεταδιδόντας ὧν ἔχουσιν, ἑτοιμότερον· οὐ γὰρ δὴ ναυαγῷ τις δώσει ἐκείνων, οὔτε τὸ τῆς γυναικὸς ἁλουργές, ἢ τὸ τῆς θυγατρός· οὐδὲ πολὺ ἧττον τούτου φόρημα, τῶν χλαινῶν τινα ἢ χιτώνων[33]), μυρία ἔχοντες· ἀλλ᾽ οὐδὲ τῶν οἰκετῶν οὐδενὸς ἱμάτιον. δηλοῖ δὲ καὶ τοῦτο Ὅμηρος. τὸν μὲν γὰρ Εὔμαιον πεποίηκε, δοῦλον[34]) καὶ πένητα, ὅμως τὸν Ὀδυσσέα καλῶς ὑποδεχόμενον, καὶ τροφῇ, καὶ κοίτῃ· τοὺς δὲ μνηστῆρας ὑπὸ πλούτου καὶ ὕβρεως οὐ πάνυ ῥαδίως αὐτῷ μεταδιδόντας, οὐδὲ τῶν ἀλλοτρίων· ὥσπερ καὶ αὐτὸς πεποίηται λέγων πρὸς Ἀντίνουν, ὀνειδίζων τὴν ἀνελευθερίαν·

Οὐ σύ γ᾽ ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ᾽ ἅλα δοίης,
Ὃς νῦν ἀλλοτρίοισι παρήμενος, οὔτι μοι ἔτλης
Σίτου ἀπάρξασθαι, πολλῶν κατὰ οἶκον ἐόντων.

καὶ

cesse est. verum cur turbas dedit Morellus? cur non reddit illa, quae, non codex modo ei suus, sed ipsa Veneta bene habentia suppeditabat. in vtroque illo libro, loco καὶ, vitiose ab operis Morelli intrusi, est ἤ.

32) f. ἐπεὶ οὔτοί γε τὰ τοιαῦτα καὶ αἰσχύνοιντο ἄν. *nam hos quidem,* (diuites puta) *pudeat adeo talia factitare.*

33) malim οὔτε τῶν τῆς θυγατρὸς οὐδέν, πολὺ ἧττον τῶν αὐτοῦ φορημάτων, χλαῖνάν τινα ἢ χιτώνιον. Casaubonus vult ἧττον τὸ αὐτοῦ φόρημα.

34) In alio auctore castigatioris dictionis studioso, ad δοῦλον adderem ὄντα; sed in Dione vix audeo, tametsi necessarium sit, qui sciam, eum participium hoc, etiam vbi sententia postulat, omittere solere.

καὶ τούτους μὲν ἔξω διὰ τὴν ἄλλην πονηρίαν εἶναι τοιούτους· ἀλλ' οὐδὲ[35]) τὴν Πηνελόπην, καίτοι χρηστὴν οὖσαν, καὶ σφόδρα ἡδέως διαλεγομένην πρὸς αὐτὸν, καὶ περὶ τοῦ ἀνδρὸς πεπυσμένην, οὐδὲ ταύτην φησὶν ἱμάτιον αὐτῷ δοῦναι, γυμνῷ παρακαθημένῳ[36])· ἀλλ' ἢ μόνον ἐπαγγέλλεσθαι, ἂν ἄρα φανῇ ἀληθεύων περὶ τοῦ Ὀδυσσέως, ὅτι ἐκείνου τοῦ μηνὸς ἥξοι, καὶ ὕστερον, ἐπειδὴ τὸ τόξον ᾔτει, τῶν μνηστήρων οὐ δυναμένων ἐπιτεῖναι, χαλεπαινόντων ἐκείνῳ, ὅτι ἠξίου πρὸς αὐτοὺς ἁμιλλᾶσθαι περὶ ἀρετῆς, ἀξιοῖ δοθῆναι αὐτῷ· οὐ γὰρ δὴ περὶ τοῦ γάμου τε[37]) εἶναι κἀκείνῳ τὸν λόγον, ἀλλ' ἐὰν τύχῃ ἐπιτείνας, καὶ διαβαλὼν διὰ τῶν πελέκεων, ἐπαγγέλλεται αὐτῷ δώσειν χιτῶνα καὶ ἱμάτιον, καὶ ὑποδήματα· ὡς δέον αὐτὸν τὸ Εὐρύτου τόξον ἐντεῖναι, καὶ τοσούτοις νεανίσκοις ἐχθρὸν γενέσθαι, τυχὸν δὲ καὶ ἀπολέσθαι παραχρῆμα ὑπ' αὐτῶν, εἰ μέλλει τυγχάνειν ἐξωμίδος, καὶ ὑποδημάτων· ἢ τὸν Ὀδυσσέα, εἴκοσιν ἐτῶν οὐδαμοῦ πεφηνότα, ἥκοντα ἀποδεῖξαι, καὶ ταῦτα ἐν ἡμέραις ῥηταῖς· εἰ δὲ μὴ, ἐν τοῖς αὐτοῖς ἀπιέναι ῥάκεσι. ταῦτα περὶ τῆς σώφρονος καὶ ἀγαθῆς Ἰκαρίου θυγατρὸς βασιλίδος[38]). σχεδὸν δὲ καὶ ὁ Τηλέμαχος τοιαῦτα ἕτερα πρὸς τὸν συβώτην λέγει[39]) περὶ αὐτοῦ, κελεύων αὐτὸν[40]) εἰς τὴν πόλιν πέμπειν τὴν ταχίστην πτωχεύσοντα ἐκεῖ, καὶ μὴ

35) ἀλλ' οὐδὲ] quomodo leg. esse in meo opusculo Dioneo significaueram, et reperio nunc in Veneta: et sic reddidit quoque interpres. Morell. omittit ἀλλ'.

36) παρακαθημένῳ] sic recte Veneta. παραθημένῳ Morell.

37) τε] lege γε.

38) f. τῆς βασιλίδος.

39) λέγει] sic recte Veneta et Anglus, λέγειν Morell.

40) αὐτὸν] sic lego cum Anglo. αὐτοῦ Ven. et Morell. vitiosum.

μὴ πλείους ἡμέρας τρέφειν ἐν τῷ σταθμῷ· καὶ γὰρ εἰ ξυνέκειτο αὐτοῖς ταῦτα, ἀλλ' ὅ γε συβώτης οὐ θαυμάζει τὸ πρᾶγμα, καὶ τὴν ἀπανθρωπίαν· ὡς ἔθους [41]) δὴ ὄντος οὕτως ἀκριβῶς [42]) καὶ ἀνελευθέρως πράττειν τὰ περὶ τοὺς ξένους τοὺς πένητας, μόνους δὲ τοὺς πλουσίους ὑποδέχεσθαι φιλοφρόνως ξενίοις καὶ δώροις· παρ' ὧν δηλονότι καὶ αὐτοὶ προσεδόκων τῶν ἴσων ἐντυχεῖν [43]), ὁποῖα σχεδὸν καὶ τὰ τὸ νῦν ἐστὶ φιλανθρωπίας τε πέρι καὶ τῆς προαιρέσεως [44]). αἱ γὰρ δὴ δοκοῦσαι φιλοφρονήσεις καὶ χάριτες, ἐὰν σκοπῇ τις ὀρθῶς, οὐδὲν διαφέρουσιν ἐράνων, καὶ δανείων, ἐπὶ τόκῳ συχνῶν καὶ ταῦτα ὡς τοπολὺ γιγνόμενα [45]), εἰ μὴ νὴ Δί' ὑπερβάλλει τὰ νῦν τοῖς [46]) πρότερον, ὥσπερ ἐν τῇ ἄλλῃ ξυμπάσῃ κακίᾳ. ἔχω [47]) γε μὴν εἰπεῖν καὶ τῶν Φαιάκων. περὶ καὶ τῆς ἐκείνων φιλανθρωπίας, εἴ τῳ δοκοῦσιν

οὔτοι

41) ἔθους] sic vir doctus in Veneta mea bene correxit, quomodo etiam V. L. dat. ἔθος Ven. et Mor.

42) ἀκριβῶς] recte reddidit interpres, *attente*, ad rem puta familiarem seruandam et augendam, *parce, sordide*.

43) ἐντυχεῖν] Veneta ἀντυχεῖν. quo profecimus nonnihil ad veram lectionem, quae est ἀντιτυχεῖν, inuicem adipisci.

44) f. ὁποῖα σχεδὸν καὶ τὰ τῶν νῦν ἐστι φιλανθρωπεύματα, τὰ καὶ πέρα τῆς προαιρέσεως. qualia sunt blandimenta hominum, qui nunc sunt, illa, quae vel vltra voluntatem pertinent, excedunt ipsam voluntatem, plusquam velit ipse, seu dicens, seu qui eiusmodi offuciis luditur.

45) malim ἐπὶ τόκῳ καὶ ταῦτα [vel αὐτὰ] συχνῷ ὡς τὸ πολὺ γιγνόμενα.

46) τοῖς] imo vero τὰ aut τοὺς, scil. ἀνθρώπους. sed prius malim. nisi praesens corruptela morum illam priorum temporum, vt in alia quacunque improbitate, ita hac quoque in parte excedit. Anglum, vt saepe, ita h. l. haud percipio.

47) malim ἔχω γε μὴν εἰπεῖν καὶ περὶ Φαιάκων καὶ τῆς ἐκείνων Φ. aut τῶν Φαιάκων πέρι καὶ τῆς —

οὔτοι οὐκ ἀγεννῶς, οὐδ' ἀναξίως τοῦ πλούτου προσενεχθῆναι τῷ Ὀδυσσεῖ. μεθ' οἵας μάλιστα διανοίας, καὶ δι' ἃς αἰτίας προὐτράπησαν [48]) ἀφθόνως καὶ μεγαλοπρεπῶς χαρίζεσθαι. ἀλλὰ γὰρ πολὺ πλείω τῶν ἱκανῶν καὶ τὰ νῦν ὑπὲρ τούτων εἰρημένα. δῆλόν γε μὴν, ὡς ὁ πλοῦτος οὔτε πρὸς ξένους, οὔτε ἄλλως μέγα τι συμβάλλεται τοῖς κεκτημένοις· ἀλλὰ τοὐναντίον γλίσχρους καὶ φειδωλοὺς ὡς τὸ πολὺ μᾶλλον τῆς πενίας ἀποτελεῖν πέφυκεν. οὐδὲ γὰρ, εἴ τις αὖ [49]) τῶν πλουσίων, εἷς που τάχα ἐν μυρίοις, δαψιλὴς καὶ μεγαλόφρων τὸν τρόπον εὑρεθείη [50]), τοῦτο ἱκανῶς δείκνυσι, τὰ [51]) μὴ οὐχὶ τοὺς πολλοὺς [52]) χείρους περὶ ταῦτα γίγνεσθαι τῶν ἀπορωτέρων. ἀνδρὶ δὲ πένητι μὴ φαύλῳ τὴν φύσιν ἀρκεῖ τὰ παρόντα καὶ τὸ σῶμα μετρίως ἀσθενήσαντι, τοιούτου ποτὲ νοσήματος ξυμβάντος, οἷάπερ εἴωθε γίγνεσθαι τοῖς οὐκ ἀργοῖς οὐδὲ ἑκάστοτε ἐμπιπλαμένοις, ἀνακτήσασθαι· καὶ ξένοις ἐλθοῦσι δοῦναι προσφιλῆ ξένια χωρὶς ὑποψίας, παρ' ἑκόντων διδόμενα ἀλύπως. οὐκ ἴσως ἀργυροῦς κρατῆρας, ἢ ποικίλους πέπλους, ἢ τέθριππον, ἢ τὰ Ἑλένης καὶ Μενέλεω Τηλεμάχῳ δῶρα. οὐδὲ γὰρ τοιούτοις ὑποδέχοιτ' ἂν ὡς εἰκὸς ξένους, σατράπας, ἢ βασιλέας, εἰ μή γε πάνυ σώφρονας καὶ ἀγαθούς· οἷς οὐδὲν ἐνδεὲς μετὰ φιλίας γιγνόμενον. ἀκολάστους δὲ καὶ τυραννικοὺς, οὔτε ἄν, οἶμαι, δύναιτο [53]) θερα-

48) προὐτράπησαν] ſic interpres et vir doctus in Veneta mea. προὐτάπησαν textus Ven. et Mor.
49) αὖ] malim ἄν.
50) εὑρεθείη] quomodo etiam interpres reddidit. εὑρεθείης Ven. et Mor.
51) τὰ] f. τὸ.
52) τοὺς πολλοὺς] ſubaudi τῶν πλουσίων.
53) δύναιτο et προσδέοιτο adſcripſit vir doctus in Veneta mea, quia praeceſſit ὑποδέχοιτο, et πένης ἀνὴρ verſ. 14. poſſit

θεραπεύειν ἱκανῶς ξένους, οὔτ' ἂν ἴσως προσδέοιντο τοιαύτης ξενίας. οὐδὲ γὰρ τῷ Μενέλεῳ δήπουθεν ἀπέβη πρὸς τὸ λῷον, ὅτι ἐδύνατο δέξασθαι τὸν πλουσιώτατον ἐκ τῆς Ἀσίας ξένον, ἄλλος δὲ οὐδεὶς ἱκανὸς ἦν ἐν τῇ Σπάρτῃ, τὸν Πριάμου τοῦ βασιλέως υἱὸν ὑποδέξασθαι. τοιγάρτοι ἐρημώσας αὐτοῦ τὴν οἰκίαν, καὶ πρὸς τοῖς χρήμασι τὴν γυναῖκα προσλαβὼν, τὴν δὲ θυγατέρα ὀρφανὴν τῆς μητρὸς ἐάσας, ᾤχετο ἀποπλέων. καὶ μετὰ ταῦτα ὁ Μενέλεως χρόνον μὲν πολὺν ἐφθείρετο πανταχόσε τῆς Ἑλλάδος, ὀδυρόμενος τὰς αὐτοῦ συμφορὰς, δεόμενος ἑκάστου τῶν βασιλέων ἐπαμῦναι. ἠναγκάσθη δὲ ἱκετεῦσαι καὶ τὸν ἀδελφὸν, ὅπως ἐπιδῷ τὴν θυγατέρα σφαγησομένην ἐν Αὐλίδι. δέκα δὲ ἔτη καθῆσο πολεμῶν ἐν Τροίᾳ, πάλιν ἐκεῖ κολακεύων τοὺς ἡγεμόνας τοῦ στρατοῦ, καὶ αὐτὸς, καὶ ὁ ἀδελφός· εἰ δὲ μὴ, ὠργίζοντο καὶ ἠπείλουν ἑκάστοτε ἀποπλευσεῖσθαι· καὶ πολλοὺς πόνους καὶ κινδύνους ἀμηχάνους ὑπομένων, ὕστερον δὲ ἠλᾶτο, καὶ οὐχ οἷός τ' ἦν διὰ μυρίων κακῶν οἴκαδ' ἀφικέσθαι. ἆρ' οὖν οὐ σφόδρα ἄξιον ἄγασθαι τοῦ πλούτου 54) καὶ τὸν ποιητὴν τῷ ὄντι ζηλωτὸν ὑπολαβεῖν; ὅς φησιν αὐτοῦ μέγιστον εἶναι ἀγαθὸν τὸ δοῦναι ξένοις, καὶ ἐάν ποτε τινες ἔλθωσι τρυφῶντες ἐπὶ τὴν οἰκίαν, μὴ ἀδύνατον γενέσθαι παρασχεῖν κατάλυσιν, καὶ προθεῖναι ξένια, οἷς ἂν ἐκεῖνοι μάλιστα ἥδοιντο; λέγομεν δὲ ταῦτα μεμνημένοι τῶν ποιητῶν, οὐκ ἄλλως ἀντιπαρεξάγοντες ἐκείνοις, οὐδὲ τῆς δόξης ζηλοτυποῦντες, ἣν ἀπὸ τῶν ποιημάτων ἐκτήσαντο ἐπὶ σοφίᾳ. οὐ τούτων ἕνεκα φιλοτιμούμενοι ἐξελέγχειν αὐτούς· ἀλλὰ παρ' ἐκείνοις μάλιστα εὑρήσειν ἡγούμενοι τὴν

τῶν

possit quoque inuerse ὑποδέχοιντο scribi, vt ad totum genus pauperum redeat.

54) τὸν πλοῦτον.

τῶν πολλῶν διάνοιαν, ἃ δὴ καὶ τοῖς πολλοῖς ἐδόκει 55)), περί τε πλούτου, καὶ τῶν ἄλλων, ἃ θαυμάζουσι. καίτοι 56)) μέγιστον οἴονται σφίσι γενέσθαι ἄν, ἐφ' ἑκάστου τῶν τοιούτων. δῆλον γάρ, ὅτι μὴ συμφωνοῦντος αὐτοῖς τοῦ ποιήματος, μηδὲ τὴν αὐτὴν γνώμην ἔχοντος, οὐκ ἂν οὕτω σφόδρα ἐφίλουν, οὐδὲ ἐπῄνουν ὡς σοφούς τε καὶ ἀγαθοὺς γενέσθαι 57)) καὶ τἀληθῆ λέγοντας. ἐπεὶ οὖν οὐκ ἔστιν ἕκαστον ἐλέγχειν ἀπολαμβάνοντα τοῦ πλήθους, οὐδ' ἀνερωτᾷν 58)) ἅπαντας ἐν μέρει· τί γὰρ σύ, ὦ ἄνθρωπε, δέδοικας τὴν πενίαν οὕτω πάνυ, τὸν δὲ πλοῦτον ὑπερτιμᾷς, τί δ' αὖ ἄσυλόν 59)) τινα ἐλπίζεις κερδανεῖν μέγιστον, ἂν τύχῃς πλουτήσας, ἢ νὴ Δία ἔμπορος γενόμενος, ἢ καὶ βασιλεύσας; ἀμήχανον γὰρ τὸ τοιοῦτον, καὶ οὐδαμῶς ἀνυστόν. οὕτως ἂν 60)) ἐπὶ τοὺς προφήτας 61)) αὐτῶν, καὶ τοὺς συνηγόρους, τοὺς ποιητάς, ἐξ ἀνάγκης ἴωμεν, ὡς ἐκεῖ φανερὰς 62)) καὶ μέτροις κατακεκλεισμένας εὑρήσοντες τὰς τῶν πολλῶν δόξας. καὶ δῆτα οὐ πάνυ μοι δοκοῦμεν ἀποτυγχάνειν. τοῦτο δὲ σύνηθες δήπου καὶ τοῖς σοφωτέροις, ὃ νῦν ἡμεῖς ποιοῦμεν· ἐπεὶ καὶ αὐτοῖς τοῖς πένησιν ἀντείρηκε τῶν πάνυ φιλοσόφων τις,

55) ἐδόκει] imo vero δοκεῖ ob ſequens οἴονται.
56) τοι] l. τι, vt etiam Anglus, qui etiam recte vidit paulo poſt leg. eſſe ἀφ' ἑκάστου, et
57) γενέσθαι delendum. forte huius loco ſubſtituendum ἄνδρας.
58) οὐδ' ἀνερωτᾷν] Morell. dat οὐδ' ἂν ἐρωτᾷν.
59) αὖ ἄσυλον] locum hunc non extrico. f. θησαυρόν.
60) ἂν] f. οὖν.
61) προφήτας] qui φάσκουσι πρὸ (id eſt ὑπὲρ) τῶν ἄλλων. qui loco alius vel aliorum ad alium vel alios loquitur, vt ſi quis populi neceſſitates ad deum referat, et rurſus dei reſponſa ad populum. de h. v. egit Fabricius ad Sext. Empir. p. 225.
62) φανερὰς] ſic recte Veneta, φανερᾶς Morell.

τις, ὃν οὐδεὶς ἐμοὶ δοκεῖν φαίη ποτὲ φιλονεικοῦντα, τούτοις [63]) τε ἀντειρηκέναι, καὶ τοῖς ὑπὸ Σοφοκλέους εἰς τὸν πλοῦτον εἰρημένοις· ἐκείνοις μὲν ἐπ' ὀλίγον, τοῖς δὲ τοῦ Σοφοκλέους ἐπὶ πλέον, οὐ μὴν, ὥσπερ νῦν ἡμεῖς, διὰ μακρῶν [64]), ἅτε οὐ πρὸς τὸ χρῆμα κατὰ πολλὴν ἐξουσίαν διεξιὼν, ἐν βίβλοις γράφων. γεωργικοῦ [65]) μὲν δὴ πέρι, καὶ κυνηγετικοῦ τε, καὶ ποιμενικοῦ βίου, τάδε πλέω [66]) διατριβὴν ἴσως παρασχόντα τοῦ μετρίου λελέχθω· προθυμουμένων ἡμῶν ἁμηγέπη, δεῖξαι πενίαν ὡς οὐκ ἄπορον χρῆμα βίου, καὶ ζωῆς πρεπούσης ἀνδράσιν ἐλευθέροις αὐτουργεῖν ἐθέλουσιν· ἀλλ' ἐπὶ κρείττω πολὺ, καὶ συμφορώτερα ἔργα καὶ πράξεις ἄγοντα μᾶλλον [67]) κατὰ φύσιν, ἢ ἐφ' οἷα ὁ πλοῦτος εἴωθε τοὺς πολλοὺς προτρέπειν. εἶεν [68]) δὴ περὶ τῶν ἐν ἄστει καὶ κατὰ πόλιν πενήτων σκεπτέον [69]) ἂν εἴη τοῦ βίου [70]) καὶ τῶν ἐργασιῶν, πῶς ἂν μάλιστα διάγοντες, καὶ ποῖ' ἄττα μεταχειριζόμενοι, δυνήσονται μὴ κακῶς ζῆν, μηδὲ φαυλότερον τῶν δανειζόντων ἐπὶ τόκοις συχνοῖς, εὖ μάλ' ἐπισταμένων τῶν [71]) ἡμερῶν τε καὶ μηνῶν ἀριθμὸν, καὶ τῶν συνοι-

κίας

63) Locus hic ideo obſcurus, quia locos Platonis et Sophoclis, ad quos hic refertur, neſcimus. propterea tutius eſt coniecturas hic ſupprimere.

64) ſententia eſt: vt qui non argumentum hoc ex profeſſo ageret, ſed id obiter in diſputationibus ſuis modo attingeret.

65) ſic recte dat Veneta, γεωργικῶν Morell.

66) πλέω non improbo, ſed πλείω eſt vſitatius.

67) ἄγον τὰ μᾶλλον aut ἄγον καὶ μᾶλλον, nam ἄγον redit ad χρῆμα.

68) *εἶεν. haec hactenus.* νῦν δὲ δή.

69) σκεπτέον] ſic interpres et vir doctus in Veneta mea, σκεπτέων Ven. et Mor.

70) τοῦ βίου] conſtructio haec eſt: περὶ τοῦ βίου τῶν ἐν ἄστει.

71) τῶν] malim τόν.

κίας τε μεγάλας, καὶ ναῦς κεκτημένων, καὶ ἀνδράποδα πολλὰ 72), μήποτε 73) σπάνια ᾖ τὰ ἐν ταῖς πόλεσιν ἔργα τοῖς τοιούτοις, ἀφορμῆς τε ἔξωθεν προσδεόμενα 74), ὅταν οἰκεῖν τε μισθοῦ δέῃ καὶ τἄλλα ἔχειν ὠνουμένους, οὐ μόνον ἱμάτια, καὶ σκεύη καὶ σῖτον, ἀλλὰ καὶ ξύλα, τῆς γε καθ' ἡμέραν χρείας ἕνεκα τοῦ πυρὸς, καὶ φρυγάνων δέῃ ποτὲ καὶ φύλλων, ἢ ἄλλου ὁτουοῦν τῶν πάνυ φαύλων. δίχα δὲ ὕδατος, τὰ ἄλλα ξύμπαντα ἀναγκάζονται 75) λαμβάνειν, τιμὴν κατατιθέντες ἅτε πάντων κατακλειομένων, καὶ μηδενὸς ἐν μέσῳ φαινομένου πλήν γε οἶμαι τῶν ἐπὶ πράσει πολλῶν καὶ τιμίων. τάχα γὰρ ἂν φανῆται χαλεπὸν, τοιούτῳ βίῳ διαρκεῖν, μηδὲν ἄλλο κτῆμα ἔξω τοῦ σώματος κεκτημένους· ἄλλως τε 75b) μὴ τὸ τυχὸν ἔργον, μηδὲ πάνθ' ὁμοίως συμβουλεύωμεν αὐτοῖς, ὅθεν ἐστὶ κερδᾶναι· ὥστε ἴσως ἀναγκασθησόμεθα 76) ἐκβαλεῖν τῶν πόλεων τῷ λόγῳ τοὺς κομψοὺς 77) πένητας, ἵνα μὴ 78) παρέχωμεν τῷ ὄντι καθ' Ὅμηρον τὰς πόλεις εὖ ναιεταώσας, ὑπὸ μόνων τῶν μακαρίων οἰκουμένας, ἐντὸς δὲ τοῦ τείχους οὐδένα ἐάσωμεν, ὡς ἔοικεν, ἐλεύθερον ἐργάτην. ἀλλὰ τοὺς τοιούτους ἅπαντας τί δράσομεν, ἢ διασπείραντες 79) ἐν τῇ χώρᾳ κατοικιοῦμεν, καθάπερ Ἀθη-

72) repetendum mente σκεπτέον.
73) μήποτε] id est ὅρα, μήποτε *vide ne*, vel *annon erunt huiusmodi hominibus operae rarae?*
74) f. προσδεομένοις.
75) ἀναγκάζωνται ob praecedens δέῃ.
75 b) post ἄλλως τε abest κἂν *si*.
76) *quapropter forte cogemur.*
77) κομψοὺς] sic lego e regio codice, quod etiam Anglo in mentem venit. Ven. et Morell. dant νυμψὰς et margo Mor. πολλοὺς ἢ συχνούς.
78) μὴ] malim cum Anglo δή.
79) f. τί δράσομεν; νὴ Δία, διασπείραντες.

Ἀθηναίους νέμεσθαι καθ᾽ ὅλην[80]) τὴν Ἀττικὴν τὸ παλαιὸν, καὶ πάλιν ὕστερον τυραννήσαντος Πεισιστράτου; οὔκουν οὐδὲ ἐκείνοις ἀξύμφορος ἡ δίαιτα ἐγένετο, οὐδὲ ἀγεννεῖς ἤνεγκε φύσεις τῶν πολιτῶν· ἀλλὰ τῷ παντὶ βελτίους καὶ σωφρονεστέρους τῶν ἐν ἄστει τρεφομένων ὕστερον, ἐκκλησιαστῶν καὶ δικαστῶν, καὶ γραμματέων αὐτῶν[81]) ἅμα καὶ βαναύσων. οὔκουν ὁ κίνδυνος μέγας, οὐδὲ χαλεπὸς, εἰ πάντες οὗτοι καὶ[82]) πάντα τρόπον ἄγροικοι ἔσονται· οἶμαι δ᾽ ὅμως αὐτοὺς οὐκ ἀπορήσειν οὐδὲ ἐν ἄστει τροφῆς. ἀλλὰ ἴδωμεν, πόσα καὶ ἅττα πράττοντες, ἐπιεικῶς ἡμῖν διάξουσιν, ἵνα μὴ πολλάκις ἀναγκασθῶσιν ἀργοὶ καθήμενοι, πρός τι τῶν φαύλων τραπῆναι[83]). αἱ μὲν δὴ σύμπασαι κατὰ πόλιν ἐργασίαι, καὶ τέχναι, πολλαὶ καὶ παντοδαπαὶ, σφόδρα τε λυσιτελεῖς ἔνιαι τοῖς χρωμένοις, ἐάν τις τὸ λυσιτελὲς σκοπῇ πρὸς ἀργύριον. ὀνομάσαι δὲ αὐτὰς πάσας κατὰ μέρος, οὐ ῥάδιον, διὰ τὸ πλῆθος, καὶ τὴν ἀτοπίαν οὐχ ἧττον. οὔκουν ὅδε εἰρήσθω περὶ αὐτῶν ἐν βραχεῖ ψόγος τε καὶ ἔπαινος. ὅσαι μὲν σώματι βλαβεραὶ πρὸς ὑγείαν, ἢ πρὸς ἰσχὺν τὴν ἱκανὴν, δι᾽ ἀργίαν τε καὶ ἑδραιότητα· ἢ ψυχῆς[84]) ἀσχημοσύνην τε καὶ ἀνελευθερίαν ἐντίκτουσιν, ἢ ἄλλως ἀχρεῖοι, καὶ πρὸς οὐδὲν ὄφελός εἰσιν εὑρημέναι, δι᾽ ἀβελτηρίαν τε[85]) καὶ τρυφὴν τῶν πόλεων, ἅς γε τὴν ἀρχὴν, μηδὲ

τέ-

80) f. νέμεσθαι φασὶ καθ᾽ ὅλην.

81) αὐτῶν bene habet. qui cum essent in concione participes consiliorum reip. et iudicarent, et scribas agerent, iidem tamen artes sellularias exercerent.

82) καὶ] malim κατὰ.

83) αἱ] sic lego. Ven. et Morell. dant οἱ, et vir doctus in Veneta mea εἰσὶ adscripsit. sed hoc potest subaudiri.

84) ψυχαῖς.

85) τε] malim δέ.

τέχνας, μηδὲ ἐργασίας, τό γε ὀρθὸν[86]) καλεῖν.

45. οὐ γὰρ ἄν ποτε Ἡσίοδος, σοφὸς ὤν, ἐπῄνεσεν ὁμοίως πᾶν ἔργον, εἴ τι τῶν πονηρῶν, ἢ τῶν αἰσχρῶν ἠξίου ταύτης τῆς προσηγορίας. αἷς μὲν οὖν ἄν τις προσῇ τούτων τῶν βλαβῶν, (καὶ εἴ τις οὖν[87]) μηδένα ἅπτεσθαι[88]) τῶν ἐλευθέρων τε καὶ ἐπιεικῶν, μηδ' ἐπίστασθαι, μήτε αὐτὸν, μήτε παῖδας τοὺς αὐτοῦ διδάσκειν, ὡς οὔτε καθ' Ἡσίοδον, οὔτε καθ' ἡμᾶς, ἐργάτην ἐσόμενον, ἄν τι μεταχειρίζηται τοιοῦτον, ἀλλὰ ἀργίας τε ἅμα, καὶ αἰσχροκερδείας ἀνελεύθερον ἕξοντα ὄνειδος· βάναυσον καὶ ἀχρεῖον καὶ πονηρὸν ἁπλῶς ὀνομαζόμενον. ὅσα δὲ αὖ μήτε ἀποτρέπει[89]) τοῖς μετιοῦσι, μοχθηρίαν τε μηδεμίαν ἐμποιοῦντα τῇ ψυχῇ, μήτε νοσώδη, τῶν τε ἄλλων νοσημάτων, καὶ δῆτα ἀσθενείας τε καὶ ὄκνου καὶ μαλακίας διὰ πολλὴν ἡσυχίαν ἐγγινομένης ἐν τῷ σώματι, καὶ μὴ[90]) χρείαν γε ἱκανὴν παρέχοντα πρὸς τὸν βίον, πάντα τὰ τοιαῦτα πράττοντες προθύμως καὶ φιλοφρόνως, οὔποτ' ἂν ἐνδεεῖς ἔργον καὶ βίον[91]) γίγνοιντο, οὐδ' ἂν ἀληθῆ τὴν ἐπίκλησιν παρέχοιεν τοῖς πλουσίοις καλεῖν αὐτοὺς, ἧπερ εἰώθασιν, ἀπόρους ὀνομάζοντες[92]), τοὐναντίον μᾶλλον ἐκείνων ὄντες ποριστὰι, καὶ μηδενὸς ἀποροῦντες, ὡς ἔπος εἰπεῖν,

86) post ὀρθὸν deest aut εἴη, vt vult Casaubonus, aut δεῖ.

87) Casaubonus vult ἥτις οὖν. sed potest vulgata defendi.

88) f. μηδένα μηδεμιᾶς ἅπτεσθαι.

89) Casaubonus et Anglus volunt ἀποπρέπει. recte ad sententiam; quia tamen ἐμποιοῦντα sequitur, non ἐμποιεῖ, malim ἀπρεπῆ, scil. ἐστι.

90) μὴ] l. aut *μὴν porro*, aut δή.

91) optimum erit legere ἐνδεεῖς ἔργων καὶ βίου. alias potes Morelli coniecturam ἔργου καὶ βίου sequi, quam is ait a codice regio confirmari. item hoc ἐνδεεῖς εἰς ἔργα καὶ βίον.

92) ὀνομάζοντες] sic recte Casaubonus. ὀνομάζοντας Ven. et Morell.

πεῖν, τῶν ἀναγκαίων καὶ χρησίμων. φέρ' οὖν μνησθῶμεν ἀφ' ἑκατέρου τοῦ γένους, εἰ καὶ μὴ πάνυ ἀκριβῶς ἕκαστα φράζοντες, ἀλλ' ὡς τύπῳ τε[93]) κατιδεῖν τὰ τοιαῦτα[94]), καὶ ὧν ἕνεκα οὐ προσιέμεθα· καὶ ποῖα θαῤῥοῦντας ἐπιχειρεῖν κελεύομεν, μηδὲν φροντίζοντες[95]) τῶν ἄλλως τὰ τοιαῦτα προφερόντων, οἷον εἰώθασι λοιδορούμενοι προφέρειν πολλάκις οὐ μόνον τὰς αὐτῶν ἐργασίας[96]), αἷς οὐδὲν ἄτοπον πρόσεστιν, ἀλλὰ καὶ τῶν γονέων, ἄν τινος[97]) ἔριθος ἡ μήτηρ ἢ[98]) τρυγήτρια ἐξελθοῦσά ποτε, ἢ μισθοῦ τιτθεύσῃ παῖδα τῶν ὀρφανῶν ἢ πλουσίων, ἢ ὁ πατὴρ διδάξῃ γράμματα, ἢ παιδαγωγήσῃ. μηδὲν οὖν τοιοῦτον αἰσχυνομένους, ὁμόσε ἰέναι. οὐ γὰρ ἄλλως αὐτὰ ἐροῦσιν, ἂν λέγωσιν, ἢ ὡς σημεῖα πενίας, πενίαν αὐτὴν λοιδοροῦντες δηλονότι καὶ προφέροντες, ὡς κακόν δή τι καὶ δυστυχές, οὐ τῶν ἔργων οὐδέν. ὥστε ἐπειδὴ οὐ φαμὲν χεῖρον οὐδὲ δυστυχέστερον πλούτου πενίαν, οὐδὲ πολ-

93) τε] l. γε.

94) poſt τοιαῦτα deeſt ποῖα, v. paulo poſt. *qualianam et quare.*

95) φροντίζοντας, vt paulo ante θαῤῥοῦντας; non enim redit ad κελεύομεν, ſed ad ἐπιχειρεῖν.

96) ἐργασίας] ſic recte dant alii codices teſte Morello; *opificia, vnde quaeſtum faciunt.* εὐεργεσίας Ven. et Mor.

97) τινος] ſic Anglus, et vir doctus in Veneta mea, et Morellus in marg. ſuae editionis. τινας Ven. et Mor.

98) ἢ] ſic Anglus et margo Morell. ſed textum Mor. et Ven. omittunt ἢ. mihi videtur conuenientius leg. ἄν τινος ἔριθος ἡ μήτηρ ὤφθη ἢ τρυγήτρια, ἐξελθοῦσά ποι. *ſi cuius mater viſa fuerit aliquo itare ſolita, aut lanificii, aut alius operae mercenariae in agro aut vinea exercendae ergo.* Exempla huius rei ſunt apud Demoſthenem, qui bene cum noſſet, quam eſſet ſtultum alii vitae genus, honeſtum, ſed humile, parentumue, obiecture, tamen iterum atque iterum Aeſchinem eo exagitat, quod pater eius ludimagiſter fuiſſet, et mater medicinam in plebecula infima exercuiſſet.

πολλοῖς ἴσως ἀξυμφορώτερον, οὐδὲ τὸ ὄνειδος τοῦ ὀνείδους μᾶλλόν τι βαρυντέον τοῦτ' ἐκείνου. εἰ γάρ τῳ δοκεῖ μὴ ὀνομάζοντας καθ' ἡμέραν τὸ πρᾶγμα, ὃ ψέγουσι, τὰ συμβαίνοντα διὰ τὸ βλασφημεῖν προφέροντας, πολὺ πλείω ἂν ἔχοιεν πλέον, καὶ τῷ ὄντι, αἰσχρὰ διὰ πλοῦτον γινόμενα, οὐχ ἥκιστα δὲ τῷ παρ' Ἡσιόδῳ κεκριμένον ἐπονείδιστον προφέρειν, τὸ τῆς ἀργίας φέροντας· ὅτι σε, ἄνθρωπε,

Οὔτε σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα·

καὶ ὅτι ἄλλως τὰς χεῖρας ἔχεις μετὰ[100]) τοὺς μνηστῆρας ἀτρίπτους καὶ ἀπαλάς. οὐκοῦν τόδε μὲν οἶμαι παντί τῳ δῆλον, καὶ πολλάκις λεγόμενον ἴσως, ὅτι βαφεῖς[1]) μὲν καὶ μυρεψοὺς, καὶ βυρσοδέψας, σὺν κουρικῇ γυναικῶν τε καὶ ἀνδρῶν, οὐ πολύ τι διαφέ-

99) statim ponam hunc locum, vt existimo constituendum esse: εἰ γάρ τῳ δοκεῖ, καθ' ἡμέραν, μὴ ὀνομάζοντα τὸ πρᾶγμα, ὃ ψέγει, τὰ συμβαίνοντα δι' αὐτὸ βλασφημεῖν προφέροντα· πολὺ πλείω ἂν ἔχοιεν οἱ πένητες, πλέον, καὶ τῷ ὄντι, αἰσχρὰ διὰ τὸν πλοῦτον γιγνόμενα, οὐχ ἥκιστα δὲ τὸ παρ' ἡσιόδῳ κεκριμένον ἐπονείδιστον προφέρειν, λέγοντες· ὅτι σε, ἄνθρωπε. *Nam si cui placet quotidie, tacito eius rei, quam vituperat, nomine, contingentia per illam rem exprobrando criminari: possint contra pauperes multo plura turpia a diuitiis existentia, multoque turpiora, quam illa sunt, quae diuites pauperibus obiectant, et vnice ad veritatem turpia, obiectare; praesertim vero id, quod Hesiodus infame iudicauit, desidiam, ad hunc modum dicentes: mi homo.* In δι' αὐτὸ consentientem habeo Anglum, item in τὸ παρ' ἡσ. quod etiam Morellus e codice regio confirmat. Angli ἔχοιμεν inueni etiam a viro docto Venetae meae adscriptum: a quo ipsemet haud sim alienus, si nempe οἱ πένητες excludatur; ab illo seu ἔχοιεν seu ἔχοιμεν pendet προφέρειν. in πλέον subauditur αἰσχρά.

100) μετὰ] Casaubonus κατὰ, quod Morellus e codice regio confirmat.

1) βαφεῖς cum reliquis accusatiuis pendet e μὴ παραδέχεσθαι p. 262, 8.

ρουσαι [2]) τανῦν καὶ ποικιλτικῇ πάσῃ σχεδὸν, οὐκ ἐσθῆτι [3]) μόνον, ἀλλὰ καὶ χρωτὸς καὶ τριχῶν, ἀγχούσῃ [4]) καὶ ψιμυθίῳ, καὶ πᾶσι φαρμάκοις μηχανωμένῃ, ὡς ἄρα ψεύδη [5]) καὶ νόθα εἴδωλα· ἔτι δὲ ἐν οἰκιῶν [6]) ὀροφαῖς, καὶ τοίχοις, καὶ ἐδάφει τὰ μὲν χρώμασι, τὰ δὲ λίθοις, τὰ δὲ χρυσῷ, τὰ δὲ ἐλέφαντι ποικιλλόντων, τὰ δὲ αὖ τῶν [7]) τοίχων γλυφαῖς, τὸ μὲν ἄριστον μὴ παραδέχεσθαι καθόλου τὰς πόλεις· τὸ δὲ, ἡμῖν ἐν τῷ παρόντι λόγῳ διορίσαι [8]), μηδένα ἂν τὸν [9]) τοιοῦτον γίγνεσθαι τῶν ἡμετέρων πενήτων· ὡς [10]) πρὸς τοὺς πλουσίους ἡμεῖς ἀγωνιζόμεθα ὥσπερ χορῷ, τανῦν οὐχ ὑπὲρ εὐδαιμονίας προκειμένου τοῦ ἀγῶνος· οὐ γὰρ πενίᾳ τοῦτό γε πρόκειται τὸ ἆθλον, οὐδὲ αὖ πλούτῳ· μόνης δὲ ἀρετῆς

2) διαφερούσαις praeferendum puto, vt ipse Morellus vidit; nam genera duo ornatriciae comarum artis commemorantur, virile et muliebre; quae duo genera sua aetate parum differre Dio queritur. Margo Morell. dat διαφερούσῃ.

3) malim ἐσθῆτος.

4) Casauboni egregiam de *anchusa* coniecturam confirmat Morellus e codice regio, in quo fuit ἐπ' ἀγχούσῃ, vbi si bene habet ἐπὶ, quod videtur, significabit idem atque *ope* anchusae. In Veneta est ἀπεγχούσῃ, et Morell. dat ἀπεχούσῃ.

5) ψεύδη] in Veneta et in regio codice est ψευδεῖς. videtur aliquid hic desiderari. Nugae sunt, quae ad h. l. Morellus affert. μηχανωμένῃ pertinet ad ποικιλτικῇ.

6) ἐν οἰκιῶν] sic codex regius et Casaubonus. quare malim ἔτι δὲ τοὺς ἐν οἰκιῶν — ποικίλλοντας — ἐνοικιῶν Ven. et Mor.

7) αὖ τῶν] sic recte Veneta. αὐτῶν Morell.

8) f. προκείμενον διορίσαι.

9) τὸν] Veneta τό. plane dele.

10) ὡς] Casaubonus vult ὧν, Anglus οἷς, non male. *quorum (pauperum) velut choro quodam.* sed potest etiam Vulgata defendi, et accipi pro *namque quippe*, quomodo interpres et vir doctus in Veneta mea.

τῆς ἐστιν ἐξαίρετον, ἄλλως δὲ ὑπὲρ ἀγωγῆς τινος καὶ μετριότητος βίου. καὶ τοίνυν οὐδ' ὑποκριτὰς τραγικοὺς ἢ κωμικοὺς[11]), ἤ τινων μίμων[12]) ἀκράτου γέλωτος δημιουργοὺς, οὐδὲ ὀρχηστὰς, οὐδὲ χορευτὰς, πλήν γε τῶν ἱερῶν χορῶν, ἀλλ' ἐπί γε[13]) τοῖς Νιόβης ἢ Θυέστου πάθεσιν ᾄδοντας ἢ ὀρχουμένους, οὐδὲ κιθαρῳδοὺς, οὐδὲ αὐλητὰς περὶ νίκης ἐν θεάτροις ἁμιλλωμένους. εἰ καί τινες τῶν ἐνδόξων πόλεων ἐπὶ τούτοις ἡμῖν δυσχερῶς ἕξουσι, Σμύρνα, καὶ Χῖος, καὶ δῆτα σὺν ταύταις καὶ τὸ Ἄργος, ὡς τὴν Ὁμήρου καὶ Ἀγαμέμνονος δόξαν οὐκ ἐώντων[14]) αὔξεσθαι τὸ γοῦν ἐφ' ἡμῖν. τυχὸν δὲ καὶ Ἀθηναῖοι χαλεπανοῦσιν, ἀτιμάζεσθαι νομίζοντες τοὺς σφετέρους ποιητὰς, τραγικοὺς, καὶ κωμικοὺς, ὅταν τοὺς ὑπηρέτας αὐτῶν[15]) ἀφαιρώμεθα, μηδὲν ἀγαθὸν φάσκοντες ἐπιτηδεύειν. εἰκὸς δὲ ἀγανακτεῖν καὶ Θηβαίους, ὡς τῆς νίκης αὐτῶν ὑβριζομένης, ἣν προεκρίθησαν[16]) ὑπὸ τῆς Ἑλλάδος νικᾶν ἐπ' αὐλητικῇ. ταύτην δὲ τὴν νίκην οὕτω σφόδρα ἠγάπησαν, ὥστε, ἀναστάτου τῆς πόλεως αὐτοῖς γενομένης, καὶ ἔτι νῦν σχεδὸν οὔσης, πλὴν μικροῦ μέρους τῆς Καδμείας οἰκουμένης, τῶν μὲν ἄλλων οὐδενὸς ἐφρόντισαν τῶν ἠφανισμένων, ἀπὸ[17]) πολλῶν μὲν ἱερῶν, πολλῶν δὲ στηλῶν καὶ ἐπιγραφῶν· τὸν δὲ Ἑρμῆν ἀναζητήσαντες, πάλιν ἀνώρθωσαν, ἐφ' ᾧ ἦν τὸ ἐπίγραμμα τὸ περὶ τῆς αὐλητικῆς· Ἑλ-

11) repete a superioribus, *vetamus quemquam nostrorum pauperum fieri comoedum, histrionem.*
12) f. ἢ διά τινων μίμων.
13) f. ἀλλ' οὐκ ἐπί γε.
14) οὐκ ἐώντων bene habet, scil. ἡμῶν. tametsi exactior constructio omnino ἐῶσιν flagitaret, quia praecessit ἡμῖν.
15) αὐτῶν] scil. τῶν ποιητῶν.
16) ὑπὸ] sic recte interpres et Anglus. ὑπὲρ Ven. et Mor.
17) aut ἀπὸ delendum est, aut leg. ἀπὸ πολλῶν δὲ ἱερῶν, πολλῶν δὲ σ. κ. ἐπιγραφῶν τὸν ἑρμῆν.

λὰς μὲν Θήβας νικᾷν προὔκρινεν[18]) αὐλοῖς. καὶ νῦν ἐπὶ μέσης τῆς ἀρχαίας ἀγορᾶς ἐν τοῦτο ἄγαλμα ἕστηκεν ἐν τοῖς ἐρειπίοις. οὐδὲ φοβηθέντας[19]) οὐδένα τούτων, οὐδὲ τοὺς ἐπιτιμηθέντας[20]) ἡμῖν, ὡς τὰ σπουδαιότατα τὰ παρὰ τοῖς Ἕλλησι ψέγομεν[21]), ἅπαντα τὰ τοιαῦτα οὐκ αἰδημόνων, οὐδὲ ἐλευθέρων ἀνθρώπων ἀποφαινόμενοι ἔργα, ὡς ἄλλα γε[22]) πολλὰ δυσχερῆ πρόσεστιν αὐτοῖς· καὶ δὴ μέγιστον τὸ τῆς ἀναιδείας, τοῦ[23]) μᾶλλον τοῦ δέοντος φρονεῖν τὸν ὄχλον· ὅπερ μέγιστον[24]) θρασύνεσθαι καλεῖν ὀρθότερον. οὐκοῦν οὐδὲ κήρυκας ὠνίων, οὐδὲ κλοπῶν, ἢ δρασμῶν μήνυτρα προτιθέντας ἐν ὁδοῖς καὶ ἐν ἀγορᾷ φθεγγομένους μετὰ πολλῆς ἐλευθερίας, οὐδὲ συμβόλων[25]) καὶ προκλήσεων, καὶ καθόλου τῶν περὶ δίκας, καὶ ἐγκλήματα, συγγραφεῖς[26]), προσποιουμένους νόμιμον[27]) ἐμπειρίαν, οὐδὲ αὖ τοὺς σοφούς τε καὶ δεινοὺς δικογράφους τε καὶ συνηγόρους, μισθοῦ πᾶσιν ὁμοίως ἐπαγγελλομένους βοηθήσειν, μὴ ἀδικοῦσί γε[28]) τὰ μέγιστα, καὶ σχετλιάσειν καὶ βοήσεσθαι,

καὶ

18) malo cum Caſaubono προὔκρινεν ἐν αὐλοῖς, quam προὐκρίνατο αὐλοῖς, quod Morellus e codice regio affert.

19) malim οὐδὲν φοβηθέντες.

20) ἐπιτιμηθέντας poſſit ferri, pro ἐπιτιμήσοντας, praeſertim ſi ἂν addatur.

21) egregie locum hunc ſanauit vir doctus in Veneta mea, qui pro λέγομεν adſcripſit ψέγομεν, quod verum eſt.

22) γε] l. τε. ὡς hic loci, vt ſaepe, ſignificat, *quia, quandoquidem.*

23) τοῦ] mauult Caſaubonus τὸ, ſed vulgata bene habet.

24) μέγιστον delendum.

25) συμβόλων bene habet. σύμβολα ſaepe idem ſunt atque συμβόλαια, tabulae contractuum.

26) συγγραφεῖς] in Veneta eſt συγγραφαῖς, vbi vir doctus adſcripſerat συγγραφέας.

27) malim τῶν νομίμων.

28) γε] ſic recte Caſaubonus. τε Ven. et Mor.

καὶ ἱκετεύσειν, ὑπὲρ τῶν οὔτε φίλων, οὔτε συγγενῶν σφίσιν ὄντων, σφόδρα ἐντίμους καὶ λαμπροὺς ἐνίους εἶναι δοκοῦντας ἐν τῇ πόλει· καὶ ἀναισχυντήσειν ὑπὲρ τῶν ἀλλοτρίων ἀδικημάτων, οὐδὲ τοιοῦτον οὐδένα ἀξιοῦμεν [29]) ἂν ἐκείνων γίγνεσθαι, παραχωρεῖν δὲ ἑτέροις. χειροτέχνας μὲν γὰρ ἐξ αὐτῶν τινὰς ἀνάγκη γενέσθαι· γλωσσοτέχνας δὲ καὶ δικοτέχνας οὐδεμία ἀνάγκη. τούτων δὲ τῶν εἰρημένων τε καὶ ῥηθησομένων, ἔστιν ἃ δοκεῖ [30]) χρήσιμα ταῖς πόλεσιν, ὥσπερ ταῖς νῦν, οἰκουμέναις. λέγω δὴ ἴσως, τὸ περὶ τὴν τῶν δικῶν ἀναγραφὴν, καὶ τῶν συμβολαίων, τάχα δ' ἂν καὶ κηρυγμάτων ἐνίων, ὅπως ἂν ᾖ ὑφ' ἡμῶν [31]) γιγνόμενα, ὡς ἥκιστα ἂν εἴη βλαβερὰ, οὐ νῦν καιρὸς διορίζειν. οὐ γὰρ πολιτείαν ἐν τῷ παρόντι διατάττομεν, ὁποία τις ἂν ἡ ἀρίστη γένοιτο, ἢ πολλῶν ἀμείνων· ἀλλὰ περὶ πενίας προὐθέμεθα εἰπεῖν, ὡς οὐκ ἄπορα αὐτῇ τὰ πράγματά ἐστιν, ἥπερ δοκεῖ τοῖς πολλοῖς, αὐτή τε εἶναι φευκτὸν καὶ κακόν· ἀλλὰ μυρίας ἀφορμὰς πρὸς τὸ ζῆν παρέχει τοῖς αὐτουργεῖν βουλομένοις, οὔτε ἀσχήμονας, οὔτε βλαβεράς [32]). ἀπὸ γὰρ τῆς ἀρχῆς ταύτης, τὰ περὶ γεωργίας καὶ θήρας προὐτράπημεν προδιελθεῖν ἐπὶ πλέον πρότερον· καὶ νῦν περὶ τῶν κα-

29) propter additum ἂν malim legi ἀξιοῖμεν. ἐκείνων redit ad pauperes.

30) δοκεῖ] ſic recte Veneta. δικεῖ Morell.

31) ſic diſtinguo et lego locum: ἐνίων, ἃ πῶς ἂν ὑφ' ἡμῶν *quae qua ratione fieri et inſtitui debeant, ſi volumus ea minimum ciuitatibus nocere, oportunum nunc non eſt docere.* In ἃ πῶς etiam Caſaubonum habeo conſentientem, ſed praeterea quoque ᾖ tollo.

32) aut mutanda ſunt haec foeminina neutris, vt ſit οὔτε ἀσχήμονα, οὔτε βλαβερὰ, aut addendum ἐργασίας poſt βουλομένοις.

τὰ ἄστυ ἐργασιῶν [33]), τίνες αὐτῶν πρέπουσαι καὶ ἀβλαβεῖς τοῖς μὴ κάκιστα βιωσομένοις, καὶ τίνες χείρους ἂν ἀποτελοῖεν τοὺς ἀπ' αὐτῶν [34]). εἰ δὲ πολλὰ τῶν εἰρημένων καὶ καθόλου χρήσιμά ἐστι πρὸς πολιτείαν, καὶ τὴν τοῦ προσήκοντος αἵρεσιν, ταύτῃ καὶ δικαιότερον συγγνώμην ἔχειν τοῦ μήκους τῶν λόγων, ὅτι οὐ μάτην ἄλλως [35]), οὐδὲ περὶ ἄχρηστα πλανωμένῳ πλείονες γεγόνασιν, ἢ περὶ [36]) γεωργιῶν καὶ τεχνῶν σκέψις, καὶ καθόλου περὶ βίου προσήκοντος, ἢ μή, τοῖς μετρίοις, καὶ εἰ καθ' αὐτὴν [37]) ἀξία πέφηνεν πολλῆς καὶ πάνυ ἀκριβοῦς θεωρίας. οὐ χρὴ οὖν τὰς ἐκτροπὰς τῶν λόγων, ἂν καὶ σφόδρα μακροὶ [38]) δοκῶσιν, μὴ μέντοι περί γε φαύλων, μηδὲ ἀναξίων λόγων [39]), μηδὲ οὐ προσηκόντων, δυσκόλως φέρειν, ὡς οὐκ αὐτὴν λιπόντος τὴν τῶν ὅλων ὑπόθεσιν τοῦ λέγοντος· ὡς ἂν εἰ [40]) περὶ τῶν ἀναγκαίων [41]) καὶ προσηκόντων φιλοσοφίᾳ διεξήει. σχεδὸν γὰρ κατὰ τοῦτο μιμούμενοι τοὺς κυνηγέτας, οὐκ ἂν ἁμαρτάνομεν· οἵ γε ἐπειδὴ τὸ πρῶτον ἴχνος ἐκλαβόντες, κἀκείνῳ ἑπόμενοι, μεταξὺ ἐπιτύχωσιν ἑτέρῳ φανερωτέρῳ, καὶ μᾶλλον ἐγγὺς, οὐκ ὤκνησαν τούτῳ ξυνακολουθήσαντες, καὶ ἑλόντες, τὸ ἐμπεσὸν ὕστε-

33) ἐργασιῶν] ſic Caſaubonus et V. L. Venetae. γεωργιῶν Ven. et Mor.

34) ἀπ' αὐτῶν] videtur hic deſiderari διαζῶντας, aut διατρεφομένους.

35) videri poſſit ἄλλως ſcholium voc. μάτην eſſe; non tamen affirmem.

36) f. γέγονεν ἢ περί.

37) καθ' αὑτήν. *per ſemet.* αὐτὴν Ven. et Mor.

38) malim μακραί, vt ad ἐκτροπὰς redeat.

39) λόγων] imo vero λόγου. Caſaubonus plane tollendum putat, ſine cauſa.

40) ἕως ἂν mauult Caſaubonus pro ὡς ἂν εἰ, et facio cum eo.

41) f. περί τινος τῶν ἀναγκαίων.

ὕςερον 42). ἴσως οὖν οὐδὲ ἐκείνῳ μεμπτέον, ὅςις περὶ ἀνδρὸς δικαίου καὶ δικαιοσύνης λέγειν 43) ἀρχόμενος, μνησθεὶς πόλεως, παραδείγματος ἕνεκεν, πολλαπλάσιον λόγον ἀνήλωσε περὶ πολιτείας· καὶ οὐ πρότερον ἀπέκαμε, πρὶν ἢ πάσας μεταβολὰς καὶ ἅπαντα γένη πολιτειῶν διεξῆλθεν, πάνυ ἐναργῶς τε καὶ μεγαλοπρεπῶς τὰ συμβαίνοντα περὶ ἑκάςην ἐπιδεικνύς· εἰ καὶ παρά τισιν αἰτίαν ἔχει περὶ τοῦ μήκους τῶν λόγων, καὶ τῆς διατριβῆς τῆς περὶ τὸ παράδειγμα δήπουθεν· ἄλλως 44) οὐδὲν ὄντα πρὸς τὸ προκείμενον τὰ εἰρημένα, καὶ οὐδ᾽ ὁπωςιοῦν σαφεςέρου 45) δι᾽ αὐτὰ τοῦ ζητουμένου γεγονότος, ὅπερ ἕνεκεν ἐξαρχῆς εἰς τὸν λόγον παρελήφθη, διὰ ταῦτα εἴπερ ἄρα οὐ παντάπασιν ἀδίκως εὐθύνεται. ἐὰν οὖν καὶ ἡμεῖς μὴ προσήκοντα, μηδὲ οἰκεῖα τῷ προκειμένῳ, φαινώμεθα διεξιόντες, μακρολογεῖν εἰκότως ἂν φαινώμεθα. καθ᾽ αὑτὸ δὲ ἄλλως, οὔτε μῆκος, οὔτε βραχύτητα ἐν λόγοις ἐπαινεῖν ἢ ψέγειν δίκαιον. περὶ δὲ τῶν λοιπῶν τῶν ἐν ταῖς πόλεσι πράξεων χρὴ θαῤῥοῦντας διαπερᾶναι τῶν μὲν μιμνησκομένους, τὰ δὲ ἐῶντας ἄῤῥητά τε καὶ ἀμνημόνευτα. οὐ γὰρ δὴ περί γε πορνοβοσκῶν, καὶ περὶ πορνοβοσκίας, ὡς ἀμφιβόλων, ἀπαγορευτέον· ἀλλὰ καὶ πάνυ ἰσχυριςέον, καὶ ἀποῤῥητέον, λέγοντι,

42) post ὕςερον videtur διώκειν vel tale quid deesse.

43) locus hic docet, omnes has disputationes, a prima ad hanc, vnum corpus efficere, et ab auctore vna serie continente esse scriptas.

44) ἄλλως] diuide in duo, ἀλλ᾽, ὡς. in ἀλλὰ repetendum a communi μεμπτέον, e versu 1. *sed meretur notam ideo, quod dicta nihil ad rem faciant*; aut sequentia διὰ ταῦτα huc sunt trahenda. οὐδὲν ὄντα τὰ εἰρημένα positum est pro οὐδὲν ὄντων τῶν εἰρημένων, vulgari enallage.

45) σαφεςέρου recte emendarunt Casaubonus et vir doctus in Veneta mea. σαφέςερον Ven. et Mor.

τι, μηδένα προσχρῆσθαι, μήτ' οὖν πένητα, μήτε πλούσιον, ἐργασίᾳ τοιαύτῃ μισθὸν ὕβρεως καὶ ἀκολασίας ὁμοίως παρὰ πᾶσιν ἐπονείδιστον ἐκλέγοντας [46]), ἀναφροδίτου μίξεως καὶ ἀνεράστου τῶν ἐρώντων [47]), κέρδους ἕνεκα γιγνομένην· συναγαγοῦσαν αἰχμάλωτα σώματα γυναικῶν ἢ παίδων, ἢ ἄλλως ἀργυρώνητα ἐπ' αἰσχύνῃ προϊστάντας ἐπ' οἰκημάτων ῥυπαρῶν, πανταχοῦ τῆς πόλεως ἀποδεδειγμένων, ἔν τε παρόδοις [48]) ἀρχόντων καὶ ἀγοραῖς, πλησίον ἀρχείων τε καὶ ἱερῶν, μεταξὺ τῶν ὁσιωτάτων. μήτ' οὖν βαρβαρικὰ σώματα, μήτε Ἑλλήνων, ἃ [49]) πρότερον μὲν οὐ πάνυ, τανῦν δὲ ἀφθόνως [50]) τε καὶ πολλῇ δουλείᾳ κεχρημένων, ἐπὶ τὴν τοιαύτην λώβην καὶ ἀνάγκην ἄγοντας, ἱπποφορβῶν, καὶ ὀνοφορβῶν, πολὺ κάκιον καὶ ἀκαθαρτότερον ἔργον ἐργαζομένους, οὐ κτήνεσι κτήνη δίχα βίας ἑκόντα ἑκοῦσιν ἐπιβάλλοντας, οὐδὲν αἰσχυνομένοις [51]), ἀλλὰ ἀνθρώποις αἰ-
σχυνο-

46) Constructio seuerior postulabat ἐκλέγοντα. verum quia μηδένα, μήτε πένητα, μήτε πλούσιον, multitudinem significant, recte potuit pluralem hic vsurpare. Pluralem hic vsurpasse auctorem, demonstrat συναγαγόντας (vt legendum puto) et προϊστάντες paulo post, et ἄγοντας v. 14, et ἐργαζομένους, quae omnia pendent e προσχρῆσθαι, v. 1.

47) num τῶν οὐκ ἐρώντων sit leg. in dubio relinquo, sed hoc affirmo, γιγνομένης in genit. leg. esse. redit enim ad μίξεως.

48) παρόδοις] palatia et praetoria sic erant accommodata, vt per ea transitus ex aliis semitis in alias paterent, vt e. c. de domo Neronis aurea constat, quae a Palatino monte ad Esquilias patebat.

49) ἃ aut delendum, aut cum τὰ mutandum est, quod videtur ortum e varia lectione, quibusdam codicibus ἕλληνα exhibentibus pro ἑλλήνων.

50) ἀφθόνῳ, ob sequens πολλῇ.

51) αἰσχυνομένοις] sic recte Veneta, redit enim ad κτήνεσι. Morell. dat accusat.

σχυνομένοις καὶ ἄκουσιν, οἰστρῶντας καὶ ἀκολάστους ἀνθρώπους, ἐπ' ἀτελεῖ καὶ ἀκάρπῳ συμπλοκῇ σωμάτων, φθορὰν μᾶλλον, ἢ γένεσιν, ἀποτελούντων 52), οὔτε αἰσχυνομένους οὐδένα ἀνθρώπων ἢ θεῶν· οὔτε Δία γενέθλιον, οὔτε Ἥραν γαμήλιον, οὔτε μοίρας τελεσφόρους, ἢ λοχίαν Ἄρτεμιν, ἢ μητέρα Ῥέαν, οὐδὲ τὰς προεστώσας ἀνθρωπίνης γενέσεως Εἰλειθυίας, οὐδὲ Ἀφροδίτην 53) ἐπώνυμον τῆς κατὰ φύσιν πρὸς τὸ θῆλυ τοῦ ἄῤῥενος συνόδου τε καὶ ὁμιλίας· μηδὲ ἐπιτρέποντα 54) τοιαῦτα κέρδη, μηδὲ νομοθετεῖν, μήτε ἄρχοντα, μήτε νομοθέτην, μήτ' ἐν ταῖς ἄκρως πρὸς ἀρετὴν οἰκησομέναις 55) πόλεσιν, μήτ' ἐν ταῖς δευτέραις, ἢ τρίταις, ἢ τετάρταις, ἢ ὁποίαις ἄν, ἐὰν ἐπ' αὐτῶν τινι ἢ τὰ τοιαῦτα κωλύειν. ἐὰν δ' ἄρα παλαιὰ ἔθη καὶ ἐσκιῤῥωμένα νοσήματα χρόνῳ παραλάβῃ, μήτοι γε 56) παντελῶς ἐὰν ἀθεράπευτα, καὶ ἀκόλαστα· ἀλλὰ σκοποῦντα τὸ δυνατόν, ἁμηγέπῃ στέλλειν καὶ κολάζειν· ὡς οὔποτε φιλεῖ τὰ μοχθηρὰ 57) μένειν ἐπὶ τοῖς αὐτοῖς, ἀλλὰ ἀεὶ κινεῖται καὶ πρόεισιν ἐπὶ τὸ ἀσελγέστερον, μηδενὸς ἀναγκαίου μέτρου τυγχάνοντα. δεῖ δὴ ποιεῖσθαί τινα ἐπιμέλειαν, μὴ πάνυ τι πρᾴως, μηδὲ ῥαθύμως φέροντας τὴν εἰς τὰ ἄτιμα καὶ δοῦλα σώματα ὕβριν. οὐ ταύτῃ μόνον,

52) malim ἀποτελοῦσῃ, vt ad συμπλοκῇ redeat,

53) significat τὴν πάνδημον ἀφροδίτην.

54) ἐπιτρέπειν τά, qui infinit. est e λέγοντι p. 267. vlt. confirmat insequens νομοθετεῖν, et codex regius apud Morellum, qui idem se e coniectura sua margini adscripsisse testatur. textum Morelli dat ἐπιτρέποντα.

55) potest οἰκησομέναις accipi pro οἰκηθησομέναις; malim tamen οἰκιζομέναις.

56) μήτοι γε] malim μή, τό γε παντελῶς, ἐᾶν.

57) locum hunc citat Stoboeus p. 30, 41. ed Gesn. cum magno lectionis discrimine.

νον, ᾖ 58) κοινῇ τὸ ἀνθρώπινον γένος ἅπαν ἔντιμον καὶ ὁμότιμον ὑπὸ τοῦ φύσαντος θεοῦ, ταυτὰ σημεῖα καὶ σύμβολα ἔχον τοῦ τιμᾶσθαι δικαίως καὶ κατὰ 59) λόγον καὶ ἐμπειρίαν καλῶν τε καὶ αἰσχρῶν γέγονεν· ἀλλὰ κἀκεῖνο ἐνθυμουμένους, ὅτι χαλεπὸν ὕβρει τρεφομένῃ δι' ἐξουσίαν ὅρον τινὰ εὑρεῖν, ὃν οὐκ ἂν ἔτι τολμῆσαι 60) διὰ φόβον ὑπερβαίνειν· ἀλλ' ὑπὸ τῆς ἐν τοῖς ἐλάττοσι καὶ ὑφειμένοις 61) μελέτης καὶ συνηθείας, ἀκάθεκτον τὴν αἰσχύνην 62) καὶ ῥώμην λαβοῦσα, οὐδενὸς ἔτι φείδεται τῶν λοιπῶν. ἤδη οὖν χρὴ παντὸς μᾶλλον οἴεσθαι τὰς ἐν τῷ μέσῳ ταύτας φανερὰς καὶ ἀτίμους μοιχείας, καὶ λίαν ἀναισχύντως καὶ ἀναίδην 63) γιγνομένας, ὅτι τῶν ἀδήλων καὶ ἀφανῶν εἴς τε 64) ἐντίμους γυναῖκάς τε καὶ παῖδας ὕβρεων οὐχ ἥκιστα παρέχουσι τὴν αἰτίαν, τοῦ πάνυ ῥᾳδίως τὰ τοιαῦτα τολμᾶσθαι· τῆς αἰσχύνης ἐν κοινῷ καταφρονουμένης· ἀλλ' οὐχ, ὥσπερ οἴονταί τινες, ὑπὲρ ἀσφαλείας καὶ ἀποχῆς ἐκεί-

νων

58) οὐ ταύτῃ μόνον ᾖ] sic recte Casaubonus, οὐ ταύτην μόνον ἢ Morell. et Ven.

59) aut καὶ κατὰ delenda sunt, aut legendum τιμᾶσθαι, δικαίων, καὶ μὴ (scil. δικαίων) λόγον, καὶ ἐμπειρίαν καλῶν τε καὶ αἰσχρῶν. haec duo, sensus iusti et iniusti, et vsu partum discrimen honestorum et turpium, sunt illa signa, quae prodant, hominem honore dignum esse. γέγονεν cohaeret cum ᾖ τὸ ἀνθρώπινον γένος paulo ante.

60) τολμῆσαι] sic recte exstat in Veneta, quomodo Casaubonus e coniectura emendat, nisi qud τολμήσαι cum acuto scribit. praecipiunt scil. grammatici, sic optatiuum exarari, cum circumflecto infinitiuum, quod commentum est. Morell. dat τολμῆται.

61) ὑφειμένοις non culpabo, sed solent in simili constructione ἀφειμ. vsurpare.

62) αἰσχύνην] malim ἰσχύν.

63) praeferam ἀνέδην, vt grammaticae conuenientius; tum, quod ἀναίδην post ἀναισχύντων tautologum sit.

64) τε deletum malim.

γων 65) εὑρῆσθαι τῶν ἁμαρτημάτων. τάχ' ἂν λέγοι τις ἀγροικότερον οὕτω πως· ὦ σοφοὶ νομοθέται καὶ ἄρχοντες οἱ παραδεξάμενοι τὰ τοιαῦτα 66) ἀπαρχῆς, ὡς δή τι θαυμαστὸν εὑρήκατε ταῖς πόλεσιν ὑμεῖς σωφροσύνης 67) φάρμακον, ὅπως ὑμῖν μὴ τὰ φανερὰ ταῦτα καὶ ἄκλειστα οἰκήματα, τὰς κεκλεισμένας οἰκίας, καὶ τοὺς ἔνδοθεν θαλάμους ἀναπετάσῃ, καὶ τοὺς ἔξω καὶ φανερῶς ἀσελγαίνοντας ἀπὸ σμικρᾶς δαπάνης, ἐπὶ τὰς ἐλευθέρας καὶ σεμνὰς τρέψῃ γυναῖκας, μετὰ πολλῶν χρημάτων τε καὶ δώρων, μὴ τὸ σφόδρα εὔωνον καὶ μετ' ἐξουσίας οὐκέτι στέργοντας, ἀλλ' αὐτὸ δὲ 68) τὸ κεκωλυμένον ἐν φόβῳ τε καὶ πολλοῖς ἀναλώμασι διώκοντας. ὄψεσθε δὲ αὐτὸ, ἐμοὶ δοκεῖν, ἀκριβέστερον, ἐὰν σκοπῆτε, παρ' οἷς γὰρ καὶ τὰ τῶν μοιχειῶν μεγαλοπρεπέστερόν πως παραπέμπεται, πολλῆς καὶ σφόδρα φιλανθρώπου τῆς εὐγνωμο-

65) fine cauſa Morellus aſteriſcum appoſuit loco ſano. εὑρῆσθαι pendet a τοῦ p. 270, antep. quod idem eſt atque ἕνεκα τοῦ. nil opus erat Anglo τῷ comminiſci.

66) τὰ τοιαῦτα] flagitioſas in alienos thoros coniugales irruptiones. παραδέχεσθαι haec, eſt ea noſſe ante ſua tempora vſitata.

67) φάρμακον σωφροσύνης eſt ars vel res temperantiam pariens. Poſſint eius vſus multa afferri exempla. v. apud Philoſtratum p. 90, 6. et p. 274, 2. Plutarch. Conſol. ad Apollon. p. 103. fine et p. 114, 25. occurrerunt poſtea permulta, quae omiſit enotare, vt ſum ad colligendas et conſtruendas phraſes, opus iners et inutile et inglorium, a natura factus ignauiſſimus. Vnum tamen adſcripſi, quod ſatis valebit, credo, ad hanc vocabuli vim adſtruendam. Libanii puta ep. 114, 22. φάρμακα θυμηδίας *res creantes animi relaxationem.* Ariſtides T. II. p. 357, 2. φάρμακα ὕπνου *ſomnum conciliantia.* Alio modo locum hunc tractarunt Hemſterhuſius ad Lucian. T. I. p. 467. et Valeſius ad Harpocrationem p. 316. inſerunt μὴ: ſed iam legitur paulo poſt: ſed et oratio cum acerbitate cauillatoria.

68) aut delendum δὲ, aut cum δὴ eſt mutandum.

μοσύνης τυγχάνοντα, τὰ μὲν πολλὰ, ὑπὸ χρηστότητος οὐκ αἰσθανομένων τῶν ἀνδρῶν· τὰ δέ τινα, οὐχ ὁμολογούντων εἰδέναι, ξένους δὲ καὶ φίλους καὶ ξυγγενεῖς τοὺς μοιχοὺς, καλουμένους ἀνεχομένων, καὶ αὐτῶν ἐνίοτε φιλοφρονουμένων, καὶ παρακαλούντων ἐν ταῖς ἑορταῖς καὶ θυσίαις, ἐπί τε τὰς ἑστιάσεις [69])· ὡς ἂν, οἶμαι, τοὺς οἰκειοτάτους· ἐπὶ δὲ τοῖς σφόδρα ἐκδήλοις καὶ φανεροῖς, μετρίας τὰς ὀργὰς ποιουμένων παρ' οἷς δὴ, φημὶ, ταῦθ' οὕτως ἐπιεικῶς ἐξάγεται [70]) τὰ περὶ τὰς γυναῖκας, οὐδὲ περὶ τῶν παρθένων ἐκεῖ θαῤῥῆσαι ῥᾴδιον τῆς χορείας, οὐδὲ τὸν Ὑμέναιον ὡς ἀληθῶς, καὶ δικαίως ᾀδόμενον ἐν τοῖς παρθενικοῖς γάμοις, πιστεῦσαί ποτε. εἰ οὖν ἀνάγκη πολλὰ ἐοικότα ξυμβαίνειν αὐτόθι τοῖς παλαιοῖς μύθοις δίχα τῆς τῶν πατέρων ὀργῆς καὶ πολυπραγμοσύνης, ἀλλὰ [71]) πολλῶν μιμουμένων τοὺς λεγομένους τῶν θεῶν ἔρωτας, χρυσοῦ τε πολλοῦ διαῤῥέοντος διὰ τῶν ὀρόφων, καὶ πάνυ ῥᾳδίως, ἅτε οὐ χαλκέων ὄντων, οὐδὲ λιθίνων τῶν οἰκημάτων· καὶ νὴ Δία [72]) ἀργυρίου στάζοντος κατ' ὀλίγον, οὐδ' εἰς τοὺς τῶν παρθένων κόλπους μόνους, ἀλλ' εἴς τε μητέρων καὶ τροφῶν καὶ παιδαγωγῶν, καὶ ἄλλων, πολλῶν καὶ καλῶν δώρων [73])· τῶν μὲν κρύφα εἰσιόντων διὰ τῶν στεγῶν· ἔστι δ' οὗ φανερῶς, κατ' αὐτάς που τὰς κλισίας [74]). τί δ' ἐν ποταμοῖς καὶ

ἐπὶ

69) ἑστιάσεις] ſic dedi, ἐσθιάσεις Morell. et Ven.

70) ἐξάγεται ſi ſignificat, *geruntur*, *aguntur*, *tractantur*, bene habet; ſed dubito de iſta verbi ſignificatione. quare malim ἐξετάζεται *exiguntur*, *quaeruntur*.

71) ἀλλὰ aut del. aut cum ἅτε mutandum.

72) νὴ Δία. Morell. dat νὴ διὰ.

73) ſic diſtingue: καὶ ἄλλων *et aliorum*, puta hominum ſinus, πολλῶν καὶ καλῶν δώρων. *multis donis influentibus in ſinus —* ; *aliorumque.*

74) [κλισίαι ſiue κλισιάδες fores, domus notiſſimae ſunt. Caſau-

ἐπὶ κρηνῶν, οὐκ εἰκὸς ὅμοια πολλὰ γενέσθαι τοῖς πρότερον λεγομένοις ὑπὸ τῶν ποιητῶν, πλὴν ἴσως γε οὐ δημοσίᾳ γινόμενα, οὐδ᾽ ἐν τῷ φανερῷ; κατ᾽ οἰκίας δὲ οὕτως εὐδαίμονας κήπων τε καὶ προαστείων πολυτελεῖς ἐπαύλεις ἔν τισι νυμφῶσι κατεσκευασμένοις, καὶ θαυμαστοῖς ἄλσεσιν, ἅτε οὐ πενιχρὰς 75) οὐδὲ πενήτων βασιλέων οἵας ὑδροφορεῖν τε καὶ παίζειν παρὰ τοῖς ποταμοῖς, ψυχρὰ λουμένας λουτρὰ, καὶ ἐν ἄλσεσιν ἀναπεπταμένοις, ἀλλὰ μακαρίοις καὶ μακαρίων γονέων, ἐν βασιλικαῖς καταγωγαῖς, ἴδια ταῦτα πάντα ἐχούσαις, πολὺ κρείττονα καὶ μεγαλοπρεπέστερα τῶν κοινῶν. ἀλλ᾽ ἴσως γε οὐδὲν ἧττον ἔμελλεν ἐκείνῃ τῇ πόλει παῖδας προσδοκᾶν ἐσομένους, οἷον Ὅμηρος εἴρηκεν Εὔδωρον, υἱὸν Ἑρμοῦ καὶ Πολυδώρας, ὑποκρυπτόμενος αὐτὸν 76) οἶμαι τὴν γένεσιν·

Παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυδώρη.

πολλοὺς τοὺς τοιούτους. σχεδὸν δὲ καὶ παρὰ Λακεδαιμονίοις ἔτυχόν τινες ταύτης τῆς ἐπωνυμίας, τῶν οὕτω γενομένων Παρθενίαι κληθέντες συχνοί· ὥστ᾽, εἰ μηδὲ ἐφθείροντο 77) οἱ πολλοὺς τῶν ἐν ταῖς οὕτω τρυφώσαις πόλεσι γιγνομένων, ἄγε οὐδαμῶς οἶμαι δαιμονίου τυγχάνοντες ἐπιμελείας, οὐδὲν ἂν ἐκώλυε, πάντα μεστὰ Ἡρώων εἶναι. νῦν δὲ, οἱ μὲν ἀπόλλυνται παραχρῆμα· ὅσοι δ᾽ ἂν καὶ φανῶσι, 78) κρύφα ἐν

δούλου

Casaubonus] tum leg. ἔτι δ᾽ ἐν π. καὶ ἐπὶ κρ. οὐκ ἀπεικός. *praeterea non improbabile est.*

75) f. ἅτε οὐ περὶ πενιχρὰς, scil. γιγνόμενα.

76) aut αὐτοῦ leg. est, aut e Veneta ὑποκοριζόμενος αὐτὸν οἶμαι κατὰ τὴν γένεσιν. Est quidem in Veneta ὑποκρυζόμενος, sed vir doctus adscripsit ὑποκοριζ. paulo ante ἀλλ᾽ ἴσως locus est corruptus, quem sanare haud valeo.

77) συχνοὶ ὥστε εἰ μηδὲ ἐφθείρ.] sic codex regius. συχνῶς. ὡς εἰ μὴ διεφθ. Ven. et Mor.

78) f. φθάνωσι.

δούλου σχήματι μένουσι ἄχρι γήρως, ἅτε οὐδὲν αὐτοὺς δυναμένων τῶν σπειράντων προσωφελεῖν. εἶεν δή. παρ' οἷς ἂν καὶ τὰ περὶ τὰς κόρας οὕτως ἁπλῶς [79]) ἔχῃ, τί χρὴ προσδοκᾷν τοὺς κόρους ποίας τινὸς παιδείας καὶ ἀγωγῆς τυγχάνειν; ἔσθ' ὅπως ἂν ἀπόσχοιντο τῆς τῶν ἀῤῥένων λώβης καὶ φθορᾶς, τό γε ἀκόλαστον γένος, τοῦτον ἱκανὸν καὶ σαφῆ ποιησάμενον ὅρον, τὸν τῆς φύσεως, ἀλλ' οὐκ ἄν, ἐμπιπλάμενον πάντα τρόπον τῆς περὶ γυναῖκας ἀκρασίας, καὶ διακορὲς γενόμενον τῆς ἡδονῆς ταύτης, ζητοίη ἑτέραν μείζω καὶ παρανομωτέρω [80]) ὕβριν· ὥς τά γε γυναικῶν αὐτῶν σχεδόν τε [81]) τῶν ἐλευθέρων καὶ παρθένων ἐφάνη ῥᾴδια; καὶ οὐδεὶς πόνος θηρῶντι μετὰ πλούτου τοιάνδε θήραν. οὐδὲ ἐπὶ τὰς πάνυ σεμνὰς καὶ σεμνῶν τῷ ὄντι γυναῖκας καὶ θυγατέρας, ὅστις ἂν ἴοι [82]), σὺν τῇ τοῦ Διὸς μηχανῇ, χρυσὸν μετὰ χεῖρας φέρων, οὐ μήποτε ἀποτυγχάνοι, ἀλλ' αὐτά που τὰ λοιπὰ [83]) δηλοῖ παρὰ πολλοῖς γινόμενα, ὡς ὅ γε ἄπληστος τῶν τοιούτων ἐπιθυμιῶν, ὅταν μηδὲν εὑρίσκοι σπάνιον μηδὲ ἀντιτεῖνον ἐν ἐκείνῳ τῷ γένει, καταφρονήσας τοῦ ῥᾳδίου, καὶ ἀτιμάσας τὴν ἐν ταῖς γυναιξὶν Ἀφροδίτην, ὡς ἕτοιμόν δή τινα καὶ τῷ ὄντι θῆλυν παντελῶς, ἐπὶ τὴν ἀνδρωνῖτιν μεταβήσεται, τοὺς ἄρξαντας αὐτίκα μάλα καὶ δικάσαντας καὶ στρατηγήσαντας, ἐπιθυμῶν καταισχύνειν· ὡς ἐνθάδε που τὸ χαλεπὸν καὶ δυσπόριστον τῶν ἡδονῶν εὑρήσων εἶδος, τοῖς ἄγαν φιλοπόταις καὶ οἰνόφλυξι

ταυτὸ

79) ἁπλῶς] f. ἀμελῶς.

80) f. παρανομωτέραν, vt etiam Anglus correxit. vir doctus in Veneta mea παρανομώτερον adscripsit; sed παράνομος in comparatiuo vsurpat tria genera.

81) σχεδόν τι.

82) Casaub. ἴοι: possit quoque legi ἴῃ. Ven. et Mor. dant εἰ.

83) λοιπὰ] vitium huius loci indicauit Casaubonus, medicinam inuenire haud potuit.

ταυτὸ πεπονθὼς πάθος· οἱ πολλάκις μετὰ πολλὴν ἀκρατοποσίαν καὶ συνεχῆ, οὐκ ἐθέλοντες πιεῖν, αὐχμὸν ἐξεπίτηδες μηχανῶνται, διά τε ἱδρώτων, καὶ σιτίων ἁλμυρῶν καὶ δριμέων προσφορᾶς.

ΔΙΟΓΕΝΗΣ Η ΠΕΡΙ ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Η'.

Διογένης ὁ Σινωπεὺς ἐκπεσὼν ἐκ τῆς πατρίδος, οὐδενὸς διαφέρων τῶν πάνυ φαύλων, Ἀθήναζε ἀφίκετο, καὶ καταλαμβάνει καὶ τὸν Μεγαρέα Εὐκλείδην [1]. οὗτος δὲ ἔφυγε διὰ τὴν μετὰ Κύρου στρατείαν. τῶν μὲν οὖν ἄλλων ταχὺ κατεφρόνησεν, Ἀντισθένει δὲ ἐχρῆτο, οὐκ αὐτὸν οὕτως ἐπαινῶν, ὡς τοὺς λόγους, οὓς ἔλεγεν, ἡγούμενος μόνους εἶναι ἀληθεῖς, καὶ μάλιστα δυναμένους ἄνθρωπον ὠφελῆσαι. ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένη παραβάλλων πρὸς τοὺς λόγους, ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον, καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα, λοιδορῶν· αὐτοῦ [2] γὰρ οὐκ ἤκουε φθεγγομένου μέγιστον. καὶ ὁ Ἀντισθένης ὑπέμενεν αὐτὸν, ταῦτα ἀκούων· πάνυ γὰρ ἐθαύμαζε τοῦ ἀνθρώπου τὴν φύσιν. ἔλεγεν οὖν ἀμυνόμενος ἀντὶ τῆς σάλπιγγος τοῖς σφηξὶν αὐτὸν ὅμοιον εἶναι· καὶ

1) καταλαμβάνει συχνοὺς ἔτι τῶν Σωκράτους ἑταίρων. καὶ γὰρ Πλάτωνα καὶ Ἀρίστιππον καὶ Αἰσχίνην καὶ Ἀντισθένην καὶ τὸν Μεγαρέα Εὐκλ. ſic integrauit h. l. e codice regio Morellus in Annotat.

2) bene Caſaubonus αὐτὸς αὐτοῦ γὰρ, ſed et vulgata recte; neque cauſae quicquam video, cur vulgata h. l. moueatur. *non enim ſeſe audit tuba, tametſi acerrimum clamet.* et ita quoque Antiſthenes, iudice Diogene.

γὰρ τῶν σφηκῶν εἶναι τὸν μὲν ψόφον τῶν πτερῶν, μικρὸν, τὸ δὲ κέντρον, δριμύτατον. ἔχαιρεν οὖν τῇ παῤῥησίᾳ[3]) τοῦ Διογένους, ὥσπερ οἱ ἱππικοὶ, ὅταν ἵππον θυμοειδῆ λάβωσιν, ἄλλως δὲ ἀνδρεῖον καὶ φιλόπονον, οὐδὲν ἧττον ἀποδέχονται τὸ χαλεπὸν τοῦ ἵππου· τοὺς δὲ νωθροὺς, καὶ βραδεῖς, μισοῦσι καὶ ἀποδοκιμάζουσιν. ἐνίοτε μὲν οὖν ἐπέτεινεν αὐτὸν, ἐνίοτε δὲ ἐπειρᾶτο ἀνιέναι· ὥσπερ οἱ χορδοστρόφοι τὰ νεῦρα τείνουσι, προσέχοντες, μὴ ῥαγῇ. ἐπεὶ δὲ ἀπέθανεν ὁ Ἀντισθένης, καὶ τῶν ἄλλων οὐδένα ἡγεῖτο συνουσίας ἄξιον, μετέβη εἰς Κόρινθον, κἀκεῖ διῆγεν, οὔτε οἰκίαν μισθωσάμενος, οὔτε παρὰ ξένῳ τινὶ καταγόμενος, ἀλλ' ἐν τῷ Κρανίῳ θυραυλῶν. ἑώρα γὰρ, ὅτι πλεῖστοι ἄνθρωποι ἐκεῖ συνίασι διὰ τοὺς λιμένας καὶ τὰς ἑταίρας· καὶ ὅτι ἡ πόλις ὥσπερ ἐν τριόδῳ τῆς Ἑλλάδος ἔκειτο. δεῖν οὖν τὸν φρόνιμον ἄνδρα, ὥσπερ τὸν ἀγαθὸν ἰατρὸν, ὅπου πολλοὶ νοσοῦσιν[4]), ἐκεῖσε ἰέναι βοηθήσοντα, οὕτως ὅπου πλεῖστοι εἰσὶν ἀφρονέστεροι[5]), ἐκεῖ μάλιστα ἀποδημεῖν[6]), ἐξελέγχοντα καὶ κολάζοντα τὴν ἄνοιαν αὐτῶν. ἐπεὶ δὲ ἧκεν ὁ τῶν Ἰσθμίων χρόνος, καὶ πάντες ἦσαν ἐν Ἰσθμῷ, κατέβη καὶ αὐτός. εἰώθει γὰρ ἐπισκοπεῖν ἐν ταῖς[7]) πανηγύρεσι τὰς σπουδὰς τῶν ἀνθρώπων, καὶ τὰς ἐπιθυμίας, καὶ πρὸς ἅτινα ἀποδημοῦσι[8]), καὶ ἐπὶ

τίσι

3) τῇ παῤῥησίᾳ.] ſic dedi. Ven. et Mor. dant πυρουσίᾳ. Cl. Koehlerus in Periculo ſuo Critico ad Dionem Chryſoſtomum, p. 109. (pone obſeruationes philologicas ad loca ſelecta ſacri codicis, editas Lugdun. Batauor. Anno 1765.) coniecit τῷ παροξυσμῷ.

4) νοσοῦσιν] V. L. Venetae dat κάμνουσι.

5) f. ὅπου πλεῖστοι εἰσὶν ἄφρονες, ἢ ὅπου ἀφρονέστατοι. *vbi plurimi ſint ſtulti, aut vbi ſint inprimis ſtulti.*

6) ἀποδημεῖν] malim ἐπιδημεῖν, *verſari, morari.*

7) ἐν ταῖς πανηγύρεσι] Morell. dat τοῖς —

8) V. L. Venetae dat καὶ ὧν ἕνεκα ἀποδημοῦσι. Cl. Koehler coni. ἀποβλέπουσι.

τίσι μέγα φρονοῦσι. παρέσχε δὲ καὶ αὐτὸν τῷ βουλομένῳ ἐντυγχάνειν, καὶ ἔλεγε θαυμάζειν, ὅτι, εἰ μὲν ἔφη ὀδόντας ἰᾶσθαι, πάντες ἂν αὐτῷ προσῄεσαν, οἱ δεόμενοι ὀδόντα ἐξελέσθαι· καὶ νὴ Δία εἰ ὑπέσχετο ὀφθαλμοὺς θεραπεύειν, πάντες ἄνθρωποι ὀφθαλμοὺς 9) αὐτῷ ἐπεδείκνυον· ὁμοίως δὲ εἰ 10) σπληνὸς ἢ ποδάγρας ἢ κορύζης εἰδέναι φάρμακον. ἐπεὶ δὲ ἔφη παύσειν τοὺς πεισομένους αὐτῷ ἀγνοίας καὶ πονηρίας καὶ ἀκολασίας, οὐδεὶς αὐτῷ προσεῖχεν, οὐδὲ ἐκέλευσεν ἰᾶσθαι αὐτὸν, οὐδὲ εἰ πολὺ προσλήψεσθαι ἀργύριον ἔμελλεν· ὡς ἧττον οὗτος 11) ὑπὸ τούτων, ἢ ἐκεῖνος, ἐνοχλούμενος, ἢ χαλεπώτερον ἀνθρώπῳ σπληνὸς ἀνέχεσθαι οἰδοῦντος, ἢ διεφθαρμένου ὀδόντος, ἢ ψυχῆς ἄφρονος καὶ ἀμαθοῦς καὶ δειλῆς καὶ θρασείας καὶ φιληδόνου καὶ ἀνελευθέρου καὶ ὀργίλης καὶ λυπηρᾶς καὶ πανούργου καὶ πάντα τρόπον διεφθαρμένης. καὶ δὴ καὶ τότε ἦν 12) περὶ τὸν νεὼν τοῦ Ποσειδῶνος πολλῶν σοφιστῶν κακοδαιμόνων, βοώντων καὶ λοιδορουμένων ἀλλήλοις, καὶ

9) f. leg. πάντες ἂν τοὺς ὀφθαλμούς.

10) εἰ] ſic dedi pro ἤ. Morellus eodem iure poterat et debebat adeo hoc mutare, quo paulo ante εἰ ſuffecit pro ἢ, quod ibi eſt in Veneta.

11) Caſaubonus ſatis habet loci vitium annotare. Morellus ex H. Stephani gloſſulis aliquid affert, in quo magna pars veri Eum ſcil. teſtatur ad oram libri ſui adnotaſſe ἧττον ὑπὸ τούτων ἢ ἐκείνων. cum quo paene conuenit Anglo, qui ſic dedit: ὡς ἧττον ὑπὸ τούτων ἢ ἐκείνων ἐνοχλούμενοι, ἢ χαλεπώτερον ὄν. mihi videtur ſic eſſe legendum: ὡς ἧττον αὐτοὺς (homines puta Diogenis medicina vtentes) ὑπὸ τούτων ἢ ἐκείνων ἐνοχλουμένους, ἢ χαλεπώτερον ὂν — in quo Anglo aſſentior. quaſi minus ab his (nequitia, ignorantia et intemperantia) moleſtentur, quam ab illis corporis malis, (podagra, hypochondriſmo, rheumatiſmo) aut ac ſi difficilius ſit.

12) f. καὶ δὴ καὶ τότε ὄχλος ἦν.

τῶν λεγομένων μαθητῶν, ἄλλου ἄλλῳ μαχομένου[13]· πολλῶν δὲ συγγραφέων ἀναγινωσκόντων ἀναίσθητα συγγράμματα[14]· πολλῶν δὲ ποιητῶν, ποιήματα ᾀδόντων· καὶ τούτους ἐπαινούντων ἑτέρων· πολλῶν δὲ θαυματοποιῶν, θαύματα ἐπιδεικνύντων· πολλῶν δὲ τερατοσκόπων, τέρατα κρινόντων[15]· μυρίων δὲ ῥητόρων, δίκας στρεφόντων· οὐκ ὀλίγων δὲ καπήλων διακαπηλευόντων, ὅταν[16] τύχῃ ἕκαστος. εὐθὺς οὖν καὶ αὐτῷ τινὲς προσῆλθον, τῶν μὲν Κορινθίων οὐδείς· οὐδὲ γὰρ οὐδὲ[17] ᾤοντο, οὐδὲν ὠφεληθήσεσθαι, ὅτι καθημέραν ἑώρων αὐτὸν ἐν Κορίνθῳ. τῶν δὲ ξένων ἦσαν οἱ προσιόντες, καὶ τούτων ἕκαστος, βραχύ τι ἀκούσας ἢ εἰπὼν, ἀπῄει[18], φοβούμενος τὸν ἔλεγχον. διὰ τοῦτο[19], ἔφη ὁ Διογένης, προσεοικέναι τοῖς κυσὶ τοῖς Λάκωσι· καὶ γὰρ τούτους, ὅταν

σῶσιν

13) μαχομένων margo Morell.

14) ἀναγινωσκόντων ἀναίσθητα συγγράμματα] sic recte codex regius et Veneta. Morelliana omittit ἀναίσθητα.

15) κρινόντων] Morelliana dat κινούντων, et Morellus interrogat: quis ita loquitur, et quorum hominum est τέρατα κινεῖν? scire vis, quis ita loquatur, Morelle? Dicam tibi: tu ipse sic locutus hic es; nam a te profecta est lectio absurda κινούντων. cur non aut exhibebas veram lectionem κρινόντων, quam codex tibi tuus regius praestabat, et quam tu ipse censes praeferendam? aut saltim reddidisses e Veneta κινόντων, quod aliquanto minus laborat. Vir doctus in Veneta mea etiam pro κινόντων notarat κρινόντων, idem Anglus Wolfii.

16) ὅταν] l. ὅ, τι ἂν quodcunque.

17) loco οὐδὲ est in Ven. οὐδέν. facile patiar alterum οὐδὲν abesse; nam integra est eo demto oratio. sed et vulgata bene habet. non enim existimabant, ne existimabant quidem, fore, vt quid ab eo proficerent. Fatebor tamen mihi magis placere sic legi: οὐδὲ γὰρ οὐδὲν ᾤοντο ὑπ᾽ αὐτοῦ ὠφελ.

18) ita scrib. ἀπείει Mor.

19) διὰ τοῦτο] sic recte Veneta. διὰ τοῦτον Morell.

στῶσιν[20]) εἰς τὰς πανηγύρεις, πολλοὺς μὲν εἶναι τοὺς καταψήχοντας[21]) καὶ προσπαίζοντας, μηδένα δὲ ὠνεῖσθαι ῥᾳδίως, διὰ τὸ μὴ ἐπίστασθαι χρῆσθαι. πυθομένου δέ τινος, εἰ καὶ αὐτὸς ἥκοι τὸν ἀγῶνα θεώμενος[22]); οὐκ, ἔφη, ἀλλ' ἀγωνιούμενος. καὶ ὃς ἐγέλασέ τε καὶ ἤρετο αὐτὸν, τίνας ἔχοι τοὺς ἀνταγωνιστάς. ὁ δὲ, ὥσπερ εἰώθει ὑποβλέψας, τοὺς χαλεπωτάτους εἶπε καὶ ἀμαχωτάτους· οἷς οὐδεὶς δύναται ἀντιβλέψαι τῶν Ἑλλήνων· οὐ μέντοι διατρέχοντας, ἢ παλαίοντας, ἢ διαπηδῶντας, οὐδὲ πυκτεύοντας καὶ ἀκοντίζοντας καὶ δισκεύοντας, ἀλλὰ τοὺς σώφρονας[23]). τίνας μήν; ἤρετο. τοὺς πόνους, ἔφη, μάλα ἰσχυρούς τε, καὶ ἀνικήτους ὑπὸ ἀνθρώπων ἐμπεπληγμένων καὶ τετυφωμένων· καὶ τὰς μὲν ἡμέρας ὅλας ἐσθιόντων, ἐν δὲ ταῖς νυξὶ ῥεγχόντων· ὑπὸ δὲ ἀνδρῶν ἡττωμένους, λεπτῶν τε καὶ ἀσάρκων, καὶ τῶν σφηκῶν, τὰς γαστέρας μᾶλλον ἐντετμημένων. ἢ σὺ οἴει τούτων τι ὄφελος εἶναι τῶν τὰς μεγάλας κοιλίας ἐχόντων, οὓς ἐχρῆν περιαγαγόντας καὶ περικαθάραντας ἐκβαλεῖν, μᾶλλον δὲ καταθύσαντας καὶ κατατεμόντας εὐωχεῖσθαι· καθάπερ οἶμαι τὰ τῶν κητῶν κρέα[24]) τοὺς νῦν ἔχοντας, ἕψοντας ἐξ ἁλὸς[25]), καὶ θαλάσσης, τὴν δὲ πιμελὴν τήξαντας, ὥσπερ

20) στῶσιν] *prostent venales.*

21) καταψήχοντας] sic codex regius. Ven. et Mor. dant καταψύχοντας.

22) θεασομένους margo Morell.

23) pro σώφρονας dat V. L. Ven. et margo Morell. σωφρονίζοντας. quod vtique melius, postquam tot participia praecesserunt.

24) κρέα] scil. εὐωχεῖσθαι, quod e proximo est repetendum.

25) Morelliana dat ἔχοντας ἁλὶ*, et Anglus addebat καταπάσσοντας. sed primum subleſtae fidei est ἁλὶ, profectum a Morelli ingenio; nam in Veneta est ἁλός. deinde tametsi καταπάσσειν bene cum sale conuenit, minus tamen

ὥσπερ ἐν Πόντῳ παρ' ἡμῖν τὸ τῶν δελφίνων στέαρ, ἀλείφεσθαι τοὺς δεομένους. οἶμαι γὰρ αὐτοὺς τῶν ὑῶν ἧττονα ψυχὴν ἔχειν [26]). *ὁ δὲ ἀνὴρ ὁ γενναῖος ἡγεῖται τοὺς πόνους ἀνταγωνιστὰς μεγίστους, καὶ τούτοις ἀεὶ φιλεῖ μάχεσθαι καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν· οὐχ ὑπὲρ σελίνου, ὥσπερ αἱ αἶξι* [27]), *οὐδὲ κοτίνου καὶ πίτυος, ἀλλὰ ὑπὲρ εὐδαιμονίας καὶ ἀρετῆς παρὰ πάντα τὸν βίον· οὐχ ὅταν Ἠλεῖοι προείπωσιν, ἢ Κορίνθιοι* [28]), *ἢ τὸ κοινὸν τῶν Θετταλῶν, μηδένα αὐτὸν* [29]) *φοβούμενον, μηδὲ εὐχόμενον ἄλλῳ λαχεῖν· ἀλλὰ*

tamen cum aqua marina. Cur non ante omnia vetuſtas editiones conſulunt, qui veteres auctores edunt, praeſertim graecos. In Veneta eſt *ἔχοντας, ἕψοντας ἁλός*, vnde facillime veram lectionem elicias *τοὺς νῦν ἔχοντας, ἕψοντας ἐξ ἁλὸς καὶ θαλάσσης.* quemadmodum faciunt homines recte, me quidem iudice, ſapientes, qui carnes quidem cetorum comedunt, poſteaquam eas ex ſale et aqua marina coxerunt.

26) locum hunc ab omnibus praeteritum ſic corrigo: *οἶμαι γὰρ αὐτοὺς τῶν ὑῶν οὐχ ἧττον ἀνθ' ἁλὸς τὴν ψυχὴν ἔχειν. exiſtimo enim illos* (guloſos, helluones) *non minus* (h. e. aeque) *atque porcos habere animam pro ſale.* quo de prouerbio actum eſt ad Petronium.

27) *αἶξι*] ſic Henr. Valeſius, Emendat. p. 50. quae emendatio confirmatur a Noſtro, p. 140. vlt. ed. Mor. Ven. et Mor. dant *γυναῖκες.*

28) In Veneta eſt *κορινθίων.* Tranſpone modo vocab. *κοινὸν* ad hunc modum: *ἢ κορινθίων κοινὸν, ἢ τὸ τῶν θεττ.* congreditur his cum aduerſariis, ſemper et vbique, non tum ſolummodo, cum Elei ludos per Graeciam edicunt apud ſe celebrandos, miſſis quacunque praeconibus, aut cum commune Corinthiorum Theſſalorumue hoc facit.

29) pro *αὐτὸν* Anglus mauult *αὐτῶν.* poteſt fieri, vt rectum viderit; ſed poteſt item rurſus fieri, vt falleretur; ecquis enim nouit, quid deſideretur, et deſiderari h. l. pauca quaedam certum eſt. f. *ὧν* (*ἀνταγωνιστῶν*) *μηδένα ὄψει αὐτὸν φοβούμενον.* quorum aduerſariorum (laborum puta et moleſtiarum) neminem tu videbis ab eo deuitari et

ἀλλὰ παρακαλούμενον 30) ἐφεξῆς ἅπαντας, καὶ λιμῷ φιλονεικοῦντας 31), καὶ ψύχει, καὶ δίψην ὑπομένοντας, κἂν δέῃ μαστιγούμενον καρτερεῖν, καὶ τεμνόμενον καὶ καιόμενον, καὶ μηδὲν μᾶλλον ἐνδιδόντα· πενίαν δὲ καὶ φυγὴν καὶ ἀδοξίαν, καὶ τὰ τοιαῦτα, μηδὲν ἡγεῖσθαι δεινὸν αὐτῷ, ἀλλὰ πάνυ κοῦφα· καὶ πολλάκις παίζειν ἐν αὐτοῖς τὸν ἄνδρα τὸν τέλειον, ὥσπερ οἱ παῖδες τοῖς ἀστραγάλοις καὶ ταῖς σφαίραις ταῖς ποικίλαις. καὶ γὰρ, δοκοῦσι μὲν 32), ἔφη, δεινοὶ καὶ ἀνυπόστατοι πᾶσι τοῖς κακοῖς οἱ ἀνταγωνισταὶ οὗτοι· ἐὰν δέ τις αὐτῶν καταφρονήσῃ καὶ προσίῃ θαῤῥῶν, ὄψεται δειλοὺς καὶ ἀδυνάτους, ἄνδρας ἰσχυροὺς 33) κρατῆσαι· μάλιστα τοῖς κυσὶν ὁμοίως, οἳ τοὺς μὲν φεύγοντας ἐπιδιώκουσι καὶ δάκνουσι καὶ διέσπασαν οὓς κατέλαβον· τοὺς δὲ ἐπιόντας, καὶ μαχομένους, φοβοῦνται καὶ ἀναχωροῦσι· τελευτῶντες δὲ σαίνουσιν, ἐπειδὴ συνήθεις γένωνται 34). οἱ δὲ πολλοὶ ἄνθρωποι ἐκπεπληγμένοι αὐτοὺς, καὶ ἀείποτε φεύγοντες, κρίνουσιν 35), οὐδέποτε ἐναντίον βλέποντες. καὶ

et exhorreri; neque videbis eum deos rogantem et Fortunam, vt fe cum alio quopiam aduerfariorum genere committant. Cl. Koehler coni. μηδένα αὐτὸν ὄψει φοβ. μηδὲ τυχόντων ἄλλων λαχ.

30) παρακαλούμενον] Anglus vult προκαλ. fed vulgata idem dicit.

31) affentior Anglo in φιλονεικοῦντα et ὑπομένοντα. fed et praeterea verba fic funt conftituenda: λιμῷ φιλονεικοῦντα, καὶ ψύχει, καὶ δίψῃ, καὶ ὑπομένοντα κἂν δέῃ. In Veneta eft καὶ δίψης ὑπομ. vnde effeci καὶ δίψῃ, καὶ ὑπομένοντα. nam ς et figla ϗ repraefentans in libris vetuftis, tam calamo exaratis, quam formis ftanneis excufis, inter fe funt tam fimiles, vt faepe difcerni nequeant. Margo Morell. dat δίψος.

32) μὲν] fic recte Anglus, μηδὲν Morell. et Ven.

33) f. ἀνδρὸς ἰσχυροῦ.

34) γένωνται] fic recte Veneta. γένονται Morell.

35) κρίνουσιν] recte habet. iudicant, iudicium de laboribus fuum

καὶ γὰρ δὴ, ὥσπερ οἱ πυκτεύειν εἰδότες, ἐὰν μὲν προλάβωσι τὸν ἀνταγωνιστὴν, οὐ παύονται τὴν ἀρχὴν[36], πολλάκις δὲ καὶ ἐπέβησαν[37] αὐτοὶ καταβαλόντες, ἐὰν δὲ ἀποχωρῶσι φοβούμενοι, τότ᾽ ἰσχυροτάτας πληγὰς λαμβάνουσιν· οὕτως ἐὰν μέν τις τοὺς πόνους δέχηται καταφρονῶν, καὶ πλησιάζῃ προθύμως, οὐ πάνυ ἰσχύουσι πρὸς αὐτόν· ἐὰν δὲ ἀφιστῆται καὶ ἀναχωρῇ, τῷ παντὶ μείζους καὶ σφοδρότεροι δοκοῦσιν. τοῦτο δ᾽ ἂν ἴδῃς, καὶ ἐπὶ τοῦ πυρὸς γινόμενον· ἐὰν μὲν σφόδρα ἐπιβῇς, ἔσβεσας τὸ πῦρ· ἐὰν δὲ ὑποπτεύων καὶ δεδοικὼς, σφόδρα ἐκαύθης· ὥσπερ ἐνίοτε παίζοντες οἱ παῖδες τῇ γλώττῃ τὸ πῦρ σβεννύουσιν. οὗτοι μὲν οὖν οἱ ἀνταγωνισταὶ σχεδὸν ὅμοιοί εἰσι τοῖς παμμάχοις, παίοντές τε καὶ ἄγχοντες, καὶ διασπῶντες, καὶ ἀποκτειννύοντες[38] ἐνίοτε. ἑτέρα δὲ δεινοτέρα μάχη καὶ ἀγὼν ἐστιν οὐ μικρὸς[38], ἀλλὰ πολὺ τούτου μείζων καὶ ἐπικινδυνότερος, ὁ πρὸς τὴν ἡδονὴν, οὐκ ἄντικρυς βιαζομένην, ἀλλ᾽ ἐξαπατῶσαν καὶ γοητεύουσαν δεινοῖς φαρμάκοις· οὐχ οἵαν Ὅμηρός φησιν·

Αὖθις

suum ferunt, affirmantes eos intolerabiles et inuictos aduersarios esse. Cl. Koehler. vult: τοὺς δὲ πολλοὺς ἀνθρώπους ἐκπεπληγμένους ὄντας καὶ ἀείποτε φεύγοντας κλίνουσιν, ὡς οὐδέποτε ἐναντίον βλέποντας.

36) οὐ παίονται τὴν ἀρχήν. sic leg. *prorsus nullas auferunt plagas.* Koehler. coni.: οὐ παύονται τῶν πληγῶν — αὐτὸν —

37) ἐπέβησαν] imo vero ἀπέβησαν. *abscedunt ex arena, aduersario a se deiecto.* idem est ἀποβαίνειν hic, quod ἀποχωρεῖν paulo post.

38) In Veneta est ἀποκτειννύοντες, et hoc inueni quoque saepenumero in Augustano Demosthenis codice illo vetusto. perinde est, vtrum sic legas, an ἀποκτιννύντες.

38b) μικρὸς] imo vero μικρὸν. *non parum, sed multum illo formidabilior.*

Αὖθις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη,
Ὀξέσι δὲ πελέκεσσι καὶ ἀξίναις ἐμάχοντο,
Καὶ ξίφεσι μεγάλοις.

Οὐχ οὗτος ὁ τρόπος τῆς μάχης. οὐ γὰρ ἄντικρυς βιάζεσθαι [39]) τὴν ἡδονὴν, ἀλλ᾽ ἐξαπατᾷν καὶ γοητεύειν δεινοῖς φαρμάκοις, ὥσπερ Ὅμηρός φησι τὴν Κίρκην τοὺς τοῦ Ὀδυσσέως ἑταίρους καταφαρμάξαι. κἄπειτα τοὺς μὲν σῦς αὐτῶν, τοὺς δὲ λύκους γενέσθαι, τοὺς δὲ ἄλλα ἄττα θηρία. τοιοῦτόν ἐστι τὸ χρῆμα τῆς ἡδονῆς· οὐχ ἁπλῶς ἐπιβουλεύουσιν [40]), ἀλλὰ πάντα τρόπον, διά τε τῆς ὄψεως καὶ ἀκοῆς, ἢ ὀσφρήσεως, ἢ γεύσεως, ἢ ἁφῆς, ἔτι δὲ σιτίοις καὶ ποτοῖς καὶ ἀφροδισίοις, διαφθεῖραι πειρωμένης, ὁμοίως μὲν ἐγρηγορότας, ὁμοίως δὲ κοιμωμένους. οὐδὲ γὰρ ὥσπερ πρὸς τοὺς πολεμίους εἶναι [41]) φύλακας καταστήσαντας καθεύδειν· ἀλλὰ μάλιστα δὴ πάντων τότε ἐπιτίθεται, τὰ μὲν αὐτῷ τῷ ὕπνῳ μαραίνουσα καὶ δουλουμένη, τὰ δὲ ἐπιπέμπουσα ὀνείρατα πανοῦργα καὶ ἐπίβουλα, ἀναμιμνήσκοντα αὐτῆς. ὁ μὲν οὖν πόνος διὰ τῆς ἁφῆς γίνεται ὡς πολὺ [42]), καὶ ταύτῃ πρόσεισιν· ἡ δὲ ἡδονὴ κατὰ πᾶσαν αἴσθησιν, ὁπόσας ἄνθρωπος αἰσθήσεις ἔχει, καὶ δεῖ τοῖς μὲν πόνοις ἀπαντᾷν καὶ συμπλέκεσθαι, τὴν δὲ ἡδονὴν φεύγειν ὡς πορρωτάτω, καὶ μηδὲν ὅλως, ἢ τἀναγκαῖα ὁμιλεῖν. καὶ ἐνταῦθα [43]) ὁ κράτιστος

39) βιάζεσθαι] ſubaudi ἔφη.

40) ἐπιβουλεύουσιν] Caſaubonus vult ἐπιβουλευούσης, quod Morellus e codice regio confirmat. comprobo, ſed et τιν᾽ (ſcilicet τρόπον, pro κατά τινα τρόπον) addo, quia ſequitur ἀλλὰ πάντα τρόπον.

41) εἶναι] l. ἐστί. perſaepe haec duo inter ſe permutantur, quia ſiglae, quibus illorum vocabulorum quodque ſignificatur, inter ſe ſunt ſimillimae.

42) f. ὡς τὸ πολύ.

43) καὶ ἐνταῦθα] ſcil. ἐξετάζεται aut ὁρᾶται. *et hic*, in fuga voluptatum, *cernitur vir optimus.*

τιστος ἀνήρ· κράτιστος δὲ σχεδὸν, ὃς ἂν δύνηται πλεῖστον ἀποφεύγειν τὰς ἡδονάς. οὐδὲ γάρ ἐστιν, ἡδονῇ συνόντα, ἢ καὶ πειρώμενον συνεχῶς 44), μὴ οὐ πάντως ἁλῶναι. ὅταν οὖν κρατήσῃ καὶ περιγένηται τῆς ψυχῆς τοῖς φαρμάκοις, γίνεται τὸ λοιπὸν ἤδη τὸ τῆς Κίρκης, ἡ πλήξασα ῥαδίως τῇ ῥάβδῳ, εἰς συφεόν τινα ἐλαύνει καὶ καθείργνυσι. καὶ τὸ λοιπὸν ἀπ' ἐκείνου ἤδη ὁ ἄνθρωπος διατελεῖ, σῦς ὂν, ἢ λύκος 45). γίνονται δὲ καὶ ὄφεις, ὑφ' ἡδονῆς ποικίλοι καὶ ὀλέθριοι καὶ ἄλλ' ἄττα ἑρπετά· καὶ θεραπεύουσιν ἐκείνην ἀεὶ περὶ 46) τὰς θύρας ἰόντες· καὶ ἐπιθυμοῦντες μὲν τῆς ἡδονῆς, καὶ λατρεύοντες ἐκείνῃ, μυρίους δὲ ἄλλους πόνους ἔχοντες. ἡ γὰρ ἡδονὴ κρατήσασα αὐτῶν καὶ παραλαβοῦσα, τοῖς πόνοις παραδίδωσι τοῖς ἐχθίστοις καὶ χαλεπωτάτοις. τοῦτον δὴ τὸν ἀγῶνα 47), ἐμοὶ καρτερὸν ὄντα 48), καὶ παράδοξον πρὸς ἡδονὴν καὶ πόνον, οὐδεὶς προσέχει τῶν ἀθέτων ἀνθρώπων· ἀλλὰ τοῖς ἀνδραπόδοις τοῖς πηδῶσι, καὶ τρέχουσι, καὶ χορεύουσι. οὐδὲ γὰρ τὸν Ἡρακλέα ἑώρων ἀγωνιζόμενον καὶ πονοῦντα, οὐδὲ

ἐμε-

44) f. πειρώμενον συνεῖναι συνεχῶς.

45) σῦς ὂν ἢ λύκος] facile occurrit ὢν, quod etiam vir doctus in Veneta mea adscripsit; sed diligentius cogitanti visum est ὄνος pro ὂν substituere, porcus, asinus, aut lupus.

46) περὶ] malim παρὰ.

47) post ἀγῶνα deesse ἀγωνιζομένῳ aut simile quod aliud ad sententiam, Casaubonus iam dudum vidit, re ipsa docente. sed in ἀθλίων (vt etiam V. L. Ven. dat) vel θεατῶν pro ἀθέτων, haud accedo ei. Scholiastes graecus apud Morellum bene vocabulum ἄθετος explicat. de ἀθεσία, ni fallor, ipsemet ad Polybium egi. ἄθετος est quisquis nil quicquam pensi habet, siue sacrum, siue profanum, nulla iura, nullas poenas reueretur, nil cogitat exitus rerum.

48) καρτεροῦντι καὶ παραβαλλομένῳ margo Morell.

ἔμελεν αὐτοῖς [49]· ἀλλὰ καὶ τότε ἴσως ἀθλητάς τινας ἐθαύμαζον, Ζῆθον καὶ Κάλαϊν καὶ Πηλέα, καὶ ἄλλους τοιούτους δρομέας τινάς, καὶ παλαιστάς· καὶ τοὺς μὲν ἐπὶ κάλλει, τοὺς δὲ ἐπὶ πλούτῳ ἐθαύμαζον, καθάπερ Ἰάσονα, καὶ Κινύραν. περὶ δὲ τοῦ Πέλοπος ἔλεγον, ὅτι καὶ τὸν ὦμον ἐλεφάντινον ἔχοι· ὥσπερ τι ὄφελος ὂν ἀνθρώπου [50] χρυσῆν χεῖρα ἢ ἐλεφαντίνην ἔχοντος, ἢ ὀφθαλμοὺς ἀδάμαντος, ἢ σμαράγδου, τὴν δὲ ψυχὴν οὐκ ἐγίνωσκον αὐτοῦ ὁποίαν τινὰ εἶχε. τὸν δὲ Ἡρακλέα πονοῦντα μὲν καὶ ἀγωνιζόμενον ἠλέουν, καὶ ἔφασαν αὐτὸν ἀνθρώπων ἀθλιώτατον· καὶ διὰ τοῦτο ἄθλους ἐκάλουν τοὺς πόνους αὐτοῦ καὶ τὰ ἔργα, ὡς τὸν ἐπίπονον βίον ἄθλιον· ἀποθανόντα δὲ πάντων μάλιστα τιμῶσι, καὶ θεὸν νομίζουσι, καὶ φασὶν Ἥβῃ συνοικεῖν· καὶ τούτῳ πάντες εὔχονται, ὅπως αὐτοὶ μὴ ἔσωνται ἄθλιοι, τῷ πλεῖστα ἀθλήσαντι. τὸν δὲ Εὐρυσθέα οἴονται κρατεῖν τούτου καὶ ἐπιτάττειν, ὃν οὐδενὸς ἄξιον νενομίκασιν· οὐδὲ εὔξατο, οὐδὲ ἔθυσεν οὐδέποτε οὐδεὶς Εὐρυσθεῖ. πλὴν ὅ γε Ἡρακλῆς περιῄει τὴν Εὐρώπην, καὶ τὴν Ἀσίαν ἅπασαν, οὐδὲν ὢν τούτοις ὅμοιος τοῖς ἀθληταῖς. ποῦ γὰρ ἂν ἠδυνήθη προσελθεῖν, σάρκας τοσαύτας ἔχων, ἢ τοσούτων κρεῶν δεόμενος, ἢ βαθὺν οὕτως ὕπνον καθεύδων; ἀλλ' ἄγρυπνος καὶ λεπτός, ὥσπερ οἱ λέοντες· ὀξὺ βλέπων, ὀξὺ ἀκούων, οὔτε χειμῶνος οὔτε καύματος φροντίζων· οὐδὲν δεόμενος στρωμάτων, ἢ χλανίδων, ἢ ταπήτων· ἀλλὰ δέρμα ἀμπεχόμενος ῥυπαρόν, λιμοῦ πνέων [51], τοῖς ἀγαθοῖς βοηθῶν, τοὺς κακοὺς κολάζων.

49) f. οὐδὲ γάρ, ὅτε τὸν Ἡρακλέα — οὐδὲν ἔμελεν αὐτοῖς.
50) ὄφελος ὂν ἀνθρώπου] vnde lectionem hanc habuerit Morellus, reticuit. nam in Veneta est ὄφελος ἄνωθέν που χρ. quod Morellus merito in oram reiecit.
51) Cl. Koehler. pro πνέων leg. πλέως.

λάζων. καὶ Διομήδη δὲ τὸν Θρᾶκα, ὅτι ποικίλην εἶχεν ἐσθῆτα, καὶ καθῆστο ἐπὶ θρόνου πίνων δι᾽ ἡμέρας καὶ τρυφῶν, καὶ τοὺς ξένους ἠδίκει καὶ τοὺς ὑφ᾽ αὑτὸν, πωλεῖν προῃρημένον [52]), καὶ ἵππον τρέφειν, τῷ ῥοπάλῳ παίων διέῤῥαξεν, ὥσπερ πίθον παλαιόν. καὶ τὸν Γηρυόνην πλείστους [53]) βοῦς ἔχοντα, καὶ τὸν [54]) πρὸς ἑσπέρας ἁπάντων πλουσιώτατόν τε καὶ ὑπερηφανώτατον, αὐτόν τε ἀπέκτεινεν καὶ τοὺς ἀδελφοὺς, καὶ τὰς βοῦς ἀπήλασε. τὸν δὲ Βούσιριν εὑρὼν πάνυ ἐπιμελῶς ἀθλοῦντα, καὶ δι᾽ ὅλης ἡμέρας ἐσθίοντα, καὶ φρονοῦντα μέγιστον ἐπὶ πάλῃ, διέῤῥηξεν ἐπὶ τὴν γῆν καταβαλὼν, ὥσπερ τοὺς θυλάκους τοὺς σφόδρα γέμοντας. καὶ τῆς Ἀμαζόνος ἔλυσε τὴν ζώνην, θρυπτομένης αὐτῷ καὶ νομιζούσης, ὅτι τῷ κάλλει κρατήσει. συγγενόμενος δὲ καὶ δείξας [55]), ὅτι οὐκ ἄν ποτε ἡττηθείη κάλλους, οὐδ᾽ ἂν μείνειε [56]) χάριν γυναικὸς, πρὸς τῶν αὑτοῦ κτημάτων, οὐδέποτε. τὸν δὲ Προμηθέα σοφιστήν τινα, ἐμοὶ δοκεῖν, καταλαβὼν ὑπὸ δόξης ἀπολλύμενον, καὶ νῦν μὲν οἰδοῦντος αὐτῷ καὶ αὔξοντος τοῦ ἥπατος, ὁπότε ἐπαινοῖτο· πάλιν δὲ φθίνοντος, ὁπότε ψέγοιεν αὐτόν· ἐλεήσας καὶ φοβήσας, ἔπαυσε τοῦ τύφου, καὶ τῆς φιλονεικίας· καὶ οὕτως ᾤχετο, ὑγιᾶ ποιή-

52) ὑφ᾽ αὑτὸν, πωλεῖν προῃρημένον] sic dedi. *tam peregrinos, quam suos ciues, iniuriis vexabat. qui decresset, ciues et inquilinos vendere pro mancipiis, et numis inde redactis ingentem exercitum alere.* Ven. et Mor. dant πολεῖν ἠρημένον, et V. L. Venetae καὶ πολλὴν ἵππον τρέφων. margo Morell. πωλοδαμεῖν. πωλεῖν εἰρημένον, καὶ ἵππους Koehler.

53) πλείστους] malim πλείστας, vt statim insequitur.

54) τὸν] imo vero τῶν.

55) τε καὶ δείξας, ὅτι Koehler.

56) μείνειε] sic codex regius, idem pro πρὸς dat πρὸ adhuc vitiosius. lege πρόσω. *non enim Hercules facile, in gratiam mulierculae, manserit procul a suis finibus.*

ποιήσας. ταῦτα μὲν οὖν ἔπραττεν, οὐδὲν Εὐρυσθεῖ χαριζόμενος. τὰ δὲ μῆλα, ἃ χρύσεα ἐνόμισε[57]), λαβὼν ἔδωκεν ἐκείνῳ, τὰ τῶν Ἑσπερίδων. οὐδὲν γὰρ αὐτῶν ἐδεῖτο· ἀλλ᾽ ἐκέλευσε κλαίειν ἔχοντα. μηδὲν γὰρ ὄφελος εἶναι ἀνθρώπῳ χρυσῶν μήλων· μηδὲ γὰρ ταῖς Ἑσπερίσι γενέσθαι. πέρας δὲ, ἐπεὶ βραχύτερος ἐγίνετο αὐτοῦ καὶ ἀσθενέστερος, φοβούμενος, μὴ οὐ δύνηται ζῆν ὁμοίως, ἔπειτα, οἶμαι, νόσου τινὸς καταλαβούσης, κάλλιστα ἀνθρώπων ἐθεράπευσεν αὐτὸν, πυρὰν νήσας ἐν τῇ Οἴτῃ[58]) ξύλων ὡς ξηροτάτων, καὶ δείξας, ὅτι οὐδὲν ἄξιον ἐφρόντιζε τοῦ πυρετοῦ· πρότερον δὲ, ἵνα[59]) μὴ δοκῇ σεμνὰ καὶ μεγάλα ἔργα διαπράττεσθαι, τὴν κόπρον ἀπελθὼν τὴν κειμένην παρ᾽ Αὐγείου, πολύ τι χρῆμα πολλῶν ἐτῶν, ἐκείνην ἐκφορεῖ[60]) καὶ ἐκάθηρεν. ἡγεῖτο γὰρ οὐχ ἧττον αὐτῷ διαμαχητέον εἶναι, καὶ πολεμητέον πρὸς τὴν δόξαν, ἢ τὰ θηρία, καὶ τῶν ἀνθρώπων τοὺς κακούργους. ταῦτα δὲ λέγοντος τοῦ Διογένους, περιΐσταντο πολλοὶ, καὶ πάνυ ἡδέως ἠκροῶντο τῶν λόγων. ἐννοήσας δὲ, οἶμαι, τὸ τοῦ Ἡρακλέους, τοὺς μὲν λόγους ἀφῆκε, χαμαὶ δὲ καθεζόμενος, ἐποίει τι τῶν ἀδόξων. εὐθὺς οὖν πολλοὶ κατεφρόνουν αὐτοῦ, καὶ μαίνεσθαι ἔφασαν· καὶ πάλιν ἐθορύβουν οἱ σοφισταὶ, καθάπερ ἐν τέλματι βάτραχοι, τὸν ὕδρον οὐχ ὁρῶντες.

57) f. ἐνόμισαν *vulgo habebant*; nisi vulgatam ad Eurystheum referimus.

58) αὐλῇ margo Mor. et paulo post δόξας.

59) videtur in hac regione μόνον desiderari; visum idem fuit interpreti quoque.

60) ἐξεφόρει ob sequens ἐκάθηρεν.

ΔΙΟΓΕΝΗΣ, Η ΙΣΘΜΙΚΟΣ.

ΛΟΓΟΣ Θ΄.

Ἰσθμίων ὄντων, κατέβη Διογένης εἰς τὸν Ἰσθμὸν, ὡς ἔοικεν, ἐν Κορίνθῳ διατρίβων. παρετύγχανε δὲ ταῖς πανηγύρεσιν, οὐχ ὧνπερ οἱ πολλοὶ ἕνεκα, βουλόμενοι θεάσασθαι τοὺς ἀθλητὰς, καὶ ἵνα ἐμπλησθῶσιν· ἀλλ᾽ ἐπισκοπῶν, οἶμαι, τοὺς ἀνθρώπους καὶ τὴν ἄνοιαν αὐτῶν. ᾔδει γὰρ, ὅτι φανερώτατοί εἰσιν ἐν ταῖς ἑορταῖς καὶ ταῖς πανηγύρεσιν· ἐν δὲ πολέμῳ καὶ στρατοπέδῳ λανθάνουσι μᾶλλον, διὰ τὸ κινδυνεύειν φοβεῖσθαι [1]). καὶ μέντοι ἐνόμιζε τούτους εὐϊατωτέρους εἶναι· καὶ τὰ νοσήματα [2]) τοῦ σώματος, ὅταν ἔκδηλα ᾖ, ῥᾷον θεραπεύεσθαι ὑπὸ τῶν ἰατρῶν, ἢ μέχρις ὑποστέλλεται [3])· τοὺς μέντοι ἀμελουμένους τῶν ἀνθρώπων ἐν ταῖς τοιαύταις διατριβαῖς τάχιστα ἀπόλλυσθαι. διὰ ταῦτα παρέβαλλεν εἰς τὰς πανηγύρεις. ἔλεγε δὲ ἐπισκώπτων, ὅτι ἐπιπλήττοιτο τὸ τοῦ κυνός [4]). (διὰ γὰρ χαλεπότητα [5]) καὶ τῷ [6]) λοιδορεῖσθαι, κύνα αὐτὸν ἀπεκάλουν·)

τοὺς

1) f. διὰ τοῦ κινδυνεύειν ἢ τὸ φοβεῖσθαι, et ſic fere interpres quoque.

2) Morellus e regio codice profert, et vulgatae praefert καὶ γὰρ τὰ νοσήματα.

3) ὑποστέλλεται] vnde hoc? Morellus non indicauit. in Veneta eſt ὑποστέλλῃ.

4) f. ἔλεγε δὲ ἑαυτῷ ἐπισκώπτων, ὅτι ὀρθῶς ἐπιπλήττοιτο τὸ τοῦ κυνὸς [ſcil. ὄνομα vel ὄνειδος] dictitare ſolebat, iocans ipſe in ſemet, recte ſe canem appellari, eoque conuicio veluti ſaxo quodam tundi.

5) διὰ γὰρ τὴν χαλεπ. profert Morellus e codice regio, et praefert vulgatae.

6) τῷ] l. τὸ, quomodo etiam vir doctus in Veneta mea adſcripſit.

τοὺς γὰρ κύνας ἕπεσθαι μὲν εἰς τὰς πανηγύρεις, μηδένα δὲ ἀδικεῖν τῶν ἐκεῖ γιγνομένων, ὑλακτεῖν δὲ καὶ μάχεσθαι τοῖς κακούργοις καὶ κακίστοις· καὶ ὅταν οἱ ἄνθρωποι μεθυσθέντες καθεύδωσιν, αὐτοὺς ἐγρηγορότας φυλάττειν. ὡς δὲ ἐφάνη ἐν τῇ πανηγύρει, Κορινθίων μὲν οὐδεὶς αὐτῷ προσεῖχε τὸν νοῦν, ὅτι πολλάκις αὐτὸν ἑώρων ἐν τῇ πόλει, καὶ περὶ τὸ Κράνιον. οἱ γὰρ ἄνθρωποι οὓς ἂν αὐτοὶ βλέπωσι 7), καὶ οἷς νομίζουσι ῥᾷον εἶναι, ὁπότε βούλονται, προσελθεῖν, τούτων οὐ πάνυ φροντίζουσιν. οὓς δ' ἂν διὰ χρόνου ἴδωσιν, ἢ μηδεπώποτε ἑωρακότες 8), πρὸς ἐκείνους τρέπονται. ὅθεν ἥκιστα ὠφελοῦντο ὑπὸ τοῦ Διογένους Κορίνθιοι· καθάπερ οἱ νοσοῦντες, εἰ, ἐπιδημοῦντος ἰατροῦ, μὴ προσῄεσαν πρὸς αὐτόν. ἀλλὰ ἐνόμιζον ἱκανὸν εἶναι καὶ τὸ ὁρᾷν αὐτὸν ἐν τῇ πόλει. τῶν δὲ μακρόθεν, μάλιστα προσῄεσαν πρὸς αὐτὸν ἀπὸ τῆς Ἰωνίας 9) τε καὶ Σικελίας, καὶ Ἰταλίας, ὅσοι παρῆσαν, καὶ τῶν ἐκ Λιβύης τινὲς, καὶ τῶν ἐκ Θεσσαλίας, καὶ ἀπὸ Βορυσθένους, οὗτοι δὲ 10) πάντες ἰδεῖν βουλόμενοι μᾶλλον αὐτὸν, ὡς ἔχοιεν ἀπαγγέλλειν ἑτέροις, ἢ βελτίους γενέσθαι, καὶ βραχύ τι ἀκοῦσαι λέγοντος 11). ἐδόκει γὰρ ἱκανὸς εἶναι λοιδορῆσαι, καὶ τοῖς ἐρωτῶσιν ἀποκρίνεσθαι πρὸς ἔπος. ὥσπερ οὖν τοῦ Ποντικοῦ μέλιτος ἀπογεύεσθαι ἐπι-

7) βλέπουσι, ob sequentes indicatiuos.

8) post ἑωρακότες addit Casaubonus εἰσὶ, sine causa; nam a communi repetitur ἴδωσιν.

9) πρὸς αὐτὸν ἀπὸ τῆς ἰωνίας] sic recte Veneta, quomodo etiam in codice Morelli fuit, qui ex eodem profert etiam hanc lectionem: τῶν δὲ ἄλλων οἱ μακρόθεν. μάλιστα. ed. Morelli omittit ἀπὸ τῆς.

10) post οὗτοι δὲ add. Mor. ἀπὸ, quod Casaubonus delet, et Veneta omittit.

11) sic restituo luxata verba: ἑτέροις, καὶ βραχύ τι ἀκοῦσαι λέγοντος ἢ βελτίους γενέσθαι.

ἐπιχειροῦσιν οἱ ἄπειροι, γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν δυσχεράναντες, ὅτι πικρόν ἐστι καὶ ἀηδές· οὕτω καὶ τοῦ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην· ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευγον. καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων· αὐτοὶ δὲ ἐφοβοῦντο καὶ ἀνεχώρουν. καὶ εἰ μὲν ἔσκωπτέ τε καὶ ἔπαιεν, ὥσπερ εἰώθειν ἐνίοτε[12]), ὑπερφυῶς ἔχαιρον· ἀνατειναμένου δὲ καὶ σπουδάσαντος, οὐχ ὑπέμενον τὴν παῤῥησίαν. καθάπερ οἶμαι τὰ παιδία προσπαίζοντα ἥδεται τοῖς γενναίοις κυσίν· ἐπειδὴ δὲ χαλεπήνῃ καὶ ὑλάξῃ μεῖζον, ἐξεπλάγη, καὶ τῷ δέει τέθνηκεν· οὕτω καὶ τότε ἐκεῖνος ἐποίει ταυτὰ[13]), οὐδὲν μεταστρεφόμενος, οὐδὲ φροντίζων, εἴτε ἐπαινοίη τις αὐτὸν, εἴτε καὶ ψέγοι τῶν παρόντων· οὐδὲ εἰ τῶν πλουσίων τε καὶ ἐνδόξων, ἢ στρατηγὸς, ἢ δυνάστης διαλέγοιτο προσελθὼν, ἢ τῶν πάνυ φαύλων τε καὶ πενήτων· ἀλλὰ τῶν μὲν τοιούτων ἠνείχετο[14]) ληρούντων ἐνίοτε· τοὺς δὲ σεμνοὺς εἶναι βουλομένους, καὶ μέγα φρονοῦντας ἐπ' αὐτοῖς διὰ πλοῦτον, ἢ γένος, καὶ ἄλλην τινὰ δύναμιν, τούτους μάλιστα ἐπίεζε, καὶ ἐκόλαζε πάντα τρόπον. τινὲς μὲν οὖν αὐτὸν ἐθαύμαζον ὡς σοφώτατον πάντων· τισὶ δὲ μαίνεσθαι ἐδόκει· πολλοὶ δὲ κατεφρόνουν ὡς πτωχοῦ τε καὶ οὐδενὸς ἀξίου· τινὲς δὲ ἐλοιδόρουν· οἱ δὲ προπηλακίζειν ἐπεχείρουν, ὀστᾶ ῥιπτοῦντες πρὸ τῶν ποδῶν, ὥσπερ τοῖς κυσίν. οἱ δὲ καὶ τοῦ τρίβωνος ἥπτοντο προσιόντες· πολλοὶ δὲ οὐκ εἴων, ἀλλ' ἠγανάκτουν· καθάπερ Ὅμηρός φησι τὸν Ὀδυσσέα προσπαίζειν τοὺς μνηστῆρας, κἀκεῖνον

πρὸς

12) f. καὶ ἔπαιζεν, ὥσπερ εἰώθει γ' ἐνίοτε.

13) ἐποίει ταυτὰ] h. e. *latrabat et saeuiebat.* Casaubonus hic errore mentis laqueos in semet nexuit, sed facillime illos dissoluendos. caue, eum audias. In Veneta et in margine Mor. est μετατρεπόμενος, quod malim.

14) κατεφρόνει margo Morell.

45. πρὸς ὀλίγας ἡμέρας ἐνεγκεῖν τὴν ἀκολασίαν αὐτῶν καὶ τὴν ὕβριν. ὁ δὲ ὅμοιος ἦν ἐν ἅπαντι· τῷ ὄντι γὰρ ἐῴκει βασιλεῖ, καὶ δεσπότῃ, πτωχοῦ στολὴν ἔχοντι. κἄπειτα ἐν ἀνδραπόδοις τε καὶ δούλοις αὐτοῦ στρεφομένου [15]) τρυφῶσι καὶ ἀγνοοῦσιν, ὅστις ἐστὶ, καὶ ῥᾳδίως φέροντα μεθύοντας ἀνθρώπους καὶ μαινομένους ὑπὸ ἀγνοίας καὶ ἀμαθίας, ὅμως δὲ οἵ τε ἀθλοθέται τῶν Ἰσθμίων καὶ τῶν ἄλλων, ὅσοι ἔντιμοι καὶ δυνατοὶ, σφόδρα ἠποροῦντο καὶ συνεστέλλοντο, κατ᾿ ἐκεῖνον ὁπότε γένοιντο [16])· καὶ πάντες οὗτοι σιγῇ παρῄεσαν, ὑποβλέποντες αὐτόν. ἐπεὶ δὲ καὶ ἐστεφανώσατο τῆς πίτυος, πέμψαντες οἱ Κορίνθιοι τῶν ὑπηρετῶν τινας ἐκέλευον ἀποθέσθαι τὸν στέφανον, καὶ μηδὲν παράνομον ποιεῖν. ὁ δὲ ἤρετο αὐτοὺς, διὰ τί παράνομόν ἐστιν αὐτὸν ἐστεφανῶσθαι τῆς πίτυος, ἄλλους δὲ οὐ παράνομον. εἶπεν οὖν τις αὐτῶν, ὅτι οὐ νενίκηκας, ὦ Διόγενες. ὁ δὲ, πολλούς γε, εἶπεν, ἀνταγωνιστὰς καὶ μεγάλους, οὐχ οἷα ταῦτά ἐστι τὰ ἀνδράποδα, τανῦν ἐνταῦθα παλαίοντα καὶ δισκεύοντα καὶ τρέχοντα· τῷ παντὶ δε χαλεπωτέρους, πενίαν καὶ φυγὴν καὶ ἀδοξίαν· ἔτι δὲ, ὀργήν τε καὶ λύπην, καὶ ἐπιθυμίαν, καὶ φόβον, καὶ τὸ πάντων ἀμαχώτατον ἢ καὶ δυσμαχώτατον θηρίον, ὕπουλον καὶ μαλθακὸν, ἡδονήν· ᾗ οὐδεὶς οὔτε τῶν Ἑλλήνων, οὔτε τῶν βαρβάρων ἄξιος [17]) μάχεσθαι καὶ περιεῖναι τῇ ψυχῇ, κρατήσας· ἀλλὰ πάντες ἥττηνται καὶ ἀπειρήκασι πρὸς τὸν ἀγῶνα τοῦτον [18])· Πέρσαι καὶ Μῆδοι, καὶ Σύροι, καὶ Μακεδόνες, καὶ Ἀθηναῖοι,

15) στρεφομένῳ et φέροντι.

16) γένοιντο] sic interpres et vir doctus in Veneta mea. γένοιτο t. Morell. et Ven.

17) ἄξιος] forte hic deest ἐφαίνετο. Anglus pro illo verbum ἄξιοι substituit.

18) τοῦτον] sic recte correxit vir doctus. Ven. et Mor. dant τοῦτο.

καὶ Λακεδαιμόνιοι, πλὴν ἐμοῦ. πότερον οὖν ὑμῖν ἄξιος δοκῶ τῆς πίτυος, ἢ λαβόντες αὐτὴν δώσετε τῷ πλεῖστον κρεῶν γέμοντι; ταῦτα οὖν ἀπαγγέλλετε τοῖς πέμψασι, καὶ ὅτι αὐτοὶ παρανομοῦσιν. οὐ γὰρ νικήσαντες οὐδένα ἀγῶνα περιέρχονται στεφάνους ἔχοντες, καὶ ὅτι ἐνδοξότερα πεποίηκε τὰ Ἴσθμια, κατακρατήσας [19]) αὐτὸς τὸν στέφανον, καὶ ὅτι οὐ τοῖς ἀνθρώποις, ἀλλὰ ταῖς αἰξὶ δηλαδὴ περιμάχητον αὐτὸν εἶναι δεῖ [20]). μετὰ δὲ τοῦτο ἰδών τινα ἐκ τοῦ σταδίου βαδίζοντα μετὰ πολλοῦ πλήθους, καὶ μηδὲ ἐπιβαίνοντα τῆς γῆς, ἀλλὰ ὑψηλὸν φερόμενον ὑπὸ τοῦ ὄχλου, τοὺς δέ τινας ἐπακολουθοῦντας καὶ βοῶντας, ἄλλους δὲ πηδῶντας ὑπὸ χαρᾶς καὶ τὰς χεῖρας αἴροντας εἰς οὐρανόν· τοὺς δέ, ἐπιβάλλοντας αὐτῷ στεφάνους καὶ ταινίας, ὅτε ἠδυνήθη προσελθὼν [21]) ἤρετο· τίς ἐστιν ὁ θόρυβος ὁ περὶ αὐτόν, καὶ τί συνέβη; ὁ δὲ ἔφη· νικῶμεν, Διόγενες, τῶν ἀνδρῶν τὸ στάδιον. τοῦτο δέ, τί ἐστιν; εἶπεν· οὐδὲ γὰρ φρονιμώτερος γέγονας οὐδὲ μικρόν, ὅτι ἔφθασας τοὺς ἐν αὐτῷ τρέχοντας· οὐδὲ σωφρονέστερος νῦν, ἢ πρότερον, οὐδὲ δειλίᾳ ἥττονι [22]), οὐδ' ἔλαττον ἀλγεῖς, οὐδ' ἐλαττόνων δεήσει [23]) τὸ λοιπόν, οὐδὲ ἀλυπότερον βιώσῃ. μὰ Δία, εἶπεν, ἀλλὰ τῶν ἄλλων Ἑλλήνων ταχυτατός [24]) εἰμι πάντων. ἀλλ'

οὐ

19) κατακρατήσας] *quod ipse sibi vi sua peperisset.*

20) δεῖ abest a Veneta, et recte, nam ὅτι, paulo ante, redundat, et infinitiuus hic pendet ab ἔφη. aiebat coronam ex apio dignam esse, de qua inter se contendant, non homines, sed caprae.

21) προσελθὼν] sic etiam Veneta, sed Morellus, vt melius, e codice regio profert προσελθεῖν.

22) post δειλίᾳ ἥττονι deest σύνει *consuescis*, vel χρῇ *vteris.* δειλὸς ἧττον margo Morell.

23) δεήσει] videtur attice esse pro δεήσῃ *egebis.*

24) malim ταχύτερος ob insequentia.

οὐ[25]) τῶν λαγωῶν, ἔφη ὁ Διογένης, ἀλλ' οὐδὲ τῶν ἐλάφων· καίτοι ταῦτα τὰ θηρία ἁπάντων ἐστὶ τάχιστα καὶ δειλότατα· καὶ τοὺς ἀνθρώπους καὶ τοὺς ἀετοὺς καὶ κύνας φοβεῖται, καὶ ζῇ βίον ἄθλιον. οὐκ οἶσθα, ἔφη, ὅτι τὸ τάχος δειλίας σημεῖον ἐστί; τοῖς γὰρ αὐτοῖς ζώοις συμβέβηκε ταχίστοις τε εἶναι καὶ ἀνανδροτάτοις. ὁ γοῦν Ἡρακλῆς, διὰ τὸ βραδύτατος εἶναι πολλῶν, καὶ μὴ δύνασθαι κατὰ πόδας αἱρεῖν τοὺς στρατηγοὺς[26]), διὰ τοῦτο ἐφόρει τόξα, καὶ τούτοις ἐχρῆτο ἐπὶ τοὺς φεύγοντας. καὶ ὅς· ἀλλὰ τὸν Ἀχιλλέα, ἔφη, ταχὺν ὄντα, φησὶν ὁ ποιητὴς ἀνδρειότατον εἶναι. καὶ πῶς, ἔφη, οἶσθα, ὅτι ταχὺς ἦν ὁ Ἀχιλλεύς; τὸν μὲν γὰρ Ἕκτορα ἑλεῖν οὐκ ἐδύνατο, κατὰ τὴν ἡμέραν ὅλην διώκων. οὐκ αἰσχύνῃ, ἔφη, ἐπὶ πράγματι σεμνυνόμενος, ἐν ᾧ τῶν φαυλοτάτων θηρίων χείρων πέφυκας; οἶμαι γάρ σε μηδὲ ἀλώπεκα δύνασθαι φθάσαι. πόσον δέ τι καὶ ἔφθασας; παρ' ὀλίγον, εἶπεν, ὦ Διόγενες. τοῦτο γάρτοι καὶ τὸ θαυμαστὸν ἐγένετο τῆς νίκης. ὥστε, ἔφη, παρ' ἓν μόνον βῆμα εὐδαίμων γέγονας. ἅπαντες γὰρ οἱ κράτιστοι ἦμεν[27]) οἱ τρέχοντες. οἱ δὲ κόρυδοι, πόσῳ τινὶ θᾶττον ὑμῶν διέρχονται τὸ στάδιον; πτηνοὶ γάρ εἰσιν, εἶπεν. οὐκοῦν, ἔφη ὁ Διογένης, εἴπερ τὸ ταχύτατον εἶναι κράτιστόν ἐστι, πολὺ βέλτιον κόρυδον εἶναι σχεδὸν, ἢ ἄνθρωπον· ὥστε τὰς ἀηδόνας οὐδέν τι δεῖν οἰκτείρειν, οὐδὲ τοὺς ἔποπας,

25) οὐ] sic codex regius, vir doctus in Veneta mea, et interpres. οὖν Ven. et Mor.

26) στρατηγοὺς suspectum. cur enim *imperatores* magis, quam *milites*? et cur sic nude *imperatores*, sine *hostium*?

27) bene habet hic loci et lectio et ordo verborum. *Ergo vnus modo gradus, quo tu praeuenisti reliquos, in causa fuit, cur tu beatus esses, vel fieres?* respondet victor Diogeni: *noli hoc mirari, nam nos omnes, quotquot pedum cursu contendebamus, eramus fortissimi et lectissimi.*

ὅτι ὄρνιθες ἐγένοντο ἐξ ἀνθρώπων, ὡς ὑπὸ τοῦ μύθου λέλεκται. ἀλλ' ἐγώ, ἔφη, ἄνθρωπος ὤν, ἀνθρώπων ταχύτατός εἰμι. τί δὲ οὐχὶ καὶ ἐν τοῖς μύρμηξιν, εἶπεν, εἰκὸς, ἄλλον ἄλλου ταχύτερον εἶναι; μὴ οὖν θαυμάζουσιν αὐτόν. ἢ οὐ δοκεῖ σοι γελοῖον εἶναι, εἴ τις ἐθαύμαζε μύρμηκα ἐπὶ τάχει; τί δαί; εἰ χωλοὶ πάντες ἦσαν οἱ τρέχοντες, ἐχρῆν γε μέγα φρονεῖν, ὅτι χωλοὺς οὐ χωλὸς ἔφθης; τοιαῦτα δὲ πρὸς τὸν ἄνθρωπον διαλεγόμενος, πολλοὺς ἐποίησε τῶν παρόντων καταφρονῆσαι τοῦ πράγματος, κἀκεῖνον αὐτὸν λυπούμενον ἀπελθεῖν καὶ πολὺ ταπεινότερον. τοῦτο δὲ οὐ μικρὸν [28]) παρεῖχε τοῖς ἀνθρώποις, ὁπότ' ἴδοι τινὰ μάτην ἐπαιρόμενον καὶ διὰ πρᾶγμα οὐδενὸς ἄξιον ἔξω τοῦ φρονεῖν, συστείλας ἐπὶ βραχὺ, καὶ ἀφελὼν μικρόν τι τῆς ἀνοίας, ὥσπερ οἱ τὰ πεφυσημένα καὶ οἰδοῦντα νύξαντες ἢ στίξαντες [29]). ἐν δὲ τούτῳ θεασάμενος ἵππους ἐν τῷ αὐτῷ δεδεμένους, ἔπειτα μαχομένους τε καὶ λακτίζοντας αὐτοὺς, καὶ πολὺν ὄχλον περιεστῶτας καὶ θεωμένους, ἕως καμὼν ὁ ἕτερος ἔφυγεν ἀποῤῥήξας· προσελθὼν ἐστεφάνωσε τὸν μένοντα, καὶ ἀνεκήρυττεν ὡς Ἰσθμιονίκην, ὅτι λακτίζων ἐνίκησεν. ἐπὶ τούτῳ γέλως καὶ θόρυβος ἦν ἁπάντων· καὶ τὸν Διογένη πολὺ [30]) ἐθαύμαζον, καὶ τῶν ἀθλητῶν κατεγέλων, καί τινας ἀπελθεῖν φασὶν οὐκ ἰδόντας αὐτοὺς· ὅσοι κακῶς ἐσκήνουν, καὶ τούτου [31]) ἠπόρουν.

28) οὐ μικρὸν] subaudi εἰς ὠφέλειαν. hoc praestitit hominibus, non mediocre, ad vtilitatem.

29) post στίξαντες aut in hac regione deesse videtur aliquid.

30) πολὺ] l. πολλοί.

31) τούτου] f. τόπου.

ΔΙΟ-

ΔΙΟΓΕΝΗΣ, Η ΠΕΡΙ ΟΙΚΕΤΩΝ.

ΛΟΓΟΣ Ι'.

Ἀπιὼν ποτὲ Διογένης ἐκ Κορίνθου Ἀθήναζε, συνέβαλε κατὰ τὴν ὁδὸν ἑνὶ τῶν γνωρίμων, καὶ ἤρετο, ποῖ ἄπεισιν; οὐχ ὥσπερ οἱ πολλοὶ τὰ τοιαῦτα ἐπερωτῶσιν 1) ἐπιδεικνύμενοι, ὅτι οὐκ ἀμελὲς εἰδέναι αὐτοῖς περὶ 2) τῶν φίλων· ἔπειτα ἀκούσαντες μόνον ἀπηλλάγησαν· ἀλλ᾿ ὥσπερ οἱ ἰατροὶ ἀνακρίνουσι τοὺς ἀσθενοῦντας, ὅ, τι μέλλουσι ποιεῖν, ἕνεκα τοῦ συμβουλεῦσαι, καὶ τὰ μὲν κελεύουσι, τὰ δὲ ἀπαγορεύουσιν· οὕτως ἀνέκρινεν ὁ Διογένης τὸν ἄνθρωπον, ὅ, τι πράττοιεν 3); καὶ ὃς ἔφη· ὦ Διόγενες, πορεύομαι εἰς Δελφοὺς τῷ θεῷ χρησόμενος· μέλλων δὲ διὰ Βοιωτῶν ἀπιέναι· ὁ γὰρ παῖς με 4) ὁ μετ᾿ ἐμοῦ 5) ἀπέδρα· νῦν ἐπὶ Κορίνθου ἄπειμι· ἴσως γὰρ ἂν εὕροιμι καὶ τὸν παῖδα. καὶ ὁ Διογένης εἶπεν, ὥσπερ εἰώθει, σπουδάσας· ἔπειτα, καταγέλαστε, ἐπιχειρεῖς θεῷ χρῆσθαι, οὐ δυνάμενος ἀνδραπόδῳ χρήσασθαι; ἢ οὐ 6) δοκεῖ σοι τοῦτο ἐκείνου ἧττον χαλεπὸν, καὶ ἐλάττονα ἔχειν κίνδυνον, τοῖς οὐ δυναμένοις χρήσασθαι ὀρθῶς; τί δὲ καὶ βουλόμενος, εἶπε, ζητεῖς τὸν παῖδα, ἢ οὐκ ἦν πονηρός; πάντων γε, ἔφη, μάλιστα. μηδὲν γὰρ ὑπ᾿ ἐμοῦ ἀδικούμενος, πρὸς δὲ, καὶ γενο-

1) ἐπερωτῶσι ab ἐπερωτάω. Mor. et Ven. dant ἐπερετῶσιν.
2) foret mollior compositio ἀμελὲς αὐτοῖς εἰδέναι περί.
3) f. πράττοι.
4) με] sic recte dat Veneta, μου Morell.
5) Morellus e regio post ὁ μετ᾿ ἐμοῦ addit πορευόμενος, quod non valde puto necessarium esse.
6) οὐ] f. οὖν. τοῦτο] deo recte uti. ἐκείνου] mancipio recte uti.

γενόμενος[7]), ἡγεῖτο πονηρόν. εἰ γὰρ ἀγαθὸν ἡγεῖτο, οὐκ ἄν ποτε ἀπέλιπεν. ἴσως, ὦ Διόγενες, κακὸς αὐτὸς ὤν. ἔπειτα ἐκεῖνος μὲν, ἔφη, σὲ πονηρὸν ἡγούμενος ἔφυγεν, ἵνα μὴ βλάπτηται ὑπὸ σοῦ. σὺ δὲ ἐκεῖνον πονηρὸν εἶναι λέγων, ζητεῖς; οὐ γὰρ ἄδηλον, ὅτι βλάπτῃ καὶ σὺ ὑπ' αὐτοῦ βουλόμενος. ἢ οὐχὶ κακοὶ ἄνθρωποι [8]) βλαβεροί εἰσι τοῖς ἔχουσι καὶ τοῖς χρωμένοις, ἐάν τε Φρύγες ὦσιν, ἐάν τε Ἀθηναῖοι, ἐάν τε ἐλεύθεροι, ἐάν τε δοῦλοι; καίτοι κύνα μὲν οὐδεὶς, κακὸν ἡγούμενος, ζητεῖ ἀποδράντα. οἱ δὲ καὶ ἐκβάλλουσιν, ἐὰν ἐπανέλθῃ. ἀνθρώπου δὲ πονηροῦ ἀπαλλαγέντες, οὐκ ἀγαπῶσιν, ἀλλὰ πολλὰ πράγματα ἔχουσι, καὶ τοῖς ξένοις ἐπιστέλλοντες, καὶ αὐτοὶ ἀποδημοῦντες, καὶ χρήματα ἀναλίσκοντες, ὅπως λάβωσιν αὐτούς. καὶ πότερον οἴει πλείους ὑπὸ κυνῶν βλαβῆναι πονηρῶν, ἢ ὑπ' ἀνθρώπων; ὑπὸ μέν γε κυνῶν φαύλων ἕνα τὸν Ἀκταίωνα φασὶν ἀπολέσθαι, καὶ τούτων μανέντων· ὑπὸ δὲ ἀνθρώπων φαύλων οὐδὲ εἰπεῖν ἐστιν ὅσοι ἀπολώλασι, καὶ ἰδιῶται καὶ βασιλεῖς, καὶ πόλεις ὅλαι· οἱ μὲν ὑπὸ οἰκετῶν, οἱ δὲ ὑπὸ στρατιωτῶν καὶ δορυφόρων· οἱ δὲ ὑπὸ φίλων τινῶν καλουμένων· οἱ δέ τινες καὶ ὑπὸ υἱέων καὶ ἀδελφῶν καὶ γυναικῶν. ἆρα οὖν οὐ μέγα κέρδος, ὅτῳ ἂν συμβῇ, ἀπαλλαγῆναι κακοῦ ἀνδρός;

7) πρὸς δὲ καὶ γενόμενος] non improbabile est Casauboni πρὸς δὲ καὶ ἀνθ' υἱοῦ γενόμενος, *sed et pro filio habitus.* ἔφυγεν ὅμως. cui respondet Diogenes: οὗτος δηλονότι σε ἡγεῖτο πονηρόν. Morellus e codice regio aliud nihil praeterquam καὶ εὖ γενόμενος. sed graecum non est εὖ γενέσθαι pro εὖ πάσχειν. videtur Dio eiusmodi quid reliquisse; nam ab integrioribus libris ipsa verborum veritas erit exspectanda: πρὸς δὲ καὶ εὖ πάσχων, ἀπέδρα. subiicit Diogenes: καὶ γάρ σε, κρείττων γενόμενος, ἡγεῖτο πονηρόν.

8) f. ἢ οὐχ οἱ κακοὶ ἄνθρ.

ἀνδρός; ἀλλὰ δεῖ τοῦτον ζητεῖν τε καὶ ἐπιδιώκειν; ὥσπερ εἴ τις ἀπαλλαγὲν νόσημα ἐζήτει, καὶ ἐβούλετο ἀναλαβεῖν εἰς τὸ σῶμα; καὶ ὁ ἄνθρωπος εἶπε· ταῦτα μὲν ὀρθῶς εἶπας, ὦ Διόγενες· ἀλλὰ χαλεπόν ἐστιν ἀδικηθέντα μὴ τιμωρήσασθαι. ἐκεῖνος γὰρ οὐδὲν ὑπ' ἐμοῦ παθὼν, ὡς ὁρᾷς, ἐτόλμησεν ἀπολιπεῖν με· ὃς ἔργον μὲν παρ' ἐμοὶ οὐδὲν ἔπραττεν, ὅσα δοῦλοι ἐργάζονται· ἀργὸς δὲ ὢν ἔνδον ἐτρέφετο, οὐδὲν ποιῶν ἢ ἐμοὶ ἀκολουθῶν. ἔπειτα, ἔφη, οὐδὲν ἠδίκεις αὐτὸν ἀργὸν ὄντα καὶ ἀμαθῆ τρέφων, καὶ ποιῶν ὅτι κάκιστα[9]); ἡ γὰρ ἀργία καὶ τὸ σχολὴν ἄγειν ἀπόλλυσι πάντων μάλιστα τοὺς ἀνοήτους ἀνθρώπους. οὐκοῦν ὀρθῶς συνῆκεν ὑπὸ σοῦ διαφθειρόμενος, καὶ ἀπέδρα δικαίως, ἵν' ἐργάζηται δηλονότι, καὶ μὴ σχολάζων τε καὶ καθεύδων καὶ ἐσθίων, χείρων ἀεὶ γίγνηται. σὺ δὲ ἴσως οἴει μικρὸν ἀδίκημα εἶναι, ὃ[10]) ἄνθρωπον ποιεῖ πονηρότερον; ἀλλ' οὐχὶ τοῦτον δεῖ[11]) πάντων μάλιστα φεύγειν ὡς ἔχθιστον καὶ ἐπιβουλότατον; καὶ ὅς, τί οὖν ποιήσω; οὐ γὰρ ἐστί μοι ἄλλος οἰκέτης. τί δαὶ[12]), ἔφη, ποιήσεις, ὅταν ἄλλα ὑποδήματα μὴ ἔχῃς, τὰ δὲ ὄντα ἐνοχλῇ, καὶ διακόπτῃ τοὺς πόδας; ἆρα οὐχ ὑπολυσάμενος ὅτι τάχιστα ἂν[13]) ἀνυπόδητος βαδίσῃς; ἀλλὰ καὶ ἂν αὐτόματον λυθῇ, πάλιν ἐπιδεῖς τε καὶ σφίγγεις τὸν πόδα; καὶ μὲν[14]) δὴ ὥσπερ οἱ ἀνυπόδητοι ἐνίοτε ῥᾷον βαδίζουσι τῶν φαύλως ὑποδεδεμένων· οὕτω πολλοὶ χωρὶς οἰκε-

9) f. ὅτι κάκιστον *quam pessimum.*
10) ὃ] f. ὅς. *tibi leuis videtur eius iniuria esse, qui hominem deprauat.*
11) δεῖν: pendet ab *οἴει.*
12) δαὶ] vir doctus in Veneta mea δὲ adscripsit; haud sequor.
13) ἂν superfluum tolle.
14) μὲν] Morellus e codice regio huius loco profert γὰρ, quod melius conuenit.

οἰκετῶν ῥᾷον ζῶσι καὶ ἀλυπότερον τῶν πολλοὺς οἰκέτας ἐχόντων. οὐχ ὁρᾷς τοὺς πλουσίους, πόσα πράγματα ἔχουσιν, οἱ μὲν θεραπεύοντες τοὺς νοσοῦντας τῶν οἰκετῶν, καὶ δεόμενοι ἰατρῶν καὶ τῶν ἄλλων τῶν παραμενόντων 15). καὶ γὰρ ὡς τοπολὺ πέφυκεν ἀμελεῖν αὐτῶν τε 16) τὰ ἀνδράποδα, καὶ οὐ προσέχειν ἐν ταῖς νόσοις· τὸ μέν τι 17) ὑπὸ ἀκρασίας, τὸ δὲ ἡγούμενα 18), εἴ τι πάθοι, τοὺς δεσπότας ζημιώσεσθαι, οὐχ αὐτούς· οἱ δὲ 19) μαστιγοῦντες ὁσημέραι, ἕτεροι δὲ δεσμοῦντες, ἄλλοι διώκοντες φεύγοντας. καὶ γάρ τοι οὔτε ἀποδημῆσαι δύνανται ῥᾳδίως, οὐδὲ ὁπόταν δοκῇ αὐτοῖς, οὔτε μένοντες σχολὴν ἄγουσι. τὸ δὲ πάντων γελοιότατον, ἐνίοτε ἀποροῦσι διακόνων, μᾶλλον τῶν πενήτων τε καὶ οὐκ ἐχόντων οὐδένα οἰκέτην. καὶ ἔστι τὸ πρᾶγμα ὅμοιον τοῖς ἰούλοις· οἶμαι γάρ σε εἰδέναι· καὶ γὰρ ἐκεῖνοι μυρίους πόδας ἔχοντες, βραδύτατοί εἰσι τῶν ἑρπετῶν. οὐκ οἶσθα, ὅτι τὸ σῶμα ἡ φύσις ἑκάστῳ ἐποίησεν ἱκανὸν εἶναι πρὸς τὴν ἑαυτοῦ θεραπείαν; πόδας μὲν, ὥστε ἀπιέναι, χεῖρας δὲ, ὥστε ἐργάζεσθαι, καὶ τοῦ ἄλλου σώματος ἐπιμελεῖσθαι, ὀφθαλμοὺς δὲ, ὥστε ὁρᾷν, ὦτα δὲ, ὥστε ἀκούειν. πρὸς δὲ τούτοις σύμμετρον ἐποίησε τὴν γαστέρα, καὶ οὐ δεῖται πλείονος τροφῆς ὁ ἄνθρωπος, ἢ δυνατός ἐστιν αὐτῷ πορίζειν. ἀλλὰ τοῦτο μέτρον ἑκάστῳ ἱκανώτατον καὶ ἄριστον καὶ ὑγιέστατον. ὥσπερ οὖν ἡ χεὶρ ἀσθενεστέρα ἐστὶν, ἡ πλείονας δακτύλους ἔχουσα τῶν φύσει γιγνομένων· καὶ ὁ τοιοῦτος

ἄνθρω-

15) *παραμενόντων*] sic recte margo Morell. possit quoque *παραμενούντων* legi. *παραμελλούντων* Ven. et textum Morell.

16) *τε*] f. *γε*. in Veneta est *αὐτῶν τε καὶ ἀνδράποδα.*

17) *τὸ μέν τι*] sic recte Veneta, *τὸ μέν τοι* Mor.

18) f. *τὸ δὲ καὶ ἡγούμενα.*

19) *οἱ δὲ*] hic deest aliquid, quod regat illos nominatiuos *μαστιγοῦντες*, e. c. *οὐδέποτε παύονται*, vel tale quid.

ἄνθρωπος ἀνάπηρος καλεῖται τρόπον τινὰ, ᾧ ἂν ἔξωθεν προσφυῇ δάκτυλος περιττός· καὶ μηδὲ τοῖς ἄλλοις χρῆσθαι δύνηται κατὰ τρόπον· οὕτως ὅταν πολλοὶ πόδες καὶ πολλαὶ χεῖρες, καὶ πολλαὶ γαστέρες ἀνθρώπων τινὶ προσγένωνται, μὰ Δία οὐκ ἰσχυρότερος οὗτος γίνεται, καὶ πρὸς οὐδὲν μᾶλλον τυγχάνει ὧν, ὧν[20]) δεῖ τυγχάνειν αὐτόν· ἀλλὰ πολὺ ἔλαττον καὶ δυσχερέστερον. σὺ δὲ, ἔφη, νῦν μὲν ἑνὶ ἀνθρώπῳ ζητεῖς τροφὴν, τότε δὲ δυσὶ, καὶ νῦν μὲν ἕνα νοσηλεύεις[21]), ἐὰν ἄρα συμβῇ τις ἀσθένεια, τότε δὲ ἀνάγκη θεραπεύειν κἀκεῖνον νοσοῦντα· καὶ νῦν μὲν ὅταν αὐτὸς ᾖς ἐν οἰκίᾳ, οὐ φροντίζεις, μή τι αὐτὸς ὑφέλῃ, οὐδὲ ὅταν καθεύδῃς, μὴ ἐγρηγορὼς ὁ παῖς κακόν τι ἐργάσηται. πάντα δὴ ταῦτα δεῖ σε σκοπεῖν. γυναῖκα τοίνυν εἰ εἶχες, τότε μὲν οὐκ ἂν ἠξίου σε θεραπεύειν, ὁρῶσα οἰκέτην ἔνδον τρεφόμενον, καὶ τὰ μὲν ἐκείνῳ μαχομένη, τὰ δὲ αὐτὴ τρυφῶσα, ἐνοχλεῖν σε ἔμελλεν· νῦν δὲ ἧττον μὲν αὐτὴ ἀλγήσει, μᾶλλον δὲ σοῦ ἐπιμελήσεται. καὶ μὴν ὅπου οἰκέτης ἐστὶν, εὐθὺς διαφθείρονται οἱ γιγνόμενοι παῖδες, καὶ ἀργότεροι γίνονται καὶ ὑπερηφανώτεροι, ὄντος μὲν τοῦ διακονοῦντος, ἔχοντες δὲ οὗ καταφρονῶσιν. ὅπου δ' ἂν αὐτοὶ[22]) ὦσι, πολὺ ἀνδρειότεροι καὶ ἰσχυρότεροι, καὶ τῶν πατέρων εὐθὺς ἐξαρχῆς κήδεσθαι μανθάνοντες. ἀλλ', ὦ Διόγενες, πένης

20) Veneta locum sic exhibet: γίνεται· πρὸς οὐδὲν μᾶλλον τυγχάνει ὧν αὐτῶν. vnde sic reficerem locum: γίνεται πρὸς οὐδὲν, οὐδὲ μᾶλλον τυγχάνει τῶν αὐτῶν. *potitur iisdem,* quibus erat potiturus, si artus simplices habuisset.

21) νοσηλεύεις ob praecedens ζητεῖς. Mor. νοσηλεύσεις.

22) recte μὴ, quod Morell. post αὐτοὶ add. ab ed. Veneta et a codice regio abest. *vbi* autem *soli* sunt liberi in domo, ad inseruiendum patri. αὐτοὶ idem est atque μόνοι, quod vir doctus in Ven. mea, et margo Mor. inseruerunt inter αὐτοὶ et ὦσι.

πένης τέ εἰμι, καὶ εἰ μὴ συμφέροι κεκτῆσθαι τὸν οἰκέτην, ἀποδώσομαι [23]) αὐτόν. ἔπειτα, ἔφη, οὐκ αἰσχύνῃ; πρῶτον μὲν ἐξαπατῶν τὸν ἄνθρωπον, πονηρὸν αὐτῷ ἀποδιδόμενος; ἢ γὰρ οὐκ ἐρεῖς τἀληθές, ἢ οὐ δυνήσῃ ἀποδόσθαι αὐτόν. πρὸς δὲ τούτοις, ἐάν τις ἱμάτιον ἀποδῶται [24]) κίβδηλον, ἢ σκεῦος ἢ κτῆνος νοσοῦν τε καὶ ἄχρηστον, ἀνάγκη αὐτὸ ἀπολαμβάνειν. ὥστε οὐδὲν ἔσται σοὶ πλέον. εἰ δὲ καὶ δυνήσῃ ἐξαπατῆσαί τινα, κἀκεῖνος οὐκ αἰσθήσεται τοῦ ἀνθρώπου τῆς πονηρίας, τὸ ἀργύριον οὐ δέδοικας; ἴσως μὲν γὰρ ἄλλον ὠνήσῃ φαυλότερον, ἐὰν δριμυτέρου τύχῃς ἢ κατά σε τοῦ ἀποδιδομένου. τυχὸν δὲ εἰς ἄλλο τι χρήσῃ λαβὼν ἐφ' οὗ [25]) βλαβήσῃ. οὐ γὰρ δὴ ἀεί ποτε τὸ ἀργύριον ὠφελεῖ τοὺς κτησαμένους· ἀλλὰ πολλῷ πλείονας βλάβας καὶ πλείω κακὰ πεπόνθασιν ἄνθρωποι ὑπὸ ἀργυρίου, ἢ ὑπὸ πενίας, ἄλλως τε ἀνόητοι ὄντες. οὐκ ἐκεῖνο οὖν πρότερον κτήσασθαι σπουδάσεις, ὡς δυνήσῃ ὑπὸ παντὸς ὠφελεῖσθαι, καὶ πᾶσι τοῖς σαυτοῦ πράγμασι χρήσασθαι καλῶς· ἀλλὰ πρὸ τοῦ φρονῆσαι ζητήσεις ἀργύριον, ἢ γῆν, ἢ ἀνδράποδα, ἢ ζεῦγος, ἢ πλοῖον, ἢ οἰκίαν, οἷς συνδουλεύσεις, καὶ λυπήσῃ δι' αὐτά, καὶ πολλὰ [26]) ποιήσεις μάτην, καὶ διατελέσεις ἅπαντα τὸν βίον φροντίζων ἐκείνων, ὀνήσῃ δὲ οὐδ' ὁτιοῦν ἀπ' αὐτῶν. οὐχ ὁρᾷς τὰ θηρία ταῦτα καὶ τὰ ὄρνεα, ὅσῳ ζῇ τῶν ἀνθρώπων ἀλυπότερον, πρὸς δὲ καὶ ἥδιον, καὶ μᾶλλον ὑγιαίνει, καὶ πλεῖον ἰσχύει, καὶ ζῇ χρόνον ἕκαστον αὐτῶν, ὅσον πλεῖστον δύναται; καίτοι οὔτε παῖδας ἔχοντα, οὔτε ἀνθρώπου διάνοιαν,

ἀλλ'

23) ἀποδώσομαι] sic recte Veneta, ἀποδώσωμαι Morell.

24) ἀποδῶται] sic dedi, nam in medio tantum vſurpatur hoc verbum, cum ſignificatu venditionis. ἀποδῶ Mor. et Ven.

25) aut ἀφ' οὗ leg. aut ὑφ' οὗ.

26) recte dat Veneta καὶ πολλά, Mor. omittit καὶ.

ἀλλ' ὅμως ἀντὶ πάντων αὐτοῖς τῶν ἄλλων κακῶν ὑπάρχει μέγιστον ἀγαθὸν, ὅτι ἀκτήμονά ἐστιν. ἀλλὰ δοκῶ μοι ἐάσειν, ὦ Διόγενες, τὸν οἰκέτην, ἐάνπερ μὴ ἀπὸ τύχης ἐμπέσῃ μοι. ναὶ μὰ Δία, εἶπεν ὁ Διογένης, ὥσπερ εἰ λέγοις· δάκνοντα, ἢ λακτίζοντα ἵππον, οὐκ ἂν ζητήσαιμι· ἐὰν μέντοι περιτύχω, προσέλθοιμ' ἂν, ὥστε δηχθῆναι 27). ταῦτα μὲν ἔασον, ἀλλὰ τῷ θεῷ διὰ τί με χρῆσθαι οὐκ ἐᾷς; ἐγὼ γὰρ ἀπηγόρευόν 28) σοι θεῷ χρῆσθαι, εἰ δύνασαι; οὐ τοῦτο ἔφην, ἀλλ' ὅτι χαλεπόν ἐστι, μᾶλλον δὲ ἀδύνατον χρῆσθαι ἢ θεῷ ἢ ἀνθρώπῳ 29), ἢ αὐτὸν αὐτῷ, μὴ ἐπιστάμενον· τὸ δὲ ἐπιχειρεῖν ἄνευ τοῦ ἐπίστασθαι, καὶ πάντων βλαβερώτατον· ἢ ὅστις οὐκ ἔστιν ἔμπειρος ἵππον χρήσεως, δοκεῖ σοι οὗτος χρῆσθαι ἂν ἵπποις; οὐκ ἔγωγε 30). εἰ δ' αὖ βιάζοιτο, κακὸν ἄν τι ἀπολαῦσαι πρότερον, ἢ ἀγαθόν; ἀληθῆ. τί δαὶ, ὅστις ἀγνοεῖ χρῆσιν κυνῶν, δυνατὸς ἂν εἴη χρῆσθαι; ἢ οὐ τό τινι χρῆσθαι, ὠφελεῖσθαί ἐστιν ἀπ' ἐκείνου; δοκεῖ μοι. οὐδεὶς οὖν τῶν βλαπτομένων ἀπό τινος χρῆται ἐκείνῳ, ὑφ' οὗ βλάπτεται; οὐ γάρ. οὐκοῦν καὶ ὁ κυσὶ πειρώμενος χρῆσθαι ἄνευ τοῦ ἐπίστασθαι, ζημιώσεται ἀπ' αὐτῶν; εἰκός γε. οὐκ ἄρα οὐδὲ χρήσεται αὐτοῖς, ἐπεὶ οὐκ ἔστι χρῆσις, ὅπου ζημία πρόσεστι. καὶ οὐ μόνον περὶ κυνῶν καὶ ἵππων ἔχει οὕτως· ἀλλὰ καὶ βοῶν καὶ ὀρνέων 31), καὶ ὃ μᾶλλον θαυμάσαις ἂν, οὐδὲ ὄνῳ

27) post δηχθῆναι Veneta recte add. ἢ λακτισθῆναι, quod Morellus etiam e codice regio affert; sed poterat ea opera supersedere, modo curasset a suis operis Venetam diligentius exprimi.

28) ἀπαγορεύω margo Morell.

29) χρῆσθαι ἢ θεῷ ἢ ἀνθρώπῳ] sic codex regius, interpres et Casaubonus. ἢ θεῷ desunt Morell. et Ven.

30) οὐκ ἔμοιγε sine dubio leg. est.

31) ὀρνέων] imo vero ὀρέων ab ὀρεὺς *mulus*, nisi si de gallinis, anseribus et similibus altilibus locutus est. v. p. 302, 6.

ὄνῳ ἢ προβατίῳ χρῆσθαι πάρεστι τοῖς ἀπείροις. ἢ οὐκ οἶσθα, τοὺς μέν τινας ὠφελημένους, τοὺς δὲ βλαβέντας, ἀπό τε προβατείας καὶ ὀνηλασίας; ἔγωγε. πότερον δι᾽ ἄλλο τι, ἢ δηλονότι ἀνάγκη τοὺς μὲν ἀπείρους ζημιοῦσθαι, τοὺς δὲ εἰδότας ὀνίνασθαι 32) καὶ ἀπὸ ὄνων καὶ ἀπὸ συῶν καὶ ἀπὸ χηνῶν, καὶ ἀπὸ ἄλλου ζώου παντός; ἔοικε. τί δαί, οὐκ ἐπὶ τοῖς σκεύεσιν ὁ αὐτὸς λόγος; ἀλλὰ κιθάρᾳ χρήσαιτο ἂν ὁ ἄμουσος, ἢ ἐπιχειρῶν οὐκ ἂν εἴη καταγέλαστος, πρὸς τῷ μηδὲν ἐργάζεσθαι, καὶ τὴν κιθάραν διαφθεῖραι 33) καὶ ἀπορρῆξαι τοὺς φθόγγους; τί δαί, εἴ τις αὐλοῖς, οὐκ ὢν αὐλητικός, ἐθέλῃ χρῆσθαι, καὶ παριὼν εἰς τὰ θέατρα αὐλεῖν, οὐκ αὐτός τε δώσει δίκην βαλλόμενος, καὶ τοὺς αὐλοὺς ἂν προσέτι συντρίψειεν; ὃς δ᾽ ἂν ἐπιχειρῇ πηδαλίῳ χρῆσθαι, οὐκ ἐπιστάμενος κυβερνᾶν, ἔστιν ὅπως οὐκ ἂν τάχιστα ἀνατρέψας τὴν ναῦν, αὐτόν τε ἀπολέσειε καὶ τοὺς ἐμπλέοντας; τί δαί, ἡ δόρατος ἡ χρῆσις ἢ ἀσπίδος συμφέρει τοῖς δειλοῖς καὶ ἀνεπιστήμοσιν; ἀλλ᾽ οὐκ ἂν ἀποβάλοιεν τῇ τοιαύτῃ πείρᾳ τῆς χρήσεως, οὐ τὰ ὅπλα μόνον, ἀλλὰ καὶ αὐτούς; συγχωρῶ, ἔφη, ὦ Διόγενες· ἀλλὰ καταδύεις τὸν ἥλιον, περὶ πάντων ἐπερωτῶν. καὶ πότερον ἄμεινον εἰπεῖν 34), ἀκούσαντα ὧν χρὴ καταδῦσαι 35) τὸν ἥλιον, ἢ βαδίζοντα μάτην; ὅμως δ᾽ ἐπὶ πάντων σχεδόν, ὅσων ἀπε-

στιν

32) ὀνίσασθαι margo Morell.

33) Casaubonus vult διαφθείρας et ἀπορρήξας. Morellus e codice regio lectionem aeque vitiosam affert καὶ πρὸς τῷ μηδέν. haud inscitum tamen, quod idem addit, sibi videri διαφθείραι et ἀπορρήξαι esse scrib. sunt vtique duo optatiui, et εἰ ante πρὸς est addendum.

34) εἰπεῖν videtur delendum, aut cum εἶπεν mutandum, *dixit*, scil. Diogenes.

35) lectio marginis Morell. χρήματα δῦσαι est in texto Venetae.

ςιν ἐμπειρία τοῦ χρῆσθαι, χαλεπὸν τὸ προθυμεῖσθαι 36). μείζω γὰρ τὴν βλάβην γενέσθαι εἰκὸς, ἀπὸ τῶν μειζόνων. ἢ οὖν δοκεῖ σοι ὁμοία εἶναι ἡ ὄνου χρῆσις ἢ 37) ἵππου; πόθεν; τί δαὶ, ἡ ἀνθρώπου, ἢ θεοῦ; ἀλλ' οὐδὲ λέγειν ἄξιον, ἔφη, ὦ Διόγενες· ἔστιν οὖν ὅτῳ τις χρῆσθαι δύναται, ὁ γινώσκων αὐτόν; καὶ πῶς; εἶπεν. ὁ γὰρ ἄνθρωπον ἀγνοῶν ἀδύνατος ἀνθρώπῳ χρῆσθαι. ἀδύνατος γάρ. ὁ δὴ αὐτὸν ἀγνοῶν οὐκ ἂν ἔχοι αὐτῷ χρῆσθαι; ἤδη οὖν ἀκήκοας τὸ ἐν Δελφοῖς γράμμα τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ; ἐγώ 38). οὐκοῦν δηλονότι ὁ θεὸς κελεύει πᾶσιν, ὡς οὐκ εἰδόσιν αὐτούς; ἔοικεν. εἷς ἄρα τῶν πάντων καὶ σὺ εἴης ἄν; πῶς γὰρ οὔ; οὐκ ἄρα οὐδὲ σὺ γινώσκεις σαυτόν; οὔ μοι δοκῶ. σεαυτὸν δὲ ἀγνοῶν, ἄνθρωπον ἀγνοεῖς. ἄνθρωπον δὲ οὐκ εἰδὼς χρῆσθαι ἀνθρώπῳ οὐ δυνατὸς εἶ· ἀνθρώπῳ δὲ χρῆσθαι ἀδύνατος ὤν, θεῷ ἐπιχειρεῖς· ὃ τῷ παντὶ μεῖζον καὶ χαλεπώτερον ἐκείνου ὁμολογοῦμεν εἶναι. τί δὲ, νομίζεις τὸν Ἀπόλλωνα Ἀττικίζειν ἢ Δωρίζειν; ἢ τὴν αὐτὴν εἶναι διάλεκτον ἀνθρώπων καὶ θεῶν; ἀλλὰ τοσοῦτον διαφέρει, ὥστε τὸν ποταμὸν τὸν ἐν Τροίᾳ, Ξάνθον, Σκάμανδρον 39) παρ' ἐκείνοις καλεῖσθαι, καὶ τὴν Χαλκίδα ὄρνεον, Κύμινδιν, καὶ τόπον τινὰ πρὸ τῆς πόλεως, ὃν οἱ Τρῶες ἐκάλουν Βαττείαν, τοὺς θεοὺς σῆμα μυρρίνης ὀνομάζειν. ὅθεν δὴ καὶ ἀσαφῆ τὰ τῶν χρησμῶν ἐστι, καὶ πολλοὺς ἤδη ἐξηπάτηκεν. Ὁμήρῳ μὲν οὖν ἀσφαλὲς ἦν ἴσως πορεύεσθαι παρὰ τὸν Ἀπόλλω εἰς Δελφοὺς, ἅτε διὰ γλωττῶν 40) ἐπιστα-

μένῳ

36) προθυμεῖσθαι non intelligo. video quidem subaudiri χρῆσθαι, sed nihil ideo planior est sententia.

37) ἢ] sic recte Veneta; sequitur enim statim ἢ ἀνθρ. ἢ θεοῦ. Morell. dat τῇ.

38) malim ἔγωγε.

39) locus hic recurrit orat. XI. n. 34.

40) διὰ γλωττῶν] quippe qui e Glottis, vel Glossis, h. e. e Glos-

μένῳ τὰς φωνὰς 41), εἴπερ ἁπάσας ἠπίστατο, ἀλλὰ μὴ ὀλίγ᾽ ἄττα· ὥσπερ οἱ δύο ἢ τρία Περσικὰ εἰδότες ῥήματα, ἢ Μηδικὰ ἢ Ἀσσύρια, τοὺς ἀγνοοῦντας ἐξαπατῶσιν. σὺ δὲ οὐ δέδοικας, μὴ, ἄλλα τοῦ θεοῦ λέγοντος, ἄλλα διανοηθῇς; ὥσπερ οὖν φασὶ Λάϊον ἐκεῖνον, τὸν γενόμενον Χρυσίππου ἐραστήν· ὃς ἀφικόμενος εἰς Δελφοὺς, ἐπηρώτα τὸν θεὸν, ὅπως αὐτῷ ἔσοιντο παῖδες. ἔχρησεν οὖν μὴ γεννᾷν, ἀλλὰ καὶ ἐκτιθέναι 42) γεννήσαντα. οὕτω δὲ ἀνόητος ἦν ὁ Λάϊος, ὥστε ἀμφότερα παρακοῦσαι τοῦ θεοῦ. καὶ γὰρ ἐγέννησε καὶ ἔθρεψεν. ἔπειτα καὶ αὐτὸς ἀπώλετο 43), καὶ πᾶς ὁ οἶκος αὐτοῦ, διότι ἀδύνατος ὢν, ἐπεχείρησε τῷ Ἀπόλλωνι χρῆσθαι. μὴ γὰρ, ταῦτα ἀκούσας, τὸν Οἰδίποδα οὐκ ἂν ἐξέθηκεν. ὁ δὲ, οἴκοι τραφεὶς, οὐκ ἂν ἀπέκτεινε τὸν Λάϊον, ἐπιστάμενος, ὅτι αὐτοῦ παῖς εἴη. καὶ τοίνυν τὰ περὶ Κροῖσον ἀκήκοας τὸν Λυδὸν, ὃς ἡγούμενος πείθεσθαι τῷ θεῷ παντὸς μᾶλλον, καὶ διαβὰς τὸν ποταμὸν τὸν Ἅλυν, τὴν ἀρχὴν ἀπέβαλε, καὶ αὐτὸς ἐν πέδαις ἐδέθη, καὶ ὀλίγου κατεκαύθη ζῶν. ἢ σὺ οἴει φρονιμώτερος εἶναι Κροίσου, ἀνδρὸς οὕτω πλουσίου καὶ τοσούτων ἀνθρώπων ἄρχοντος, καὶ Σόλωνι συγγενομένου, καὶ ἄλλοις παμπόλλοις σοφισταῖς; τὸν δὲ Ὀρέστην, καὶ αὐτὸν δήπου ὁρᾷς ἐν ταῖς τραγῳδίαις ἐγκαλοῦντα τῷ θεῷ καὶ μεμφόμενον, ὁπότε μαίνοιτο, συμβουλεύσαντος ἐκείνου τὴν μητέρα ἀποκτεῖναι. καίτοι νομίζεις, τὸν Ἀπόλλωνα χαλεπόν τι ἢ αἰσχρὸν προστάξαι τοῖς ἐρωτῶσιν αὐτόν; ἀλλ᾽ ὅπερ εἶπον, χρῆσθαι τῷ θεῷ ἀδύνατοι ὄντες, ἔπειτα ἐπιχει-

ροῦν-

e Glossariis vel Lexicis, cognita haberet ea vocabula, quae diis essent propria.

41) τὰς φωνὰς] puta τῶν θεῶν.

42) ἐκτιθέναι] Anglus mauult ἀποκτιννύναι. a quo non abhorreo.

43) ἀπώλετο] sic recte Ven. ἀπώλλετο Mor.

ρῶντες 44), οὐχ αὐτοὺς, ἀλλ' ἐκεῖνον αἰτιῶνται. σὺ οὖν, ἐάν μοι πεισθῇς, φυλάξῃ, καὶ πρότερον προθυμήσῃ γνῶναι σεαυτόν. ἔπειτα φρονήσας 45), ἐὰν δοκῇ σοι, τότε ἤδη μαντεύσῃ. ἐγὼ μὲν γὰρ οἶμαί σε μηδὲν δεήσεσθαι μαντείας, νοῦν ἔχοντα. καὶ γὰρ δὴ ὅρα, ἐάν σε κελεύσῃ γράφειν καὶ ἀναγινώσκειν ὀρθῶς, καὶ 46) μὴ γραμματικὸν ὄντα, οὐ δυνήσῃ. γράμματα δὲ εἰδὼς, καὶ μὴ τοῦ θεοῦ κελεύοντος, κατὰ τρόπον γράψεις καὶ ἀναγνώσῃ. ὁμοίως δὲ ἄλλο ὁτιοῦν πράττειν ἐὰν συμβουλεύσῃ σοι μὴ ἐπισταμένῳ, οὐχ οἷός τε ἔσῃ. καὶ ζῆν ὀρθῶς οὐ δυνήσῃ, μὴ ἐπιστάμενος, οὐδ' ἂν κατὰ τὴν ἡμέραν ἑκάστην τὸν Ἀπόλλω ἐνοχλῇς, καὶ σοὶ μόνῳ σχολάζῃ. νῦν δὲ ἔχων, γνώσῃ ἀπὸ σεαυτοῦ, ὅ, τι σοὶ πρακτέον ἐστὶ, καὶ ὅπως. ὃ δὲ ἔλαθε 47) περὶ τοῦ Οἰδίποδος εἰπεῖν, ὅτι εἰς Δελφοὺς μὲν οὐκ ἦλθε μαντευσόμενος. τῷ δὲ Τειρεσίᾳ συμβαλὼν, μεγάλα κακὰ ἀπέλαυσε τῆς ἐκείνου μαντικῆς διὰ τὴν αὐτοῦ ἄγνοιαν. ἔγνω γὰρ, ὅτι τῇ μητρὶ συνεγένετο, καὶ παῖδες εἰσὶν αὐτῷ ἐξ ἐκείνης· καὶ μετὰ ταῦτα, δέον ἴσως κρύπτειν τοῦτο, ἢ ποιῆσαι νόμιμον τοῖς Θηβαίοις, πρῶτον μὲν πᾶσιν ἐποίησε φανερόν· ἔπειτα ἠγανάκτει καὶ ἐβόα μεγάλα, ὅτι τῶν αὐτῶν πατήρ ἐστι καὶ ἀδελφὸς, καὶ τῆς αὐτῆς γυναικὸς ἀνὴρ καὶ υἱός. οἱ δὲ ἀλεκτρυόνες οὐκ ἀγανακτοῦσιν ἐπὶ τούτοις, οὐδὲ οἱ κύνες, οὐδὲ τῶν ὄνων οὐδείς· οὐδὲ οἱ Πέρσαι, καίτοι δοκοῦσι τῶν κατὰ τὴν Ἀσίαν ἄριστοι. πρὸς δὲ τούτοις ἐτύφλωσεν αὐτόν· ἔπειτα ἠλᾶτο τετυφλωμένος, ὥσπερ

οὐ

44) post ἐπιχειροῦντες videtur διαμαρτόντες, vel tale quid, excidiſſe.

45) f. ἔπειτα συμφρονήσας. deinde vbi tecum diligenter et ſedulo deliberaueris.

46) καὶ eſt delendum.

47) ἔλαθε aut eſt corruptum, aut deſunt quaedam.

οὐ δυνάμενος βλέπων πλανᾶσθαι. καὶ ὃς ἀκούσας ἔφη· σὺ μὲν, ὦ Διόγενες, ἀναισθητότατον ἀπάντων ἀνθρώπων ἀποφαίνεις τὸν Οἰδίπουν· οἱ δὲ Ἕλληνες οἴονται, οὐκ εὐτυχῆ μὲν γενέσθαι ἄνθρωπον· συνετὸν δὲ πάντων μάλιστα· μόνον γοῦν αὐτὸν λῦσαι τὸ αἴνιγμα τῆς Σφιγγός. καὶ ὁ Διογένης γελάσας, μὴ γὰρ, ἔφη, ἐκεῖνος ἔλυσε τὸ αἴνιγμα οὐκ ἀκήκοας [48]), ὅτι ἄνθρωπον αὐτὸν ἐκέλευσε γνῶναι ἡ Σφίγξ; ὁ δὲ, ἄνθρωπον μὲν, ὅ ἐστιν, οὔτε εἶπεν, οὔτ' ἔγνω· τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου λέγων, ᾤετο λέγειν τὸ ἐρωτώμενον [49]). ὥσπερ εἴ τις ἐρωτηθεὶς, τί ἐστι Σωκράτης; ὁ δὲ μηδὲν εἴποι πλέον τοῦ ὀνόματος, ἢ ὅτι Σωκράτης. ἐγὼ δὲ ἤκουσα λέγοντος, ὅτι ἡ Σφὶγξ ἡ ἀμαθία ἐστί. ταύτην οὖν καὶ πρότερον διαφθεῖραι τοὺς Βοιωτοὺς, καὶ νῦν, οὐδὲν αὐτοὺς ἐῶσαν [50]) εἰδέναι, ἅτε ἀνθρώπων ἀμαθεστάτους. τοὺς μὲν οὖν ἄλλους μᾶλλόν τι αἰσθάνεσθαι τῆς αὐτῶν ἀνοίας· τὸν δὲ Οἰδίποδα, ὅσῳ [51]) σοφώτατον ἡγησάμενον εἶναι καὶ διαπεφευγέναι τὴν Σφίγγα, καὶ πείσαντα τοὺς ἄλλους Θηβαίους, τοσούτῳ κάκιστα ἀπολέσθαι. ὅσοι

γὰρ

48 ἀκήκοας] sic recte Ven. non tu perspexisti, Sphingem voluisse, vt Oedipus hominem ipsum cognosceret. Oedipus autem satis habuit merum hominis nomen edere, naturam autem moresque eius tam parum declarauit, quam cognorat. ἀκηκοὼς Morell.

49) τὸ ἐρωτώμενον] sic codex regius, sed Mor. et Ven. omittunt τό.

50) et nunc quoque adhuc corrumpere, eo, quod non sinat eos quicquam discere. ἐῶσαν legendum esse dudum e Ven. collegeram, in qua est ἐῶσα, saepe autem in ea ν finale excidit. nuper etiam reperi idem apud Morellum in annotationibus, sed ambigue, vt nescias, vter emendationis auctor sit, ipse Morellus, an codex manu scriptus.

51) videtur vtcunque ad hanc ferme sententiam posse locus restitui: ὅσῳ ἑαυτὸν σοφώτατον ἡγήσατο εἶναι — καὶ ἔπεισε ταυτὰ καὶ τοὺς ἄλλους Θηβαίους.

γὰρ ἂν ἀμαθεῖς ὄντες, πεισθῶσι σοφοὶ εἶναι, οὗτοι πολύ εἰσιν ἀθλιώτεροι τῶν ἄλλων ἁπάντων· καὶ ἔστι τοιοῦτον τὸ τῶν σοφιστῶν γένος.

ΤΡΩΙΚΟΣ ΥΠΕΡ ΤΟΥ ΙΛΙΟΝ ΜΗ ΑΛΩΝΑΙ.

ΛΟΓΟΣ ΙΑ'.

Οἶδα μὲν ἔγωγε σχεδὸν, ὅτι διδάσκειν μὲν ἀνθρώπους ἅπαντας χαλεπόν ἐστιν· ἐξαπατᾷν δὲ, ῥάδιον. καὶ μανθάνουσι μὲν μόγις, ἐάν τι καὶ μάθωσι, παρ' ὀλίγων τῶν εἰδότων, ἐξαπατῶνται δὲ τάχιστα ὑπὸ πολλῶν τῶν οὐκ εἰδότων, καὶ οὐ μόνον γε ὑπὸ τῶν ἄλλων, ἀλλὰ καὶ αὐτοὶ ὑφ' αὑτῶν. τὸ μὲν γὰρ ἀληθὲς πικρόν ἐστι καὶ ἀηδὲς τοῖς ἀνοήτοις· τὸ δὲ ψεῦδος, γλυκὺ καὶ προσηνές. ὥσπερ γε, οἶμαι, καὶ τοῖς νοσοῦσι τὰ ὄμματα, τὸ μὲν φῶς ἀνιαρὸν ὁρᾷν· τὸ δὲ σκότος ἄλυπον καὶ φίλον, οὐκ ἐῶν βλέπειν. ἢ πῶς ἂν ἴσχυον [1]) τὰ ψεύδη πολλάκις, ὄντων ἀληθῶν, εἰ μὴ δι' ἡδονὴν ἐνίκα; χαλεποῦ δὲ, ὡς ἔφην, ὄντος τοῦ διδάσκειν, τῷ παντὶ χαλεπώτερον τὸ μεταδιδάσκειν· ἄλλως τε, ὅταν [2]) πολὺν τινες χρόνον ὦσι τὰ ψευδῆ ἀκηκοότες, καὶ μὴ μόνον αὐτοὶ ἐξηπατημένοι, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν καὶ οἱ πάπποι, καὶ σχεδὸν πάντες οἱ πρότερον. οὐ γὰρ ἐστι ῥάδιον τούτων ἀφελέσθαι τὴν δόξαν, οὐδ' ἂν πάνυ τις ἐξελέγχῃ. καθάπερ οἶμαι τῶν τὰ ὑποβολιμαῖα παιδάρια θρεψάντων, χαλεπὸν ὕστερον ἀφε-

1) ἰσχύοι. in optat.
2) ἄλλως τε καὶ ὅταν.

λέσθαι τἀληθῆ λέγοντα· ἄγε ἐν ἀρχῇ εἴ τις αὐτοῖς ἔφρασεν, οὐκ ἄν ποτε ἕλοιντο[3]). οὕτω δὲ τοῦτο ἰσχυρόν ἐστιν, ὥστε πολλοὶ τὰ κακὰ μᾶλλον προσποιοῦνται, καὶ ὁμολογοῦσι καθ' αὑτῶν, ἂν ὦσι πεπεισμένοι πρότερον, ἢ τἀγαθὰ μετὰ χρόνον ἀκούοντες. οὐκ ἂν οὖν θαυμάσαιμι καὶ ὑμᾶς, ἄνδρες Ἰλιεῖς, εἰ πιστότερον ἡγήσασθε[4]) Ὅμηρον, τὰ χαλεπώτατα ψευσάμενον καθ' ὑμῶν, ἢ ἐμὲ τἀληθῆ λέγοντα· κἀκεῖνον μὲν ὑπολαβεῖν[5]) θεῖον ἄνδρα καὶ σοφὸν, καὶ τοὺς παῖδας εὐθὺς ἐξ ἀρχῆς τὰ ἔπη διδάσκειν[6]), οὐθὲν ἄλλο ἢ κατάρας ἔχοντα κατὰ τῆς πόλεως, καὶ ταύτας οὐκ ἀληθεῖς· ἐμοῦ δὲ μὴ ἀνέχοισθε, τὰ ὄντα καὶ γενόμενα λέγοντος, ὅτι πολλοῖς ἔτεσιν ὕστερον Ὁμήρου γέγονα. καίτοι φασὶ μὲν οἱ πολλοὶ τὸν χρόνον τῶν πραγμάτων καὶ[7]) κριτὴν ἄριστον εἶναι, ὅτι δ' ἂν ἀκούωσι μετὰ πολὺν χρόνον, διὰ τοῦτο ἄπιστον νομίζουσιν· εἰ μὲν οὖν παρ' Ἀργείοις ἐτόλμων ἀντιλέγειν Ὁμήρῳ, καὶ τὴν ποίησιν αὐτοῦ δεικνῦναι ψευδῆ περὶ τὰ μέγιστα, τυχὸν ἂν εἰκότως ἤχθοντό[8]) μοι καὶ τῆς πόλεως ἐξέβαλον, εἰ τὴν παρ' ἐκείνων δόξαν[9]) ἐφαινόμην ἀφανίζων καὶ καθαιρῶν· ὑμᾶς δὲ δίκαιόν ἐστί μοι χάριν εἰδέναι καὶ ἀκροᾶσθαι προθύμως· ὑπὲρ γὰρ τῶν ὑμετέρων προγόνων ἐσπούδακα. προλέγω δὲ ὑμῖν, ὅτι τοὺς λόγους τούτους ἀνάγκη παρ' ἑτέροις ῥηθῆναι, καὶ πολλοὺς πυθέσθαι· τούτων δὲ οἱ μέν τινες οὐ συνήσουσιν, οἱ δὲ προσποιήσονται καταφρονεῖν,

οὐ

3) f. ἀνέλοιντο, quod reperio in V. L. Venetae quoque.
4) ἡγήσαισθε.
5) ὑπολάβοιτε.
6) aut διδάσκοιτε, aut ἀξιοῖτε διδάσκειν.
7) καὶ videtur del. esse.
8) f. ἀπήχθοντο.
9) f. τὴν πάτριον ἐκείνων δόξαν.

οὐ καταφρονοῦντες αὐτῶν [10]) · οἱ δέ τινες ἐπιχειρήσουσιν ἐξελέγχειν, μάλιστα δὲ, οἶμαι, τοὺς κακοδαίμονας σοφιστάς [11]). ἐγὼ δὲ ἐπίσταμαι σαφῶς, ὅτ' οὐδὲ ὑμῖν πρὸς ἡδονὴν ἔσονται. οἱ γὰρ πλεῖστοι τῶν ἀνθρώπων οὕτως ἄγαν εἰσὶν ὑπὸ δόξης διεφθαρμένοι τὰς ψυχὰς, ὥστε μᾶλλον ἐπιθυμοῦσι περιβόητοι εἶναι ἐπὶ τοῖς μεγίστοις ἀτυχήμασιν· ἢ μηδὲν κακὸν ἔχοντας [12]) ἀγνοεῖσθαι. αὐτοὺς γὰρ οἶμαι τοὺς Ἀργείους μηδ' ἂν ἐθέλειν ἄλλως γεγονέναι τὰ περὶ τὸν Θυέστην καὶ τὸν Ἀτρέα καὶ τοὺς Πελοπίδας· ἀλλ' ἄχθεσθαι σφόδρα, ἐάν τις ἐξελέγχῃ τοὺς μύθους τῶν τραγῳδιῶν, λέγων, ὅτι οὔτε Θυέστης ἐμοίχευσε τὴν τοῦ Ἀτρέως, οὔτε ἐκεῖνος ἀπέκτεινε τοὺς τοῦ ἀδελφοῦ παῖδας, οὔτε κατακόψας εἱστίασε τὸν Θυέστην· οὐδὲ Ὀρέστης αὐτόχειρ ἐγένετο τῆς μητρός. ἅπαντα ταῦτα εἰ λέγοι τις, χαλεπῶς ἂν φέροιεν ὡς λοιδορούμενοι. τὸ δὲ αὐτὸ τοῦτο καὶ Θηβαίους οἶμαι παθεῖν, εἴ τις τὰ παρ' αὐτοῖς ἀτυχήματα ψευδῆ ἀποφαίνοι, ὡς [13]) οὔτε τὸν πατέρα Οἰδίπουν ἀποκτείναντα, οὔτε τῇ μητέρι συγγενόμενον, οὔτε αὐτὸν τυφλώσαντα, οὔτε τοὺς παῖδας αὐτοῦ πρὸ τοῦ τείχους ἀποθανόντας ὑπ' ἀλλήλων· οὔθ' ὡς ἡ σφὶγξ ἀφικομένη κατεσθίοι τὰ τέκνα αὐτῶν, ἐπιδεικνύοι. ἀλλὰ τοὐναντίον ἥδονται ἀκούοντες καὶ τὴν Σφίγγα ἐπιπεμφθεῖσαν αὐτοῖς διὰ χόλον Ἥρας, καὶ τὸν Λάϊον ὑπὸ τοῦ υἱέος ἀναιρεθέντα, καὶ τὸν Οἰδίπουν ταῦτα ποιήσαντα καὶ παθόντα, τυφλὸν ἀλᾶσθαι· καὶ πρότερον ἄλλου βασιλέως αὐτῶν καὶ τῆς πόλεως οἰκιστοῦ Ἀμφίονος τοὺς παῖδας, ἀνθρώπων καλλίστους

10) αὐτῶν] sic recte dat ed. Ven. et Rhodomanni. αὐτὸν Mor.

11) post σοφιστὰς abesse videtur τοῦτο ποιήσειν.

12) ἔχοντες.

13) ὡς] f. καὶ; paulo post vult Rhodom. ἐπιδεικνύων, aut hic seruata vulgata, debere ait καὶ ὡς legi.

γενομένους, κατατοξευθῆναι ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος· καὶ ταῦτα αὐλούντων καὶ ᾀδόντων ἀνέχονται παρ' αὐτοῖς ἐν τῷ θεάτρῳ· καὶ τιθέασιν ἆθλα περὶ τούτων, ὃς ἂν οἰκτρότατα εἴποι περὶ αὐτῶν ἢ αὐλήσῃ· τὸν δὲ εἰπόντα, ὡς οὐ γέγονεν οὐδὲν αὐτῶν, ἐκβάλλουσιν. εἰς τοῦτο μανίας οἱ πολλοὶ ἐληλύθασι, καὶ οὕτω πάνυ ὁ τῦφος αὐτῶν κεκράτηκεν. ἐπιθυμοῦσι γὰρ ὡς πλεῖστον ὑπὲρ αὐτῶν γίγνεσθαι λόγον· ὁποῖον δέ τινα, οὐθὲν μέλει αὐτοῖς. ὅμως δὲ πάσχειν μὲν οὐ θέλουσι τὰ δεινὰ διὰ δειλίαν, φοβούμενοι τούς τε θανάτους καὶ τὰς ἀλγηδόνας· ὡς δὲ παθόντας 14) μνημονεύεσθαι, περὶ πολλοῦ ποιοῦνται. ἐγὼ δὲ, οὔθ' ὑμῖν χαριζόμενος, οὔθ' Ὁμήρῳ διαφερόμενος, οὐδὲ τῆς δόξης φθονῶν ἐκείνῳ, πειράσομαι δεικνῦναι, ὅσα μοι δοκεῖ 15) ψευδῆ εἰρηκέναι περὶ τῶν ἐνθάδε πραγμάτων· οὐκ ἄλλοθέν ποθεν, ἀλλ' ἐξ αὐτῆς τῆς ποιήσεως ἐλέγχων, τῷ τε ἀληθεῖ βοηθῶν, καὶ μάλιστα διὰ τὴν Ἀθηνᾶν, ὅπως μὴ δοκῇ ἀδίκως διαφθεῖραι τὴν αὐτῆς πόλιν 16), μηδὲ ἐναντία βούλεσθαι τῷ αὐτῆς πατρὶ, οὐχ ἧττον δὲ διὰ τὴν Ἥραν, καὶ τὴν Ἀφροδίτην. δεινὸν γὰρ, τὴν μὲν τῷ Διῒ συνοῦσαν, μὴ νομίσαι κριτὴν ἱκανὸν τοῦ αὐτῆς εἴδους 17), εἰ μὴ

ἀρέ-

14) malim παθόντες.
15) δοκεῖ etiam Vir doctus adscripsit Venetae, item
16) πόλιν, nam in Veneta est δοκεῖν et πόλεσιν.
17) lectionem in marg. Morell. positam τὸ αὐτῆς εἶδος, quae videtur esse coniectura Morelli, Rhodomannus in textum suum intulit. Sed in Veneta legitur non κρατεῖν, quod Morellus de suo dedit, sed κρατὴν. Inspexissent modo interpretes Morelli ad h. l. annotationem, vt e codice regio affert κριτὴν, quae est vera lectio; vnde locum sic constituo: μὴ νομίσαι τὸν Δία (vel saltim αὐτὸν) κριτὴν ἱκανὸν τοῦ αὐτῆς εἴδους. *graue est, Iunonem, Iouis vxorem, Iouem, maritum suum, non habuisse pro arbitro idoneo suae formae.*

ἀρέσαι καὶ τῶν ἐν Ἴδῃ βουκόλων ἑνὶ, τὴν δὲ ἀρχὴν ὑπὲρ κάλλους ἐρίζειν τῇ Ἀφροδίτῃ, πρεσβυτάτην φάσκουσαν εἶναι τῶν Κρόνου παίδων, ὡς αὐτὸς Ὅμηρος ἀπήγγειλε ποιήσας·

Καί με πρεσβυτάτην τέκετο Κρόνος ἀγκυλομήτης.

ἔτι δὲ οὕτω χαλεπῶς διατεθῆναι πρὸς τὸν Πάριν, αὐτὴν [18]) ἐπιτρέψασαν τὴν κρίσιν· καίτοι οὐδεὶς τῶν ἀνθρώπων ὃς ἂν ἐπιτρέψῃ διαιτᾶν [19]), ἐχθρὸν ἡγεῖται τὸν διαιτητὴν, ἐὰν μὴ δικάσῃ καθ' ἑαυτόν· τὴν δέ γε Ἀφροδίτην οὕτως αἰσχρὰν καὶ ἄδικον καὶ ἀσύμφορον δοῦναι δωρεὰν, καὶ μηδένα ποιήσασθαι λόγον μήτε τῆς Ἑλένης ἀδελφῆς οὔσης, μήτε τοῦ Ἀλεξάνδρου τοῦ προκρίναντος αὐτήν· ἀλλὰ χαρίζεσθαι τοιοῦτον γάμον, δι' ὃν αὐτός τε ἤμελλεν ἀπόλλυσθαι, καὶ οἱ γονεῖς αὐτοῦ καὶ ἡ πόλις. ἔτι δὲ οὐκ ἄξιον οἶμαι παριδεῖν οὐδὲ τὸ τῆς Ἑλένης, ἣ τοῦ Διὸς λεγομένη θυγάτηρ, διὰ μὲν τὴν ἄδικον φήμην περιβόητος ἐπ' αἰσχύνῃ γέγονε· διὰ δὲ τὴν αὐτῆς αἰσχύνην θεὸς ἐνομίσθη παρὰ τοῖς Ἕλλησιν. ἀλλ' ὅμως ὑπὲρ τηλικούτων ὄντος τοῦ λόγου, τινὲς τῶν σοφιστῶν ἀσεβεῖν με φήσουσιν Ὁμήρῳ ἀντιλέγοντα, καὶ ἐπιχειρήσουσι διαβάλλειν πρὸς τὰ δύστηνα μειράκια, ὧν ἐμοὶ ἐλάττων λόγος ἐστὶν, ἢ πιθήκων. πρῶτον μὲν οὖν φασι, τὸν Ὅμηρον ὑπὸ πενίας τε καὶ ἀπορίας προσαιτεῖν ἐν τῇ Ἑλλάδι· τὸν δὲ τοιοῦτον ἀδύνατον ἡγοῦνται ψεύσασθαι πρὸς χάριν τῶν διδόντων, οὐδ' ἂν τὰ τοιαῦτα λέγειν, ὁποῖα ἔμελλεν ἐκείνοις καθ' ἡδονὴν ἔσεσθαι· τοὺς δὲ νῦν πτωχοὺς οὐδέν φασιν ὑγιὲς λέγειν, οὐδὲ μάρτυρα οὐδεὶς ἂν οὐδένα ἐκείνων ποιήσαιτο [20]) ὑπὲρ οὐδενὸς, οὐδὲ τοὺς ἐπαίνους τοὺς

18) αὐτὴν] sic recte Ven. αὐτῷ Mor.
19) f. δίαιταν (in accus. sing. nom. subst.)
20) affirmat Morellus, se verba traiecta ope codicis regii in ordinem redegisse. sed eodem verba leguntur ordine in Ven.

παρ' αὐτῶν ἀποδέχονται ὡς ἀληθεῖς. ἴσασι γάρ, ὅτι πάντα θωπεύοντες ὑπ' ἀνάγκης λέγουσιν. ἔπειτα δὲ εἰρήκασι, τοὺς μέν, ὡς πτωχῷ, τοὺς δέ, ὡς μαινομένῳ ἀπάρχεσθαι [21]). καὶ μᾶλλον οἴονται τοὺς τότε καταγνῶναι αὐτοῦ μανίαν, τἀληθῆ δὲ λέγοντος, οὐ προστεθείκασιν, ἢ ψευδομένου. οὐ μὴν ὅσον γε ἐπὶ τούτοις, ψέγω [22]) Ὅμηρον· κωλύει γὰρ οὐθέν, ἄνδρα σοφὸν πτωχεύειν, οὐδὲ μαίνεσθαι δοκεῖν· ἀλλ' ὅτι κατὰ τὴν ἐκείνων δόξαν, ἣν ἔχουσι περὶ Ὁμήρου, καὶ περὶ τῶν τοιούτων εἰκὸς ἐστι μηθὲν ὑγιὲς εἶναι τῶν εἰρημένων ὑπ' αὐτοῦ. οὐ τοίνυν οὐδὲ τόδε νομίζουσιν, οὐκ εἶναι ἐν τῇ Ὁμήρου φύσει τὸ ψεῦδος, οὐδὲ ἀποδέχεσθαι αὐτὸν τὸ τοιοῦτον. πλεῖστα γοῦν τὸν Ὀδυσσέα πεποίηκε ψευδόμενον, ὃν μάλιστα ἐπαινεῖ· τὸν δὲ Αὐτόλυκον καὶ ἐπιορκεῖν φησι, καὶ τοῦτο αὐτῷ παρὰ τοῦ Ἑρμοῦ δεδόσθαι. περὶ δὲ θεῶν πάντες, ὡς ἔπος εἰπεῖν, ὁμολογοῦσι, μηθὲν ἀληθὲς λέγειν Ὅμηρον, καὶ οἱ πάνυ ἐπαινοῦντες αὐτόν, καὶ τοιαύτας ἀπολογίας πειρῶνται πορίζειν, ὅτι οὐ φρονῶν ταῦτ' ἔλεγεν, ἀλλ' αἰνιττόμενος καὶ μεταφέρων. τί οὖν κωλύει καὶ περὶ τῶν ἀνθρώπων αὐτὸν οὕτως εἰρηκέναι; ὅστις γὰρ περὶ θεῶν οὐ φανερῶς τἀληθῆ [23]) φησιν, ἀλλὰ τοὐναντίον· οὕτως ὥστε τὰ [24]) ψευ-

Ven. quo hic, vt nil diſcriminis inter ambas editiones h. l. repererim.

21) ἀπάρχεσθαι] interpres reddidit *ſtipem dediſſe*, forſitan in animo habens ἐπαρκεῖν, quod in marg. Ven. meae adſcriptum reperio. ego vero haud probo, tametſi ſententiam vulgatae haud magis intelligo, et neſcio, probane ſit, an corrupta; quod poſterius ſi ſit, malim προσέρχεσθαι.

22) ψέγω] Ven. ψεγῶν.

23) f. περὶ τῶν θεῶν φανερῶς οὐ τἀληθῆ.

24) poſt τὰ deeſſe videtur vocabulum εἰρημένα, vel λεγόμενα, vel tale quid. *adeo vt lectores dicta vel maxime pro mendaciis habeant.*

ψευδῆ μᾶλλον ὑπολαμβάνειν τοὺς ἐντυγχάνοντας, καὶ ταῦτα μηδὲν ὠφελούμενος, πῶς ἂν περί γε ἀνθρώπων ὀκνήσειεν ὁτιοῦν ψεῦδος εἰπεῖν; καὶ ὅτι μὲν πεποίηκεν ἀλγοῦντας τοὺς θεοὺς καὶ στένοντας καὶ τιτρωσκομένους, καὶ ἀποθνήσκοντας σχεδόν· ἔτι δὲ μοιχείας, καὶ δεσμοὺς, καὶ διεγγυήσεις θεῶν, οὐ λέγω, πρότερον εἰρημένα πολλοῖς. οὐδὲ γὰρ βούλομαι κατηγορεῖν Ὁμήρου, μόνον δ' ἐπιδεῖξαι τἀληθὲς, ὡς γέγονεν [25]· ἐπεί τοι ἀπολογήσομαι ὑπὲρ αὐτοῦ τὰ ἐμοὶ δοκοῦντα. ὅτι δὲ τὸ ψεῦδος οὐκ ὤκνει [26] πάντων μάλιστα, οὐδὲ αἰσχρὸν ἐνόμιζε τοῦτο λέγων [27], πότερον δὲ ὀρθῶς, ἢ μὴ, παρίημι νῦν σκοπεῖν. ἀφεὶς οὖν ὅσα δεινὰ δοκεῖ πεποιηκέναι περὶ θεῶν, καὶ οὐ πρέποντα ἐκείνῳ [28], τοῦτό φημι μόνον, ὅτι λόγους οὐκ ὤκνει [29] τῶν θεῶν ἀπαγγέλλειν, οὓς φησιν αὐτοὺς διαλέγεσθαι πρὸς αὐτούς· καὶ οὐ μόνον γε τοὺς ἐν κοινῷ γινομένους, καὶ παρατυγχανόντων ἁπάντων τῶν θεῶν· ἀλλὰ καὶ οὓς ἰδίᾳ τινὲς διαλέγονται ἀλλήλοις· οἷον ὁ Ζεὺς τεθυμωμένος τῇ Ἥρᾳ διὰ τὴν ἀπάτην καὶ τὴν ἧτταν τῶν Τρώων, καὶ πρότερον Ἥρα πρὸς τὴν Ἀφροδίτην [29b], παρακαλοῦσα φαρμάξαι τὸν πατέρα, καὶ δοῦναι τὸ φίλτρον αὐτῇ τὸν κεστὸν ἱμάντα, ὡς εἰκὸς, ἐν ἀποῤῥήτῳ τοῦτο ἀξιοῦσα. οὐδὲ γὰρ τῶν ἀνθρώπων εἰκὸς ἄλ-

25) restituo locum hunc e codice regio Parisino, cuius hanc lectionem Morellus in animadv. suis inde refert: μόνον δ' ἐπιδεῖξαι τἀλ. ὡς γέγ. *sed solummodo demonstrare verum, quomodo puta euenerit.* Ven. et Mor. dant δέ ἐστι δεῖξαι τἀλ. ὡς οὐ γέγ.

26) ὤκνει] sic codex regius, quemadmodum etiam editio Rhodom. ὄκνει Mor.

27) aut λέγω est leg. aut seruato λέγων, delendum erit δὲ paulo post.

28) malim ἐκείνοις, vt ad deos redeat.

29) ὤκνει] sic recte Ven. et ed. Rhod. ὄκνει Mor.

29b) πρὸς τὴν ἀφροδίτην] scil. διαλέγεται.

λον τινὰ εἰδέναι τὰ τοιαῦτα, ἀνδρὸς καὶ γυναικὸς διαφερομένων καὶ λοιδορούντων ἐνίοτε ἀλλήλους. καὶ τὸν Ὀδυσσέα 30) πεποίηκεν ἐπανορθούμενον τὸ τοιοῦτον, μὴ δόξῃ ἀλαζὼν διηγούμενος τοὺς παρὰ τοῖς θεοῖς γενομένους ὑπὲρ αὐτοῦ λόγους. ἔφη γὰρ ἀκοῦσαι τῆς Καλυψοῦς, ἐκείνην δὲ παρά του 31) πυθέσθαι· περὶ αὐτοῦ δὲ οὐδὲν τοιοῦτον εἴρηκεν, ὅτι παρὰ θεοῦ πύθοιτό τινος. οὕτω πάνυ κατεφρόνει τῶν ἀνθρώπων, καὶ οὐθὲν αὐτῷ ἔμελεν, εἰ δόξει μηθὲν λέγειν ἀληθές. οὐ γὰρ δὴ πείσειν γε ἐνόμιζέ τινα, ὡς ἐπίσταιτο τοὺς παρὰ τοῖς θεοῖς γενομένους ὑπὲρ αὐτοῦ λόγους. ἔφη γὰρ ἀκοῦσαι ἅπαντα καὶ τοὺς πολλοὺς ἔπεισε. διηγεῖται δὲ καὶ τὴν συνουσίαν τὴν τοῦ Διὸς πρὸς τὴν Ἥραν, ἐν τῇ Ἴδῃ γενομένην, καὶ τοὺς λόγους, οὓς εἶπε πρὸ τῆς συνουσίας, ὡς αὐτὸς ἑωρακώς τε καὶ ἀκηκοώς, καὶ οὐδὲν αὐτὸν ἐκώλυσεν, ὡς ἔοικε, τὸ νέφος, ὃ περιεκάλυψεν ὁ Ζεύς, τοῦ μὴ φανερὸς γενέσθαι. τούτοις δὲ ἐπέθηκε τὸν κολοφῶνα σχεδόν 32)· ἵνα γὰρ μὴ ἀπορῶμεν, ὅπως ξυνῇ 33) τῶν θεῶν, οὕτω διαλέγεται ἡμῖν σχεδόν, ὡς ἔμπειρος τῆς τῶν θεῶν γλώττης 34), καὶ ὅτι οὐχ ἡ αὐτή ἐστι τῇ ἡμετέρᾳ,

30) malim καίτοι τὸν μὲν ὀδυσσέα.

31) Rhodomannus dedit παρὰ τοῦ θεοῦ, quod minus placet; malim παρὰ τοῦ ἑρμοῦ.

32) locus bene habet, quod dudum Morellus quoque admonuit, tametsi Rhodomanno visum fuit aliquid deesse. sed sarta et tecta hic sunt omnia. σχεδὸν est *ut ita dicam, colophonem mendaciis suis imposuit.*

33) in Ven. est ξενίει, in codice regio ξυνίει, in ed. Rhod. ξυνίῃ.

34) post γλώττης addit codex regius, teste Morello: ὥσπερ γὰρ τοῖς βαρβάροις διαλέγονται οἱ δίγλωττοι καλούμενοι, καὶ ἑρμηνεύοντες αὐτοῖς τὰ παρ' ἡμῶν· οὕτως Ὅμηρος ἡμῖν διαλέγεται, τὰ παρὰ τῶν θεῶν ἑρμηνεύων,

ρα, οὐδὲ τὰ αὐτὰ ὀνόματα ἐφ' ἑκάστῳ λέγουσιν, ἅπερ καὶ ἡμεῖς. ἐνδείκνυται δὲ ταῦτα ἐπὶ ὀρνέου τινός, ὅ φησι τοὺς μὲν θεοὺς Χαλκίδα καλεῖν, τοὺς δὲ ἀνθρώπους, Κύμινδιν· καὶ ἐπὶ τόπου τινὸς πρὸ τῆς πόλεως, ὃν τοὺς μὲν ἀνθρώπους Βαττείαν ὀνομάζειν, τοὺς δὲ θεοὺς Σῆμα μυρρίνης. περὶ δὲ τοῦ ποταμοῦ φράσας ἡμῖν, ὅτι οὐ Ξάνθος, ἀλλὰ Σκάμανδρος λέγοιτο παρὰ τοῖς θεοῖς, αὐτὸς οὕτως ἤδη ἐν τοῖς ἔπεσιν ὀνομάζει· ὡς οὐ μόνον ἐξὸν αὐτῷ τὰς ἄλλας γλώττας μιγνύειν τὰς τῶν Ἑλλήνων, καὶ ποτὲ μὲν αἰολίζειν, ποτὲ δὲ δωρίζειν, ποτὲ δὲ ἰάζειν, ἀλλὰ καὶ διαστὶ[35]) διαλέγεσθαι· καθάπερ οἶμαι θετταλίζοντα ἢ κρητίζοντα, οἷον εἰ τὴν ἀγορὰν ἐκάλει λιμένα, Θετταλῶν ἀκούσας. ταῦτα δέ μοι εἴρηται, ὥσπερ ἤδη ἔφην, οὐ κατηγορίας ἕνεκεν, ἀλλ' ὅτι ἀνδρειότατος ἦν ἀνθρώπων πρὸς τὸ ψεῦδος Ὅμηρος· καὶ οὐχ ἧττον ἐθάρρει καὶ ἐσεμνύνετο ἐπὶ τῷ ψεύδεσθαι, ἢ τῷ τἀληθῆ λέγειν. οὕτω[36]) γὰρ σκοποῦσιν οὐθὲν ἔτι φαίνηται

νεύων, ὥσπερ ἐπιστάμενος τὴν θείαν διάλεκτον. πρῶτον μὲν ὅτι οὐχ — quae lectio in Ven. poſt ἐπιτέθεικεν habetur.

35) διαστὶ eſt felix et ingenioſa emendatio Caſauboni, et ſic coniecit Rhod. ſed in texto exhibuit θεαστὶ pro ἰαστί, quod eſt in Ven. ſed Morellus quoque ſic emendauit in animadv. tacito Caſaubono. vir doctus Venetae meae adſcripſerat θειαστί, *diuina loqui.* Verba καθάπερ — ἀκούσας h. l. omnia deſunt Ven.

36) poſt οὕτω addit Veneta μέν, et dat poſt σκοποῦσι: πάνυ σμικρὰ καὶ ὀλίγου ἄξια φαίνεται, ἃ ἐγώ φημι αὐτὸν ἐψεῦσθαι. τῷ γὰρ ὄντι, ἀνθρώπινα ψεύσματα καὶ λίαν πιθανά, πρὸς θείαν καὶ ἀμήχανον φύσιν, πέρας δὴ ἐπιτέθεικεν. ὥσπερ γὰρ τοῖς β. — πρῶτον μὲν οὐχ ἡ αὐτή ἐστι τῇ ἡμετέρᾳ. οὐδὲ τὰ αὐτὰ παρά τε ἡμῖν καὶ παρ' ἐκείνοις ὀνόματα. ἔπειτα ἐξηγούμενος περί τινων, ὅπως οἱ θεοὶ νομίζουσιν. οἷον ὅτι τὴν χαλκίδα κύμινδιν οἱ θεοὶ καλοῦσι. τόπον δέ τινα πρὸ τῆς πόλεως βαττείαν ὀνομαζόμενον. σῆμα μυρρίνης. τὸ δὲ

μῶλυ

γηται[37]) παράδοξον οὐδὲ ἄπιστον τῶν ὑπ᾽ ἐμοῦ δεικνυμένων· ἀλλὰ σμικρὰ καὶ ἀνθρώπεια ψεύσματα πρὸς θεῖα καὶ μεγάλα. ἐπιχειρήσας γὰρ τὸν πόλεμον εἰπεῖν, τὸν γενόμενον ὑπ᾽ Ἀχαιοῖς πρὸς τοὺς Τρῶας, οὐκ εὐθὺς ἤρξατο ἀπὸ τῆς ἀρχῆς, ἀλλ᾽ ὅθεν ἔτυχεν· ὃ ποιοῦσι πάντες οἱ ψευδόμενοι σχεδὸν, ἐμπλέκοντες καὶ περιπλέκοντες, καὶ οὐθὲν βουλόμενοι λέγειν ἐφεξῆς· ἧττον γὰρ κατάδηλοί εἰσιν· εἰ δὲ μὴ, ὑπ᾽ αὐτοῦ τοῦ πράγματος ἐξελέγχονται. τοῦτο δὲ ἰδεῖν ἐστι καὶ ἐν τοῖς δικαστηρίοις καὶ ἄλλως γινόμενον, οἳ[38]) μετὰ τέχνης ψεύδονται. οἱ δὲ βουλόμενοι τὰ γενόμενα ἐπιδεῖξαι, ὡς ξυνέβη ἕκαστον, οὕτως ἀπαγγέλλουσι, τὸ πρῶτον, πρῶτον· καὶ τὸ δεύτερον, δεύτερον· καὶ τἄλλα ἐφεξῆς ὁμοίως. ἓν μὲν τοῦτο αἴτιον, τοῦ μὴ κατὰ φύσιν ἄρξασθαι τῆς ποιήσεως· ἕτερον δὲ, ὅτι τὴν ἀρχὴν αὐτῆς καὶ τὸ τέλος μάλιστα ἐπεβούλευσεν ἀφανίσαι, καὶ ποιῆσαι[39]) τὴν ἐναν-

μῶλυ εἰπὼν ὅπως οἱ θεοὶ λέγουσιν, οὐκέτι προσίθησι τὸ παρὰ τοῖς ἀνθρώποις ὄνομα (et sic etiam codex regius), καὶ τὸν ποταμὸν εἰπὼν ὅτι οὐ σκάμανδρος, ἀλλὰ ξάνθος ὀνομάζοιτο παρ᾽ αὐτοῖς, (ὃν ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ σκάμανδρον. Iliad. 20. v. 74) οὕτως ἤδη ἐν τοῖς ἔπεσι χρῆται. ὡς ἐξὸν αὐτῷ, μὴ μόνον τὰς τῶν ἑλλήνων φωνὰς μιγνύειν, μὴ δὲ τοῖς σφόδρα ἀρχαίοις, ἀλλὰ καὶ τοῖς δαιμονίοις χρήσεσθαι ὀνόμασι. καὶ ποτὲ μὲν αἰολίζοντα, ποτὲ δὲ δωρίζοντα, πάλιν δὲ ἰάζοντα διαλέγεσθαι καθάπερ οἶμαι θετταλίζοντα ἢ κρητίζοντα. οἷον εἰ τὴν ἀγορὰν ἐκάλει λιμένα, θετταλῶν ἀκούσας. ταῦτα δέ μοι εἴρ. — πρὸς θεῖα καὶ μεγάλα.

37) Veneta melius φαίνεται, et paulo post τῷ γὰρ ὄντι ἀνθρώπινα ψεύσματα (f. ψευσμάτια) καὶ λίαν πιθανὰ πρὸς θείαν καὶ ἀμήχανον φύσιν.

38) οἳ] sic Ven. vnde colligi possit Dionem dedisse: καὶ ἄλλως ὑπὸ πάντων γιγνόμενον, οἳ [vel ὅσοι] μετὰ — Mor. dat ὅπου. [an ἄλλοις legendum sit, propter sequens relatiuum, consideretur. Rhod.]

39) f. καὶ ἐμποιῆσαι.

ἐναντίαν δόξαν ὑπὲρ αὐτῶν. ὅθεν οὔτε τὴν ἀρχὴν οὔτε τὸ τέλος ἐτόλμησεν εἰπεῖν ἐκ τοῦ εὐθέος, οὐδὲ ὑπέσχετο ὑπὲρ τούτων οὐδὲν ἐρεῖν· ἀλλ' εἴ πού καὶ μέμνηται, παρέργως καὶ βραχέως, καὶ δῆλός ἐστιν ἐπιταράττων. οὐ γὰρ ἐθάρρει πρὸς αὐτὰ, οὐδὲ ἐδύνατο ἐρεῖν ἑτοίμως. συμβαίνει δὲ καὶ τοῦτο τοῖς ψευδομένοις ὡς ἐπιτοπολύ γε, ἄλλα μέν τινα λέγειν τοῦ πράγματος, καὶ διατρίβειν ἐπ' αὐτοῖς 40), ὅταν μάλιστα κρύψαι θέλωσιν· οὐ προστιθέμενοι 41) δὲ λέγουσιν, οὐδὲ προσέχοντι τῷ ἀκροατῇ, οὐδ' ἐν 42) τῇ αὐτοῦ χώρᾳ τιθέντες· ἀλλ' ὡς ἂν λάθοιεν μάλιστα, καὶ διὰ τοῦτο, καὶ ὅτι αἰσχύνεσθαι ποιεῖ τὸ ψεῦδος, καὶ ἀποκνεῖν προσιέναι πρὸς αὐτὸ, ἄλλως τε ὅταν 43) ᾖ περὶ τῶν μεγίστων. ὅθεν οὐδὲ τῇ φωνῇ μέγα 44) λέγουσιν ψευδόμενοι, ὅταν ἐπὶ τοῦτο ἔλθωσιν· οἱ δέ τινες αὐτῶν βατταρίζουσι καὶ ἀσαφῶς λέγουσιν· οἱ δὲ, οὐχ ὡς αὐτοί τι εἰδότες, ἀλλ' ὡς ἑτέρων ἀκούσαντες. ὃς δ' ἂν ἀληθῶς λέγῃ τι, θαρρῶν καὶ οὐδὲν ὑποστελλόμενος λέγει. οὔτε οὖν τὰ περὶ τὴν ἁρπαγὴν τῆς Ἑλένης Ὅμηρος εἴρηκεν ἐκ τοῦ εὐθέος, οὐδὲ παρρησίαν ἄγων ἐπ' αὐτοῖς, οὔτε περὶ τῆς ἁλώσεως τῆς πόλεως. καίτοι γὰρ, ὡς ἔφην, ἀνδρειότατος ὢν ὑποκατεκλίνετο καὶ ἡττᾶτο, ὅτι ᾔδει τἀν-

αν-

40) post αὐτοῖς videtur leg. ἄλλων δὲ βραχέως ἐφάπτεσθαι (vel tale quid) ὅσ' ἂν μάλιστα —

41) προστιθέμενοι videtur bene habere, aut certe posse defendi. *assentientes*, assensu suo ipsi rem comprobantes. verum tamen et Casaubonus, cuius iudicium graue debet esse, Anglus et Morellus, pro corrupto id habent. Rhodom. coniecit προτιθέμενοι, et paulo post αὐτοῦ.

42) οὐδ' ἐν] sic codex regius. vnde sic corrigo: οὐδ' ἐν τῇ αὐτοῦ χώρᾳ τιθέντες. In αὐτοῦ respicitur ad latens ἕκαστον. Mor. et Ven. dant οὐδὲν τῇ αὐτῇ χ.

43) f. ἄλλως τε καὶ ὅταν.

44) μέγα bene habet, tametsi vir doctus Ven. meae μεγάλῃ adscripserat; sed οἱ ψευδόμενοι est leg.

αντία λέγων τοῖς οὖσι, καὶ τὸ κεφάλαιον αὐτὸ τοῦ πράγματος ψευδόμενος. ἢ πόθεν μᾶλλον ἄρξασθαι ἔπρεπεν, ἢ ἀπ' αὐτοῦ τοῦ ἀδικήματος καὶ τῆς ὕβρεως τοῦ Ἀλεξάνδρου, δι' ἣν συνέβη[45] ὁ πόλεμος; ἐπειδὴ οὖν ὠργίζοντο πάντες[46] οἱ τῇ ποιήσει ἐντυγχάνοντες, καὶ συνεφιλονείκουν ὑπὲρ τοῦ τέλους, καὶ μηδεὶς ἠλέει τοὺς Τρῶας ἐφ' οἷς ἔπασχον· οὕτω γὰρ εὐνούστερον καὶ προθυμότερον ἕξειν ἔμελλε τὸν ἀκροατήν. εἰ δ' αὖ ἐβούλετο τὰ μέγιστα καὶ φοβερώτατα εἰπεῖν, καὶ πάθη[47] παντοδαπὰ, καὶ συμφορὰς, ἔτι δὲ ὃ πάντων μάλιστα ἕκαστος ἐπόθει ἀκοῦσαι, τί μεῖζον εἶχεν ἢ δεινότερον εἰπεῖν τῆς ἁλώσεως[48]; οὔτε ἀνθρώπους πλείους ἀποθνήσκοντας, οὐδ' οἰκτρότερον, τοὺς μὲν ἐπὶ τοὺς βωμοὺς τῶν θεῶν καταφεύγοντας, τοὺς δὲ ἀμυνομένους ὑπὲρ τῶν τέκνων καὶ τῶν γυναικῶν· οὔτε γυναῖκας ἢ παρθένους ἄλλοσε ἀγομένας, ἢ βασιλίδας ἐπὶ δουλείᾳ τε καὶ αἰσχύνῃ, τὰς μὲν ἀνδρῶν, τὰς δὲ πατέρων, τὰς δὲ ἀδελφῶν ἀποσπωμένας, τὰς δέ τινας, αὐτῶν τῶν ἀγαλμάτων· ὁρώσας μὲν τοὺς φιλτάτους ἄνδρας ἐν φόνῳ κειμένους, καὶ μὴ δυναμένας[49] ἀσπάσασθαι, μηδὲ καθελεῖν τοὺς ὀφθαλμοὺς, ὁρώσας δὲ τὰ νήπια τέκνα

45) Veneta συνέστη, ad ſententiam perinde.

46) f. ἐπειδὴ συνωργίζοντο ἂν πάντες. *nam ſic, qui Homerum legiſſent, vna omnes exarſiſſent in iracundiam.*

47) πάθη] ſic recte vir doctus in Ven. mea, et codex regius. Poterat hic loci Caſaubonus opera irrita ſuperſedere, ſi Venetam inſpexiſſet. In Ven. eſt πάσῃ, et in Mor. πᾶσι.

48) poſt ἁλώσεως deeſſe videtur aliquid ſententiae, e. c. ad hunc modum: οὐδαμοῦ γὰρ ἄλλοθί ἐστιν ἰδεῖν — *nusquam enim alias eſt, quam in vrbis expugnatione, videre, neque plures morientes.*

49) δυναμένας] *vxores, quibus negatum eſſet maritis caeſis oculos deprimere*, h. e. funus eorum curare, eos ad exſequias componere. Ven. et Mor. δυναμένους.

κνα πρὸς τῇ γῇ παιόμενα ὠμῶς· οὔτε ἱερὰ 50) πορθούμενα θεῶν, οὔτε χρημάτων πλῆθος ἁρπαζόμενον, οὔτε κατ' ἄκρας ὅλην ἐμπιπραμένην τὴν πόλιν, οὔτε μείζονα 51) βοὴν ἢ κτύπον χαλκοῦ τε καὶ πυρὸς, τῶν μὲν φθειρομένων, τῶν δὲ ῥιπτομένων· ἃ τὸν Πρίαμον πεποίηκε λέγοντα ἐπ' ὀλίγον 52), ὡς ἐσόμενα 53), ἃ τυχὸν αὐτῷ ὡς γινόμενα διελθεῖν, ὅπως ἐβούλετο, καὶ μεθ' ὅσου 54) τἆλλα 55) εἰώθει διηγήματος 56), ἐκπλήττων τε καὶ αὔξων τὰ μικρότατα. εἰ δέ γε ἤθελεν ἀνδρῶν ἐπισήμων εἰπεῖν θανάτους, πῶς ἀπέλιπε τὸν τοῦ Ἀχιλλέως καὶ τὸν τοῦ Μέμνονος, καὶ Ἀντιλόχου καὶ Αἴαντος, καὶ αὐτοῦ τοῦ Ἀλεξάνδρου; πῶς δὲ τὴν Ἀμαζόνων στρατιὰν 57), καὶ τὴν μάχην ἐκείνην τὴν λεγομένην τοῦ Ἀχιλλέως καὶ

50) οὔτε ἱερὰ] ſcil. πλείω. quod voc. πλείους et πλείω in omnibus ſuperioribus eſt tacite addendum.

51) f. ſic dedit: οὔτε μείζονα κτύπον χαλκοῦ τε καὶ πυρὸς, οὔτε βοὴν τῶν μὲν φθειρομένων, τῶν δὲ ῥιπτομένων.

52) vnde habuerit Morellus ἐπ' ὀλίγων, et quid iudicauerit ea verba ſignificare, paſſus nos eſt ignorare. ἐπ' ὀλίγον eſt in Ven. quod verum puto; tametſi vir doctus ὀλίγων adſcripſit. δι' ἐπῶν ὀλίγων probarem, ſed ἐπ' ὀλίγον ad ſententiam idem eſt.

53) f. ὡς ἐσόμενα τυχὸν (quomodo iam Caſaubonus praecepit) ἐξὸν αὐτῷ ὡς γενόμενα. finxit Priamum, ea obiter, vt fortaſſe futura, commemorantem, quae potuerat ipſe, vt vere facta, enarrare. Rhodom. coni. ὀλίγων, et γενόμενα.

54) μεθ' ὅσου] ſic recte codex regius, et emend. Rhodom. μηθ' ὅσου Ven. Mor. et textum Rhodom.

55) τἆλλα] ſic recte Caſaubonus, neque dubito ſic in regio quoque codice fuiſſe, quia Morellus lectionem eius, in qua τἆλλα non reperio, tamen latine ſic reddidit: *cum tam accurata narratione, quantam in caeteris adhibere conſueuit.*

56) Pro διηγήματος legi malim διάρματος *elatione.*

57) malim στρατείαν. ſaepe iſta duo στρατιὰ et στρατεία in libris permutantur.

καὶ τῆς Ἀμαζόνος γενέσθαι, καλὴν οὕτω καὶ παράδοξον 58); ὁπότε τὸν ποταμὸν αὐτῷ πεποίηκε μαχόμενον, ὑπὲρ τοῦ λέγειν τὶ θαυμαστόν; ἔτι δὲ τοῦ Ἡφαίστου καὶ τοῦ Σκαμάνδρου μάχην καὶ τῶν ἄλλων θεῶν πρὸς ἀλλήλους, τροπάς τε καὶ ἥττας καὶ τραύματα, ἐπιθυμῶν ὅ τι εἴποι μέγα καὶ θαυμαστὸν, ὑπὸ ἀπορίας πραγμάτων τοσούτων 59) ἔτι καὶ τηλικούτων ἀπολειπομένων; ἔστι δὲ τοιαῦτα τὰ λεγόμενα ὑπὸ τοῦ Πριάμου·

Ὃν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
Αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα,
Υἷάς τ' ὀλλυμένους, ἑλκυσθείσας τε θύγατρας,
Καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
Βαλλόμενα προποτὶ γαίῃ, ἐν αἰνῇ δηϊοτῆτι,
Ἑλκομένας τε νυοὺς, ὀλοῆς 60) ὑπὸ χερσὶν Ἀχαιῶν·
Αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν
Ὠμησαὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
Τύψας, ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται.

ἀνάγκη οὖν ἐκ τούτων ὁμολογεῖν, ἢ ἀγνώμονα Ὅμηρον καὶ φαῦλον κριτὴν τῶν πραγμάτων, ὥστε τὰ ἐλάττω καὶ ταπεινότερα αἱρεῖσθαι, καταλιπόντα ἄλλοις τὰ μέγιστά τε καὶ σπουδαιότατα· ἢ μὴ δύνασθαι αὐτὸν, ὅπερ εἶπον, ἰσχυρίζεσθαι τὰ ψευδῆ· ἐν δὲ τούτοις ἐπιδεικνῦναι τὴν ποίησιν, ἃ ἐβούλετο κρύψαι ὅπως γέγονεν. οὕτω γὰρ καὶ ἐν Ὀδυσσείᾳ, τὰ μὲν περὶ τὴν Ἰθάκην καὶ τὸν θάνατον τῶν μνηστήρων αὐτὸς λέγει· τὰ δὲ μέγιστα τῶν ψευσμάτων οὐχ ὑπέμεινεν εἰπεῖν, τὰ περὶ τὴν Σκύλλαν, καὶ

58) poſt παράδοξον deleui ἢ, vt vult Caſaubonus.

59) f. πραγμάτων τοσούτων, ἔτι δὲ καὶ τηλικούτων, ἀπολειπομένων. ἔστι δέ τοι αὐτὰ τα λεγόμενα ὑπὸ Πριάμου. quae vltima verba, vna cum tota rheſi Homerica recte admonuit Rhodomannus expungenda eſſe. ſcholium enim hoc eſt ad p. 319, 6. pertinens.

60) ὀλοῆς] ſic recte Ven. ὀλοῇ Mor.

καὶ τὸν Κύκλωπα, καὶ τὰ φάρμακα τῆς Κίρκης· ἔτι δὲ τὴν εἰς ᾅδου κατάβασιν τοῦ Ὀδυσσέως, ἀλλὰ τὸν Ὀδυσσέα ἐποίησε διηγούμενον τοῖς περὶ τὸν Ἀλκίνοον. ἐκεῖ δὲ καὶ [61]) τὰ περὶ τὸν ἵππον καὶ τὴν ἅλωσιν τῆς Τροίας διεξιόντα τὸν Δημόδοκον ἐν ᾠδῇ, δι' ὀλίγων ἐπῶν. δοκεῖ δέ μοι μηδὲ προθέσθαι ταῦτα τὴν ἀρχὴν, ἅτε οὐ γενόμενα· προϊούσης δὲ τῆς ποιήσεως, ἐπεὶ ἑώρα τοὺς ἀνθρώπους ῥᾳδίως πάντα πειθομένους, καταφρονήσας αὐτῶν, καὶ ἅμα χαριζόμενος τοῖς Ἕλλησι καὶ τοῖς Ἀτρείδαις, πάντα συγχέαι καὶ μεταστῆσαι τὰ πράγματα εἰς τοὐναντίον. λέγει δὲ ἀρχόμενος·

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος
Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
Ἡρώων· αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν,
Οἰωνοῖσί τε πᾶσι· Διὸς δ' ἐτελείετο βουλή.

ἐνταῦθά φησι περὶ μόνης ἐρεῖν τῆς τοῦ Ἀχιλλέως μήνιδος, καὶ τὰς συμφορὰς καὶ τὸν ὄλεθρον τῶν Ἀχαιῶν, ὅτι πολλὰ καὶ δεινὰ ἔπαθον, καὶ πολλοὶ ἀπώλοντο καὶ ἄταφοι ἔμειναν, ὡς ταῦτα μέγιστα τῶν γενομένων [62]), καὶ ἄξια τῆς ποιήσεως, καὶ τὴν τοῦ Διὸς βουλὴν ἐν τούτοις φησὶ τελεσθῆναι, ὥσπερ οὖν καὶ συνέβη [63]). τὴν δὲ ὕστερον μεταβολὴν τῶν πραγμάτων, καὶ τὸν τοῦ Ἕκτορος θάνατον, ἃ ἔμελλε [64]) χαριεῖσθαι, ὑπεχόμενος, οὐδὲ ὅτι ὕστερον ἑάλω τὸ

61) καὶ] scil. ἐποίησε *finxit, commentus est.*
62) f. μέγιστα ὄντα τῶν γενομένων.
63) ὥσπερ οὖν καὶ συνέβη] non satis haec intelligo, cur ea Dio dixerit, et qui potuerit, cum aduersentur eius sententiae.
64) f. καὶ τἄλλα, ἃ ἔμελλε χαριεῖσθαι, οὐδαμοῦ φαίνεται ὑποσχόμενος. Rhodom. coni. ὑπερθέμενος, vel ὑφελόμενος.

τὸ Ἴλιον. ἴσως γὰρ οὐκ ἦν πω βεβουλευμένος ἀναστρέφειν 65) ἅπαντα. ἔπειτα βουλόμενος τὴν αἰτίαν εἰπεῖν τῶν κακῶν, ἀφεὶς τὸν Ἀλέξανδρον καὶ τὴν Ἑλένην, περὶ Χρύσου φλυαρεῖ καὶ τῆς ἐκείνου θυγατρός. ἐγὼ οὖν ὡς ἐπυθόμην 66) παρὰ τῶν ἐν Αἰγύπτῳ ἱερέων ἑνός, εὖ μάλα λέγοντος ἐν τῷ Ὀνουφίτῃ 67), ἄλλα τε πολλὰ τῶν Ἑλλήνων καταγελῶντος, ὡς οὐθὲν εἰδότων ἀληθὲς περὶ τῶν πλείστων, καὶ μάλιστα δὲ τεκμηρίῳ τούτῳ χρωμένου, ὅτι Τροίαν τε εἰσὶ πεπεισμένοι ὡς ἁλοῦσαν ὑπὸ Ἀγαμέμνονος, ὅτι Ἑλένη συνοικοῦσα Μενελάῳ ἠράσθη 68) Ἀλεξάνδρου· καὶ ταῦτα οὕτως ἄγαν πεπεισμένοι εἰσὶν ὑφ' ἑνὸς ἀνδρὸς ἐξαπατηθέντες, ὥστε καὶ ὀμόσαι ἕκαστος. ἔφη δὲ πᾶσαν τὴν πρότερον ἱστορίαν γεγράφθαι παρ' αὐτοῖς, τὴν μέν, ἐν τοῖς ἱεροῖς 69), τὴν δέ, ἐν στήλαις τισί, τὰ δὲ μνημονεύεσθαι μόνον ὑπ' ὀλίγων, τῶν στηλῶν διαφθαρεισῶν· πολλὰ δὲ καὶ ἀπιστεῖσθαι 70) τῶν ἐν στήλαις γεγραμμένων, διὰ τὴν ἀμαθίαν

65) ἀναστρέφειν] f. ἀνατρέπειν, nisi Dio illud pro hoc vsurpauit. solent enim illa verba στρέφειν et τρέπειν inter se permutari, tametsi haud scio, an culpa saepe in librarios conferenda sit.

66) ἐγὼ οὖν ὡς ἐπυθόμην] Apodosis horum verborum est p. 324, 14 in illis: ὡς οὖν ἤκουσα παρ' ἐκείνου, πειράσομαι εἰπεῖν.

67) Ὀνουφίτῃ vnde sit, et a quo auctore profectum, ignoramus. in Ven. quidem est ὄνυχι, quod idem Morellus se reperisse testatur in cod. regio, suspicans f. ἐν τῇ Ὀνούφι leg. esse.

68) sic recte dat Ven. ἐράσθη Mor.

69) nullus dubito post τοῖς ἱεροῖς deesse βιβλίοις.

70) ἀπιστεῖσθαι videtur a sententia alienum, quae potius verbum postulat, cuius sit haec vis: ignota et ignorabilia fieri, e. c. ἀπυστεῖσθαι (ab ἄπυστος, fieri, quod πεύσει inquisitione et perscrutatione indagari et erui nequeat) vel ἀγνωστεῖσθαι, fieri ἄγνωστον ignorabile quid, quod digno-

θίαν τε καὶ ἀμέλειαν τῶν ἐπιγιγνομένων· εἶναι δὲ[71]), καὶ ταῦτα ἐν τοῖς νεωτάτοις, τὰ περὶ τὴν Τροίαν· τὸν γὰρ Μενέλεων ἀφικέσθαι παρ' αὐτοὺς, καὶ διηγήσασθαι ἅπαντα ὡς ἐγένετο. δεομένου δέ μου διηγήσασθαι, τὸ μὲν πρῶτον οὐκ ἐβούλετο, λέγων, ὅτι ἀλαζόνες εἰσὶν οἱ Ἕλληνες, καὶ ἀμαθέστατοι ὄντες, πολυμαθεστάτους ἑαυτοὺς νομίζουσι· τούτου δὲ μηθὲν εἶναι νόσημα χαλεπώτερον, μήτε ἑνὶ, μήτε πολλοῖς, ἢ ὅταν τις, ἀμαθὴς ὢν, σοφώτατον ἑαυτὸν νομίζῃ. τοὺς γὰρ τοιούτους τῶν ἀνθρώπων μηδέποτε δύνασθαι τῆς ἀγνοίας ἀπολυθῆναι. οὕτω δὲ, ἔφη, γελοίως ἀπὸ τούτων[72]) διάκεισθε ὑμεῖς, ὥστε ποιητὴν ἕτερον Ὁμήρῳ πεισθέντα, καὶ ταῦτα[73]) πάντα ποιήσαντα περὶ Ἑλένης, Στησίχορον, ὡς οἶμαι, τυφλωθῆναι φατὲ ὑπὸ τῆς Ἑλένης, ὡς ψευσάμενον· αὖθις δὲ ἀναβλέψαι τἀναντία ποιήσαντα. καὶ ταῦτα λέγοντες οὐδὲν ἧττον ἀληθῆ φασιν εἶναι τὴν Ὁμήρου ποίησιν. καὶ τὸν μὲν Στησίχορον[74]) ἐν τῇ ὕστερον ᾠδῇ λέγειν, ὅτι τοπαράπαν οὐδὲ πλεύσειεν ἡ Ἑλένη οὐδαμόσε· ἄλλοι δέ τινες[75]), ὡς ἁρπασθείη μὲν Ἑλένη ὑπὸ τοῦ Ἀλεξάνδρου, δεῦρο δὲ παρ' ἡμᾶς εἰς Αἴγυπτον ἀφίκετο. καὶ τοῦ πράγματος οὕτως ἀμφισβητουμένου, καὶ πολλὴν ἄγνοιαν ἔχοντες, οὐδὲ οὕτως ὑποπτεῦσαι δύνανται τὴν ἀπάτην. τούτου δὲ αἴτιον ἔφη εἶναι, ὅτι φιλήδονοί εἰσιν οἱ Ἕλληνες· ἃ

dignosci, discerni, legi, percipi nequeat, vel ἀϊστοῦσθαι, fieri ἄϊστον eodem sensu.

71) εἶναι δὲ] subaudi ἐκεῖ.

72) ἀπὸ τούτων] Homericis figmentis de rebus Troianis.

73) ταῦτα] leg. ταὐτά.

74) τὸν μὲν Στησίχορον] scil. φασίν. nam Aegyptius ille sacerdos ipsas illas Stesichori contrarias sibi odas super Helena ipse non legerat, sed auditione tantum earum argumentum cognorat.

75) ἄλλοι δέ τινες] rursus subaudi φασίν.

δ' ἂν ἀκούσωσιν ἡδέως τινὸς λέγοντος, ταῦτα καὶ ἀληθῆ νομίζουσι. καὶ τοῖς μὲν ποιηταῖς ἐπιτρέπουσιν ὅ, τι ἂν θέλωσι ψεύδεσθαι, καί φασιν ἐξεῖναι αὐτοῖς, ὅμως δὴ [76]) πιστεύουσιν οἷς ἂν ἐκεῖνοι λέγωσι, καὶ μάρτυρας αὐτοὺς ἐπάγονται ἐνίοτε περὶ ὧν ἀμφισβητοῦσι· παρὰ δὲ Αἰγυπτίοις μὴ ἐξεῖναι μηδὲ ἐμμέτρως [77]) λέγεσθαι, μηδὲ εἶναι ποίησιν τοπαράπαν· ἐπίστασθαι γὰρ, ὅτι φάρμακον τοῦτο ἡδονῆς ἐστι πρὸς τὴν ἀκοήν. ὥσπερ οὖν οἱ διψῶντες οὐδὲν δέονται οἴνου, ἀλλ' ἀπόχρη αὐτοῖς ὕδατος πιεῖν· οὕτως οἱ τἀληθῆ εἰδέναι θέλοντες οὐδὲν δέονται μέτρων, ἀλλ' ἐξαρκεῖ αὐτοῖς ἀκοῦσαι ἁπλῶς. ἡ δὲ ποίησις ἀναπείθει τὰ ψευδῆ ἀκούειν, καὶ ὥσπερ οἶνον πίνειν μάτην. ὡς οὖν ἤκουσα παρ' ἐκείνου, πειράσομαι εἰπεῖν, προστιθεὶς ἐξ ὧν ἐδόκει μοι ἀληθῆ τὰ λεγόμενα. ἔφη γὰρ, ἐν Σπάρτῃ γενέσθαι Τυνδάρεων σοφὸν ἄνδρα καὶ βασιλέα μέγιστον· τούτου δὲ καὶ Λήδας δύο θυγατέρας κατὰ ταυτὸ, ἅσπερ [78]) ἡμεῖς ὀνομάζομεν, Κλυταιμνήστραν καὶ Ἑλένην, καὶ δύο ἄῤῥενας παῖδας, καλοὺς καὶ μεγάλους, καὶ πολὺ τῶν Ἑλλήνων ἀρίστους. εἶναι δὲ τὴν Ἑλένην ἐπὶ κάλλει περιβόητον, καὶ πολλοὺς μνηστῆρας αὐτῆς, ἔτι σμικρᾶς παιδὸς οὔσης. γενέσθαι δὲ αὐτῆς ἁρπαγὴν ὑπὸ Θησέως βασιλέως ὄντος Ἀθηνῶν. τοὺς οὖν ἀδελφοὺς τῆς Ἑλένης εὐθέως ἐλθεῖν εἰς τὴν τοῦ Θησέως χώραν, καὶ πορθῆσαι τὴν πόλιν, καὶ κομίσασθαι τὴν ἀδελφήν· τὰς μὲν οὖν ἄλλας γυναῖκας ἀφιέναι λαβόντας· τὴν δὲ τοῦ Θησέως μητέρα αἰχμάλω-

τον

76) δὴ etiam Ven. nihilominus tamen leg. δὲ.

77) f. μηδὲν ἐμμέτρως.

78) Rhodom. et Casaubonus dant ὥσπερ pro ἅσπερ. sed non videtur hoc sufficere: forte dedit Dio κατὰ ταὐτὸ ὡς παρ' ἡμῖν ὀνομαζομένας, aut ἃς κατὰ ταὐτὸ, ὥσπερ ἡμεῖς, ὀνομάζουσιν. scil. Aegyptii, aut denique κ. τ. ὥσπερ ἡ. ὀνομάζων, scil. ἔφη sacerdos ille Aegyptius.

τον ἄγειν, τιμωρουμένους αὐτήν. εἶναι γὰρ αὐτοὺς ἀξιομάχους πρὸς ἅπασαν τὴν Ἑλλάδα, καὶ καταστρέψασθαι ῥᾳδίως ἄν, εἰ ἐβούλοντο. εἶπεν οὖν, ὅτι καὶ παρ' ἡμῖν ταῦτα λέγεται, καὶ προσέτι, ὡς αὐτὸς ἑωρακὼς εἴην ἐν Ὀλυμπίᾳ ἐν τῷ ὀπισθοδόμῳ τοῦ νεὼ τῆς Ἥρας ὑπόμνημα τῆς ἁρπαγῆς ἐκείνης, ἐν τῇ ξυλίνῃ κιβωτῷ τῇ ἀνατεθείσῃ ὑπὸ Κυψέλου [79]), τοὺς Διοσκόρους ἔχοντας τὴν Ἑλένην ἐπιβεβηκυῖαν τῇ κεφαλῇ τῆς Αἴθρας, καὶ τῆς κόμης ἕλκουσαν, καὶ ἐπίγραμμα ἐπιγεγραμμένον ἀρχαίοις γράμμασι. μετὰ δὲ ταῦτα, ἔφη, φοβούμενος τοὺς Τυνδαρείδας ὁ Ἀγαμέμνων· ἠπίστατο γάρ, ὅτι ξένος ὢν καὶ ἔπηλυς ἄρχει τῶν Ἀργείων· ἐβούλετο προσλαβεῖν αὐτοὺς κηδεστάς, καὶ διὰ τοῦτο ἔγημε Κλυταιμνήστραν· τὴν δὲ Ἑλένην ἐμνήστευε μὲν τῷ ἀδελφῷ, οὐθεὶς δὲ ἔφασκε τῶν Ἑλλήνων ἐπιτρέψειν· καὶ γὰρ προσήκειν ἕκαστος αὐτῷ τοῦ γένους [80]) μᾶλλον, ἢ Μενελάῳ, Πελοπίδῃ ὄντι. ἧκον δὲ καὶ ἔξωθεν πολλοὶ μνηστῆρες, διά τε τὴν δόξαν τὴν περὶ τοῦ κάλλους, καὶ τὴν δύναμιν τῶν ἀδελφῶν καὶ τοῦ πατρός. ἐδόκει οὖν μοι καὶ τοῦτο ἀληθὲς λέγειν, ὅπου τὴν Πλεισθένους [81]) θυγατέρα, τοῦ Σικυωνίου τυράννου, καὶ τῶν ἀπὸ Ἰταλίας τινὰς μνηστεῦσαι φασίν. ἔτι δὲ Ἱπποδάμειαν τὴν Οἰνομάου Πέλοψ ἔγημεν ἐκ τῆς Ἀσίας ἀφικόμενος· Θησεὺς δὲ ἀπὸ τοῦ Θερμώδοντος ποταμοῦ, μίαν τῶν Ἀμαζόνων. ὡς δὲ ἐκεῖνος ἔφη, καὶ τὴν Ἰὼ ἀφικέσθαι [82]) ἐκδοθεῖσαν εἰς Αἴγυπτον, ἀλ-

79) κυψέλου.

80) τοῦ γένους] f. τοὺς γάμους. *cum Helena coniugium.* nisi vulgatam sic accipias, vt ἕνεκα subaudias et ἑλληνικοῦ, *propterea quod ipse graecus sit.*

81) Πλεισθένους] Casaubonus mauult Κλ. v. Herodot. VI. 126. Pausan. p. 129.

82) post ἀφικέσθαι aut in hac regione videtur συνέβη excidisse.

λὰ μὴ θοῦν γενομένην. οὕτως δὲ ἔθους ὄντος ἐκδιδόναι καὶ λαμβάνειν γυναῖκας παρ' ἀλλήλων, καὶ τοὺς πλεῖστον ἀπέχοντας καὶ τοὺς ἐνδοξοτάτους, καὶ τὸν Ἀλέξανδρον ἀφικέσθαι κατὰ μνηστείαν, ἔφη, πιστεύοντα τῇ δυνάμει τοῦ πατρὸς, σχεδόν τι βασιλεύοντος τῆς Ἀσίας ἁπάσης, καὶ οὐδὲ πολὺ τῆς Τροίας ἀπεχούσης, ἄλλως τε καὶ τῶν Πελοπιδῶν ἤδη δυναστευόντων ἐν τῇ Ἑλλάδι, καὶ πολλῆς ἐπιμιξίας γενομένης. ἐλθόντα δὲ μετὰ πολλοῦ πλούτου καὶ πολλῆς παρασκευῆς, ὡς ἐπὶ μνηστείαν, καὶ διαφέροντα κάλλει αὐτὸν, εἰς λόγους καταστῆναι Τυνδάρεῴ τε καὶ τοῖς ἀδελφοῖς τῆς Ἑλένης, καὶ [83]) λέγοντα περὶ τῆς ἀρχῆς τοῦ Πριάμου, καὶ τῶν χρημάτων τοῦ πλήθους, καὶ τῆς ἄλλης δυνάμεως, καὶ ὅτι αὐτοῦ γίγνοιτο ἡ βασιλεία· τὸν δὲ Μενέλεων ἰδιώτην, ἔφη, εἶναι· τοῖς γὰρ Ἀγαμέμνονος παισὶν, ἀλλ' οὐκ ἐκείνῳ τὴν ἀρχὴν προσήκειν. καὶ ὡς θεοφιλὴς εἴη, καὶ ὡς ἡ Ἀφροδίτη αὐτῷ ὑπόσχοιτο τὸν ἄριστον γάμον τῶν ἐν ἀνθρώποις· αὐτὸς οὖν προκρῖναι τὴν ἐκείνου θυγατέρα, ἐξὸν αὐτῷ λαβεῖν ἐκ τῆς Ἀσίας τινὰ [84]), εἰ βούλοιτο, εἴτε τοῦ Αἰγυπτίων βασιλέως, εἴτε τοῦ Ἰνδῶν. τῶν μὲν γὰρ ἄλλων ἁπάντων ἔλεγεν αὐτὸς ἄρχειν ἀρξάμενος ἀπὸ Τροίας μέχρι Αἰθιοπίας· καὶ γὰρ Αἰθιόπων βασιλεύειν τὸν αὐτοῦ ἀνεψιὸν Μέμνονα, ἐκ Τιθωνοῦ ὄντα τοῦ Πριάμου ἀδελφοῦ. καὶ ἄλλα πολλὰ ἔλεγεν ἐπαγωγὰ, καὶ δῶρα ἐδίδου τῇ τε Λήδᾳ καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν, ὅσα οὐδὲ ξύμπαντες οἱ Ἕλληνες ἐδύναντο. ἔφη δὲ καὶ ξυγγενὴς εἶναι τῆς Ἑλένης καὶ αὐτός. ἀπὸ γὰρ Διὸς εἶναι τὸν Πρίαμον. πυνθάνεσθαι δὲ κἀκείνους καὶ

τὴν

83) καὶ videtur redundare atque delendum esse; nisi malumus id seruare eique addere αὐτῇ. *ipsique adeo Helenae.*

84) τινὰ] in Ven. est τινὰς, vnde colligo leg. esse: ἐκ τῆς ἀσίας ἅστινας οὖν βούλ.

τὴν ἀδελφὴν αὐτῶν Διὸς ὄντας. τῷ δὲ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ μὴ προσήκειν ὀνειδίζειν αὐτῷ τὴν πατρίδα. καὶ γὰρ αὐτοὺς εἶναι Φρύγας ἀπὸ Σιπύλου. πολὺ δὴ κρεῖττον τοῖς βασιλεῦσι κηδεύειν τῆς Ἀσίας, ἢ τοῖς ἐκεῖθεν μετανάσταις. καὶ γὰρ Λαομέδοντα Τελαμῶνι δοῦναι τὴν ἑαυτοῦ θυγατέρα Ἡσιόνην· ἐλθεῖν γὰρ αὐτὸν εἰς Τροίαν μνηστῆρα μετὰ Ἡρακλέους, ἄγειν δὲ καὶ τὸν Ἡρακλέα φίλον ὄντα καὶ ξένον Λαομέδοντι. πρὸς οὖν ταῦτα ὁ Τυνδάρεως ἐβουλεύετο μετὰ τῶν παίδων. καὶ ἐδόκει αὐτοῖς σκοποῦσιν, οὐ χεῖρον εἶναι προσλαβεῖν τοὺς ἐκ τῆς Ἀσίας βασιλέας. τῶν μὲν γὰρ Πελοπιδῶν [85]) οἰκίαν ἔχειν Κλυταιμνήστραν συνοικοῦσαν Ἀγαμέμνονι, λοιπὸν δὲ, εἰ Πριάμῳ κηδεύσειαν, καὶ τῶν ἐκεῖ πραγμάτων κρατεῖν, καὶ μηδένα αὐτοὺς κωλύειν τῆς Ἀσίας καὶ τῆς Εὐρώπης ἄρχειν ἁπάσης. πρὸς δὲ ταῦτα ἠγωνίζετο μὲν ὁ Ἀγαμέμνων· ἡττᾶτο δὲ τοῖς δικαίοις. ἔφη γὰρ ὁ Τυνδάρεως, ἱκανὸν εἶναι αὐτῷ κηδεύσαντι· καὶ ἅμα ἐδίδασκεν, ὅτι οὐδὲ συμφέρει τὸν ἀδελφὸν αὐτοῦ τυγχάνειν τῶν ἴσων· οὕτω γὰρ μᾶλλον ἐπιβουλεύσειν· οὐδὲ γὰρ Ἀτρεῖ Θυέστην εὔνουν γενέσθαι. μάλιστα δ' ἔπειθεν αὐτὸν, λέγων, ὅτι [86]) οὐκ ἀνέξονται οἱ ἄλλοι μνηστῆρες τῶν Ἑλλήνων ἀποτυχόντες, οὔτε Διομήδης, οὔτε Ἀντίλοχος, οὔτε Ἀχιλλεὺς, ἀλλὰ πολεμήσουσιν· καὶ ὅτι κινδυνεύσει τοὺς δυνατωτάτους ποιῆσαι τῶν Ἑλλήνων πολεμίους [87]). κρεῖττον οὖν εἶναι μὴ καταλιπεῖν ἀρχὴν πολέμου καὶ

85) malim τὴν μὲν γὰρ τῶν Πελοπιδῶν οἰκίαν οἰκείαν ἔχειν, Κλυταιμνήστρας συνοικούσης Ἀγαμέμνονι. *nam se domum Pelopidarum sibi habere coniunctam atque addictam, ex quo Clytaemnestra penes Agamemnonem esset.* vel, si tanti motus displiceant, saltim συνέχειν suaserim, pro simplici ἔχειν.

86) in Ven. est ἔπειθε λέγων αὐτὸν, ὅτι —

87) f. αὐτῷ πολεμίους.

ςάσεως ἐν τοῖς Ἕλλησι. τὸν δὲ ἄχθεσθαι μὲν, οὐκ ἔχειν δὲ, ὅπως κωλύσῃ τὸν Τυνδάρεων· κύριον γὰρ εἶναι τῆς αὐτοῦ θυγατρὸς, καὶ ἅμα φοβεῖσθαι τοὺς παῖδας αὐτοῦ· καὶ οὕτω δὴ λαβεῖν Ἀλέξανδρον τὴν Ἑλένην ἐκ τοῦ δικαίου, πείσαντα τοὺς γονεῖς αὐτῆς, καὶ τοὺς ἀδελφοὺς, καὶ ἀφικέσθαι ἄγοντα μετὰ πολλοῦ ζήλου καὶ χαρᾶς· καὶ τόν τε Πρίαμον καὶ τὸν Ἕκτορα, καὶ τοὺς ἄλλους ἅπαντας ἥδεσθαι τῷ γάμῳ, καὶ τὴν Ἑλένην ὑποδέχεσθαι μετὰ θυσιῶν καὶ εὐχῶν. σκόπει δὲ, ἔφη, τὴν εὐήθειαν τοῦ ἐναντίου λόγου, εἴ σοι δοκεῖ δυνατὸν εἶναι, πρῶτον μὲν ἐρασθῆναί τινα γυναικὸς, ἣν οὐ πώποτε εἶδεν; ἔπειτα καὶ πεῖσαι καταλιποῦσαν τὸν ἄνδρα καὶ τὴν πατρίδα, καὶ πάντας τοὺς ἀναγκαίους, ἔτι δὲ οἶμαι θυγατρίου γεγονυῖαν μητέρα, συνακολουθῆσαι ἀνδρὶ ἀλλοφύλῳ; διὰ ταύτην γὰρ τὴν ἀλογίαν συνέπλασαν τὸν περὶ τῆς Ἀφροδίτης μῦθον, πολὺ τούτων ἀποπληκτότερον. εἰ δὲ ὁ Ἀλέξανδρος ἐνεθυμήθη [88]), πῶς τε ὁ πατὴρ [89]) ἐπέτρεψεν οὐκ ὢν ἀνόητος, ἀλλὰ καὶ σφόδρα δοκῶν νοῦν ἔχειν, καὶ ἡ μήτηρ; πῶς γὰρ εἰκὸς, τὸν Ἕκτορα ὕστερον μὲν ὀνειδίζειν καὶ λοιδορεῖσθαι αὐτῷ περὶ τῆς ἁρπαγῆς, ὥς φησιν Ὅμηρος; λέγει γὰρ οὕτως·

Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ,
Αἴθ' ὄφελές τ' ἄγονός τ' ἔμεναι, ἄγαμός τ' ἀπολέσθαι·
Οὐ γάρ τοι χραίσμῃ κίθαρις, τά τε δῶρ' Ἀφροδίτης,
Ἥ τε κόμη, τό, τε εἶδος, ὅτ' ἐν κονίῃσι μιγείης.

ἐξ

88) suspectum verbum ἐνεθυμήθη. si bene habet, non certe vim solitam hic obtinet, *religioni sibi duxit, ad mentem atque cogitationem sibi reuocauit*, sed vsurpatum est pro ἐπεθύμησε *cupidine mulieris exarsit.*

89) in Ven. est πῶς ὅσα πατὴρ. forte voluit dare πῶς ὅ γε πατὴρ.

ἐξ ἀρχῆς δὲ πράττοντι συγχωρῆσαι ταῦτα; ὅ, Θ' Ἕλενος πῶς οὐ προέλεγε, μάντις ὤν; ἥ τε Κασσάνδρα θεοφορουμένη; πρὸς δὲ τούτοις, ὁ Ἀντήνωρ δοκῶν φρονεῖν; ἀλλ' ὕστερον ἠγανάκτουν καὶ ἐπέπληττον ἐπὶ πεπραγμένοις, ἐξὸν ἀφικέσθαι 90) κωλύειν. ἵνα δὲ εἰδῇς τὴν ὑπερβολὴν τῆς ἠλιθιότητος, καὶ ὡς τὰ ψευδῆ ἀλλήλοις μάχεται 91)· λέγουσι γάρ, ὡς πρὸ ὀλίγων ἐτῶν Ἡρακλῆς πεπορθήκει τὴν πόλιν διὰ μικρὰν πρόφασιν ὀργισθείς, ὑπὲρ ἵππων, ὅτι ὑποσχόμενος αὐτῷ δώσειν ὁ Λαομέδων ψεύσαιτο. καὶ ἐγὼ ἀνεμνήσθην τῶν ἐπῶν, ἐν οἷς ταῦτά φησιν·

Ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος,
Ἕξ οἴης σὺν νηυσὶ, καὶ ἀνδράσι παυροτέροισιν,
Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δ' ἀγυιάς.

οὐκοῦν, εἶπεν, οὐδὲ τοῦτο ἀληθὲς λέγουσι. πῶς γὰρ ἐν ὀλίγῳ χρόνῳ, οὕτω πόλις ἁλοῦσα καὶ ἐρημωθεῖσα, τοσαύτην ἐπίδοσιν ἔσχεν, ὡς μεγίστην γενέσθαι τῶν κατὰ τὴν Ἀσίαν; πῶς δὲ ὁ μὲν Ἡρακλῆς σὺν ἓξ ναυσὶν εἷλεν, ἐκ πολλοῦ ἀνάλωτον 92) οὖσαν; οἱ δὲ Ἀχαιοὶ μετὰ νεῶν χιλίων καὶ διακοσίων ἐλθόντες, οὐκ ἐδύναντο ἑλεῖν 93); ἢ πῶς τὸν Πρίαμον εἴασε βασιλεύειν

90) Rhodomannus locum hunc ſic reddidit: *cum potuiſſent eius profectionem impedire.* tamen exiſtimem opus nil eſſe, vt a vulgari verbi vſurpatione h. l. diſcedamus; poteſt enim locus ita accipi, ac ſi dixiſſet Dio: cum penes eos eſſet, Parin impedire, quo minus, appellens cum Helena ad litus Troianum, exſcenderet. ἀφικέσθαι poteſt hic eſſe, *confecto itinere, in patriam redire.*

91) μάχεται] ſubaudi ἴσθι ταυτὶ, aut πρόσεχε τὸν νοῦν τοῖς λεχθησομένοις, vel tale quid.

92) ἀνάλωτον] in Ven. eſt ἀπόῤῥητον, vnde vir doctus effecit ἀπόρθητον, quod etiam in regio eſſe teſtatur Morellus.

93) praemiſſum ἐκ πολλοῦ ἀνάλωτον οὖσαν videtur ſubiicere, hic deeſſe poſt ἑλεῖν hanc ferme ſententiam: τὴν πρὸ ὀλίγου ἁλοῦσαν, vel tale quid.

σιλεύειν ὁ Ἡρακλῆς, ἀποκτείνας αὐτοῦ τὸν πατέρα, ὡς πάντων ἐχθρότατον, ἀλλ' οὐκ ἄλλον τινὰ ἀπέδειξεν ἄρχοντα τῆς χώρας; εἰ δ' οὖν οὕτω πως φασὶ, πῶς οὐκ ἔφριττον[94]) οἱ Τρῶες καὶ ὁ Πρίαμος τὴν πρὸς τοὺς Ἕλληνας ἔχθραν, εἰδότες, ὅτι καὶ πρότερον, οὐθὲν τηλικοῦτον ἐξαμαρτόντες[95]), ἀπώλοντο καὶ ἀνάστατοι ἐγένοντο; καὶ πολλοὶ μνημονεύοντες[96]) τὴν ἅλωσιν[97]) μηδὲν τοιοῦτον ἐννοῆσαι, μηδὲ κωλῦσαι τὸν Ἀλέξανδρον μηθένα αὐτῶν; τίνα δὲ τρόπον ἀφικόμενος εἰς τὴν Ἑλλάδα συνῆν τῇ Ἑλένῃ, καὶ διελέγετο, καὶ τελευτῶν ἀνέπεισεν αὐτὴν[98]), μήτε γονέων, μήτε πατρίδος, μήτε ἀνδρὸς ἢ θυγατρὸς, μήτε τῆς παρὰ τοῖς Ἕλλησι φήμης φροντίσασαν, ἀλλὰ μηδὲ τοὺς ἀδελφοὺς φοβηθεῖσαν περιόντας, οἳ πρότερον αὐτὴν ἀφείλοντο Θησέως, καὶ οὐ περιεῖδον

94) In Ven. est πῶς γὰρ οὐκ ἔφρ. Mihi, vt in loco lacero et desperato sine meliorum ope codicum, sic tantisper leg. videtur, donec certiora vndeunde exsistant: εἰ δ' οὖν οὕτω ταῦτ' εἶχε, πῶς ἐκεῖνα φασί? *quod si autem haec*, (de Laomedonte et Hercule et prima Troiae deuastatione quae narrant,) *se sic habuere, quomodo ausi sunt ista* (de Paridis facinore, et Helenae raptu) *comminisci?* πῶς γὰρ, εἰ ἔφριττον. *Nam si Troiani Graecorum simultates exhorruerunt.* Rhodom. vult εἰ δ' ἦν οὕτω.

95) ἐξαμαρτόντες] sic recte Casaub. ἐξαμαρτῶντες Ven. et Mor.

96) post μνημονεύοντες videtur ἔτι deesse. Rhodom. coni. πολλοὺς μνημονεύοντας.

97) post ἅλωσιν videtur πῶς οἷόν τε vel πῶς ἐνδέχεται, deesse, *qui fieri potuit, vt eorum nemini horum quicquam in mentem veniret.* Possit quoque minori motu locus sic constitui: εἰ δ' οὖν οὕτως ἔφριττον οἱ Τρῶες — μνημονεύοντες ἔτι τὴν ἅλωσιν, πῶς φασὶ (scil. Homerus et Graeci haec affirmantes) μηδὲν τοιοῦτον — haec posterior ratio mihi maxime placet, vt omnium expeditissima et planissima.

98) post αὐτὴν, aut in hac regione, deesse videtur φυγεῖν, vel ἀποδιδράσκειν, vel tale quid.

εἶδον ἀφαιρεθεῖσαν; τοῦτο μὲν γὰρ παρόντα τὸν Μενέλεων πῶς ταῦτα ἔλαθε γινόμενα; τοῦτο δὲ, ἀπόντος [99]) ἀνδρὸς γυναῖκα εἰς ὁμιλίαν ἀφικνεῖσθαι ξένῳ ἀνδρὶ πῶς εἰκός; τοῦτο δὲ, μηδὲ τῶν ἄλλων μηδένα αἰσθέσθαι τὴν ἐπιβουλὴν, ἢ αἰσθομένους κρύψαι; προσέτι δὲ τὴν Αἴθραν, τὴν τοῦ Θησέως μητέρα, συναπᾶραι αὐτῇ αἰχμάλωτον οὖσαν; οὐ γὰρ ἦν ἱκανὸν, Θησέως μητέρα οὖσαν ἐν Σπάρτῃ δουλεύειν, ἀλλὰ καὶ ᾑρεῖτο ἀκολουθεῖν εἰς Τροίαν; ὁ δὲ Ἀλέξανδρος ἀδεῶς καὶ μετὰ τοσαύτης ἐξουσίας ἔπραττε τὸ πρᾶγμα, ὥστε οὐκ ἦν ἱκανὸν αὐτῷ τὴν γυναῖκα ἀπαγαγεῖν, ἀλλὰ καὶ τὰ χρήματα προσεπέθετο· καὶ μηδὲ ἐπαναχθῆναι [100]) μηδένα αὐτῷ, μήτε τῶν τοῦ Μενέλεω, μήτε τῶν τοῦ Τυνδάρεω, μήτε τοὺς ἀδελφοὺς τῆς Ἑλένης· καὶ ταῦτα νεῶν οὐσῶν ἐν τῇ Λακωνικῇ; ἔτι δὲ ἀπορώτερον, τὸ ἀπὸ Σπάρτης ἐπὶ θάλασσαν ἀνενόχλητον κατιέναι πεζῇ, πολλοῖς, ὡς εἰκὸς, παραχρῆμα περιβοήτου γενομένης τῆς ἁρπαγῆς; καὶ οὕτω μὲν οὐ δυνατὸν ἐλθεῖν Ἑλένην μετὰ Ἀλεξάνδρου· γάμῳ δὲ παρ' ἑκόντων δοθεῖσαν τῶν οἰκείων. οὕτω γὰρ εὔλογον ἦν, τήν τε Αἴθραν ἀφικέσθαι μετ' αὐτῆς, καὶ τὰ χρήματα κομισθῆναι. οὐδὲν γὰρ τούτων ἁρπαγῆς, ἀλλὰ πολὺ μᾶλλον γάμου, σημεῖόν ἐστιν. ἐπεὶ δὲ, ὡς ἔφην, γαμήσας ὁ Ἀλέξανδρος ἀπηλλάγη μετ' αὐτῆς, ὅ, τε Μενέλεως ἠνιᾶτο τῆς μνηστείας ἀποτυχὼν, καὶ τὸν ἀδελφὸν ᾐτιᾶτο, καὶ ἔφη προδοθῆναι ἀπ' αὐτοῦ [1]). ὁ δὲ Ἀγαμέμνων ἐκείνου μὲν ἧττον ἐφρόντιζε, τὸν Ἀλέξανδρον δὲ ἐφοβεῖτο καὶ ὑπώπτευε, μήποτε ἀντιποιήσεται τῶν ἐν τῇ Ἑλλάδι πρα-

99) ἀπόντος] imo vero παρόντος.

100) ἐπαναχθῆναι] subaudi a communi πῶς εἰκὸς, quod saepius h. l. subaudiendum venit.

1) Morellus e codice regio praefert ὑπ' αὐτοῦ.

πραγμάτων, προσηκόντων αὐτῷ διὰ τὸν γάμον. οὕτω δὴ καὶ τοὺς ἄλλους συγκαλεῖ 2) τοὺς μνηστῆρας τῆς Ἑλένης, καὶ ἔφη ὑβρισθῆναι αὐτοὺς ἅπαντας, καὶ τὴν Ἑλλάδα καταφρονηθῆναι, καὶ τὴν ἀρίστην γυναῖκα οἴχεσθαι εἰς τοὺς βαρβάρους ἐκδοθεῖσαν, ὡς οὐδενὸς ὄντος ἀξίου παρ' αὐτοῖς. ταῦτα λέγων, τὸν μὲν Τυνδάρεων παρῃτεῖτο, καὶ συγγνώμην ἔχειν ἐκέλευε· παραλογισθῆναι γὰρ αὐτὸν ὑπὸ δώρων· τὸν δὲ Ἀλέξανδρον αἴτιον ἁπάντων ἀπέφαινε, καὶ τὸν Πρίαμον· καὶ παρεκάλει συστρατεύειν ἐπὶ τὴν Τροίαν· πολλὰς γὰρ ἐλπίδας ἔχειν αἱρήσειν αὐτὴν, συναραμένων ἁπάντων. γενομένου δὲ τούτου, πολλὰ χρήματα διαρπάσειν αὐτοὺς, καὶ χώρας κρατήσειν τῆς ἀρίστης. εἶναι γὰρ τὴν μὲν πόλιν πλουσιωτάτην ἁπασῶν· τοὺς δὲ ἀνθρώπους ὑπὸ τρυφῆς 3) διεφθαρμένους· ἔχειν δὲ καὶ συγγενεῖς πολλοὺς ἐν τῇ Ἀσίᾳ τοὺς ἀπὸ Πέλοπος, οἳ συμπράξουσιν αὐτῷ, μισοῦντες τὸν Πρίαμον. ταῦτα δὴ ἀκούοντες, οἱ μέν τινες ὠργίζοντο, καὶ ἀτιμίαν τῷ ὄντι ἐνόμιζον τῆς Ἑλλάδος τὸ γεγονός· οἱ δέ τινες ἤλπιζον ὠφεληθήσεσθαι ἀπὸ τῆς στρατιᾶς 4). δόξα γὰρ ἦν τῶν ἐν τῇ Ἀσίᾳ πραγμάτων ὡς μεγάλων 5), καὶ πλούτου ὑπερβάλλοντος. εἰ μὲν οὖν ἡττήθησαν ὑπὸ τοῦ Μενέλεω μνηστεύοντος τὴν Ἑλένην, οὐκ ἂν ἐφρόντισαν, ἀλλὰ τοὐναντίον ἐφήδεσθαι ἔμελλον αὐτῷ. νῦν δὲ τὸν Ἀλέξανδρον ἐμίσουν ἅπαντες, αὐτὸς ἕκαστος ἡ-

γούμε

2) συγκαλεῖ et ἔφη bene conſtare poſſe putem; variant auctores ſaepe in temporibus, et deſiliunt ab alio ad aliud. alias facile hic ſit συνεκάλει corrigere, vt paulo poſt παρεκάλει.

3) τρυφῆς] ſic codex regius, Ven. et edit. Rhodom. τροφῆς Mor.

4) στρατιᾶς] imo vero στρατείας, et ſic quoque paulo poſt.

5) f. ὡς μεγάλων ὄντων, καὶ πλ.

γούμενος ἀφῃρῆσθαι τοῦ γάμου 6). οὕτω δὲ τῆς στρατιᾶς γενομένης, πέμψας ὁ Ἀγαμέμνων ἀπῄτει τὴν Ἑλένην. προσῆκε γὰρ αὐτὴν, Ἑλληνίδα οὖσαν, γαμηθῆναί τινα 7) τῶν Ἑλλήνων. ταῦτα δὲ ἀκούσαντες οἱ Τρῶες, ἠγανάκτουν, καὶ ὁ Πρίαμος, καὶ πάντων μάλιστα ὁ Ἕκτωρ, ὅτι, νόμῳ τοῦ Ἀλεξάνδρου λαβόντος παρὰ τοῦ πατρὸς, καὶ τῆς Ἑλένης βουλομένης ἐκείνῳ συνοικεῖν, οἱ δὲ οὕτως ἀναίσχυντον ἐτόλμων λέγειν λόγον· καὶ ἔφασαν γινώσκειν, ὅτι ζητοῖεν πολέμου πρόφασιν· αὐτοὶ δὲ μὴ ἄρχειν πολέμου, κρείττους ὄντες, ἀμύνεσθαι δὲ ἐπιχειροῦντας. καὶ διὰ ταῦτα ὑπέμενον οἱ Τρῶες πολὺν χρόνον πολεμούμενοι, καὶ πολλὰ πάσχοντες, οὐχ ὅσα Ὅμηρός φησιν· ὅμως δὲ καὶ τῆς γῆς αὐτῶν φθειρομένης, καὶ πολλῶν ἀποθνησκόντων ἀνθρώπων, ὅτι ἠπίσταντο ἀδικοῦντας τοὺς Ἀχαιοὺς, καὶ τὸν Ἀλέξανδρον οὐθὲν ἄτοπον πράξαντα. εἰ δὲ μὴ, τίς ἂν ἠνέσχετο αὐτῶν, ἢ τῶν ἀδελφῶν, ἢ ὁ πατὴρ, ἢ τῶν ἄλλων πολιτῶν, ἀπολλυμένων, πάντως γὰρ κινδυνευούσης 8) ἀνάστατου γενέσθαι τῆς πόλεως διὰ τὴν ἐκείνου παρανομίαν, ἐξὸν ἀποδόντας τὴν Ἑλένην, σῶσαι αὐτούς. οἱ δὲ καὶ ὕστερον, ὥς φασιν, Ἀλεξάνδρου ἀποθανόντος, κατεῖχον αὐτὴν, καὶ Δηϊφόβῳ συνῴκιζον, ὡς μέγιστον ἀγαθὸν ἔχοντες ἐν τῇ πόλει, καὶ φοβούμενοι, μὴ καταλίποι αὐτούς. καίτοι εἰ πρότερον ἐρῶσα τοῦ Ἀλεξάνδρου ἔμενεν, πῶς ἔτι ἐβούλετο μένειν, εἰ μὴ καὶ Δηϊφόβου αὐτὴν ἐρασθῆναι λέγουσιν; εἰκὸς γὰρ ἦν πεῖσαι τοὺς Τρῶας ἀπο-

δοῦναι

6) f. ἡγούμενος ὑπ' αὐτοῦ ἀφῃρῆσθαι τὸν γάμον.
7) aut πρός τινα leg. aut τινί.
8) malim sic legi: ἢ ὁ πατὴρ, ἢ τῶν ἄλλων πολιτῶν, ἀπόλλυσθαι πάντας, κινδυνευούσης. Veneta dat: ἀπολλυμένων. πάντες γὰρ κινδυνευούσης. facile apparet in γὰρ esse correctionem τας pro τες in proximo πάντες.

δοῦναι αὐτὴν, ἑτοίμους ὄντας. εἰ δὲ ἐφοβεῖτο τοὺς Ἀχαιοὺς, διαλύσεις πρότερον εὑρέσθαι χρῆν· καὶ γὰρ ἐκεῖνοι 9) ἀγαπητῶς ἂν ἀπηλλάγησαν τοῦ πολέμου, πλείστων καὶ ἀρίστων τεθνηκότων. οὐ γὰρ ἦν ἀληθὲς τὸ 10) τῆς ἁρπαγῆς, οὐδὲ παρέσχον αἰτίαν τοῦ πολέμου οἱ Τρῶες, ὅθεν εὐέλπιδες ἦσαν περιγενέσθαι. οἱ γὰρ ἄνθρωποι, ἐν οἷς ἂν ἀδικῶνται, μέχρις ἐσχάτου ὑπομένουσιν ἀμυνόμενοι. ταῦτα μὲν μὴ ἄλλως νόμιζε πραχθῆναι, ἢ ὡς ἐγὼ λέγω. πολὺ γὰρ πιστότερον, ἑκόντα Τυνδάρεων κηδεῦσαι βασιλεῦσι τῆς Ἀσίας. καὶ Μενέλεων τῆς μνηστείας ἐκπεσόντα 11) βαρέως ἐνεγκεῖν· Ἀγαμέμνονά τε φοβηθῆναι τοὺς Πριαμίδας, μὴ κατάσχωσι τὴν Ἑλλάδα, ἀκούοντα καὶ Πέλοπα, τὸν αὐτοῦ πρόγονον, ἐκ τῆς αὐτῆς ὄντα χώρας, διὰ τὸ κῆδος τοῦ Οἰνομάου τὴν Πελοπόννησον κατασχεῖν, καὶ τοὺς ἄλλους ἡγεμόνας συνάρασθαι τοῦ πολέμου, μνησικακοῦντας, ὅτι αὐτὸς ἕκαστος οὐκ ἔγημεν· ἢ ἐρασθῆναι μὲν Ἀλέξανδρον ἧς ἠγνόει γυναικὸς, ἐπιτρέψαι δὲ αὐτῷ τὸν πατέρα πλεῦσαι τοιαύτης ἕνεκα πράξεως· καὶ ταῦτα, ὥς φασιν, οὐ πάλαι τῆς Τροίας ἀλούσης ὑπὸ Ἑλλήνων, καὶ τοῦ πατρὸς αὐτοῦ Λαομέδοντος ἀποθανόντος· ὕστερον δὲ πολεμουμένους καὶ τοσαῦτα κακὰ πάσχοντας μὴ θέλειν ἐκδοῦναι, μήτε ζῶντος Ἀλεξάνδρου, μήτε ἀποθανόντος, οὐδεμίαν ἐλπίδα ἔχοντας τῆς σωτηρίας· τὴν δὲ Ἑλένην ἐρασθῆναι μὲν ξένου ἀνδρὸς, ᾧ τὴν ἀρχὴν οὐκ εἰκὸς αὐτὴν ἐν ὁμιλίᾳ γενέσθαι, καταλιποῦσαν δὲ τὴν πατρίδα, καὶ τοὺς οἰκείους, καὶ τὸν ἄνδρα,

9) ἐκεῖνοι] nam et illi ipsi, graeci puta.

10) sic recte Veneta, Mor. omittit τὸ.

11) ἐκπεσόντα] in Ven. est Μενέλαον τῆς μνηστείας ὑπελπίσαντα, pro quo vir doctus recte adscripsit ἀπελπίσαντα. quo accedit etiam codex regius, in quo, teste Morello, est Μενελάῳ — ἀπελπίσαντι. textum Rhodom. dat ὑπελπίζοντα, sed in emend. ἀπελπίζοντα est.

ἄνδρα, μετ' αἰσχύνης ἐλθεῖν εἰς ἀνθρώπους μισοῦντας. πάντα δὲ ταῦτα γινόμενα μηδένα κωλῦσαι, μήτε ἐξιοῦσαν [12]) αὐτὴν, καὶ ταῦτα πεζῇ ἕως θαλάττης, μήτε ἀποπλεύσασαν διῶξαι· συνάρασθαι δὲ τοῦ στόλου τὴν Θησέως μητέρα πρεσβυτέραν [13]), καὶ δῆλον ὅτι μισοῦσαν τὴν Ἑλένην. ὕστερον δὲ Ἀλεξάνδρου τελευτήσαντος, οὐ λέγεται ἐρᾶν, Δηϊφόβῳ συνεῖναι, καθάπερ οἶμαι κἀκείνῳ τῆς Ἀφροδίτης ὑποσχομένης, καὶ μήτε αὐτὴν ἐθέλειν ἀπιέναι παρὰ τὸν αὑτῆς ἄνδρα, μήτε τοὺς Τρῶας ἀποδοῦναι τὴν Ἑλένην, μέχρις ἁλῶναι τὴν πόλιν βίᾳ. τούτων οὐθὲν εἰκὸς, οὐδὲ δυνατόν. ἔτι δὲ [14]) καὶ τόδε πρὸς τοῖς εἰρημένοις. τοὺς μὲν ἄλλους ἅπαντας Ἀχαιοὺς φησὶν Ὅμηρος κοινωνῆσαι, οἷς ἧττον ἔμελε, τῆς δυνάμεως [15])· Κάστορα δὲ καὶ Πολυδεύκην μόνους μὴ ἀφικέσθαι, τοὺς μάλιστα ὑβρισμένους. ταύτην δὲ τὴν ἄγνοιαν κρύπτων Ὅμηρος, πεποίηκε θαυμάζουσαν τὴν Ἑλένην· ἔπειτα αὐτὸς ἀπελογήσατο, εἰπὼν, ὅτι τεθνήκασι πρότερον. οὐκοῦν τό γε [16]) ζώντων αὐτὴν ἁρπασθῆναι, δῆλόν ἐστιν. ἔπειτα Ἀγαμέμνονα περιέμενον δέκα ἔτη διατρίβοντα, καὶ συνάγοντα στρατιάν· ἀλλ' οὐκ εὐθὺς ἔσωσαν τὴν ἀδελφὴν, μάλιστα μὲν εἰ κατὰ πλοῦν ἔλθοιεν· εἰ δ' οὐχ, ὡς πολεμήσοντες μετὰ τῆς αὐτῶν δυνάμεως [17]); οὐ

γὰρ

12) f. καὶ μήτε ἐξιοῦσαν.

13) f. πρεσβυτέραν οὖσαν.

14) Ven. et Mor. dant γὰρ, ſed ſententia poſtulat δὲ, et ſic quoque interpres. *Praeterea vero hoc quoque eſt in rebus abhorrentibus, et iis, quae fieri nequeunt.*

15) τῆς δυνάμεως] malim τῆς στρατείας. poteſt δύναμις pro στρατιᾷ *exercitu* dici, non autem pro στρατείᾳ *expeditione militari*, quam loci huius ſententia poſtulat.

16) τό γε] ſic melius codex regius, τότε Ven. et Mor.

17) locus principio corruptus videatur, obſcurus certe eſt; neque miror Caſaubonum in eo haeſitaſſe, tametſi ipſe ſeſe tandem colligit, et veram ſententiam ſic ſatis bene aſſe-

γὰρ ἐπὶ Θησέα μὲν ἦλθον εὐθὺς, ἄνδρα Ἕλληνα καὶ τῶν ἄλλων ἄριστον, ἔτι δὲ, αὐτόν τε πολλῶν ἄρχοντα καὶ Ἡρακλέους ἑταῖρον, καὶ Πειρίθου, καὶ Θετταλοὺς καὶ Βοιωτοὺς ἔχοντα συμμάχους; ἐπὶ δὲ Ἀλέξανδρον οὐκ ἂν ἦλθον, ἀλλὰ τοὺς Ἀτρείδας περιέμενον δέκα ἔτη συλλέγοντας τὴν δύναμιν; ἴσως γὰρ εἰκὸς ἦν καὶ αὐτὸν ἀφικέσθαι τὸν Τυνδάρεων, καὶ μηδὲν αὐτὸν κωλῦσαι τὴν ἡλικίαν. οὐ γὰρ δὴ Νέστορος παλαιότερος ἦν, οὐδὲ Φοίνικος· οὐδὲ μᾶλλον ἐκείνους[18]) προσῆκον ἦν ἀγανακτεῖν, ἢ τὸν πατέρα αὐτόν. ἀλλ' οὔτε αὐτὸς, οὔτε οἱ παῖδες ἧκον, οὔτε ἦν αὐτοῖς βουλομένοις τὰ τῆς στρατείας. ἑκόντες γὰρ αὐτοὶ τὴν Ἑλένην ἐξέδωκαν, προκρίναντες τῶν ἄλλων μνηστήρων τὸν Ἀλέξανδρον διὰ μέγεθος τῆς ἀρχῆς, καὶ ἀνδρείαν. οὐδενὸς γὰρ ἦν χείρων τὴν ψυχήν. οὔτε οὖν ἐκεῖνοι ἀφίκοντο πολεμήσοντες, οὔτε Λακεδαιμονίων οὐδείς· ἀλλὰ καὶ τοῦτο ψεῦδός ἐστιν, ὅτι Μενέλεως ἦγε Λακεδαιμονίους, καὶ τῆς Σπάρτης ἐβασίλευε, Τυνδάρεω ζῶντος ἔτι. καὶ γὰρ ἦν δεινὸν, εἰ Νέστωρ μὲν, μήτε πρότερον, μήτε ὕστερον ἐλθὼν ἀπ' Ἰλίου παρεχώρησε τοῖς υἱοῖς τῆς βασιλείας καὶ τῆς ἀρχῆς διὰ γῆρας· Τυνδάρεως δὲ Μενελάῳ ἐξέστη: φαίνεται γὰρ καὶ ταῦτα πολλὴν ἀπορίαν ἔχοντα. ἐπεὶ δ' οὖν ἦλθον οἱ Ἀχαιοὶ, τὸ μὲν πρῶτον εἴργοντο τῆς γῆς, καὶ Πρωτεσίλαός γε ἀποθνήσκει

βια-

assequitur, quam tamen Morellus planius et pluribus exposuit. κατὰ πλοῦν ἔρχεσθαι est cum totis Graeciae copiis conscriptis, instructaque cum classe venire. μετὰ τῆς αὐτῶν δυνάμεως, cum iis solummodo copiis, quarum ipsi essent compotes. Bene itaque locus hic habet. Quod Morellus, sed improbans ille, e regio codice affert, ἔγνωσαν, pro ἔσωσαν, idem est etiam in Ven. item εἰ δ' οὖν ὡς πολ. quod Morellus in marg. suae edit. dedit.

18) ἐκείνους] ἐκεῖνον Ven. et textum Rhodom. sed emend. Rhodom. ἐκείνῳ vel ἐκείνους. forte voluit ἐκείνων τινά.

βιαζόμενος ἀποβῆναι, καὶ πολλοὶ τῶν ἄλλων, ὥστε διέπλευσαν εἰς τὴν Χεῤῥόνησον, ὑποσπόνδους τοὺς νεκροὺς ἀνελόμενοι, κἀκεῖ θάπτουσι τὸν Πρωτεσίλαον. ἔπειτα περιπλέοντες κατέβαινον [19]) εἰς τὴν χώραν, καὶ τῶν πολισμάτων τινὰ ἐπόρθουν. ὁ δὲ Ἀλέξανδρος μετὰ τοῦ Ἕκτορος τὸν μὲν ὄχλον συνῆγεν ἅπαντα ἀπὸ τῆς χώρας [20]) εἰς τὸ ἄστυ· τὰς δὲ μικρὰς πόλεις εἴων πρὸς τῇ θαλάττῃ, διὰ τὸ μὴ δύνασθαι πανταχοῦ βοηθεῖν. πάλιν δὲ καταπλεύσαντες εἰς τὸν Ἀχαιῶν λιμένα νυκτὸς, ἔλαθον ἀποβάντες [21]), καὶ ναύσταθμον περιεβάλοντο [22]), καὶ τάφρον ὤρυξαν φοβούμενοι τὸν Ἕκτορα καὶ τοὺς Τρῶας, καὶ μᾶλλον ὡς αὐτοὶ πολιορκηθησόμενοι [23]) παρεσκευάζοντο. οἱ δὲ [24]) τὰ μὲν ἄλλα συγχωροῦσιν Ὁμήρῳ· τὸ δὲ τεῖχος οὔ φασιν αὐτὸν γενόμενον λέγειν, ὅτι πεποίηκεν ὕστερον Ἀπόλλωνα καὶ Ποσειδῶνα τοὺς ποταμοὺς ἀφέντας ἐπ' αὐτὸ, καὶ ἀφανίσαντας· ὃ πάντων ἀπιθανώτατόν ἐστι, κατακλυσθῆναι τὰ θεμέλια τοῦ τείχους. ἔτι γὰρ καὶ νῦν οἱ ποταμοὶ λιμνάζουσι τὸν τόπον, καὶ πολὺ τῆς θαλάττης προκεχωρήκασι [25]). τὸν δὲ λοιπὸν χρόνον, τὰ μὲν

ἐποίουν

19) ἀνέβαινον Ven.

20) in Ven. et in codice regio est ἅπαντα μετὰ τῆς χώρας. in V. L. Venetae τὸν αὐτῆς χώρας, sed qui varietatem istam lectionum collegit, non satis assequebatur manum sui librarii; dederat ille recte τὸν ἀπὸ τῆς χώρας.

21) ἀποβάντες] sic Ven. et codex regius. ἀποβαίνοντες Mor.

22) Ven. περιεβάλλοντο.

23) Ven. et regius πολιορκησόμενοι.

24) οἱ δὲ] scil. Aegyptii.

25) Casaubonus interpretem h. l. ab auctoris sententia aberrasse affirmat, ego vero contra miror acumen interpretis, qui in veram auctoris sententiam, ὑπανακεχωρήκασι, inciderit, eamque reddiderit. Rhodam. coni. προσκεχώκασι.

ἐποίουν κακῶς, τὰ δ' ἔπασχον, καὶ μάχαι μὲν οὐ πολλαὶ ἐγίνοντο ἐκ παρατάξεων· οὐ γὰρ ἐθάῤῥουν προσιέναι πρὸς τὴν πόλιν, διὰ τὸ πλῆθος καὶ τὴν ἀνδρείαν τῶν ἔνδοθεν· ἀκροβολισμοὶ δὲ καὶ κλωπεῖαι 26) τῶν Ἑλλήνων· καὶ Τρωΐλος τε οὕτως ἀποθνήσκει παῖς ὢν ἔτι, καὶ Μήστωρ, καὶ ἄλλοι πλείους. ἦν γὰρ ὁ Ἀχιλλεὺς ἐνεδρεῦσαι δεινότατος, καὶ νυκτὸς ἐπιθέσθαι. ὅθεν Αἰνείαν τε οὕτως ἐπελθὼν ὀλίγου ἀπέκτεινεν ἐν τῇ Ἴδῃ, καὶ πολλοὺς ἄλλους κατὰ τὴν χώραν, καὶ τῶν φρουρίων ᾕρει τὰ κακῶς φυλασσόμενα· οὐδὲ γὰρ τῆς γῆς ἐπεκράτουν οἱ Ἀχαιοὶ, ἀλλ' ἢ μόνον τοῦ στρατοπέδου. τεκμήριον δὲ, οὐ γὰρ ἄν ποτε Τρωΐλος ἔξω τοῦ τείχους ἐγυμνάζετο, καὶ ταῦτα μακρὰν ἀπὸ τῆς πόλεως· οὐδ' ἂν ἐγεώργουν τὴν Χεῤῥόνησον, ὡς ὁμολογοῦσι πάντες, εἴπερ ἐκράτουν τῆς Τρῳάδος, οὐδ' ἂν ἐκ Λήμνου οἶνος ἐκομίζετο αὐτοῖς. κακῶς δὲ φερομένων τῶν Ἀχαιῶν ἐν τῷ πολέμῳ, καὶ μηδενὸς ἀποβαίνοντος ὧν ἤλπισαν, ἀλλὰ συμμάχων ἐπιῤῥεόντων ἀεὶ τοῖς Τρωσὶ πλειόνων, λοιμός τε καὶ λιμὸς αὐτοὺς ἐπίεσε, καὶ στάσις ἐγένετο τῶν ἡγεμόνων, ὥσπερ εἰώθεν, ὡς τὸ πολὺ γίνεσθαι τοῖς κακῶς πράττουσιν, οὐ τοῖς κρατοῦσιν. ὁμολογεῖ δὲ ταῦτα καὶ Ὅμηρος· οὐδὲ γὰρ ἐδύνατο πάντα τἀληθῆ ἀποκρύψασθαι· ἐν οἷς φησι τὸν Ἀγαμέμνονα ἐκκλησίαν συναγαγεῖν τῶν Ἑλλήνων, ὡς ἀπάξοντα τὸ στράτευμα, δηλονότι τοῦ πλήθους χαλεπῶς φέροντος, καὶ ἀπιέναι βουλομένου, καὶ τὸν ὄχλον ὁρμῆσαι πρὸς τὰς ναῦς· τὸν δὲ Νέστορα καὶ τὸν Ὀδυσσέα κατασχεῖν μόλις, μαντείαν τινὰ προβαλλομένους, καὶ ὀλίγον εἶναι χρόνον φάσκοντας, ὃν ἐδέοντο αὐτῶν ὑπομεῖναι. τὸν δὲ μάντιν τούτων Ἀγαμέμνων ἐν τοῖς ἄνω ἔπεσί φη-

σι

26) κλωπεῖαι] sic recte Veneta, κλοπεῖαι Mor.

σι μηδὲν πώποτε ἀληθὲς μαντεύεσθαι 27). μέχρι μὲν οὖν τούτων ἐφεξῆς οὐ πάνυ φαίνεται τῶν ἀνθρώπων καταφρονῶν Ὅμηρος· ἀλλὰ τρόπον τινὰ ἔχεσθαι τἀληθοῦς· εἰ μή γε τὰ περὶ τὴν ἁρπαγὴν οὐκ αὐτὸς ὡς γενόμενα διηγούμενος, ἀλλ᾽ Ἕκτορα ποιήσας ὀνειδίζοντα Ἀλέξανδρον 28), καὶ Ἑλένην ὀδυρομένην πρὸς Πρίαμον, καὶ αὐτὸν Ἀλέξανδρον μεμνημένον ἐν τῇ συνουσίᾳ τῇ πρὸς τὴν Ἑλένην, ὃ πάντων σαφέστατα ἔδει ῥηθῆναι καὶ μετὰ πλείστης σπουδῆς· ἔτι δὲ καὶ τὰ περὶ τὴν μονομαχίαν. οὐ γὰρ δυνάμενος εἰπεῖν, ὡς ἀπέκτεινε τὸν Ἀλέξανδρον ὁ Μενέλεως, ὡς 29) κενὰς αὐτῷ χαρίζεται χάριτας καὶ νίκην γελοίαν, ὡς τοῦ ξίφους καταχθέντος 30). οὐ γὰρ ἦν τῷ τοῦ Ἀλεξάνδρου χρήσασθαι, τοσοῦτόν γε κρείττονα ὄντα, ὡς ἕλκειν αὐτὸν εἰς τοὺς Ἀχαιοὺς ζῶντα μετὰ τῶν ὅπλων; ἀλλ᾽ ἀπάγχειν ἔδει τῷ ἱμάντι. ψευδὴς δὲ ἡ τοῦ Αἴαντος 31) καὶ ἡ τοῦ Ἕκτορος μονομαχία, καὶ πάνυ εὐήθης ἡ διάλυσις 32)· πάλιν

27) f. μαντεύσασθαι.

28) malim Ἀλεξάνδρῳ. *exprobrantem Alexandro.*

29) poteſt ὡς accipi pro *o quam vanas!* malim tamen aut ὡς plane deleri, aut cum ὅμως *nihilominus* permutari.

30) vir doctus Venetae meae adſcripſit κατεαχθέντος: dubito, an ſatis recte. in aoriſto ſecundo noui ἐάγην vſurpari, in primo, ni fallor, eſt ἤχθην, κατήχθην, non κατεάχθην, itaque etiam καταχθείς, non κατεαχθείς.

31) f. ψευδὴς δὲ καὶ ἡ τοῦ Αἴαντος καὶ τοῦ Ἕκτορος μον.

32) In Veneta ſic eſt: ἡ διάλυσις πάλιν ἐκείνου, αἴαντος νικῶντος. πέρας δὲ οὐδέν. et ſic quoque in regio teſtatur eſſe Morellus. vere, ni fallor; modo Αἴαντος deleatur, quod videtur ſcholium vocabuli ἐκείνου eſſe, et ſic interpungatur: ἡ διάλυσις πάλιν, ἐκείνου νικῶντος, πέρας δὲ οὐδέν, quod idem eſt, atque πρὸς οὐδὲν δὲ πέρας, ad nullam rem, nullum effectum; vt nil quicquam poſt et per eam victoriam profectum eſſet magis, quam ante fuerat. πέρας etiam eſt in ed. Rhodom. v. ad h. l. Caſaub. et Morell.

ἐκεῖνον Αἴαντος νικῶντος, πρὸς δὲ οὐδὲν, καὶ δῶρα δόντων ἀλλήλοις, ὥσπερ φίλων. μετὰ δὲ ταῦτα ἤδη τἀληθῆ λέγει, τὴν τῶν Ἀχαιῶν ἧτταν καὶ τροπὴν, καὶ τὰς τοῦ Ἕκτορος ἀριστείας, καὶ τὸ πλῆθος τῶν ἀπολλυμένων, ὥσπερ ὑπέσχετο ἐρεῖν, τρόπον τινὰ ἄκων, καὶ ἀναφέρων εἰς τιμὴν τοῦ Ἀχιλλέως. καίτοι θεοφιλῆ γε εἶναι τὴν πόλιν φησὶ, καὶ Δία ἄντικρυς πεποίηκε λέγοντα, πασῶν τῶν ὑπὸ τὸν ἥλιον πόλεων τὸ Ἴλιον μάλιστα ἀγαπῆσαι, καὶ τὸν Πρίαμον καὶ τὸν λαὸν αὐτοῦ. ἔπειτα, ὀστράκου μεταπεσόντος, φασὶν, τοσοῦτο μετέβαλεν, ὥστε οἰκτιστα ἀνελεῖν τὴν ἁπασῶν προσφιλεστάτην, δι' ἑνὸς ἀνδρὸς ἁμαρτίαν, εἴπερ ἥμαρτεν. ὅμως δὲ οὐχ οἷός τε ἐστὶν ἀποκρύψαι τὰ τοῦ Ἕκτορος ἔργα νικῶντος καὶ διώκοντος τοὺς Ἀχαιοὺς μέχρι τῶν νεῶν, καὶ πάντων 33) αὐτὸν ἐκπεπληγμένων τῶν ἀρίστων· ὁτὲ μὲν Ἄρει παραβάλλων αὐτόν· ὁτὲ δὲ φλογὶ λέγων τὴν ἀλκὴν ὅμοιον εἶναι, μηδενὸς δὲ ἁπλῶς ὑπομένοντος αὐτὸν, τοῦ τε Ἀπόλλωνος αὐτῷ παρισταμένου, καὶ τοῦ Διὸς ἄνωθεν ἐπισημαίνοντος ἀνέμῳ καὶ βροντῇ· ταῦτα γὰρ οὐ βουλόμενος εἰπεῖν οὕτως ἐναργῶς· ὅμως ἐπεὶ ἀληθῆ ἦν, ἀρξάμενος αὐτῶν, οὐ δύναται ἀποστῆναι· τήν τε νύκτα 34) ἐκείνην τὴν χαλεπὴν, καὶ τὴν ἐν τῷ στρατοπέδῳ κατήφειαν, καὶ τὴν τοῦ Ἀγαμέμνονος ἔκπληξιν, καὶ τὰς οἰμωγὰς, ἔτι δὲ τὴν νυκτερινὴν ἐκκλησίαν βουλευομένων, ὅπως φύγοιεν, καὶ τὰς δεήσεις τὰς τοῦ Ἀχιλλέως, εἴ τι 35) δύναιτο ἐκεῖνος ἄρα ὠφελῆσαι. τῇ δ' ὑστεραίᾳ τῷ μὲν

Ἀγα-

33) verba καὶ πάντων — τῶν ἀρίστων melius ſtarent poſt ὅμοιον εἶναι.

34) τήν τε νύκτα] ſubaudi a communi οὐχ οἷός τ' ἐστὶν ἀποκρύψαι, v. 13.

35) εἴ τι] ſic recte Ven. et Rhodam. ἔτι Mor.

Ἀγαμέμνονι χαρίζεταί τινα ἀριστείαν ἀνόνητον [36], καὶ τῷ Διομήδει, καὶ τῷ Ὀδυσσεῖ καὶ Εὐρυπύλῳ, καὶ τὸν Αἴαντα, φησὶ, μάχεσθαι προθύμως, εὐθὺς δὲ τοὺς Τρῶας ἐπικρατῆσαι, καὶ τὸν Ἕκτορα ἐλαύνειν ἐπὶ τὸ τεῖχος τῶν Ἀχαιῶν, καὶ τὰς ναῦς. καὶ ταῦτα μὲν λέγων, δῆλόν ἐστιν, ὅτι ἀληθῆ λέγει, καὶ τὰ γενόμενα, ὑπ' αὐτῶν τῶν πραγμάτων προαγόμενος· ὅταν δὲ αὔξῃ τοὺς Ἀχαιοὺς, πολλῆς ἀπορίας μεστός ἐστι, καὶ πᾶσι φανερὸς, ὅτι ψεύδεται· τὸν μὲν Αἴαντα δὶς κρατῆσαι τοῦ Ἕκτορος λέγων [37], ὁτὲ μὲν τῇ μονομαχίᾳ, πάλιν δὲ τῷ λίθῳ· τὸν δὲ Διομήδην, τοῦ Αἰνείου· καὶ μηδὲ τούτου μηδὲν πράξαντος, ἀλλὰ τοὺς ἵππους μόνον λαβόντος, ὅπερ ἦν ἀνεξέλεγκτον. οὐκ ἔχων δὲ, ὅ, τι αὐτοῖς χαρίσηται, τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην φησὶ τρωθῆναι ὑπὸ τοῦ Διομήδους. ἐν οἷς ἅπασι δῆλός ἐστιν, εὔνους μὲν ὢν ἐκείνοις, καὶ βουλόμενος αὐτοὺς θαυμάζειν· οὐκ ἔχων δὲ καὶ [38] ὅ, τι εἴπῃ ἀληθὲς, διὰ τὴν ἀπορίαν εἰς ἀδύνατα ἐμπίπτων καὶ ἀσεβῆ πράγματα· ὃ πάσχουσιν ὡς τὸ πολὺ πάντες, ὅσοι τῇ ἀληθείᾳ μάχονται. ἀλλ' οὐ περὶ τοῦ Ἕκτορος ὁμοίως ἀπορεῖ ὅ, τι εἴπῃ μέγα καὶ θαυμαστόν; ὥς γε, οἶμαι, τὰ γενόμενα διηγούμενος· ἀλλὰ φεύγοντας μὲν προτροπάδην ἅπαντας, καὶ κατ' ὄνομα τοὺς ἀρίστους, ὅταν φησὶ, μήτε Ἰδομενέα μένειν, μήτε Ἀγαμέμνονα, μήτε τοὺς δύο Αἴαντας· ἀλλὰ Νέστορα μόνον ὑπ' ἀνάγκης, καὶ τοῦτον ἁλῶναι παρ' ὀλίγον· ἐπιβοηθήσαντα δὴ τὸν Διομήδην, καὶ πρὸς ὀλίγον θρασυνόμενον, ἔπειτα εὐθὺς ἀποστραφέντα φεύγειν, ὡς

36) ἀνόνητον] sic recte Valesius Emendat. p. 52. ἀνόητον Ven. et Mor.

37) pro λέγων est in Cod. regio et Ven. μάτην, pro quo vir doctus μάχην adscripsit. Morellus vult vtrumque iungi, μάτην λέγων.

38) καὶ videtur delendum.

κεραυνῶν δῆθεν εἰργόντων αὐτόν· τέλος δὲ τὴν τάφρον διαβαινομένην, καὶ τὸν ναύσταθμον πολιορκούμενον, καὶ ῥηγνυμένας ὑπὸ τοῦ Ἕκτορος τὰς πύλας, καὶ τοὺς Ἀχαιοὺς εἰς τὰς ναῦς ἤδη κατειλημένους 39), *καὶ περὶ τὰς σκηνὰς πάντα τὸν πόλεμον, καὶ τὸν Αἴαντα ἄνωθεν μαχόμενον ἀπὸ τῶν νεῶν· καὶ τέλος, ἐκβληθέντα ὑπὸ τοῦ Ἕκτορος, καὶ ἀναχωρήσαντα, καὶ τῶν νεῶν τινας ἐμπρησθείσας. ἐνταῦθα γὰρ οὐκ ἔστιν Αἰνείας ὑπὸ Ἀφροδίτης ἁρπαζόμενος, οὐδὲ Ἄρης ὑπὸ ἀνδρὸς τιτρωσκόμενος, οὐδὲ ἄλλο τοιοῦτον οὐδὲν ἀπίθανον, ἀλλὰ πράγματα ἀληθῆ, καὶ ὅμοια γεγονόσιν. μεθ᾽ ἣν ἧτταν οὐκέτι ἦν ἀναμάχεσθαι δυνατὸν, οὐδὲ θαῤῥῆσαί ποτε, τοὺς οὕτως ἀπειρηκότας, ὡς μήτε ὑπὸ τῆς τάφρου, μήτε ὑπὸ τοῦ ἐρύματος ὠφεληθῆναι μηθὲν, μήτε αὐτὰς διαφυλάξαι τὰς ναῦς. ποία γὰρ ἔτι τηλικαύτη δύναμις, ἢ τίς οὕτως ἀνὴρ ἄμαχος καὶ θεοῦ ῥώμην ἔχων, ὃς ἐπιφανεὶς ἠδύνατο σῶσαι τοὺς ἀπολωλότας ἤδη; τὸ γὰρ τῶν Μυρμιδόνων πλῆθος πόσον τι πρὸς τὴν σύμπασαν ἦν στρατιάν; ἢ τὸ τοῦ Ἀχιλλέως* 40), *οὐ δήπου τότε πρῶτον μέλλοντος μάχεσθαι, πολλάκις δὲ ἐν πολλοῖς τοῖς ἔμπροσθεν ἔτεσιν εἰς χεῖρας ἐλθόντος, καὶ μήτε τὸν Ἕκτορα ἀποκτείναντος, μήτε ἄλλο μηθὲν εἰργασμένου μέγα, εἰ μὴ Τρώϊλον* 41), *παῖδα ἔτι ὄντα τὴν ἡλικίαν, ἑλόντος; ἐνταῦθα δὲ γενόμενος Ὅμηρος, οὐδὲν ὅ, τι τἀληθὲς* 42) *ἐφρόντισεν· ἀλλ᾽ εἰς ἅπαν ἧκεν ἀναισχυντίας, καὶ πάντα τὰ πράγματα ἁπλῶς ἀνέτρεψεν, καὶ μετέστησεν εἰς τοὐναντίον· καταπεφρονηκὼς μὲν τῶν ἀνθρώπων,*

ὅτι

39) *κατειλημένους* a verbo *κατειλέω concludo, compingo in angustum, contorqueo. κατειλημμένους* Ven. et Mor.

40) *τὸ τοῦ Ἀχιλλ.*] scil. *κράτος.*

41) Veneta et codex regius, *μέγα, μήτε τρώϊλον.* forte voluerunt librarii *μέγα, εἰ μή γε τρώϊλον.*

42) malim *οὐδὲν ἔτι τἀληθές.* pro *ὅ, τι* est in Ven. *ὅτι.*

ὅτι καὶ τἄλλα ἑώρα πάνυ ῥᾳδίως πειθομένους αὐτούς, καὶ τὰ περὶ τῶν θεῶν· οὐκ ὄντων δὲ ἑτέρων ποιητῶν, οὐδὲ συγγραφέων, παρ' οἷς ἐλέγετο τἀληθές· ἀλλ' αὐτὸς πρῶτος ἐπιθέμενος ὑπὲρ τούτων γράφειν, γενεαῖς δὲ ὕστερον ξυνθεὶς πολλαῖς, τῶν εἰδότων αὐτὰ ἠφανισμένων, καὶ τῶν ἐξ ἐκείνων ἔτι 43), ἀμαυρᾶς τε καὶ ἀσθενοῦς ἔτι φήμης ἀπολειπομένης, ὡς εἰκός, περὶ τῶν σφόδρα παλαιῶν· ἔτι δὲ πρὸς τοὺς πολλοὺς καὶ ἰδιώτας μέλλων διηγεῖσθαι τὰ ἔπη, καὶ ταῦτα βελτίω ποιεῖν τὰ τῶν Ἑλλήνων, ὡς μηδὲ τοὺς γινώσκοντας ἐξελέγχειν. οὕτω δὴ ἐτόλμησε τὰ ἐναντία τοῖς γενομένοις ποιῆσαι· τοῦ γὰρ Ἀχιλλέως ἐπιβοηθήσαντος ἐν τῇ καταλήψει τῶν νεῶν ὑπ' ἀνάγκης τὸ πλέον, καὶ τῆς αὐτοῦ σωτηρίας ἕνεκα, τροπήν μέν τινα γενέσθαι τῶν Τρώων, καὶ ἀναχωρῆσαι παραχρῆμα ἀπὸ τῶν νεῶν αὐτούς, καὶ σβεσθῆναι τὸ πῦρ· ἅτε ἐξαπίνης ἐπιπεσόντος τοῦ Ἀχιλλέως, καὶ τούς τε ἄλλους ἀποχωρεῖν, καὶ τὸν Ἕκτορα ὑπάγειν αὐτὸν ἔξω τῆς τάφρου καὶ τῆς περὶ τὸ στρατόπεδον στενοχωρίας, σχεδὸν δὲ 44) καὶ ἐφιστάμενον, ὥσπερ αὐτός φησιν Ὅμηρος. συμπεσόντων δὲ καὶ μαχομένων πάλιν, τὸν Ἀχιλλέα κάλλιστα ἀγωνί-

43) ἔτι in breuiſſimo ſpatio ter iteratum haud placet; quare primum malim abeſſe. pro τε dat Ven. et Rhodom. δέ. vnde ſic corrigo locum: καὶ τῶν ἐξ ἐκείνων, dudum e medio ſublatis illis, qui iſta norant, nec non eorum poſteris, ἀμαυρᾶς δὲ καὶ ἀσθ.

44) σχεδὸν δὲ] ſubaudi ὑπάγειν, ſe ſubduxiſſe in locum, vbi propinquus eſſet Achilli et graecis, καὶ ὑφιστάμενον, et ſic, vt ceſſim ſe ſubduceret, ſaepe inſiſtens, experiendi gratia, num quis hoſtium ſecum dimicare audeat. Non videtur Caſaubonus h. l. Dionis ſententiam cepiſſe. ἐφίστασθαι hic loci eſt, aut inſiſtere ceruicibus alicuius, imminere, aut gradum ſiſtere, veſtigio ſuo inſiſtere, vt p. 344, vlt. ὁτὲ μὲν περιμένων, ὁτὲ δὲ ἀποφεύγων.

σασθαι μετὰ τῶν αὐτοῦ, καὶ πολλοὺς ἀποκτεῖναι τῶν Τρώων καὶ τῶν ἐπικούρων, ἄλλως τε[45]) καὶ τὸν Σαρπηδόνα, τὸν τοῦ Διὸς εἶναι λεγόμενον υἱὸν, βασιλέα Λυκίων, καὶ περὶ τὴν τοῦ ποταμοῦ διάβασιν ἀποχωροῦντα[46]) γενέσθαι φόνον πολύν· οὐ μέντοι προτροπάδην φεύγειν αὐτοὺς, ἀλλὰ πολλὰς ἑκάστοτε ὑποστροφὰς γίνεσθαι. τὸν δὲ Ἕκτορα ἐν τούτῳ παραφυλάττειν, ἐμπειρότατον ὄντα καιρὸν μάχης ξυνεῖναι· καὶ μέχρι μὲν ἤκμαζεν ὁ Ἀχιλλεὺς, καὶ νεαλὴς ὢν ἐμάχετο, μὴ ξυμφέρεσθαι αὐτῷ, μόνον δὲ τοὺς ἄλλους παρακαλεῖν· ἐπεὶ δ᾽ ᾐσθάνετο κάμνοντα ἤδη, καὶ πολὺ τῆς πρότερον ὑφεικότα ὁρμῆς, ἅτε οὐδὲν[47]) οὐ ταμιευσάμενον ἐν τῷ ἀγῶνι, καὶ ὑπὸ τοῦ ποταμοῦ κοπωθέντα μείζονος ἐῤῥυηκότος, καὶ ἀπείρως διαβαίνοντα, καὶ ὑπό τε Ἀστεροπαίου τοῦ Παίονες ἑώρα τετρωμένον. Αἰνείαν τε συστάντα αὐτῷ, καὶ μαχεσάμενον ἐπιπλέον, ὁπότε δὲ ἐβουλήθη ἀσφαλῶς ἀποχωρήσαντα, Ἀντήνορα δὲ οὐ καταλαβόντα, ὁρμήσαντα διώκειν· καίτοι τούτῳ μάλιστα προεῖχεν ὁ Ἀχιλλεὺς, ὅτι ἐδόκει τάχιστος εἶναι. καταφανὴς οὖν ἐγεγόνει[48]) αὐτῷ διὰ τούτων ἁπάντων εὐάλωτος ὤν· ἅτε δεινῷ τὴν πολεμικὴν τέχνην ὄντι· ὥστε θαῤῥῶν ἀπήντησεν αὐτῷ κατὰ μέσον τὸ πεδίον. καὶ τὸ μὲν πρῶτον ἐνέκλινεν ὡς φεύγων ἀποπειρώμενος αὐτοῦ, ἅμα δὲ καὶ κοπῶσαι βουλόμενος, ὁτὲ μὲν περιμένων, ὁτὲ δὲ ἀποφεύγων·

ὡς

45) f. ἄλλους τε.

46) ἀποχωρούντων emendat Rhodom. ἀποχωρούντων τρώων V. D. in Veneta mea.

47) οὐδὲν abest a Ven. et regio. de verbo ταμιεύεσθαι egit, praeter Casaubonum h. l. etiam Wesseling T. I. Diodori Siculi p. 257, 17.

48) praetuli ἐγεγόνει e Ven. et regio, pro ἐδόκει Morell. quod perperam videtur iteratum.

ὡς [49]) δὲ ἑώρα βραδὺν ὄντα καὶ ἀπολειπόμενον, οὕτως ὑποστρέψας αὐτὸς ἧκεν ἐπ' αὐτὸν, οὐδὲ τὰ ὅπλα φέρειν ἔτι δυνάμενον, καὶ συλλαβὼν ἀπέκτεινε, καὶ τῶν ὅπλων ἐκράτησεν, ὡς καὶ τοῦτο [50]) Ὅμηρος εἴρηκε. τοὺς δὲ ἵππους διῶξαι μέν φησι τὸν Ἕκτορα, οὐ λαβεῖν δὲ, κἀκείνων ἀλόντων. τὸ μὲν οὖν σῶμα μόλις διέσωσαν ἐπὶ τὰς ναῦς οἱ Αἴαντες. οἱ γὰρ Τρῶες ἤδη θαῤῥοῦντες καὶ νικᾷν νομίζοντες, μαλακώτερον ἐφείποντο· ὁ δὲ Ἕκτωρ, ἐνδυσάμενος τὰ τοῦ Ἀχιλλέως ὅπλα ἐπίσημα ὄντα, ἔκτεινέ τε καὶ ἐδίωκε μέχρι τῆς θαλάττης, ὡς ὁμολογεῖ ταῦτα Ὅμηρος. νὺξ δὲ ἐπιγενομένη ἀφείλετο μὴ πάσας ἐμπρῆσαι τὰς ναῦς. τούτων δὲ οὕτως γενομένων, οὐκ ἔχων, ὅπως κρύψαι τἀληθὲς, Πάτροκλον εἶναί φησι τὸν ἐπεξελθόντα μετὰ τῶν Μυρμιδόνων, ἀναλαβόντα τὰ τοῦ Ἀχιλλέως ὅπλα, καὶ τοῦτον ὑπὸ τοῦ Ἕκτορος ἀποθανεῖν, καὶ τὸν Ἕκτορα τῶν ὅπλων οὕτω κρατῆσαι. καίτοι, πῶς ἂν ὁ Ἀχιλλεὺς ἐν τοσούτῳ κινδύνῳ τοῦ στρατοπέδου ὄντος, καὶ τῶν νεῶν ἤδη καιομένων, καὶ ὅσον οὔπω ἐπ' αὐτὸν ἥκοντος τοῦ δεινοῦ, καὶ τὸν Ἕκτορα ἀκούων, ὅτι φησὶν μηδένα αὐτῷ ἀξιόμαχον εἶναι, καὶ τὸν Δία βοηθεῖν αὐτῷ, καὶ δεξιὰ σημεῖα φαίνειν· εἴ γε ἐβούλετο σῶσαι τοὺς Ἀχαιοὺς, αὐτὸς μὲν ἔμενεν ἐν τῇ σκηνῇ ἄριστος ὢν μάχεσθαι, τὸν δὲ πολὺ χείρονα αὐτοῦ ἔπεμπε; καὶ ἅμα μὲν παρήγγελλεν ἐμπεσεῖν ἰσχυρῶς, καὶ ἀμύνεσθαι τοὺς Τρῶας [51]), ἅμα δὲ τῷ Ἕκτορι μὴ μάχεσθαι; οὐδὲ γὰρ ἐπ' ἐκείνῳ ἦν, οἶμαι, προελθόντι ἅπαξ [52]), οὕτως ὡς ἐβούλετο μάχεσθαι. οὕτω δὲ

49) ὡς] in Ven. est ὑπὸ: voluit editor ἐπεὶ dare, quod est in regio.

50) τοῦτο] malim αὐτὸς.

51) ἀμύνειν τοῖς τρωσὶ V. L. Ven. et margo Morell.

52) regius προελθόντι γε ἅπαξ, ornatius, Morello iudice.

ὑποκαταφρονῶν [53]) τοῦ Πατρόκλου, καὶ ἀπιστῶν αὐτῷ, τὴν δύναμιν ἐπιτρέπει ἐκείνῳ, καὶ τὰ ὅπλα αὐτοῦ καὶ τοὺς ἵππους, ὡς ἂν κάκιστά [54]) τις βουλεύσαιτο περὶ τῶν [55]) αὐτοῦ, πάντα ἀπολέσαι βουλόμενος. ἔπειτα ηὔχετο τῷ Διῒ ὑποστρέψαι τὸν Πάτροκλον μετὰ τῶν ὅπλων ἁπάντων καὶ τῶν ἑταίρων, οὕτως ἀνοήτως πέμπων αὐτὸν πρὸς ἄνδρα κρείττονα· ᾧ προκαλουμένῳ τοὺς ἀρίστους, οὐδεὶς ὑπακοῦσαι δῆθελεν. ὁ ἐ Ἀγαμέμνων ἄντικρυς ἔφη καὶ τὸν Ἀχιλλέα φοβεῖσθαι, καὶ μὴ βούλεσθαι συμβαλεῖν ἐκείνῳ. τοιγαροῦν οὕτω βουλευσάμενον αὐτόν, λέγειν [56]) τοῦ τε ἑταίρου στερηθῆναι καὶ πολλῶν ἑτέρων, ὀλίγου δὲ καὶ τῶν ἵππων, καὶ ἄνοπλον γενέσθαι; ἃ οὐδέποτ' ἂν ἐποίησεν Ἀχιλλεύς, μὴ ἀπόπληκτος ὤν· εἰ δὲ μή, πάντως ἂν αὐτὸν ἐκώλυσε Φοῖνιξ. ἀλλ' οὐ γὰρ ἐβούλετο, φησί, ταχέως ἀπαλλάξαι τοῦ κινδύνου τοὺς Ἀχαιούς, ἕως ἂν λάβῃ τὰ δῶρα, καὶ ἅμα οὐδέπω τῆς ὀργῆς ἐπέπαυτο. καὶ τί ἦν ἐμπόδιον, αὐτὸν προελθόντα ἐφ' ὅσον ἐβούλετο, πάλιν μηνίειν; ξυνεὶς δὲ τῆς τοιαύτης ἀλογίας, αἰνίττεται δι' ἀπόῤῥησίν τινα μένειν αὐτόν, εἰ ἐξῄει [57]), πάντως ἀποθανούμενον, ἄντικρυς αὐτοῦ κατηγορῶν δειλίαν. καίτοι ἐξῆν αὐτῷ διὰ ταύτην τὴν ἀπόῤῥησιν ἀποπλεῦσαι διενεχθέντα πρὸς τὸν Ἀγαμέμνονα. οὐ μέντοι ἀλλὰ καὶ περὶ Πατρόκλου ἐτύγχανεν ἀκηκοὼς τῆς μητρός, ὃν φησιν ἴσον [58]) τῇ ἑαυτοῦ κεφαλῇ

53) ὑποκαταφρονῶν vitiosa lectio nata e gemina, quae in libris olim est versata, alia ὑπερφρονῶν, alia καταφρονῶν. alterutra optanda est.

54) f. ὡς ἂν εἰ κάκιστα.

55) codex regius omittit τῶν, recte mea quidem sententia.

56) probo Angli λέγει.

57) f. εἰ ἐξίῃ.

58) ἴσον] V. L. Venetae dat ἐν ἴσῳ.

λῇ τιμᾶν, καὶ μηδὲ αὐτὸς[59]) ἔτι βούλεσθαι ζῆν, ἐκείνου ἀποθανόντος. ὡς δὲ ἑώρα αὐτὸν οὐ δυνάμενον βαστάσαι τὸ δόρυ, τὰ ἄλλα ἐδίδου, δηλονότι προσεοικότα τῷ δόρατι, καὶ οὐκ ἐφοβεῖτο, μὴ οὐ δύνηται φέρειν αὐτά· ὥσπερ οὖν καί φησι συμβῆναι περὶ τὰς μάχας. ἀλλὰ γὰρ, εἴ τις ἅπαντα ἐλέγχοι, πολὺ ἔργον ἂν εἴη. τὸ γὰρ ψεῦδος ἐξ αὐτοῦ φανερώτερόν ἐστι τοῖς προσέχουσιν· ὥστε οὐδενὶ ἄδηλον καὶ τῶν ὀλίγων νοῦν ἐχόντων, ὅτι σχεδὸν ὑπόβλητός ἐστιν ὁ Πάτροκλος, καὶ τοῦτον[60]) ἀπήλεγξεν Ὅμηρος διὰ τοῦ Ἀχιλλέως, βουλόμενος τὸ κατ᾽ ἐκεῖνον κρύψαι. ὑφορώμενος δὲ, μή τις ἄρα καὶ τοῦ Πατρόκλου ζητοῖ τάφον· ὥσπερ οἶμαι καὶ τῶν ἄλλων ἀριστέων τῶν ἀποθανόντων ἐν Τροίᾳ φανεροί εἰσιν οἱ τάφοι· διὰ τοῦτο προκαταλαμβάνων, οὐκ ἔφη τάφον αὐτοῦ γενέσθαι καθ᾽ αὑτὸν, ἀλλὰ μετὰ τοῦ Ἀχιλλέως τεθῆναι. καὶ Νέστωρ μὲν οὐκ ἠξίωσε μετ᾽ Ἀντιλόχου ταφῆναι, δι᾽ αὐτὸν ἀποθανόντος, οἴκαδε τὰ ὀστᾶ κομίσας· τὰ δὲ τοῦ Ἀχιλλέως ὀστᾶ ἀνεμίχθη τοῖς τοῦ Πατρόκλου; μάλιστα μὲν οὖν ἐβούλετο Ὅμηρος ἀφανίσαι[61]) τὴν τοῦ Ἀχιλλέως τελευτὴν ὡς οὐκ ἀποθανόντος ἐν Ἰλίῳ. τοῦτο δὲ ἐπεὶ ἀδύνατον ἑώρα, τῆς φήμης ἐπικρατούσης, καὶ τοῦ τάφου δεικνυμένου, τό, τε[62]) ὑφ᾽ Ἕκτορος αὐτὸν ἀποθανεῖν ἀφείλετο, καὶ τοὐναντίον, ἐκεῖνον ὑπὸ τοῦ Ἀχιλλέως ἀναιρεθῆναί φησιν, ὃς τοσοῦτον ὑπερεῖχε τῶν ἀνθρώπων ἁπάντων, καὶ προσέτι αἰκισθῆναι τὸν νεκρὸν

59) αὐτὸς] sic recte Ven. αὐτὸν Rhodom. αὐτὸ Morell.

60) τοῦτο mauult Anglus; ne sic quidem bonam sententiam colligo; quae potius sic flagitare videtur: καὶ τὸν Ἀχιλλέα ἀπήλεγξεν Ὅμηρος διὰ τούτου et *Achillis ignauiam castigauit atque traduxit Homerus sub huius* (Patrocli) *nomine.*

61) ἀφανίσαι] in Ven. est ἐφανίσαι, deinde ei deest ὡς.

62) τε] l. γε.

νεκρὸν αὐτοῦ καὶ συρῆναι μέχρι τῶν τειχῶν. πάλιν δὲ εἰδὼς τάφον ὄντα τοῦ Ἕκτορος, καὶ τιμώμενον αὐτὸν 63) ὑπὸ τῶν πολιτῶν, ἀποδοθῆναι αὐτὸν λέγει, κελεύσαντος τοῦ Διὸς, λύτρων δοθέντων. τέως δὲ τὴν Ἀφροδίτην ἐπιμεληθῆναι καὶ τὸν Ἀπόλλω, τοῦ διαμεῖναι τὸν νεκρόν. οὐκ ἔχων δὲ, ὅ, τι ποιήσει τὸν Ἀχιλλέα, ἐπεὶ ἔδει αὐτὸν ὑπὸ τῶν Τρώων τινὸς ἀνῃρῆσθαι· (οὐ γὰρ δὴ καὶ τοῦτον ἔμελλεν, ὥσπερ καὶ τὸν Αἴαντα, ὑφ᾽ ἑαυτοῦ ἀποθανόντα ποιεῖν, φθονῶν τῆς δόξης τῷ ἀνελόντι·) τὸν Ἀλέξανδρόν φησιν ἀποκτεῖναι αὐτὸν, ὃν πεποίηκε τῶν Τρώων κάκιστον καὶ δειλότατον, καὶ ὑπὸ τοῦ Μενέλεω μικροῦ δεῖν ζωγρηθέντα, ὃν λοιδορούμενον ἀεὶ πεποίηκεν, ὡς 64) μαλθακὸν αἰχμητὴν, καὶ ἐπονείδιστον ἐν τοῖς Ἕλλησι. καὶ, ἵνα δὴ τοῦ Ἕκτορος τὴν δόξαν ἀφέλοιτο, καὶ τὸν Ἀχιλλέα φαίνεται καθῃρηκὼς, καὶ πολὺ χείρω καὶ ἀδοξότερον αὐτοῦ ποιήσας τὸν θάνατον. τέλος δὲ προάγει ἤδη τεθνηξόμενον 65) τὸν Ἀχιλλέα, καὶ ποιεῖ μαχόμενον· οὐκ ὄντων δὲ ὅπλων, ἀλλὰ τοῦ Ἕκτορος ἔχοντος, ἐν τούτῳ ἔλαθεν αὐτὸν ἕν τι τῶν ἀληθῶν ῥηθέν· καὶ γὰρ ἐκ τοῦ οὐρανοῦ φησι κομίσαι τὴν Θέτιν ὑπὸ τοῦ Ἡφαίστου γενόμενα ὅπλα, καὶ οὕτω δὴ γελοίως τὸν Ἀχιλλέα μόνον τρεπόμενον τοὺς Τρῶας, τῶν δὲ ἄλλων Ἀχαιῶν, ὥσπερ οὐδενὸς παρόντος, ἀπάντων ἐπελάθετο· ἅπαξ δὲ τολμήσας τοῦτο ψεύσασθαι, πάντα συνέχεε. καὶ τοὺς θεοὺς ἐνταῦθα ποιεῖ μαχομένους ἀλλήλοις, σχεδὸν ὁμολογῶν, ὅτι οὐδὲν αὐτῷ μέλει ἀληθείας.

πάνυ

63) αὐτὸν] scil. Hectorem, non sepulcrum eius.

64) ὡς] Ven. et codex regius dant οὕτως. ὃν redit ad Menelaum.

65) τεθνηξόμενον] probo Angli τεθνηκότα, *iam dudum mortuum.* idem quoque videtur recte obseruasse v. 23. deesse ποιεῖ *fingit*, *comminiscitur.* quod idem etiam versui 1. p. 349. accidisse suspicor.

πάνυ δὲ ἀσθενῶς καὶ ἀπιθάνως τὴν ἀριστείαν διελθὼν, ὁτὲ μὲν ποταμῷ μαχόμενον αὐτὸν, ὁτὲ δὲ ἀπειλοῦντα Ἀπόλλωνι, καὶ διώκοντα αὐτόν. ἐξ ὧν ἁπάντων ἰδεῖν ἐστι τὴν ἀπορίαν αὐτοῦ σχεδόν. οὐ γάρ ἐστιν ἐν τοῖς ἀληθέσιν οὕτως ἀπίθανος, οὐδὲ ἀηδής. μόλις δέ ποτε τῶν Τρώων εἰς τὴν πόλιν φευγόντων, τὸν Ἕκτορα πεποίηκε πρὸ τοῦ τείχους ἀνδρειότατα ὑπομένοντα αὐτὸν, καὶ μήτε τῷ πατρὶ δεομένῳ, μήτε τῇ μητρὶ πειθόμενον· ἔπειτα φεύγοντα κύκλῳ τῆς πόλεως, ἐξὸν εἰσελθεῖν· καὶ τὸν Ἀχιλλέα, τάχιστον ἀνθρώπων ἀεί ποτε ὑπ' αὐτοῦ λεγόμενον, οὐ δυνάμενον καταλαβεῖν. τοὺς δὲ Ἀχαιοὺς ὁρᾶν ἅπαντας ὥσπερ ἐπὶ θέαν παρόντας, καὶ μηδένα βοηθεῖν τῷ Ἀχιλλεῖ, τοιαῦτα πεπονθότας ὑπὸ τοῦ Ἕκτορος, καὶ μισοῦντας αὐτὸν, ὥστε καὶ νεκρὸν τιτρώσκειν. ἔπειτα Δηΐφοβον ἐξελθόντα τοῦ τείχους, μᾶλλον δὲ Ἀθηνᾶν παραλογίσασθαι [66]) αὐτὸν, εἰκασθεῖσαν Δηϊφόβῳ, καὶ τὸ δόρυ κλέψαι τὸ τοῦ Ἕκτορος ἐν τῇ μάχῃ, οὐδὲ ὅπως ἀποκτείνῃ τὸν Ἕκτορα εὑρίσκειν [67]), ἰλιγγιῶν περὶ τὸ ψεῦδος, καὶ τῷ ὄντι ὡς ἐν ὀνείρατι μάχην διηγούμενος. μάλιστα γοῦν προσέοικε τοῖς ἀτόποις ἐνυπνίοις τὰ περὶ τὴν μάχην ἐκείνην. εἰς τοῦτο δὲ προελθὼν, ἀπεῖπε λοιπὸν, οὐκ ἔχων ὅ, τι χρήσηται τῇ ποιήσει, καὶ τοῖς ψεύσμασι δυσχεραίνων, ἀγῶνα τινὰ προθεὶς ἐπιτάφιον, καὶ τοῦτο [68]) πάνυ

* γελοίως,

66) ſic recte Ven. et Rhodom. a παραλογίζομαι. Mor. dat παραλογήσασθαι.

67) εὑρίσκειν] non medetur loco, neque εὑρίσκει Rhodomanni, neque εὑρίσκειν τρόπον τινὰ, ἰλιγγιῶν — quod Morellus e regio attulit. accipio tamen quod hic dat, et ſic locum refingo: οὕτως οὐκ ἐδύνατο, οὐδὲ ὅπως ἀποκτ. τὸν ἕκτορα, εὑρίσκειν τρόπον τινά. adeo non poterat Homerus reperire vllam rationem, qua Hectorem vel occideret.

68) malim τοῦτον, vt ad ἀγῶνα redeat.

γελοίως, καὶ τοῦ Πριάμου βασιλέως εἰς τὸ στρατόπεδον ἄφιξιν παρὰ τὸν Ἀχιλλέα, μηδενὸς αἰσθανομένου τῶν Ἀχαιῶν, καὶ τὰ λύτρα 69) κομίσαι τοῦ Ἕκτορος. καὶ οὔτε τὴν τοῦ Μέμνονος βοήθειαν, οὔτε τὴν τῶν Ἀμαζόνων, οὕτω θαυμαστὰ καὶ μεγάλα, ἐτόλμησεν εἰπεῖν, οὔτε τὸν τοῦ Ἀχιλλέως θάνατον, οὔτε τὴν ἅλωσιν τῆς Τροίας. οὐδὲ γὰρ ὑπέμεινεν, οἶμαι, πάλαι τεθνηκότα τὸν Ἀχιλλέα ποιεῖν πάλιν ἀναιρούμενον, οὐδὲ νικῶντας, τοὺς ἡττηθέντας καὶ φεύγοντας, οὐδὲ τὴν κρατήσασαν πόλιν, ταύτην 70) πορθουμένην. οἱ δὲ ὕστερον, ἅτε ἐξηπατημένοι, καὶ τοῦ ψεύδους ἰσχύοντος, ἤδη θαῤῥοῦντες ἔγραφον. τὰ δὲ πράγματα οὕτως ἔσχεν. Ἀχιλλέως τελευτήσαντος ὑπὸ Ἕκτορος ἐν τῇ βοηθείᾳ τῶν νεῶν, οἱ μὲν Τρῶες, ὥσπερ καὶ πρότερον, ἐπηυλίσθησαν ἐγγὺς τῶν νεῶν, ὡς φυλάξοντες τοὺς Ἀχαιούς· ὑπώπτευον γὰρ αὐτοὺς ἀποδράσαι τῆς νυκτός· ὁ δὲ Ἕκτωρ ἀνεχώρησεν εἰς τὴν πόλιν παρά τε τοὺς γονέας, καὶ τὴν γυναῖκα, χαίρων τοῖς πεπραγμένοις, ἐπὶ τοῦ στρατεύματος καταλιπὼν Πάριν. ὁ δ᾽ αὐτός τε καὶ τῶν Τρώων τὸ πλῆθος ἐκάθευδεν, ὡς εἰκὸς ἦν κεκοπιωμένους, καὶ μηδὲν προσδεχομένους κακὸν, ἔτι δὲ παντελοῦς εὐπραγίας οὔσης· ἐν τούτῳ δὴ Ἀγαμέμνων, μετὰ Νέστορος καὶ Ὀδυσσέως καὶ Διομήδους βουλευσάμενος, σιωπῇ καθείλκυσαν τῶν νεῶν τὰς πολλὰς, ὁρῶντες, ὅτι καὶ τῇ προτεραίᾳ μικροῦ διεφθάρησαν, ὡς μηδὲ φυγεῖν ἔτι εἶναι, καὶ μέρος οὐκ ὀλίγον ἦν ἐμπεπρησμένον αὐτῶν, ἀλλ᾽ οὐ μία ναῦς ἡ Πρωτεσιλάου· ταῦ-

τα

69) καὶ τὰ λύτρα, [scil. προθεὶς, quod est subaudiendum] ἅ φησι κομίσαι [scil. τὸν Πρίαμον] *et postquam exposuisset de pretio redimendi Hectoris, quod Homerus ait Priamum ad Achillem attulisse.*

70) ταύτην] f. αὖθις, aut τὴν αὐτήν.

τα δὲ ποιήσαντες ἀπέπλευσαν εἰς τὴν Χεῤῥόνησον, τῶν αἰχμαλώτων πολλὰ καταλιπόντες, καὶ τῶν ἄλλων κτημάτων οὐκ ὀλίγα. ἅμα δὲ τῇ ἡμέρᾳ φανεροῦ γενομένου τοῦ πράγματος, ὁ μὲν Ἕκτωρ ἠγανάκτει, καὶ βαρέως ἔφερε, καὶ τὸν Ἀλέξανδρον ἐλοιδόρει· τοὺς γὰρ πολεμίους αὐτὸν ἐκ τῶν χειρῶν ἀφεῖναι. τὰς δὲ σκηνὰς, ἐνέπρησαν οἱ Τρῶες, καὶ διήρπαζον τὰ καταλειφθέντα. τοῖς δὲ Ἀχαιοῖς ἐν τῷ ἀσφαλεῖ βουλευομένοις· οὐ γὰρ εἶχον οἱ περὶ τὸν Ἕκτορα ναυτικὸν ἕτοιμον, ὥστε διαβαίνειν ἐπ' αὐτούς· ἐδόκει μὲν ἀπιέναι πᾶσι, πολλοῦ πλήθους ἀπολωλέτος, καὶ τῶν ἀρίστων ἀνδρῶν. κίνδυνος δὲ ἦν, μὴ ναῦς ποιησάμενοι [71]), παραχρῆμα ἐπιπλεύσωσιν ἐπὶ τὴν Ἑλλάδα. διὰ τοῦτο οὖν ἀναγκαῖον μένειν ἦν [72]) ὥσπερ καταρχὰς ληστεύοντας, εἴ πως τῷ Πάριδι κάμνοντι διαλλάξειαν αὐτοὺς, καὶ πρὸς φιλίαν πράξαντες ἀπελθεῖν [73]). ὡς δὲ ἔκριναν ταῦτα, καὶ ἐποίουν πέραν μένοντες, κἀνταῦθα [74]) τοῖς Τρωσὶν ἐπῆλθον, ἐκ μὲν Αἰθιοπίας Μέμνων, αἱ δὲ Ἀμαζόνες ἐκ τοῦ Πόντου, βοηθοὶ, καὶ ἄλλο πλῆθος ἐπικούρων, ὡς εὐτυχοῦντας ἐπυνθάνοντο τὸν Πρίαμον καὶ τὸν Ἕκτορα, καὶ τοὺς Ἀχαιοὺς ὅσον οὔπω διεφθαρμένους πάντας· οἱ μέν τινες κατ' εὔνοιαν, οἱ δὲ καὶ φόβῳ τῆς δυνάμεως· οὐ γὰρ τοῖς ἡττημένοις, οὐδὲ τοῖς κακῶς πράττουσιν, ἀλλὰ τοῖς νικῶσι καὶ τοῖς περιγενομένοις

71) post ποιησάμενοι excidisse videtur οἱ Τρῶες, aut certe subaudiendum est, quod tamen durius.

72) μένειν αὐτοὺς ἦν est in regio, quo non valde est opus.

73) Casaubouus vult καὶ πρὸς, *et praeterea*, φιλίαν πράξαντες *parta et confecta amicitia mutua* ἀπέλθοιεν. possit tantisper admitti, dum melioribus caremus. sed satius est suspicari, nonnulla hic deesse. nam πρὸς φιλίαν separari nequit, simile illi πρὸς ὀργήν.

74) κανταῦτα Ven. vnde dedi κἀνταῦθα. Mor. κἀνθαῦτα.

νοις ἀπάντως[75]) πάντες ἐθέλουσι βοηθεῖν. μετεπέμψαντο δὲ καὶ οἱ Ἀχαιοὶ παρ' αὐτῶν, εἴ τινα ἐδύναντο, ὠφέλειαν· τῶν μὲν γὰρ ἔξωθεν[76]) οὐθὲν οὐδεὶς ἔτι προσεῖχεν αὐτοῖς· ἀλλὰ Νεοπτόλεμόν τε τὸν Ἀχιλλέως κομιδῇ νέον ὄντα, καὶ Φιλοκτήτην ὑπεροφθέντα πρότερον διὰ τὴν νόσον, καὶ τοιαύτας βοηθείας οἴκοθεν ἀσθενεῖς καὶ ἀπείρους[77]). ὧν ἀφικομένων, μικρὸν ἀναπνεύσαντες, πάλιν διέπλευσαν εἰς τὴν Τροίαν, καὶ περιεβάλλοντο τεῖχος ἕτερον πολὺ ἔλαττον, οὐκ ἐν ᾧ πρότερον τόπῳ παρὰ τὸν αἰγιαλὸν, ἀλλὰ τὸ ὑψηλὸν αὐτοῦ καταλαβόντες. τῶν δὲ νεῶν αἱ μέν τινες ὑφώρμουν ὑπὸ τοῦ τείχους, αἱ δὲ ἐν τῷ πέραν ἔμενον· ἅτε γὰρ οὐδεμίαν ἐλπίδα ἔχοντες κρατήσειν, ἀλλ' ὁμολογιῶν δεόμενοι, καθάπερ εἶπον, οὐ βεβαίως ἐπολέμουν, ἀλλ' ἀμφιβόλως τρόπον τινὰ, καὶ πρὸς ἀπόπλουν μᾶλλον τὴν γνώμην ἔχοντες. ἐνέδραις οὖν ὡς τοπολὺ καὶ καταδρομαῖς ἐχρῶντο. καί ποτε μάχης ἰσχυροτέρας γενομένης, βιαζομένων αὐτῶν[78]) τὸ φρούριον ἐξελεῖν, Αἴας τε ὑπὸ Ἕκτορος ἀποθνήσκει, καὶ Ἀντίλοχος ὑπὸ τοῦ Μέμνονος, πρὸ τοῦ πατρός. ἐτρώθη δὲ καὶ αὐτὸς ὁ Μέμνων ὑπὸ Ἀντιλόχου, καὶ[79]) ἀποκομιζόμενος τραυματίας, τελευτᾷ κατὰ τὴν ὁδόν. συνέβη δὲ καὶ τοῖς Ἀχαιοῖς εὐημερῆσαι τότε, ὡς οὐ πρότερον. ὅ, τε γὰρ Μέμνων, μέγα ἀξίωμα ἔχων, ἐτρώ-

75) ἀπάντως videtur redundare.
76) ἔσωθεν Ven. et ed. Rhodom.
77) Ven. ἀπύρους. vnde malim effectum esse ἀπόρους.
78) αὐτῶν debebat e ratione orationis ad graecos redire, nam de illis solis agunt superiora. sed sententia monstrat ad Troianos redire. f. leg. τῶν τρώων βιαζομένων αὐτῶν τὸ φρούριον. *Troianis castrum eorum*, (Graecorum puta) *vi conantibus expugnare.*
79) καὶ ἀποκομ.] sic recte Ven. et Rhodom. sed Morell. omittit καί.

ἐτρώθη καιρίως, τήν τε Ἀμαζόνα ἀπέκτεινεν ὁ Νεοπτόλεμος καταδραμοῦσαν ἐπὶ τὰς ναῦς ἰταμώτερον, καὶ πειρωμένην[80]) ἐμπρῆσαι, μαχόμενος ἐκ τῆς νηὸς, ναυμάχῳ δόρατι, καὶ Ἀλέξανδρος ἀποθνήσκει, Φιλοκτήτῃ διατοξευόμενος. ἦν οὖν ἀθυμία καὶ παρὰ τοῖς Τρωσὶν, εἰ μηδέποτε παύσονται τοῦ πολέμου, μηδὲ ἔσται μηδὲν αὐτοῖς πλέον νικῶσιν. ὅ, τε Πρίαμος ἄλλος ἐγεγόνει μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν, σφόδρα ἀνιαθεὶς καὶ φοβούμενος ὑπὲρ τοῦ Ἕκτορος. πολὺ δὲ φαυλότερον εἶχε τὰ τῶν Ἀχαιῶν, Ἀντιλόχου τε καὶ Αἴαντος τεθνηκότων· ὥστε πέμπουσι περὶ συμβάσεων, φάσκοντες ἀπιέναι, γενομένης εἰρήνης καὶ ὅρκων ὀμοσθέντων μηκέτι στρατεύειν[81]), μήτε αὐτοὺς εἰς τὴν Ἀσίαν, μήτε ἐκείνους ἐπὶ τὸ Ἄργος. μετὰ δὲ ταῦτα ὁ μὲν Ἕκτωρ ἀντέλεγε· πολὺ γὰρ εἶναι κρείττους, καὶ τὸ ἐπιτείχισμα, ἔφη, κατὰ κράτος αἱρήσειν, μάλιστα δὲ ἐχαλέπαινε τῇ Ἀλεξάνδρου τελευτῇ. δεομένου δὲ τοῦ πατρὸς, καὶ τὸ γῆράς τε αὐτοῦ λέγοντος, καὶ τῶν παίδων τὸν θάνατον, τοῦ τε ἄλλου πλήθους ἀπηλλάχθαι βουλομένου, τὰς μὲν διαλύσεις συνεχώρησεν· ἠξίου δὲ τοὺς Ἀχαιοὺς, τά τε[82]) χρήματα διαλύσαντας τὰ δαπανηθέντα εἰς τὸν πόλεμον, καὶ δίκην τινὰ ὑποσχεῖν, ὅτι μηθὲν ἀδικηθέντες ἐστρατεύσαντο, καὶ τὴν χώραν διέφθειραν πολλοῖς ἔτεσι, καὶ ἄνδρας ἀγαθοὺς καὶ Ἀλέξανδρον, οὐδὲν ὑπ' αὐτοῦ παθόντες, ἀλλ' ὅτι κρείττων[83]) ἐνομίσθη κατὰ μνηστείαν, καὶ γυναῖκα ἔλαβεν ἐκ τῆς Ἑλλάδος, τῶν κυρίων διδόντων.

80) πειρωμένην] ſic Ven. et Rhodom. πειρομ. Mor.
81) malim στρατεύσειν.
82) aut τε delendum eſt e τά τε, vt ſit modo τὰ χρήμ. aut ſeruato τε, pro διαλύσαντας, quod neſcio vnde ſit ductum, leg. eſt διαλῦσαι, quo ducit etiam Ven. in qua eſt διαλύσας.
83) παθόντες ἄλλο, ἢ ὅτι κρ.

τῶν. ὁ δὲ Ὀδυσσεὺς· (οὗτος γὰρ ἐπρέσβευε περὶ τῆς εἰρήνης·) παρῃτεῖτο, ἐπιδεικνὺς, ὅτι οὐχ ἧττω δεδράκασιν, ἢ πεπόνθασιν [84]), καὶ τὴν αἰτίαν ἐκείνοις ἀνετίθει τοῦ πολέμου· μηθὲν γὰρ δεῖν Ἀλέξανδρον, τοσούτων οὐσῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, τὸν δὲ, εἰς [85]) τὴν Ἑλλάδα ἐλθόντα, μνηστεύειν, καὶ ἀπελθεῖν καταγελάσαντα τῶν ἀρίστων παρ' αὐτοῖς, πλούτῳ νικήσαντα· συμβῆναι γὰρ οὐχ ἁπλῶς τὴν μνηστείαν· ἀλλὰ ἐπιβουλεύειν ἂν αὐτὸν τοῖς ἐκεῖ πράγματι, διὰ τοῦτο μὴ λανθάνειν [86]) αὐτούς· ὥστε τὸ λοιπὸν ἠξίου παύσασθαι, τοσούτων κακῶν γεγονότων ἀμφοτέροις, καὶ ταῦτα ἐπιγαμίας τε οὔσης καὶ συγγενείας τοῖς Ἀτρείδαις πρὸς αὐτοὺς, διὰ Πέλοπα. περὶ δὲ τῶν χρημάτων, κατεγέλα· μὴ γὰρ εἶναι χρήματα τοῖς Ἕλλησιν· ἀλλὰ καὶ νῦν τοὺς πολλοὺς ἑκόντας στρατεύεσθαι, διὰ τὴν οἴκοι πενίαν. ταῦτα δὲ ἔλεγεν, ἀποτρέπων αὐτοὺς τῆς ἐπὶ τὴν

Ἑλ-

84) malim ὅτι οὐχ ἧττω πεπόνθασιν, ἢ δεδράκασιν. *se* (Graecos) *non minora mala accepisse* (a Troianis), *quam ipsis intulisse.* scio vulgatum verborum ordinem posse defendi, si sic accipiantur: *Troianos non minora mala Graecis intulisse, quam ab his accepissent.* sed videtur ille, quem proposui, ordo magis naturae rei et rationi linguae conuenire.

85) In Ven. et in ed. Rhodom. est — γυναικῶν. τὸν δὲ, εἰς τὴν — quod suspicionem creat, in superioribus post Ἀλέξανδρον aliquid deesse, e. c. ἑλληνίδας ἀπάγειν, vel simile quid. saltim celauit nos Morellus auctorem, quo fideiubente τὸν δὲ omiserit. Rhodomannus coni. τήνδε (Helenam.)

86) διὰ τοῦτο μὴ λανθάνειν αὐτοὺς] verba obscura, et, vt videntur, mutila. Sententia videtur haec postulare: δι' αὐτὸ τοῦτον τὸν γάμον διαπραξάμενον (scil. τὸν Ἀλέξανδρον) οὐ λανθάνειν αὐτούς. *sibi* (Graecis) *haud latuisse, Alexandrum* (seu Parin) *hac sola de causa nuptias has perpetrasse.*

Ἑλλάδα στρατείας. εἰ δέ τινα δίκην γενέσθαι 87) τοῦ εὐπρεποῦς χάριν, αὐτοὺς εὑρεῖν· καταλείψειν γὰρ αὐτοὺς ἀνάθημα κάλλιστον καὶ μέγιστον τῇ Ἀθηνᾷ, καὶ ἐπιγράψειν· Ἱλαστήριον Ἀχαιοὶ τῇ Ἰλιάδι. τοῦτο γὰρ φέρειν μεγάλην τιμὴν ἐκείνοις· καθ᾽ ἑαυτῶν δὲ γίγνεσθαι μαρτύριον ὡς ἡττημένων. παρεκάλει δὲ καὶ τὴν Ἑλένην ὑπὲρ τῆς εἰρήνης συλλαμβάνειν. ἡ δὲ συνέπραττε προθύμως· ἤχθετο γὰρ, ὅτι δι᾽ αὐτὴν οἱ Τρῶες ἐδόκουν πολλὰ κακὰ πάσχειν. καὶ ποιοῦνται τὰς διαλύσεις, καὶ σπονδαὶ γίνονται τοῖς Τρωσὶ καὶ τοῖς Ἀχαιοῖς. Ὅμηρος δὲ καὶ τοῦτο μετήνεγκεν ἐπὶ τὸ ψεῦδος, ὡς οὐ γενόμενον· ἀλλ᾽ ἔφη τοὺς Τρῶας συγχέαι τὰς σπονδὰς, ἃς ὤμοσάν τε ἀλλήλοις ὅ, τε Ἕκτωρ καὶ Ἀγαμέμνων, καὶ τῶν ἄλλων οἱ δυνατοὶ, μήτε τοὺς Ἕλληνάς ποτε στρατεύειν 88) εἰς τὴν Ἀσίαν, ἕως ἂν ἄρχῃ τὸ Πριάμου γένος, μήτε τοὺς Πριαμίδας εἰς Πελοπόννησον, ἢ Βοιωτίαν, ἢ Κρήτην, ἢ Ἰθάκην, ἢ Φθίαν, ἢ Εὔβοιαν. ταύτας γὰρ μόνας ἐξαιρέτους ἐποίουν· περὶ δὲ τῶν ἄλλων οὐκ ἐβούλοντο ὀμνύειν οἱ Τρῶες, οὐδὲ τοῖς Ἀτρείδαις ἔμελε. τούτων δὲ ὀμοσθέντων, ὅ τε ἵππος ὑπὸ τῶν Ἀχαιῶν ἐπετελέσθη, μέγα ἔργον, καὶ ἀνήγαγον αὐτὸν οἱ Τρῶες πρὸς τὴν πόλιν. καὶ τῶν πυλῶν οὐ δεχομένων, μέρος τι τοῦ τείχους καθεῖλον. ὅθεν γελοίως ἐλέχθη, τὸ ἁλῶναι τὴν πόλιν ὑπὸ τοῦ ἵππου. καὶ τὸ στράτευμα ᾤχετο ὑπόσπονδον τούτῳ τῷ τρόπῳ. τὴν δὲ Ἑλένην ὁ Ἕκτωρ συνῴκισε Δηϊφόβῳ, ὃς ἦν μετ᾽ ἐκεῖνον τῶν ἀδελφῶν ἄριστος. ὁ δὲ πατὴρ αὐτοῦ τελευτᾷ πάντων εὐδαιμονέστατος, πλὴν ὅσα λελύπηται περὶ τῶν παίδων τῶν τετελευτηκότων. καὶ αὐτὸς 89) βασιλεύ-

87) f. εἰ δέ τινα δεῖ (vel δέῃ) δίκην γενέσθαι.
88) malim στρατεύσειν.
89) καὶ αὐτὸς] ſubaudi τελευτᾷ, ſcil. Hector, de quo hoc voc.

σιλεύσας συχνὰ ἔτη, καὶ πλεῖστα τῆς Ἀσίας καταστρεψάμενος, γηραιὸς ἀποθνήσκει, καὶ θάπτεται πρὸ τῆς πόλεως. τὴν δὲ ἀρχὴν Σκαμάνδρῳ τῷ παιδὶ κατέλιπε. ταῦτα δὲ ἔχοντα οὕτως, ἐπίσταμαι σαφῶς, ὅτι οὐδεὶς ἀποδέξεται· φήσουσι δὲ ψευδῆ πάντες εἶναι, πλὴν τῶν φρονούντων, οὐ μόνον οἱ Ἕλληνες, ἀλλὰ καὶ ὑμεῖς. ἡ γὰρ διαβολὴ σφόδρα χαλεπόν 90) ἐστι, καὶ τὸ ἐξηπατῆσθαι πολὺν χρόνον. σκοπεῖτε δὲ τἀναντία, πῶς ἐστι γελοῖα, ἀφελόντες τὴν δόξαν, διὰ τὸ προκατειλῆφθαι. κρυφθῆναι μὲν ἐν τῷ ἵππῳ στράτευμα ὅλον, τῶν δὲ Τρώων μηδένα αἰσθάνεσθαι τοῦτο, μηδὲ ὑποπτεῦσαι, καὶ ταῦτα μάντεως οὔσης παρ' αὐτοῖς ἀψευδοῦς. ἀλλὰ κομίζουσι τοὺς πολεμίους δι' αὐτῶν εἰς τὴν πόλιν. πρότερον δὲ ἕνα ἄνδρα, πάντων ἡττωμένων, ἱκανὸν γενέσθαι γυμνὸν ἐπιφανέντα, τῇ φωνῇ τρέψασθαι τοσαύτας μυριάδας, καὶ μετὰ τοῦτο ὅπλα οὐκ ἔχοντα, ἐκ 91) τοῦ οὐρανοῦ λαβόντα, νικῆσαι τοὺς μιᾷ πρότερον ἡμέρᾳ κρατοῦντας, καὶ διώκειν ἅπαντας, ἕνα ὄντα. αὐτὸν δὲ ἐκεῖνον, τοσοῦτον ὑπερέχοντα, ἀποθανεῖν ὑπὸ τοῦ πάντων κακίστου τὴν ψυχήν, ὡς αὐτοί 92) φασιν· ἄλλου τε ἀποθανόντος, ἄλλον σκυλευθῆναι. μόνῳ δὲ ἐκείνῳ τῶν ἡγεμόνων μὴ γενέσθαι τάφον.

voc. esse accipiendum, acute vidit Casaubonus. Confirmant, quae de sepulcro Hectoris hic dicit, et supra p. 348, 2. dixerat.

90) post χαλεπὸν videtur διαλύσασθαι vel tale quid deesse.

91) male ed. Rhod. post ἐκ inserit δὲ.

92) merito non placuit Anglo Casaubonus negationem inferens. Locus bene habet. Sententia est: *haec enim, quae mox dicam, sunt in iis, quae Homerus commentus est, aliique eum auctorem secuti memoriae tradiderunt: Achilles puta* — v. paulo post ὡς αὐτοὶ λέγουσι. conf. ὁμολογουμένοις p. 358, 10.

τάφον. ἄλλον δέ τινα τῶν ἀρίστων, τοσαῦτα ἔτη πολεμοῦντα, ὑπὸ μὲν τῶν πολεμίων μηδενὸς ἀποθανεῖν· αὐτὸν δὲ ὀργισθέντα ἀποσφάξαι, καὶ ταῦτα δοκοῦντα σεμνότατον καὶ πρᾳότατον εἶναι τῶν συμμάχων. τὸν δὲ ποιητὴν προθέμενον εἰπεῖν τὸν Τρωϊκὸν πόλεμον, τὰ κάλλιστα καὶ μέγιστα τῶν γεγονότων ἐᾶσαι, καὶ μηδὲ τὴν ἅλωσιν τῆς πόλεως διελθεῖν. ταῦτα γάρ ἐστιν ἐν τοῖς πεποιημένοις καὶ λεγομένοις 93). ὁ μὲν Ἀχιλλεύς, προηττημένων τῶν Ἀχαιῶν οὐκ εἰς ἅπαξ, οὐδὲ τῶν ἄλλων μόνων, ἀλλὰ καὶ τῆς ἑαυτοῦ στρατιᾶς, μόνος περιγενόμενος, καὶ τοσοῦτον τὰ πράγματα μεταβαλών. αὐτὸς δὲ Ἕκτορα μὲν ἀποκτείνας, ὑπὸ Ἀλεξάνδρου δὲ ἀποθνήσκων, ὃς ἦν ὕστατος τῶν Τρώων, ὡς αὐτοὶ λέγουσι. Πατρόκλου δὲ ἀποθανόντος, σκυλευόμενος ὁ Ἀχιλλεύς, καὶ τὰ ἐκείνου ληφθέντα ὅπλα· ὁ δὲ Πάτροκλος οὐ ταφείς. ἐπειδὴ δὲ Αἴαντος ἦν τάφος, καὶ πάντες ᾔδεσαν αὐτὸν ἐν Τροίᾳ τελευτήσαντα, ἵνα δὴ μὴ ποιήσῃ τὸν ἀποκτείναντα ἔνδοξον, αὐτὸς αὑτὸν ἀνελών. οἱ δὲ Ἀχαιοὶ φεύγοντες μὲν ἐκ τῆς Ἀσίας σιωπῇ, καὶ τὰς σκηνὰς κατακαύσαντες, καὶ τὸ ναύσταθμον ἀφθὲν ὑπὸ τοῦ Ἕκτορος, καὶ τὸ τεῖχος αὐτῶν ἑαλωκός, καὶ ἀνάθημα ἀναθέντες τῇ Ἀθηνᾷ, καὶ ἐπιγράψαντες, ὡς ἔθος ἐστὶ τοῖς ἡττημένοις, οὐδὲν δὲ ἧττον τὴν Τροίαν ἑλόντες, ἐν δὲ τῷ ἵππῳ τῷ ξυλίνῳ στράτευμα ἀνθρώπων ἀποκρυφθέν. οἱ δὲ Τρῶες ὑποπτεύσαντες μὲν τὸ πρᾶγμα, καὶ βουλευσάμενοι κατακαῦσαι τὸν ἵππον, ἢ διατεμεῖν, μηθὲν δὲ τούτων ποιήσαντες, ἀλλὰ πίνοντες καὶ καθεύδοντες, καὶ ταῦτα προειπούσης αὐτοῖς τῆς Κασσάνδρας. ταῦτα οὐκ ἐνυπνίοις ἐοικότα τῷ ὄντι καὶ ἀπιθάνοις ψεύσμασιν; ἐν γάρ τοι σορῷ γεγραμ-

93) καὶ recte ab ed. Ven. et Rhodom. abest post λεγομένοις, quod Mor. add.

γραμμένοις 94) ὀνείρασιν οἱ ἄνθρωποι τοιαύτας ὄψεις ὁρῶσι, νῦν μὲν δοκοῦντες ἀποθνήσκειν καὶ σκυλεύεσθαι, πάλιν δὲ ἀνίστασθαι καὶ μάχεσθαι γυμνοὶ ὄντες. ἐνίοτε δὲ οἰόμενοι διώκειν 95), καὶ τοῖς θεοῖς διαλέγεσθαι, καὶ αὐτοὺς ἀποσφάττειν, καὶ 96) μηδενὸς δεινοῦ ὄντος, καὶ, οὕτως εἰ τύχοι ποτὲ, πέτεσθαι 97), καὶ βαδίζειν ἐπὶ τῆς θαλάττης. ὥστε καὶ τὴν Ὁμήρου ποίησιν ὀρθῶς ἄν τινα εἰπεῖν ἐνύπνιον, καὶ τοῦτο ἄκριτον καὶ ἀσαφές. ἄξιον δὲ κἀκεῖνο 98) ἐνθυμηθῆναι πρὸς τοῖς ὁμολογουμένοις 99). ὁμολογοῦσι γὰρ ἅπαντες τοὺς Ἀχαιοὺς ἐκ τῆς Ἀσίας ἀναχθῆναι χειμῶνος ἤδη, καὶ διὰ τοῦτο ἀπολέσθαι τὸ πλέον τοῦ στόλου περὶ τὴν Εὔβοιαν· ἔτι δὲ μὴ κατὰ ταὐτὸ πλεῖν ἅπαντας, ἀλλὰ στασιάσαι τὸ στράτευμα καὶ τοὺς Ἀτρείδας· καὶ τοὺς μὲν Ἀγαμέμνονι, τοὺς δὲ Μενέλεῳ προσθέσθαι· τοὺς δὲ καθ' αὐτοὺς ἀπελ-

94) perquam speciosa est Casauboni emendatio ἐν τοῖς Ὥρῳ γεγραμμένοις. vellem modo suo adstrinxisset Oro vel Horo auctoritatem; nam apud Fabricium quidem Bibl. Gr. T. I. p. 91. et T. III. p. 411. inter Onirocriticos Horum haud reperio. Apollodorus Telmissensis in hoc genere olim erat clarus. v. Artemidor. I. 81. ego tamen, in hac rei obscuritate, malo cum Casaubono facere.

95) οἰόμενοι διώκειν] verba suspecta, mihi quidem obscura.

96) καὶ hic loci significat idem atque *καίτοι tametsi. cum nihil discriminis sit.*

97) πέτεσθαι] sic recte ed. Rhodom. et Anglus. πύθεσθαι Mor. paulo ad veram lectionem propius dat Ven. πύτεσθαι.

98) κἀκεῖνος est in Veneta. num ergo κἀκεῖνό σ' [id est σε] ἐνθυμηθῆναι leg.? nam Aegyptius sacerdos ad Dionem loquitur.

99) πρὸς τοῖς ὁμολογουμενοις] vitiosum videtur vocabulum hoc et iteratum perperam e proximo ὁμολογοῦσι. num ergo πρὸς τοῖσδε, vel πρὸς τούτοις, (sine ὁμολογουμένοις, quod delendum videtur) aut πρὸς τοῖς εἰρημένοις, *praeter superius dicta.*

ἀπελθεῖν, ὧν καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται. ἀλλὰ τοὺς μὲν εὖ πράττοντας ὁμονοεῖν εἰκὸς, καὶ τῷ βασιλεῖ τοπλεῖστον ὑποτάττεσθαι· καὶ τὸν Μενέλεων μὴ διαφέρεσθαι πρὸς τὸν ἀδελφὸν, παραχρῆμα τῆς εὐεργεσίας· τοῖς δὲ ἡττημένοις καὶ κακῶς πράττουσιν ἅπαντα ταῦτα ἀνάγκη συμβαίνειν. ἔτι δὲ, τοὺς μὲν φοβουμένους καὶ φεύγοντας ἐκ τῆς πολεμίας ἀπιέναι τὴν ταχίστην· τοὺς δὲ νικῶντας [100]), καὶ διακινδυνεύειν μένοντας, τοὺς δὲ κρατοῦντας, καὶ πρὸς τοῖς [1]) αὐτῶν, ἔχοντας τοσοῦτον πλῆθος αἰχμαλώτων καὶ χρημάτων, περιμένειν τὴν ἀσφαλεστάτην ὥραν, ἅτε καὶ αὐτῆς τῆς γῆς κρατοῦντας, καὶ πολλὴν ἁπάντων ἀφθονίαν ἔχοντας, ἀλλὰ μὴ δέκα ἔτη περιμείναντας, διαφθαρῆναι παρ' ὀλίγον· αἵ τε οἴκοι συμφοραὶ καταλαβοῦσαι τοὺς ἀφικομένους, οὐχ ἥκιστα δηλοῦσι τὸ πρᾶγμα καὶ τὴν ἀσθένειαν αὐτῶν. οὐ πάντα [2]) γὰρ εἰώ-

100) hic ſunt reliquiae liturarum auctoris, aut varietatis codicum in lectione. Compara inter ſe haec, et videbis ſimillima ſibi eſſe, vt alterutra ſententia tollenda ſit:

τοὺς δὲ νικῶντας καὶ διακινδυνεύειν μένοντας, ἅτε καὶ αὐτῆς τῆς γῆς κρατοῦντας, καὶ πολλὴν ἁπάντων ἀφθονίαν ἔχοντας.	τοὺς δὲ κρατοῦντας, ἅτε καὶ πρὸς τοῖς (ſic leg.) αὐτῶν, ἔχοντας τοσοῦτον πλῆθος αἰχμαλώτων καὶ χρημάτων, περιμένειν τὴν ἀσφαλεστάτην ὥραν.

negandum non eſt, poſteriorem dictionem priori multum praeſtare. malim itaque illam, quam primo loco poſui, deleri, alteram ſeruari. Obſeruaſſe in hac Iliaca Dionis oratione, aliisque eiusdem, mihi videor ſimiles locos, vbi auctor eandem ſententiam bis conatus eſt reddere verbis multum diuerſis, ſed errore librariorum ſuperſtes in libris manſit vtraque ratio e lituris auctoris, fortaſſis ideo, quia ille oblitus eſſet alteram ſtylo obuerſo inducere.

1) τοῖς] ſic Caſaubonus. τῆς Ven. et Mor.

2) Caſaubonus πάντα pro πάντες accipit. Rhodomannus vult πάντες. ſed contorta iſta, et aliena ſunt, neque admittenda. ſcribe cum Anglo, οὐ πάνυ γάρ.

θασιν ἐπιτίθεσθαι τοῖς νικῶσιν, οὐδὲ τοῖς εὐτυχοῦσιν· ἀλλὰ τούτους μὲν θαυμάζουσι καὶ φοβοῦνται· τῶν δὲ ἀποτυχόντων καταφρονοῦσιν οἵ τε ἔξωθεν καί τινες τῶν ἀναγκαίων 3). φαίνεται δὲ Ἀγαμέμνων ὑπὸ τῆς γυναικὸς ὑπεροφθεὶς διὰ τὴν ἧτταν· ὅ, τε Αἴγισθος ἐπιθέμενος αὐτῷ καὶ κρατήσας ῥᾳδίως, οἵ τε Ἀργεῖοι καταλαβόντες τὸ πρᾶγμα 4), καὶ τὸν Αἴγισθον βασιλέα ἀποδείξαντες· οὐκ ἂν εἰ 5) μετὰ τοσαύτης δόξης καὶ δυνάμεως ἀφικόμενον τὸν Ἀγαμέμνονα ἀπέκτεινε, κρατήσαντα τῆς Ἀσίας. ὅ τε Διομήδης ἐξέπεσεν οἴκοθεν, οὐθενὸς ἔλαττον εὐδοκιμῶν ἐν τῷ πολέμῳ. καὶ Νεοπτόλεμος, εἴτε ὑπὸ Ἑλλήνων, εἴτε ὑπὸ ἄλλων τινῶν, μετ' οὐ πολὺ δὲ καὶ πάντες ἐξέπεσον ἐκ τῆς Πελοποννήσου, καὶ κατελήφθη 6) τὸ τῶν Πελοπιδῶν γένος, δι' ἐκείνην τὴν ξυμφοράν. οἱ δ' Ἡρακλεῖδαι, πρότερον ἀσθενεῖς ὄντες καὶ ἀτιμαζόμενοι, κατῆλθον μετὰ τῶν Δωριέων. Ὀδυσσεὺς δὲ ἐβράδυνεν ἑκὼν, τὰ μὲν αἰσχυνόμενος, τὰ δὲ ὑποπτεύων τὰ πράγματα. καὶ διὰ τοῦτο ἐπὶ μνηστείαν ἐτράπησαν τῆς Πηνελόπης καὶ τῶν κτημάτων ἁρπαγὴν, ἡ τῶν Κεφαλήνων νεότης. καὶ οὐδεὶς ἐβοήθει τῶν φίλων τῶν Ὀδυσσέως, οὐδὲ Νέστωρ οὕτως ἐγγύθεν. ἅπαντες γὰρ ἦσαν ταπεινοὶ καὶ φαύλως ἔπραττον, οἱ τῆς στρατιᾶς 7) μετασχόντες. τοὐν-

αν-

3) f. καὶ ἤδη τινὲς τῶν ἀναγκ.

4) bene interpres reddidit dictionem καταλαβόντες τὸ πρ. cum res occupassent, h. e. constituendi apud se principis et conferendae summae potestatis ius atque auctoritatem sibi arrogassent.

5) perquam vulgata graecis est dictio οὐκ ἄν, εἰ, *haud facturus*, *si* — saepe sic Xenopho, saepe Aristides, vt T. I. 367, 18. aliique.

6) probo Casauboni κατελύθη.

7) στρατείας, et sic quoque paulo post.

αντίον δὲ ἔχειν ἢ 8) δειλοὺς ἅπασι φαίνεσθαι τοὺς νενικηκότας, καὶ μηδένα αὐτοῖς ἐπιχειρεῖν. Μενέλεως δὲ τοπαράπαν οὐχ ἧκεν εἰς Πελοπόννησον, ἀλλ' ἐν Αἰγύπτῳ κατέμεινε. καὶ σημεῖά τε ἐστὶν ἄλλα τε 9) τῆς ἀφίξεως, καὶ νομὸς ἀπ' αὐτοῦ καλούμενος· οὐκ ἄν, εἰ πεπλανημένος καὶ πρὸς ὀλίγον ἀφίκετο. γήμας δὲ τὴν τοῦ βασιλέως θυγατέρα, καὶ διηγήσατο τοῖς ἱερεῦσι τὰ τῆς στρατιᾶς, οὐδὲν ἀποκρυπτόμενος. οἱ δέ φασιν, ὅτι καὶ τὴν Ἑλένην ἐκεῖθεν ἔλαβεν, λόγον ἁπάντων ἀπιστότατον. τέως δὲ ἐλάνθανεν, εἴδωλον ἐκ τῆς Τροίας ἔχων· ὅ, τε πόλεμος συνειστήκει 10) περὶ εἰδώλου τὰ δέκα ἔτη. σχεδὸν δὲ καὶ Ὅμηρος ἐπίσταται καὶ αἰνίττεται, φήσας τὸν Μενέλεων, μετὰ τὴν τελευτὴν, ὑπὸ τῶν θεῶν εἰς τὸ Ἠλύσιον πεδίον πεμφθῆναι, ὅπου μήτε νιφετὸς γίγνεται, μήτε χειμών· ἀλλ' αἰθρία δι' ἔτους καὶ πρᾶος ἀήρ· ὁ γὰρ τῆς Αἰγύπτου τόπος τοιοῦτός ἐστιν. δοκοῦσι δέ μοι καὶ τῶν ὕστερον ποιητῶν τινες ὑποπτεῦσαι τὰ πράγματα. τὴν γὰρ Ἑλένην ἐπιβουλευθῆναι μὲν ὑπὸ Ὀρέστου λέγει τις τῶν τραγῳδιοποιῶν, εὐθὺς ἐλθοῦσαν, γενέσθαι δὲ ἀφανῆ, τῶν ἀδελφῶν ἐπιφανέντων. τοῦτο δὲ οὐκ ἄν ποτε ἐποίησεν, εἰ ἐφαίνετο ἡ Ἑλένη κατοικήσασα ὕστερον ἐν τῇ Ἑλλάδι, καὶ τῷ Μενελάῳ συνοῦσα. τὰ μὲν δὴ τῶν Ἑλλήνων μετὰ τὸν πόλεμον εἰς τοῦτο ἦλθε δυστυχίας καὶ ταπεινότητος· τὰ δὲ τῶν Τρώων πολὺ κρείττονα καὶ ἐπικυδέστερα ἐγένοντο. τοῦτο μὲν γὰρ Αἰνείας ὑπὸ Ἕκτορος πεμφθεὶς μετὰ στόλου καὶ δυνάμεως πολλῆς, Ἰταλίαν κατέσχε τὴν εὐδαιμονεστάτην χώ-

8) ἢ delendum. Caſauboni δεινοὺς *reuerendos*, *formidandos*, amplector, aut lego μὴ δειλοὺς *non timidos*.

9) τε] aut γε, aut potius δὲ leg.

10) ſolet quidem vulgo συνειστήκει dici, ſed neque vitioſum eſt συνεστήκει, vt Ven. et Mor. dant.

ραν τῆς Εὐρώπης· τοῦτο δὲ Ἕλενος εἰς μέσην ἀφικόμενος τὴν Ἑλλάδα, Μολοττῶν ἐβασίλευσε, καὶ τῆς Ἠπείρου, πλησίον Θετταλίας. καίτοι, πότερον εἰκὸς ἦν, τοὺς ἡττηθέντας ἐπιπλεῖν ἐπὶ τὴν τῶν κρατησάντων χώραν, καὶ βασιλεύειν παρ' αὐτοῖς, ἢ τοὐναντίον, τοὺς κρατήσαντας ἐπὶ τὴν τῶν ἡττημένων; πῶς δέ, εἴπερ, ἁλούσης Τροίας, ἔφυγον οἱ περὶ τὸν Αἰνείαν, καὶ τὸν Ἀντήνορα, καὶ τὸν Ἕλενον, οὐ πανταχόσε μᾶλλον ἔφευγον, ἢ εἰς τὴν Ἑλλάδα καὶ τὴν Εὐρώπην, οὐδὲ τόπον τινὰ ἠγάπων καταλαβόντες τῆς Ἀσίας, ἀλλ' εὐθὺς ἐπὶ τὴν ἐκείνων ἔπλεον, ὑφ' ὧν ἀνάστατοι ἐγένοντο; πῶς δὲ ἐβασίλευσαν [11]) ἅπαντες οὐ σμικρῶν οὐδὲ ἀνωνύμων χωρίων, ἐξὸν αὐτοῖς καὶ τὴν Ἑλλάδα κατασχεῖν; ἀλλ' ἀπείχοντο διὰ τοὺς ὅρκους; ὅμως δὲ Ἕλενος οὐκ ὀλίγον αὐτῆς ἀπετέμετο, τὴν Ἤπειρον· Ἀντήνωρ δὲ Ἐνετῶν ἐκράτησε καὶ τῆς ἀρίστης γῆς περὶ τὸν Ἀδρίαν· Αἰνείας δὲ πάσης Ἰταλίας ἐβασίλευσε, καὶ πόλιν ᾤκισεν τὴν μεγίστην πασῶν. ταῦτα δὲ οὐκ εἰκὸς ἦν πρᾶξαι φυγάδας ἀνθρώπους, καὶ ταῖς οἴκοθεν ξυμφοραῖς καταβεβλημένους· ἀλλ' ἀγαπᾶν, εἴ τις αὐτοὺς εἴα κατοικεῖν. ἄλλως τε μετὰ ποίας ἀφορμῆς ἀφικομένους χρημάτων ἢ στρατιᾶς, διὰ μέσων τῶν πολεμίων φεύγοντας, ἐμπεπρησμένης τῆς πόλεως, πάντων ἀπολωλότων, ὅπου χαλεπὸν ἦν τὰ σώματα αὐτὰ διασῶσαι τοὺς ἰσχύοντας καὶ νέους· ἀλλ' οὐ μετὰ παίδων, γυναικῶν καὶ γονέων [12]) καὶ χρημάτων ἀπανίστασθαι [13]), καὶ ταῦτα ἀδοκήτως τε καὶ

παρ'

11) nescio, quid hic Anglus tricetur, vbi omnia plana et vitii expertia sunt.

12) f. καὶ γυναικῶν, καὶ γερόντων, καὶ νέων, καὶ χρ. sic videbatur, antequam Morellum inspicerem, qui e codice regio egregiam emendationem, καὶ γονέων, affert, pro καὶ νέων, quod Ven. et Mor. dant.

13) ἀπανίστασθαι] sic Veneta et codex regius, quod Casaubonus item coniecerat. ἐπανίσ. Mor.

παρ' ἐλπίδας ἁλούσης τῆς πόλεως; οὐχ ὥσπερ εἰώθασι κατὰ 14) σπονδὰς κατ' ὀλίγον ἐκλείπειν; ἀλλὰ τὸ γενόμενον δυνατὸν γενέσθαι 15). τὸν δὲ Ἕκτορα, φασὶν 16), ὡς ἀπέπλευσαν οἱ Ἀχαιοὶ, πολλοῦ πλήθους εἰς τὴν πόλιν συνεληλυθότος, καὶ μηδὲ τῶν ἐπικούρων ἀπιέναι βουλομένων ἁπάντων· ἔτι δὲ ὁρῶντα τὸν Αἰνείαν οὐκ ἀνεχόμενον, εἰ μὴ μέρος λάβοι τῆς ἀρχῆς· ταῦτα γὰρ ὑποσχέσθαι τὸν Πρίαμον αὐτῷ διαπολεμήσαντι τὸν πόλεμον, καὶ ἐκβαλόντι τοὺς Ἀχαιούς· οὕτω δὴ τὴν ἀποικίαν στεῖλαι, χρημάτων τε οὐ φεισάμενον, καὶ πλῆθος ὁπόσον αὐτὸς ἐβούλετο πέμψαντα, μετὰ πάσης προθυμίας. λέγειν 17) δὲ αὐτὸν, ὡς ἄξιος μὲν εἴη βασιλεύειν, καὶ μηδὲν καταδεεστέραν ἀρχὴν ἔχειν τῆς αὑτοῦ, προσήκειν δὲ μᾶλλον ἑτέραν κτήσασθαι γῆν· εἶναι γὰρ οὐκ ἀδύνατον, πάσης κρατῆσαι τῆς Εὐρώπης, τούτων δὲ οὕτω γενομένων, ἐλπίδας ἔχειν τοὺς ἀπ' αὐτῶν ἄρχειν ἑκατέρας τῆς ἠπείρου, ἐφ' ὅσον ἂν σώζηται τὸ γένος. ταῦτα δὴ ἀξιοῦντος Ἕκτορος ἑλέσθαι 18) τὸν Αἰνείαν, τὰ μὲν ἐκείνῳ χαριζόμενον, τὰ δὲ ἐλπίζον-

τα

14) κατὰ] sic Ven. Rhodom. et codex regius. μετὰ Mor. sed parum interesse videtur inter vtramque lectionem.

15) atqui, quod factum est, id fieri quoque potuit. ergo necesse est, vt gestum sit vel contigerit probabili quodam modo. Sed gesta sunt haec, quae de potentia Troianorum post confectum bellum aucta dixi; necesse ergo est, vt consentaneo quodam et humano modo euenerint.

16) Φασὶν] obscurum, ad quem pertineat. num ad sacerdotes Aegyptios? v. p. 361, 8.

17) λέγειν δὲ αὐτὸν potest ferri, neque dubito fore, qui pro eleganti etiam habeant dicto, atticoque, λέγειν αὐτὸν ὡς εἴη ἄξιος βασιλεύειν, pro λέγειν ὡς αὐτὸς εἴη ἄξιος β. sed nescio, an Dioni ista aetate quidem, qua Iliaca istaec commentatus est, eiusmodi Atticismi imputari et contribui queant ex merito. quare malim simplicius λέγει πρὸς αὐτὸν vel ὡς αὐτόν. *ad eum hac vtitur oratione.*

18) Veneta dat ἑλέσθαι ἕκτορος.

τα μειζόνων τεύξεσθαι· οὕτω δὴ τὴν ἀποικίαν γενέσθαι ἀπὸ ἰσχύος καὶ φρονήματος, ὑπό τε ἀνθρώπων εὐτυχούντων, παραχρῆμά τε δυνηθῆναι καὶ εἰσαῦθις. ὁρῶντα δὲ Ἀντήνορα Αἰνείαν στελλόμενον, καὶ αὐτὸν ἐπιθυμῆσαι Εὐρώπης ἐπάρξαι, καὶ γενέσθαι στόλον ἄλλον τοιοῦτον. πρὸς δὲ τούτοις, ἐγκαλοῦντα Ἕλενον ὡς ἐλαττούμενον Δηϊφόβου, δεηθῆναι τοῦ πατρὸς, καὶ λαβόντα ναῦς καὶ στρατιὰν, ὡς ἐφ' ἕτοιμον[19]) τὴν Ἑλλάδα πλεῦσαι, καὶ κατασχεῖν ὅλην ἔκσπονδον[20]). οὕτω δὴ καὶ Διομήδη φεύγοντα ἐξ Ἄργους[21]), ἐπειδὴ τὸν Αἰνείαν ἐπύθετο στόλῳ ἐλθεῖν[22]) πρὸς αὐτὸν, ἅτε εἰρήνης καὶ φιλίας αὐτοῖς γενομένης, δεηθῆναί τε βοηθείας τυχεῖν, διηγησάμενος[23]) τάς τε Ἀγαμέμνονος καὶ τὰς αὐτοῦ συμφοράς. τὸν δὲ ἀναλαβεῖν αὐτὸν ἔχοντα ὀλίγας ναῦς, καὶ μέρος τι παραδοῦναι τῆς στρατιᾶς[24]), ἐπειδὴ πᾶσαν ἔσχε τὴν χώραν. ὕστερον δὲ τῶν Ἀχαιῶν τοὺς ἐκπεσόντας ὑπὸ Δωριέων, ἀποροῦντας, ὅποι τράπωνται, δι' ἀσθένειαν εἰς τὴν Ἀσίαν ἐλθεῖν, ὡς παρὰ φίλους τε καὶ ἐνσπόνδους τοὺς[25]) ἀπὸ Πριά-

μου

19) post ἕτοιμον videtur λείαν desiderari.

20) f. ὅλην τὴν ἔκσπονδον.

21) v. Pausan. p. 183.

22) f. στόλῳ εἰς Ἰταλίαν ἀφιγμένον, ἐλθεῖν — *Diomedem, quum audisset, Aeneam cum classe in Italiam aduenisse, ad eum accessisse.* De Diomedis ex Aetolia fuga et rebus in Italia gestis v. Comm. ad Lycophr. v. 592.

23) διηγησάμενον ob praecedentes accusat.

24) τῆς στρατιᾶς] sententia videtur potius nomen proprium regionis postulare, quam habendam gubernandamque dicatur hic Aeneas Diomedi contulisse. Num Βρεττίας, *Bruttii?*

25) τοὺς] sic recte Ven. et ed. Rhodomanni, et codex regius. *venisse ad posteros Priami et Hectoris.* Morell. dat γῆν. Sed post Ἕκτορος abest παρ' ὧν, a quibus acceptam eos incoluisse Parumque aliaque non minuta loca, pacata,

μου τε καὶ Ἕκτορος λαβόντας οἰκῆσαι κατὰ φιλίαν, παρέντες καὶ ἄλλα οὐ σμικρὰ χωρία. ὅςις δὲ μὴ πείθεται τούτοις, ὑπὸ τῆς παλαιᾶς δόξης, ἐπιςάσθω ἀδύνατος ὢν ἀπαλλαγῆναι ἀπάτης, καὶ διαγνῶναι τὸ ψεῦδος ἀπὸ τοῦ ἀληθοῦς. τὸ γὰρ πιςεύεσθαι πολὺν χρόνον ὑπὸ ἀνθρώπων ἠλιθίων, οὐδέν ἐςιν ἰσχυρὸν, οὐδὲ ὅτι τὰ ψευδῆ ἐλέχθη παρὰ τοῖς πρότερον. ἐπεί τοι περὶ ἄλλων πολλῶν καὶ διαφέρονται [26]) καὶ τἀναντία δοξάζουσιν. οἷον εὐθὺς περὶ τοῦ Περσικοῦ πολέμου, οἱ μέν φασιν ὕςερον γενέσθαι τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τῆς ἐν Πλαταιαῖς μάχης· οἱ δὲ τῶν ἔργων [27]) τελευταῖον εἶναι τὸ ἐν Πλαταιαῖς· καίτοι γε ἐγράφη παραχρῆμα τῶν ἔργων [28]). οὐ γὰρ ἴσασιν οἱ πολλοὶ τὸ ἀκριβὲς, ἀλλὰ φήμης ἀκούουσι μόνον, καὶ ταῦτα οἱ [29]) γενόμενοι κατὰ τὸν χρόνον ἐκεῖνον· οἱ δὲ ὕςεροι καὶ τρίτοι [30]), τελέως ἄπειροι, καὶ ὅ, τι ἂν εἴποι τις, παραδέχονται ῥᾳδίως, ὁπότε [31]) τὸν σκυρίτην μὲν λόχον ὀνομάζουσι Λακεδαιμονίων, μηδεπώποτε γενόμενον, ὥς φησι Θουκυδίδης· Ἁρμόδιον δὲ καὶ Ἀριςογείτονα πάντων μάλιςα Ἀθηναῖοι τιμῶσιν, ὡς ἐλευθερώσαντας τὴν πόλιν, καὶ ἀνελόντας τὸν τύραννον [33]). καὶ τί δεῖ

cata, et in amicorum numero. nam pro *παρέντες* videtur leg. esse *Πάρον τε*.

26) f. *ἐπείτοι καὶ περὶ ἄλλων πολλῶν διαφέρονται.*

27) *τῶν ἔργων* scio posse ferri et intelligi; facile enim patet, quorum de rebus gestis agatur. malim tamen legi *τῶν περσικῶν*.

28) recte haec reddidit Anglus, *et tamen haec statim, atque gesta erant, scripta sunt.*

29) *καὶ ταῦτα οἱ*] videntur haec tria vocabula in vnum *καίτοι* esse contrahenda.

30) f. *οἱ δὲ δεύτεροι καὶ τρίτοι.*

31) *ὁπότε*] f. *ὁποῖον ὅτε cuius modi haec sunt, cum aut* —

33) post *τύραννον* deest aliquid, quo aut significauerit Dio, aut nullos vnquam fuisse duos, Harmodium et Aristogitonem,

δεῖ τἀνθρώπεια λέγειν, ὅπου τὸν μὲν οὐρανὸν, πείθουσι καὶ τολμῶσι λέγειν, ὡς ἐκτμηθέντα ὑπὸ τοῦ Κρόνου· τὸν Κρόνον δὲ ὑπὸ τοῦ Διός; τοῦ γὰρ πρώτου καταλαβόντος, ὥσπερ εἰώθεν 34), ἄτοπον τὸ μὴ πεισθῆναι ἔτι. βούλομαι δὲ καὶ περὶ Ὁμήρου ἀπολογήσασθαι, ὡς οὐκ ἀνάξιον ὁμολογεῖν αὐτῷ ψευδομένῳ 35). πρῶτον μὲν γὰρ οὐ πολὺ ἐλάττω τὰ ψεύσματά 36) ἐστι τῶν περὶ τοὺς θεούς· ἔπειτα ὠφέλειάν τινα εἶχε τοῖς τότε Ἕλλησιν, ὅπως μὴ θορυβηθῶσιν, ἐὰν γένηται πόλεμος αὐτοῖς πρὸς τοὺς ἐκ τῆς Ἀσίας, ὥσπερ καὶ προσεδοκᾶτο. ἀνεμέσητον δὲ, καὶ Ἕλληνα ὄντα, τοὺς ἑαυτοῦ πάντα τρόπον ὠφελεῖν. τοῦτο δὲ τὸ στρατήγημα παρὰ πολλοῖς ἐστιν. ἔγωγ' οὖν ἀνδρὸς ἤκουσα Μήδου λέγοντος, ὅτι οὐδὲν ὁμολογοῦσιν οἱ Πέρσαι τῶν παρὰ τοῖς Ἕλλησιν· ἀλλὰ Δαρεῖον μέν φασιν ἐπὶ Νάξον καὶ Ἐρέτρειαν πέμψαι τοὺς περὶ Δάτιν καὶ Ἀρταφέρνην, κἀκείνους τε 37) ἑλόντας τὰς πόλεις, ἀφικέσθαι παρὰ βασιλέα. ὁρμούντων δὲ αὐτῶν περὶ τὴν Εὔβοιαν ὀλίγας ναῦς ἀποσκεδασθῆναι πρὸς τὴν Ἀττικὴν, οὐ πλείους τῶν εἴκοσι, καὶ γενέσθαι τινὰ μάχην τοῖς ναύταις πρὸς τοὺς αὐτόθεν ἐκ τοῦ τόπου 38). μετὰ

δὲ

tonem, aut alios fuisse, de libertate populi Atheniensis multo praeclarius meritos.

34) Sarcio sic quodammodo hiantem sententiam: τοῦ γὰρ πρώτου καταβαλόντος τὴν φήμην ἐπιφανοῦς ὄντος, ὥσπερ εἰώθεν, quod si enim, quod plerumque vsu venit, ille, qui primus aliquod commentum in vulgum immittit, et eius veluti fundamenta iacit, illustris et clarus est, pro stultitia iam nunc habetur ei fidem negare.

35) ψευδομένῳ] scil. περὶ τὰ τρωϊκά.

36) τὰ ψεύσματα] est idem atque ταῦτα τὰ ψεύσματα τὰ περὶ τοὺς ἀνθρώπους.

37) τε] leg μέν.

38) f. ἐκ τοῦ τόπου delenda sunt, vt scholium vocabuli αὐτόθεν.

δὲ ταῦτα Ξέρξην, ἐπὶ τὴν Ἑλλάδα στρατεύσαντα, Λακεδαιμονίους μὲν νικῆσαι παρὰ Θερμοπύλας [39]), καὶ τὸν βασιλέα αὐτῶν ἀποκτεῖναι Λεωνίδην· τὴν δὲ τῶν Ἀθηναίων πόλιν ἔχοντα κατασκάψαι, καὶ ὅσοι μὴ διέφυγον, ἀνδραποδίσαι. ταῦτα δὲ ποιήσαντα καὶ φόρους ἐπιθέντα τοῖς Ἕλλησιν, εἰς τὴν Ἀσίαν ἀπελθεῖν. ὅτι μὲν οὖν ψευδῆ ταῦτά ἐστιν, οὐκ ἄδηλον, ὅτι δὲ εἰκὸς ἦν τὸν βασιλέα κελεῦσαι στρατεῦσαι τοῖς ἄνωθεν ἔθνεσιν [40]), οὐκ ἀδύνατον, ἵνα μὴ θορυβηθῶσιν. εἰ δὲ καὶ Ὅμηρος ἐποίει τοῦτο, συγγινώσκειν ἄξιον. ἴσως οὖν εἴποι τις ἀνήκοος [41])· οὐκ ὀρθῶς Ἕλληνας καθαιρεῖς, ἀλλ᾽ οὐδέν ἐστιν ἔτι [42]) τοιοῦτον, οὐδὲ ἔσται δέος, μή ποτε ἐπιστρατεύωνται ἐπὶ τὴν Ἑλλάδα τῶν ἐκ τῆς Ἀσίας τινές· ἥ τε γὰρ Ἑλλὰς ὑφ᾽ ἑτέροις ἐστὶν, ἥ τε Ἀσία. τὸ δὲ ἀληθὲς οὐκ ὀλίγου ἄξιον. πρὸς δὲ τούτοις, εἰ ᾔδειν, ὅτι πείσω ταῦτα λέγων, ἴσως ἂν ἐβουλευσάμην εἰπεῖν [43]). ὅμως δὲ μείζω καὶ δυσχερέστερα ὀνείδη φημὶ τῶν Ἑλλήνων ἀφελεῖν. τὸ μὲν γὰρ μὴ ἑλεῖν

τινα

39) παρὰ Θερμοπύλας] melius legitur in V. L. Venetae περὶ Θερμ.

40) ſententia poſtulat ὅτι δὲ βασιλεὺς ἐκέλευσε ταῦτα πιστεῦσαι τοῖς ἄνω ἔθνεσιν. regem Perſarum vero imperaſſe populis Aſiae ſuperioris, vt iſtaec credant, id vero non eſt in rebus, quae fieri nequeant. Sed ſic tamen reliquiſſe Dionem, auctor equidem eſſe nolim. Rhodomannus coni. κελεῦσαι ῥᾷον ὡδί πως στρατεῦσαι.

41) ἀνήκοος bene videtur habere, tametſi Caſaubono diſplicuit. ſignificat *illiteratum hominem.* ſed ἂν addendum videtur. εἴποι τις ἂν ἀνήκοος. *forte dicat quis illiteratior, indoctior*; nam ἀκούειν graecis eſt literis operam dare, ludum literarium frequentare.

42) ἔτι videtur delendum, vt male iteratum ex ἐστί.

43) f. ἐβουλευσάμην, εἰ δεῖ εἰπεῖν. *deliberaſſem mecum, an proferre ſatius ſit.*

τινα πόλιν, οὐδὲν ἄτοπον· οὐδὲ ὡς 44) ἐλέγετο στρατεύσαντας ἐπὶ χώραν μηδὲν αὐτοῖς προσήκουσαν, ἔπειτα εἰρήνην ποιησαμένους ἀπελθεῖν· οὐδέ γε ἄνδρα ἀγαθὸν ὄντα τὴν ψυχὴν ὑπὸ ἀνδρὸς ὁμοίου τελευτῆσαι μαχόμενον, οὐδὲ τοῦτο ὄνειδος. ἀλλὰ καὶ ἀποδέξαιτο ἄν τις μέλλων 45) ἀποθνήσκειν, ὥσπερ γε Ἀχιλλεὺς πεποίηται λέγων·

Ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ' ἄριστος.

τὸν δὲ ἄριστον ὄντα τῶν Ἑλλήνων ὑπὸ τοῦ φαυλοτάτου τῶν πολεμίων ἀποθανεῖν, τῷ ὄντι μέγα ὄνειδος. ὁμοίως δὲ τὸν νοῦν 46) ἔχειν δοκοῦντα καὶ σωφρονέστατον εἶναι τῶν Ἑλλήνων, πρῶτον μὲν τὰ πρόβατα καὶ τοὺς βοῦς ἀποσφάττειν, βουλόμενον ἀποκτεῖναι τοὺς βασιλέας, ὕστερον δὲ αὑτὸν ἀνελεῖν ὅπλων ἕνεκεν, αἴσχιστον ἂν εἴη. πρὸς δὲ τούτοις, Ἀστυάνακτα μὲν, ἀνδρὸς ἀγαθοῦ παῖδα, οὕτως ὠμῶς ἀνελεῖν ῥίψαντας ἀπὸ τοῦ τείχους, καὶ ταῦτα κοινῇ δόξαντα τῷ στρατοπέδῳ καὶ τοῖς βασιλεῦσι· Πολυξένην δὲ παρθένον ἀποσφάττειν ἐπὶ τάφῳ 47), καὶ τοιαύτας χεῖσθαι χοὰς τῷ τῆς θεᾶς υἱεῖ· Κασσάνδραν δὲ, πανευπρεπῆ κόρην, ἱέρειαν τοῦ Ἀπόλλωνος, ἐν τῷ τεμένει φθαρῆναι τῆς Ἀθηνᾶς, ἐχομένην τοῦ ἀγάλματος, καὶ τοῦτο πρᾶξαι μηδένα τῶν φαύλων, μηδὲ τῶν ἀναξίων 48), ἀλλ' ὅσπερ ἦν ἐν τοῖς ἀρίστοις· Πρίαμον δὲ, τὸν βασιλέα τῆς Ἀσίας, ἐν ἐσχάτῳ γήρᾳ κατατρωθέντα παρὰ τοῦ Διὸς τὸν βωμὸν, ἀφ' οὗ τὸ γένος ἦν, ἐπ' αὐτῷ σφαγῆναι, καὶ μηδὲ τοῦτο εἰργάσθαι

44) ὡς abest a Veneta. f. dedit Dio: οὐδὲ καλῶς ἂν ψέγοιτο, vel ἐψέγετο, *neque recte a quoquam culpetur, copiis* —
45) μέλλων] f. μᾶλλον.
46) f. τὸν πλεῖστον νοῦν ἔχ.
47) post τάφῳ videtur Ἀχιλλέως deesse.
48) videtur Aiacem Oilei significare.

γάσθαι μηδένα τῶν ἀφανῶν, ἀλλὰ τὸν τοῦ Ἀχιλλέως υἱὸν, καὶ ταῦτα ἐστιαθέντα παρὰ τοῦ πατρὸς αὐτοῦ, καὶ σωθέντα ὑπ' ἐκείνου πρότερον· Ἑκάβην δὲ, δύστηνον 49) τοσούτων μητέρα παίδων, Ὀδυσσεῖ δοθῆναι ἐπὶ ὕβρει, ὑπό τε τοῦ μεγέθους τῶν κακῶν πάνυ γελοίως κύνα γενέσθαι· τὸν δὲ βασιλέα τῶν Ἑλλήνων, τὴν ἱερὰν κόρην ἀπὸ 50) τοῦ Ἀπόλλωνος, ἣν οὐδεὶς ἐτόλμησε γῆμαι διὰ τὸν θεὸν, αὐτὸν ἀγαγέσθαι γυναῖκα, ὅθεν ἔδοξε τεθνηκέναι δικαίως. πόσῳ κρείττω ταῦτα μὴ γενόμενα τοῖς Ἕλλησιν, ἢ Τροίαν ἁλῶναι;

49) Ven. et Mor. dant δυστήναν, non ita loquuntur graeci, sed δύστηνον, vt recte Rhodom. edidit.

50) Rhodomannus ἀπὸ omisit. dubito, sustuleritne sic omne huius loci vitium; quid enim est κόρη ἀπὸ τοῦ ἀπόλλωνος, *puella ab Apolline adamata*? videndum, eane fuerit Cassandra. item *filia Apollinis.* Constat Cassandram eam non fuisse. videtur Dio potius sic dedisse: τὴν ἱερὰν κόρην ἀποσπασθεῖσαν τῶν ἀνακτόρων τοῦ ἀπόλλωνος, *sacram puellam ab ipsis Apollinis, penetralibus abstractam.*

ΟΛΥΜΠΙΚΟΣ, Η ΠΕΡΙ ΤΗΣ ΠΡΩΤΗΣ ΤΟΥ ΘΕΟΥ ΕΝΝΟΙΑΣ.

ΛΟΓΟΣ ΙΒ'.

Ἀλλ' ἦ 1) τὸ λεγόμενον, ὦ ἄνδρες, ἐγὼ καὶ παρ' ὑμῖν καὶ παρ' ἑτέροις πλείοσι πέπονθα τὸ τῆς γλαυκὸς ἄτοπον καὶ παράδοξον πάθος; ἐκείνην γὰρ οὐδὲν σοφωτέραν αὐτῶν 2) οὖσαν, οὐδὲ βελτίω τὸ εἶδος, ἀλλὰ τοιαύτην, ὁποίαν ἴσμεν, ὅταν δήποτε φθέγξηται, λυπηρὸν καὶ οὐδαμῶς ἡδὺ, περιέπουσι τὰ ἄλλα ὄρνεα· ὅταν δὲ ἴδῃ μόνον, τὰ μὲν καθιζόμενα ἐγγὺς 3), τὰ δὲ κύκλῳ περιπετόμενα, ὡς μὲν ἐμοὶ δοκεῖ, καταφρονοῦντα τῆς φαυλότητος καὶ τῆς ἀσθενείας· οἱ δὲ ἄνθρωποι φασὶν ὅτι θαυμάζει τὴν 4) γλαῦκα τὰ ὄρνεα. πῶς δὲ οὐ τὸν ταὼ μᾶλλον

1) ἀλλ' ἦ] sic recte Veneta, *sed egone vero patior* — ἀλλ' ἢ Morell. miratur Dio et ipse semet aliosque interrogat, idemne sibi contigerit, quod noctuis contingat. Amasse videtur hoc simile a noctuis ductum Dio; repetiit enim in Orat. περὶ τοῦ σχήματος. vsurpauit quoque Lucian. T. I. p. 852, 38. et Timo apud Diogen. Laërt. p. 251. Hac de oratione v. Casauboniana. Maxim. Tyr. Orat. 7. Cicer. de Nat. Deor. 3, 7.

2) αὐτῶν] *quam semet*, vel *quam ipsae sunt*, scil. aues reliquae. redit hoc ad insequens τὰ ἄλλα ὄρνεα. Frequentat Dio cum aliis omnibus auctoribus hoc schema, qui, quasi de notis iam et a se commemoratis rebus, ita loquuntur de iis, quas aliquanto post demum nominatim appellant. v. Orat. II. περὶ δουλ. καὶ ἐλευθ. vbi θυμοειδῆ refertur ad ἵππον, et Xenoph. Ephes. p. 3, 10. vbi viro doctissimo fraudi fuit, quod huius schematis non meminisset.

3) videtur post ἐγγὺς, aut in hac regione, aliquid deesse, v. c. φαίνεται.

4) τὸν γλαῦκα, quod margo Mor. dat, id est in Veneta.

μᾶλλον ὁρῶντα θαυμάζει, καλὸν οὕτω καὶ ποικίλον· ἔτι δὲ αὐτὸν ἐπαιρόμενον καὶ ἐπιδεικνύοντα τὸ κάλλος τῶν πτερῶν, ὅταν ἁβρύνηται πρὸς τὴν θήλειαν, ἀνακλάσας τὴν οὐρὰν, καὶ περιστήσας αὑτῷ πανταχόθεν ὥσπερ εὐειδὲς θέατρον, ἤ τινα [5]) γραφῇ μιμηθέντα οὐρανὸν, ποικίλον ἄστροις· σύν γε τῷ λοιπῷ σώματι θαυμαστὸν, ἐγγύτατα χρυσοῦ κυανῷ κεκραμένον [6]), καὶ δὴ ἐν ἄκροις τοῖς πτεροῖς οἷον ὀφθαλμῶν ἐνόντων ἤ τινων ἀκτίνων, τό τε σχῆμα καὶ κατὰ [7]) τὴν ἄλλην ὁμοιότητα; οὐδ᾽ αὖθις ἐθέλει [8]) σκοπεῖν τῆς πτερώσεως τὸ κοῦφον [9]), ὅπως μὴ χαλεπὸν εἶναι [10]) μηδὲ δύσφορον διὰ τὸ μῆκος· οὐδ᾽ ὅπως ἐν μέσῳ [11]) μάλα ἥσυχον καὶ ἀτρεμοῦντα παρέχει ἑαυτὸν θεάσασθαι, ὥσπερ ἐν πομπῇ περιστρεφόμενον [12])· ὅταν δὲ βουληθῇ ἐκπλῆξαι [13]), σείων

5) τινα] sic recte Ven. vt ad οὐρανὸν redeat. τινι Mor.

6) κεκραμένον] sic Ven. κεκραμμένου Mor.

7) κατὰ delendum, nam alias etiam ad τό τε σχῆμα esset addendum.

8) dubitari nequit, Casaubonum vere locum hunc emendasse ἐθέλει substituentem pro ἐθέλοι Mor. sententiamque loci recte cepisse. *qui porro fit, vt aues reliquae non intueantur leuitatem pennarum pauonis?* αὖθις est *porro*, cum quis in recensione rerum plurium ad alias adque alias transit. οὐδ᾽ ἂν εἰς ἐθέλοι Koehler.

9) κοῦφον] in Morell. frustra esse iteratum, Casaubonus dudum vidit; deleui itaque posterius vna cum signis parentheseos, et ex ὃν ὡς effeci vnum vocabulum ὅπως.

10) εἶναι] lege ἐστὶ.

11) pro δὲ post μέσῳ Morell. malebat Casaubonus εὖ, sed plane delendum esse docent Veneta et codex regius, a quibus abest, quapropter Morellus deleri iubet, qui primus ipse id inuexit.

12) περιστρεφόμενος dat Ven. nil deterius.

13) post ἐκπλῆξαι deest aliquod verbum, e. c. κορύσσεται erigit quasi cristas (vt animalia cristata, aut setas, vt ea, quibus setae sunt) et ipse sese ad dimicandum quasi stimulat, eo quod pennas quatit.

τὰ πτερὰ, καὶ τινα ἦχον ȣ̓κ ἀηδῆ ποιήσας, οἷον ἀνέμȣ κινήσαντος, ȣ̓ πολλȣ̃, πυκνήν τινα ὕλην. ἀλλ' ȣ̓́τε τὸν ταὼ, καλλωπιζόμενον ταῦτα πάντα, τὰ ὄρνεα βȣ́λεται ὁρᾷν· ȣ̓́τε τῆς ἀηδόνος ἀκȣ́οντα τῆς φωνῆς [13]), ἕωθεν ἐπορθρευομένης, ȣ̓δὲν πάσχει πρὸς αὐτήν. ἀλλ' ȣ̓δὲ τὸν κύκνον ἀσπάζεται διὰ τὴν μȣσικὴν, ȣ̓δὲ, ὅταν ὑμνῇ τὴν ὑστάτην ᾠδὴν, ἅτε εὔγηρως, ὑπὸ ἡδονῆς τε, καὶ λήθης τῶν ἐν τῷ βίῳ χαλεπῶν [14]), εὐφημῶν ἅμα καὶ προπέμπων ἀλύπως αὐτὸν, ὡς ἔοικε, πρὸς ἄλυπον τὸν θάνατον, ȣ̓κȣ̃ν ȣ̓δὲ τότε ἀθροίζεται κηλȣ́μενα τοῖς μέλεσι, πρὸς ὄχθην ποταμȣ̃ τινος, ἢ λειμῶνα πλατὺν, ἢ καθαρὰν ἠϊόνα λίμνης, ἤ τινα σμικρὰν εὐθαλῆ ποταμίαν νησῖδα. ὡς δὲ καὶ ὑμεῖς τοσαῦτα μὲν θεάματα ἔχοντες τερπνὰ, τοσαῦτα δὲ ἀκȣ́σματα, τȣ̃το μὲν ῥήτορας [15]) δεινȣ̀ς, τȣ̃το δὲ ξυγγραφέας ἡδίστȣς ἐμμέτρων καὶ ἀμέτρων λόγων· τȣ̃το δὲ ταὼς ποικίλȣς, τȣ̃το δὲ ὡς πολλȣ̀ς σοφιστὰς, δόξῃ καὶ μαθηταῖς [16]) ἐπαιρομένȣς, οἷον πτεροῖς· ὑμεῖς δὲ ἐμοὶ πρόσιτε καὶ βȣ́λεσθε ἀκȣ́ειν, τȣ̃ μηδὲν εἰδότος, μηδὲ φάσκοντος εἰδέναι. ἆρ' ȣ̓κ ὀρθῶς ἀπεικάζω τὴν σπȣδὴν ὑμῶν τῷ περὶ τὴν γλαῦκα γινομένῳ, σχεδὸν ȣ̓κ ἄνευ δαιμονίας τινὸς βȣλήσεως; ὑφ' ἧς καὶ

τῇ

13b) τὰς φωνὰς Koehler.

14) εὔγηρως] ſic Ven. et Mor. Morellus e regio affert εὔγηρυς, in quod Anglus quoque ſe teſtatur a coniectura delatum. f. leg. ἅτε εὔγηρυς ὤν. ſed praeſtat vulgatam ſeruare, cum cycni muſicam modo laudaſſet, vt ſupervacaneum videri queat, vocis ſuauitatem toties ingeri.

15) τȣ̃το μὲν ῥήτορας recte daht Ven. et codex regius. Morell. omittit μέν.

16) aut ſic poteſt locus quodammodo corrigi: τȣ̃το δὲ πολλȣ̀ς σοφιστὰς, ὡς ταὼς ποικίλȣς, δόξῃ καὶ μαθ. aut ſic, quomodo etiam Anglus ſuaſit, τȣ̃το δὲ ταὼς ποικίλȣς, τȣ̀ς δὴ πολλȣ̀ς σοφιστάς. Koehler coni. τȣ̃το δὲ, ὡς ταὼς ποικίλȣς, τȣ̀ς πολλȣ̀ς σοφ.

τῇ Ἀθηνᾷ λέγουσι[17]) προσφιλὲς εἶναι τὸ ὄρνεον, τῇ καλλίστῃ τῶν θεῶν καὶ σοφωτάτῃ· καὶ τῆς τε[18]) Φειδίου τέχνης παρ' Ἀθηναίοις ἔτυχεν, οὐκ ἀπαξιώσαντος αὐτὴν συγκαθιδρῦσαι τῇ θεῷ, συνδοκοῦν[19]) τῷ δήμῳ. Περικλέα δὲ καὶ αὐτὸν λαθὼν ἐποίησεν, ὥς φασιν, ἐπὶ τῆς ἀσπίδος. οὐ μέντοι ταῦτά γε εὐτυχήματα νομίζειν ἔπεισί μοι τῆς γλαυκός, εἰ μή τινα φρόνησιν ἄρα κέκτηται πλείω. ὅθεν, οἶμαι, καὶ τὸν μῦθον Αἴσωπος ξυνέστησεν, ὅτι σοφὴ οὖσα, ξυνεβούλευε τοῖς ὀρνέοις, τῆς δρυὸς ἐν ἀρχῇ φυομένης, μὴ ἐᾶσαι, ἀλλ' ἀνελεῖν πάντα τρόπον· ἔσεσθαι γὰρ φάρμακον ὑπ' αὐτῆς[20]), ἄφυκτον, ὑφ' οὗ ἁλώσονται, τὸν ἰξόν. πάλιν δὲ, τὸ λίνον τῶν ἀνθρώπων σπειρόντων, ἐκέλευε καὶ τοῦτο ἐκλέγειν τὸ σπέρμα· μηδὲ γὰρ ἐπ' ἀγαθῷ φύεσθαι[21]). τρίτον δὲ, ἰδοῦσα τοξευτήν τινα ἄνδρα, προέλεγεν· ὅτι οὗτος ὁ ἀνὴρ φθάσει ὑμᾶς τοῖς ὑμετέροις πτεροῖς, πεζὸς ὢν αὐτὸς, πτηνὰ ἐπιπέμπων βέλη. τὰ δὲ ἠπίστει τοῖς λόγοις καὶ ἀνόητον αὐτὴν ἡγοῦντο καὶ μαίνεσθαι ἔφασκον· ὕστερον δὲ πειρώμενα, ἐθαύμαζε καὶ τῷ ὄντι σοφωτάτην ἐνόμιζε. καὶ διὰ τοῦ-

17) λέγουσι] in Ven. eſt λέγον, vnde poterat pari modo effici λέγεται, quomodo eſt in codice regio.

18) aut plane delendum eſt τε, aut cum γε mutandum.

19) recte dat Veneta συνδοκοῦν. eſt hoc participium ſimile illis, ἐξὸν, παρὸν, ἐγχωροῦν, δέον, etc. Morell. dat συνδοκῶν.

20) ὑπ' αὐτῆς bene habet, tametſi etiam ἀπ' αὐτῆς non malum ſit, quod aliquando ſuſpicabar; id quod Koehlero v. c. occaſionem dedit ἐπ' αὐτῆς coniiciendi, quod non intelligo, niſi ἔσεσθαι accepit pro γενήσεσθαι vel φυήσεσθαι. Breuiter, inutilis eſt omnis hic corrigendi opera.

21) codex regius dat μὴ γὰρ ἐπ' ἀγαθῷ φυήσεσθαι, non male. ſi μηδὲ ſeruatur, leg. erit μηδὲ γὰρ καὶ αὐτὸ ἐπ' ἀγαθῷ φύεσθαι, vel μηδενὶ γὰρ ἐπ' ἀγαθῷ φύεσθαι.

το, ἐπὰν φανῇ, πρόσεισιν ὡς πρὸς ἅπαντα ἐπισταμένην· ἡ δὲ ξυμβουλεύει μὲν ἔτι αὐτοῖς οὐδὲν, ὀδύρεται δὲ μόνον. ἴσως οὖν παρειλήφατε ὑμεῖς[22]) λόγον τινὰ ἀληθῆ, καὶ ξυμβουλὴν συμφέρουσαν, ἥντινα ξυνεβούλευσε φιλοσοφία τοῖς πρότερον Ἕλλησιν, ἣν οἱ τότε μὲν ἠγνόησαν καὶ ἠτίμασαν, οἱ δὲ νῦν ὑπομιμνήσκονται, καί μοι προσίασι διὰ τὸ σχῆμα, φιλοσοφίαν τιμῶντες, ὥσπερ τὴν γλαῦκα, ἄφωνον τό γε ἀληθὲς καὶ ἀπαρρησίαστον οὖσαν[23]). ἐγὼ μὲν γὰρ οὐδὲν αὐτῷ ξύνοιδα, οὔτε πρότερον εἰπόντι σπουδῆς ἄξιον[24]), οὔτε νῦν ἐπισταμένῳ[25]) πλέον ὑμῶν. ἀλλὰ εἰσὶν ἕτεροι σοφοὶ καὶ μακάριοι παντελῶς ἄνδρες, οὓς ὑμῖν ἐγὼ, εἰ βούλεσθε, μηνύσω, ἕκαστον ὀνομαστὶ δεικνύμενος. καὶ γὰρ, νὴ Δία, τοῦτο μόνον οἶμαι χρήσιμον ἔχειν, τὸ γινώσκειν τοὺς σοφούς τε καὶ δεινοὺς καὶ πάντα ἐπισταμένους· οἷς ἂν ὑμεῖς ἐθέλητε ξυνεῖναι τἄλλα ἐάσαντες, καὶ γονεῖς, καὶ πατρίδας, καὶ θεῶν ἱερὰ, καὶ προγόνων τάφους, ἐκείνοις ξυνακολουθοῦντες, ἔνθα ἂν ἀπίωσιν, ἢ καὶ μένοντές που καθιδρυθῶσιν[26]), εἴτε εἰς τὴν Βαβυλῶνα τὴν Νίνου καὶ Σεμιράμιδος, εἴτε ἐν Βάκτροις, ἢ Σούσοις, ἢ Παλιμβάθροις, ἢ ἄλλῃ τινὶ πόλει τῶν ἐνδόξων καὶ πλουσίων, χρήματα διδόντες, ἢ καὶ ἄλλῳ τρόπῳ πείθοντες, εὐδαιμονέστεροι ἔσεσθε αὐτῆς τῆς εὐδαιμονίας. εἰ δ' αὐτοὶ[27]) μὴ βούλεσθε, καταμεμφό-

22) f. παρειλήφατε καὶ ὑμεῖς.

23) οὖσαν redit ad philosophiam, non ad noctuam, et paulo post αὐτῷ idem est atque ἐμαυτῷ, *mihi ipse*. quod est frequentissimum, vt multis exemplis docuit Laur. Normannus ad Chrysostom. Homil. in Euangel. Ioannis, p. 42. edit. Erici Benzelii.

24) f. εἰπόντι τι σπουδῆς ἄξιον.

25) cur asteriscum apposuerit h. l. Morellus, haud intelligo.

26) aut καὶ μένοντες ὅπου καθιδρυθῶσι leg. aut καὶ παραμένοντές που καθ.

27) εἰ δ' αὐτοὶ] in V. L. Ven. est εἰ δ' αὖ αὐτοί. In μὴ βου-

φόμενοι[28]) τὴν αὐτῶν φύσιν, ἢ πενίαν, ἢ γῆρας, ἢ ἀσθένειαν, ἀλλὰ τοῖς γε υἱέσι μὴ φθονοῦντες, μηδὲ ἀφαιρούμενοι τῶν μεγίστων[29]), ἑκοῦσί τε ἐπιτρέποντες, καὶ ἄκοντας πείθοντες, ἢ βιαζόμενοι πάντα τρόπον, ὡς ἂν παιδευθέντες ἱκανῶς καὶ γενόμενοι σοφοὶ, παρὰ πᾶσιν Ἕλλησι καὶ βαρβάροις ὀνομαστοὶ ὦσι τὸ λοιπὸν, διαφέροντες ἀρετῇ, καὶ δόξῃ, καὶ πλούτῳ, καὶ δυνάμει τῇ πάσῃ σχεδόν. „οὐ γὰρ μόνον πλούτῳ, φασὶν, ἀρετὴν καὶ κῦδος ὀπηδεῖν, ἀλλὰ καὶ λόγος ἀρετῇ[30]) ξυνέπεται ἐξ ἀνάγκης.„ ταῦτα δὲ ὑμῖν ἐναντίον τοῦδε τοῦ θεοῦ[31]) προλέγω, καὶ ξυμβουλεύω δι' εὔνοιαν καὶ φιλίαν προαγόμενος. οἶμαι δὲ ἐμαυτὸν πρῶτον πείθειν καὶ παρακαλεῖν, εἴ μοι τὰ τοῦ σώματος καὶ τὰ τῆς ἡλικίας ἐπεδέχετο· ἀλλὰ γὰρ ἀνάγκη διὰ τὸ κακοπαθεῖν[32])· εἰ

βούλεσθε possit subaudiri τοῦτο ποιεῖν, vel αὐτοῖς ξυνακολουθεῖν, vel συνεῖναι, vel παραμένειν, vel tale quid, suspicor tamen deesse infinitiuum, significantem *excedere patria, vagari per orbem terrarum*, f. μεταναίεσθαι.

28) καταμεμφόμενοι] sic recte codex regius, μεταμεμφόμενοι Ven. et Mor.

29) codex regius addit ἀγαθῶν ad μεγίστων. perinde est addatur nec ne. ego quidem in vulgata nil desiderem, praeter ἀλλὰ, quod necessario videtur ad μεγίστων, aut ad ἀγαθῶν (si id mauis addi) adiungendum. ἀλλ', ἑκοῦσί τε ἐπιτρέποντες, *sed tam sinentes, si velint vltro, quam rogantes, si recusent.*

30) λόγος ἀρετῇ] imo vero λόγοις ἀρετή. *doctrinam sequitur virtus*, h. e. *gloria.* v. quae cl. Koehlerus contra attulit, [— sed putem vulgatum defendi posse: et est acute atque ironice dictum: Fama, gloria necessario, virtutem consequitur. Apud Harpocrationem est: λόγου τυχεῖν ἀντὶ τοῦ ἐπαίνου. K.] de quibus alii iudicent; me pristinae coniecturae nondum poenitet.

31) τοῦδε τοῦ θεοῦ] verba enim facit in templo Iouis Olympici.

32) post κακοπαθεῖν deest aliquid, e. c. ἡσυχάζοντας ζητεῖν, vel potius ἀγαπᾷν, *contenti esse.* ἀγαπᾷν inuenio etiam

που τι δυνησόμεθα εὑρέσθαι παρὰ τῶν παλαιῶν ἀνδρῶν, ὥσπερ ἀπεῤῥιμμένον ἤδη καὶ βῶλον σοφίας λείψανον δή τι τῶν κρειττόνων[33]) τε καὶ ζώντων διδασκάλων. ἐρῶ δὲ ὑμῖν καὶ ἄλλο, ὃ πέπονθα τῇ γλαυκὶ παραπλήσιον, ἐὰν μὴ[34]) βούλησθε καταγελᾶν τῶν λόγων. ὥσπερ γὰρ ἐκείνη αὐτὴ μὲν οὐδὲν χρῆται τοῖς προσπετομένοις, ἀνδρὶ δὲ ὀρνιθοθήρᾳ[35]), πάντων λυσιτελέστατον[36]) κτημάτων· οὐδὲν γὰρ δεῖ, οὔτε τροφὴν προβάλλειν, οὔτε φωνὴν μιμεῖσθαι, μόνον δ' ἐπιδεικνύντα τὴν γλαῦκα, πολὺ πλῆθος ἔχειν ὀρνέων· οὕτω κἀμοὶ τῆς σπουδῆς τῶν πολλῶν οὐδὲν ὄφελος. οὐ γὰρ λαμβάνω μαθητάς, εἰδώς, ὅτι οὐδένα ἔχοιμι διδάσκειν, ἅτε οὐδὲν αὐτὸς ἐπιστάμενος[37]), ὥστε ψεύδεσθαι καὶ ἐξαπατᾶν ὑπισχνούμενος, οὐκ ἔχω ταύτην τὴν ἀνδρείαν· σοφιστῇ δὲ ἀνδρὶ ξυνών, με-

γάλα

etiam apud Anglum, qui tamen locum haud intellexit, et misere absurdis coniecturis exagitauit.

33) f. καὶ ἕωλον σοφίας λείψανον, χήτει τῶν κρειττόνων — quid ἕωλον sit, exponunt, qui de ἑωλοκρασίᾳ exponunt, et, ni fallor, multis hoc de vocabulo Tib. Hemsterhusius ad Lucianum egit. velut ex hesternis dapibus relictum acidum, vappidum, rancidum, mucidum; nam omnia ista insunt vocabulo. χήτει est *ob penuriam.*

34) in Ven. est lectio marg. Morell. καὶ, sensu non magis alieno, quam vulgata.

35) In Veneta est ὀρνιθοστῆρα, vnde vir doctus in marg. effecit ὀρνιθοθήρᾳ. recte, atque confirmatur a codice regio. Morell. dat ὀρνιθοθῆρι. possit quoque ὀρνιθοθήρῃ legi.

36) post λυσιτελέστατον videtur deesse ἐστί. quod verbum etsi noui saepissime omitti, hic tamen necessarium videtur.

37) In Veneta est οὔτε οὐδ' αὐτὸς ἐπ. Nescio, an Dio sic dederit: ἅτε οὐδ' αὐτὸς οὐδὲν ἐπιστάμενος, οὐδὲ δεινὸς ὢν καλλωπίζεσθαι (vel ὡραΐζεσθαι, vel κομψεύεσθαι, vel ἀλαζονεύεσθαι) ὥστε ψεύδεσθαι: nam dubio caret hic tale quid deesse.

γάλα ἂν ὠφέλουν ὄχλον πολὺν ἀθροίζων πρὸς αὐτὸν, ἔπειτα ἐκείνῳ παρέχων, ὅπως βούλεται, διαθέσθαι τὴν ἄγραν. ἀλλ' οὐκ οἶδα, ὅπως οὐδεὶς με ἀναλαμβάνει τῶν σοφιστῶν, οὐδὲ ἥδονται ὁρῶντες. σχεδὸν μὲν οὖν ἐπίσταμαι, ὅτι πιστεύετέ μοι λέγοντι ὑπὲρ τῆς ἀπειρίας τε καὶ ἀνεπιστημοσύνης τῆς ἐμαυτοῦ, δῆλον, ὡς διὰ τὴν αὐτῶν ἐπιστήμην καὶ φρόνησιν· (καὶ τοῦτο οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ Σωκράτει δοκεῖτέ μοι πιστεύειν ἄν, ταῦτα[38]) ὑπὲρ αὑτοῦ προβαλλομένῳ πρὸς ἅπαντας, ὡς οὐδὲν ᾔδει. τὸν δὲ Ἱππίαν, καὶ τὸν Πῶλον, καὶ τὸν Γοργίαν, ὧν ἕκαστος αὐτὸν μάλιστα ἐθαύμαζε καὶ ἐξεπλήττετο, σοφοὺς ἂν ἡγεῖσθε, καὶ μακαρίους.) ὅμως[39]) δὲ προλέγω ὑμῖν, ὅτι ἐσπουδάκατε ἀνδρὸς ἀκοῦσαι, τοσοῦτον πλῆθος ὄντες, οὔτε καλοῦ τὸ εἶδος, οὔτε ἰσχυροῦ, τῇ τε ἡλικίᾳ παρηκμακότος ἤδη, μαθητὴν δὲ οὐδένα ἔχοντος· τέχνην δὲ ἢ ἐπιστήμην οὐδεμίαν ὑπισχνουμένου σχεδὸν, οὔτε τῶν σεμνῶν, οὔτε τῶν ἐλαττόνων, οὔτε μαντικὴν, οὔτε σοφιστικὴν, ἀλλ' οὐδὲ ῥητορικήν τινα ἢ κολακευτικὴν δύναμιν, οὐδὲ δεινοῦ ξυγγράφειν, οὐδὲ ἔργον τι ἔχοντος[40]) ἄξιον ἐπαίνου καὶ σπουδῆς, ἀλλ' ἢ μόνον κομῶντος· εἰ δ' ὑμῖν δοκεῖ τόδε λῷτερον καὶ ἄμεινον, δραστέον τοῦτο καὶ πειρατέον, ὅπως ἂν ᾖ δυνατὸν ἡμῖν. οὐ μέντοι λόγων ἀκούσεσθε, ὁποίων ἄλλου τινὸς τῶν νῦν, ἀλλὰ πολὺ φαυλοτέρων καὶ ἀτοπωτέρων, ὁποίους δὴ καὶ ὁρᾶτε[40b]). χρὴ δὲ ἐὰν ὑμᾶς ἐν βρα-

38) malim ταῦτά.

39) malim ὅλως *vniuerse.* non hoc solum praedico vobis atque denuncio, me nihil scire, et ab ornamentis atque copiis mentis destitui, sed hoc quoque, me vniuerse nulla laude praestare, nil esse mihi, quod me vobis commendet.

40) post ἔχοντος deest ἐπιδείκνυσθαι, vel tale quid.

40b) ὁποίους δὴ ἀκηκόατε Koehler.

χεῖ, ὅ, τι ἂν ἐπίῃ μοι, τούτῳ 41) ἕπεσθαι, καὶ μὴ ἀγανακτεῖν, ἐὰν φαίνωμαι πλανώμενος· ὥσπερ ἀμέλει καὶ τὸν ἄλλον χρόνον ἔζηκα 42) ἀλώμενος· ἀλλὰ συγγνώμην ἔχειν, ἅτε ἀκούοντας ἀνδρὸς ἰδιώτου καὶ ἀδολέσχου. Καὶ γὰρ δὴ τυγχάνω μακρὰν τὴν 43) ὁδὸν τανῦν πεπορευμένος, εὐθὺ τοῦ Ἴστρου καὶ τῆς Γετῶν χώρας, ἢ Μυσῶν, ὥς φησιν Ὅμηρος 44), κατὰ

τὴν

41) *τούτῳ*] sic recte Casaubonus. sed quod *βραχὺ* pro *βραχεῖ* substituit, in eo falsus fuit; nam Dio dedit *ἐν βραχεῖ*, vt est in Veneta et codice regio. (Morell. dat *τοῦτο* et omittit *ἐν*.) Locum itaque hunc iam nunc facile est sic constituere: *ἐὰν ὑμᾶς ἐμὲ ἐν βραχεῖ* (vel *ἐμβραχεῖ* vno verbo, nam et sic exarari solet) *ὅ τι ἂν ἐπίῃ μοι, τούτῳ ἕπεσθαι. oportet vos mibi dare veniam, vt, quodcunque in mentem mibi venerit, id sequar. ἐν βραχεῖ* vel *ἐμβραχεῖ* est, *vt multa vel omnia paucis verbis complectar.* vt si e. c. dicam, huius illiusue ad Dionem animaduersa *ἐμβραχεῖ*, vt breuibus totam mentem meam eloquar, haud placere. *δὲ νῦν ἡμᾶς ἐν τάχει — τούτῳ* Koehler.

42) Miror Casaubonum in vitio tam leui potuisse adhaerescere. lego *ἔζηκα*, a *ζῆν viuere.* de *ἐξήκειν* aut *ἐξιέναι* hic nil cogitauit Dio. scripsi olim, in Veneta esse *ἔζηκα*, sed decepit me oculi festinatio, aut nescio quis error; est enimuero in ea clare *ἐξῆκα*, vt in Morell. sed *χρόνον* ei deest.

43) *τὴν*] l. *τιν'* (id est *τινα*). *μακρὰν τιν' ὁδόν.*

44) verba hic disiecta videntur, et sic in ordinem redigenda: *καὶ τῆς Γετῶν χώρας, κατὰ τὴν νῦν ἐπίκλησιν τοῦ ἔθνους, ἢ Μυσῶν, ὥς φησιν Ὅμηρος.* aut sic: *καὶ τῆς Μυσῶν χώρας, ὥς φησιν Ὅμηρος, ἢ Γετῶν, κατὰ τὴν νῦν ἐπίκλησιν τοῦ ἔθνους.* Nam Getas, quod sciam, Homerus nusquam commemorauit. In Ven. et Morell. est *γε τῶν*, sed Casaub. et Morellus consenserunt in correctionem *Γετῶν*, et necesse est neminem non paulo attentiorem incurrere. Moesi a Latinis hi quidem, ad modum Homeri, sunt appellati, a Graecis autem non item, sed Getae; quod meam sententiam aduersus interpretationem Casauboni, peringeniosam profecto, tuetur.

τὴν νῦν ἐπίκλησιν τοῦ ἔθνους. ἦλθον δὲ, οὐ χρημάτων ἔμπορος, οὐδὲ τῶν πρὸς ὑπηρεσίαν τοῦ στρατοπέδου, σκευοφόρων, ἢ βοηλατῶν, οὐδὲ πρεσβείαν ἐπρέσβευον συμμαχικὴν, ἢ τινα εὔφημον, τῶν ἀπὸ γλώττης μόνον συναχθομένων 45). (ἄλλο δὲ οὐδὲν χρὴ πολυπραγμονεῖν, οὐδὲ ἀκούειν οὐδενὸς, ἀλλ᾽ ἢ μόνον σάλπιγγος ἱερᾶς καὶ τῶν μακαρίων κηρυγμάτων, ὡς ὅδε μὲν νικᾷ πάλην παίδων, ὁ δὲ ἀνδρῶν, ὁ δὲ πυγμὴν, ὁ δὲ παγκράτιον, ὁ δὲ πένταθλον, ὁ δὲ στάδιον ἑνὶ βήματι σχεδὸν εὐδαίμων γενόμενος, αὐτόν 46) τε καὶ τὴν πατρίδα καὶ τὸ σύμπαν ἀποφήνας 47) γένος ἀοίδιμον·) Γυμνὸς ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ᾽ ἔχεν 48) ἔγχος· οὐ μὴν οὐδὲ ἀποβαλὼν ὅπλον οὐθέν. ὥστε ἐθαύμαζον, ὅπως με

45) συναχθομένων possit excusari. Commemorat Demosthenes legationem ad Cassandram, Philippi filiam, ab Atheniensibus missam, quae eam de morte mariti, regis Molossorum, solaretur. Possit quoque συνευχομένων legi, *congratulantium*, id quod est in marg. Morell. sed forsitan sit tutius συνεχομένων praeferre, quod Morellus e codice regio profert. Quae insequuntur, ab hoc loco sunt aliena, referenda ad n. 60. vt hic sit ordo istius loci: ἢ δεῖ θεατὰς εἶναι μόνον τοὺς ἐνθάδε ἥκοντας, ἄλλο δ᾽ οὐδὲν χρὴ πολυπραγμονεῖν — ad γένος ἀοίδιμον. τῶν δὲ ἄλλων ἀμελεῖν δηλονότι παγκάλων. Sensit etiam Valesius Emendat. p. 52. haec a sede sua aberrasse.

46) f. καὶ αὐτόν τε.

47) In Veneta est ἀποφῆναι, vitiose, nisi si plura desunt.

48) possit ἔχον coniici, poetice pro εἶχον, *habebam*. sed solent versiculi poetarum, cum ab aliquo recitantur, et intexuntur operi alieno, sic, vt sunt, relinqui, tametsi non omnia quadrent; ne gratia pereat penes auditorem aut lectorem. quare existimo, Dionem etiam hic Homericum versiculum haud mutatum seruasse, tametsi sententia, seu res praesens, εἶχον vel ἔσχον, vel ἔχων postularet. Iocatur hic Dio, afferens ioci ergo dictum Homericum addit: οὐ μὴν ἀποβαλών γε ὅπλον. *tametsi arma nulla haberem, carebam tamen infamia armorum abiectorum.*

με ἠνείχοντο ὁρῶντες, οὔτε ἱππεύειν ἐπιστάμενος, οὔτε τοξότης ἱκανὸς ὤν, οὔθ' ὁπλίτης, ἀλλ' οὐδὲ τῶν κούφων καὶ ἀνόπλων οὐ τὴν βαρεῖαν ὅπλισιν στρατιωτῶν 49), οὐκ ἀκοντιστής, οὐ λιθοβόλος, οὐδ' αὖ τεμεῖν ὕλην, ἢ τάφρον ὀρύττειν δυνατὸς, οὐδὲ ἀμῆσαι χιλὸν ἐκ πολεμίου λειμῶνος, πυκνὰ μεταστρεφόμενος, οὐδὲ ἐγεῖραι σκηνὴν ἢ χάρακα· ὥσπερ ἀμέλει ξυνέπονται τοῖς στρατοπέδοις πολεμικοί τινες ὑπηρέται. πρὸς ἅπαντα δὲ ταῦτα ἀμηχάνως ἔχων, ἀφικόμην εἰς ἄνδρας οὐ νόθους 50), οὐδὲ σχολὴν ἄγοντας, ἀκροᾶσθαι λόγων, ἀλλὰ ὑμετέρους 51), καὶ ἀγωνιῶντας καθάπερ ἵππους ἀγωνιστὰς ἐπὶ τῶν ὑσπλήγγων, οὐκ ἀνεχομένους τὸν χρόνον, ὑπὸ σπουδῆς δὲ καὶ προθυμίας κόπτοντας τὸ ἔδαφος ταῖς ὁπλαῖς. ἔνθα δ' ἦν ὁρᾷν 52) πανταχοῦ μὲν ξίφη, πανταχοῦ δὲ θώρακας, πανταχοῦ δὲ δόρατα· πάντα δὲ ἵππων, πάντα δὲ ὅπλων, πάντα δὲ ὡπλισμένων ἀνδρῶν μεστά. μόνος ἐν τοσούτοις φαινόμενος 53) ῥάθυμος ἀτεχνῶς, σφόδρα τε εἰρηνικὸς πολέμου θεατής· τὸ μὲν σῶμα ἐνδεὴς 54), τὴν δὲ ἡλικίαν προή-

49) verba οὐ τὴν βαρεῖαν ὅπλισιν στρατιωτῶν delenda ſunt, vt ſcholium vocabuli ὁπλίτης. adſcripſerat aliquis ad ὁπλίτης illuſtrationis ergo haec: ὁ τὴν βαρεῖαν ὅπλισιν ἔχων στρατιώτης. hinc in textum irrepſere.

50) νόθους non poſſum deſerere neque damnare, tametſi νωθεῖς vel νωθροὺς conuenientius videtur. Et ſic ſenſit Caſaubonus quoque.

51) ὑμετέρους] vehementer hoc vocabulum coniecturas interpretum exercuit. f. δριμυτέρους, aut ſi mauis, θερμοτέρους. Margo Morell. dat ὀτρηρούς. forte ὑπερόχους, forte ἀμετρήτους Koehler.

52) ἔνθα δ' ἦν ὁρᾷν] ſic recte codex regius. *ibi erat videre.* ἔνθα δ' ἦν ὁρᾷς Ven. dat, ἔνθα δ' ὁρᾷς Morell.

53) f. μόνος ἐν τοσούτοις ἐγὼ φαίνομαι, aut ſaltim ἐγὼ eſt addendum.

54) f. τὸ μὲν σῶμα ἀσθενὴς καὶ πολλῶν ἐνδεής.

προήκων, οὐ χρυσοῦν σκῆπτρον φέρων, οὐδὲ στέμματα ἱερὰ θεοῦ τινος, ἐπὶ λύσει θυγατρὸς ἥκων εἰς τὸ στρατόπεδον ἀναγκαίαν ὁδόν· ἀλλ᾽ ἐπιθυμῶν ἰδεῖν ἄνδρας ἀγωνιζομένους ὑπὲρ ἀρχῆς καὶ δυνάμεως, τοὺς δὲ ὑπὲρ ἐλευθερίας τε καὶ πατρίδος· ἔπειτα οὐ τὸν κίνδυνον ἀποκνήσας, (μὴ τοῦτο ἡγησάσθω μηδείς,) ἀλλ᾽ εὐχῆς 55) τινος μνησθεὶς παλαιᾶς, δεῦρο ἀπετράπην πρὸς ὑμᾶς, ἀεὶ τὰ θεῖα κρείττω καὶ προυργιαίτερα νομίζων τῶν ἀνθρωπίνων, ἡλίκα ἂν ᾖ. πότερον οὖν ἥδιον ὑμῖν καὶ μᾶλλον ἐν καιρῷ περὶ τῶν ἐκεῖ διηγήσασθαι, τοῦ τε ποταμοῦ τὸ μέγεθος καὶ τῆς χώρας τὴν φύσιν, ἢ ἀέρων ὡς ἔχουσι κράσεως καὶ τῶν ἀνθρώπων 56) τοῦ γένος, ἔτι δε, οἶμαι, τοῦ πλήθους καὶ τῆς παρασκευῆς, ἢ μᾶλλον ἅψασθαι τῆς πρεσβυτέρας τε καὶ μείζονος ἱστορίας περὶ τοῦδε τοῦ θεοῦ 57), παρ᾽ ᾧ νῦν ἐσμέν. οὗτος γὰρ δὴ κοινὸς ἀνθρώπων καὶ θεῶν βασιλεύς τε καὶ ἄρχων, καὶ πρύτανις καὶ πατήρ· ἔτι δὲ εἰρήνης καὶ πολέμου ταμίας, ὡς τοῖς πρότερον ἐμπείροις καὶ σοφοῖς ποιηταῖς ἔδοξεν· ἐάν πως ἱκανοὶ γενώμεθα, τήν τε φύσιν αὐτοῦ καὶ τὴν δύναμιν ὑμνῆσαι λόγῳ βραχεῖ καὶ ἀποδέοντι τῆς ἀξίας, αὐτά που ταῦτα λέγοντας 58). ἆρ᾽ οὖν κατὰ Ἡσίοδον ἄνδρα ἀγαθὸν καὶ Μούσαις φίλον ἀρκτέον,

55) significat se aliquando Ioui Olympio votum fecisse, quo obstringeretur ad veniendum aliquando ad Olympiam, ludos Olympicos spectatum.

56) post ἀνθρώπων videtur περὶ abesse.

57) τοῦδε τοῦ θεοῦ] sic recte Ven. et codex regius. Morell. omittit τοῦ.

58) conieci aliquando αὐτά που τὰ κράτιστα [vel μέγιστα, vel simile quid] λέγοντες. *summas tantum et praecipuas dei virtutes sermone exsequentes.* possit tamen vulgata defendi, dummodo λέγοντες, nominatiuus pro accusatiuo, substituatur. id ipsum praedicantes et prae nobis ferentes, orationem nostram laudes dei haud exaequare.

κτέον, ὡς ἐκεῖνος μάλα ἐμφρόνως 59), οὐκ αὐτὸς ἐτόλμησεν εὔξασθαι παρ' αὐτοῦ διανοηθείς· ἀλλὰ τὰς Μούσας παρακαλεῖ διηγήσασθαι περὶ τοῦ σφετέρου πατρός. τῷ παντὶ γὰρ μᾶλλον πρέπον τόδε τὸ ᾆσμα ταῖς θεαῖς, ἢ τοὺς ἐπὶ Ἴλιον ἐλθόντας ἀριθμεῖν, αὐτούς τε καὶ τὰ σέλματα τῶν νεῶν ἐφεξῆς, ὧν οἱ πολλοὶ ἀνόητοι ἦσαν. καὶ τίς ποιητὴς σοφώτερός τε καὶ ἀμείνων, ἢ ὁ παρακαλῶν ἐπὶ τοῦτο τὸ ἔργον ὧδέ πως·

Μοῦσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι,
Δεῦτε δὴ ἐννέπετε σφέτερον πατέρ' ὑμνείουσαι,
Ὅν τε δία βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε
Ῥητοί τ' ἄρρητοί τε Διὸς μεγάλοιο ἕκητι·
Ῥεῖα μὲν γὰρ βριάει, ῥεῖα δὲ βριάοντα χαλέπτει,
Ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει,
Ῥεῖα δέ τ' ἰθύνει σκολιὸν, καὶ ἀγήνορα κάρφει,
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.

ὑπολαβόντες οὖν εἴπατε, πότερον ἁρμόζων ὁ λόγος οὗτος, ἢ τὸ ᾆσμα τῇ ξυνόδῳ γένοιτ' ἄν, ὦ παῖδες Ἠλείων, ὑμεῖς γὰρ ἄρχοντες καὶ ἡγεμόνες τῆσδε τῆς πανηγύρεως, ἔφοροί τε καὶ ἐπίσκοποι τῶν ἐνθάδε ἔργων καὶ λόγων. ἢ δεῖ θεατὰς εἶναι 60) μόνον τοὺς ἐνθάδε ἥκοντας, τῶνδε ἄλλων δηλονότι παγ-

κάλων

59) f. ὡς ἐκεῖνος, μάλα ἐμφρόνως διανοηθεὶς, οὐκ αὐτὸς ἐτόλμησεν ἄρξασθαι παρ' αὐτοῦ. *vt ille, prudenti vtique conſilio vſus, ſua ſponte auſus non eſt ordiri.* Koehlerus, probans ἄρξασθαι, reliqua loco ſuo relinquit.

60) v. n. 45. vbi locum nunc integrare atque emendare ſtuduimus. ſententia haec eſt: Prodite, declarate, exiſtimetisne, quotquot huc conueniant, eos decere aliud nihil agere, quam ſpectare ſolummodo, quae hic agantur, et audire vocem praeconis ſub tuba victores diuerſorum certaminum renunciantis — caetera vero, tot et tanta et praeclara decora atque clariſſima ſpectacula negligere nulloque in loco habere —

κάλων καὶ σφόδρα ἐνδόξων θεαμάτων, καὶ δὴ μάλιστα τῆς τοῦ θεοῦ θρησκείας, καὶ τῷ ὄντι μακαρίας εἰκόνος, ἣν ὑμῶν οἱ πρόγονοι, δαπάνης τε ὑπερβολῇ καὶ τέχνης ἐπιτυχόντες τῆς ἄκρας, εἰργάσαντο καὶ ἀνέθεσαν πάντων, ὅσα ἐστὶν ἐπὶ γῆς ἀγάλματα, κάλλιστον καὶ θεοφιλέστατον; πρὸς τὴν Ὁμηρικὴν ποίησιν, ὥς φασι, Φειδίου παραβαλλομένου 61), τοῦ δινήσαντος ὀλίγῳ νεύματι τῶν ὀφρύων, τὸν ξύμπαντα Ὄλυμπον· ὡς ἐκεῖνος μάλιστα ἐναργῶς καὶ πεποιθότως 62) ἐν τοῖς ἔπεσιν εἴρηκεν·

Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος,
Κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.

ἢ καὶ περὶ αὐτῶν 63) τούτων σκεπτέον ἡμῖν ἐπιμελέστερον τῶν τε ποιημάτων καὶ ἀναθημάτων· καὶ ἀτεχνῶς εἴ τι τοιουτότροπόν ἐστι, τὴν ἀνθρωπίνην περὶ τοῦ δαιμονίου δόξαν ἀμηγέπη πλάττον καὶ ἀνατυποῦν, ἅτε ἐν φιλοσόφῳ διατριβῇ τανῦν 64). περὶ

δὲ

61) verba ab ἣν ὑμῶν ad τοῦ δινήσαντος possunt signis parentheseos includi; nam τοῦ δινήσαντος redit ad v. θεοῦ. non amo, neque probo periodos per tantas ambages circumductas, et tam longis interiectionibus distractas. De simulacro Iouis Olympii a Phidia facti multa multi veterum; quod quanto studio spectatum adoratumque venerint graeci, intelligas ex Hemsterhusio ad Lucian. T. I. p. 11. Valesii Emend. p. 52. Vptono ad Arrian. p. 35. Conf. Philostrat. p. 145, 16. et fragmentum Polybii, vel potius Iuliani Aug. inter Polybiana p. 1525, 37.

62) dubito, vtrum πεποιθότως hic *confidenter*, *audacter*, an *ad persuadendum accommodate*, *probabiliter*, significet. Cogitaui etiam aliquando de πεπονθότως, quasi tantundem valente atque ἐμπαθῶς, *cum affectu*. sed haud memini illud pro hoc vsurpari. quare loco suo relicta esto istaec suspicio.

63) Morell. dat αὐτόν.

64) post τανῦν videtur ὄντι vel simile quid deesse. redit ad ἡμῖν v. 14.

δὲ 65) θεῶν τῆς τε καθόλου φύσεως καὶ μάλιστα τοῦ
πάντων ἡγεμόνος, πρῶτον μὲν καὶ ἐν πρώτοις δόξα καὶ
ἐπίνοια κοινὴ 66) τοῦ ξύμπαντος ἀνθρωπίνου γένους·
ὁμοίως μὲν Ἑλλήνων, ὁμοίως δὲ βαρβάρων ἀναγ-
καία καὶ ἔμφυτος ἐν παντὶ τῷ λογικῷ 67) γιγνομέ-
νη κατὰ φύσιν, ἄνευ θνητοῦ διδασκάλου καὶ μυσταγω-
γοῦ, χωρὶς ἀπάτης καὶ χαρᾶς 68), διά τε τὴν ξυγγέ-
νειαν τὴν πρὸς αὐτοὺς 69) καὶ πολλὰ μαρτύρια τἀλη-
θοῦς οὐκ ἐῶντα κατανυστάσαι καὶ ἀμελῆσαι τοὺς πρε-
σβυτάτους, καὶ παλαιοτάτους· ἅτε γὰρ οὐ μακρὰν
οὐδ' ἔξω τοῦ θείου διῳκισμένοι, ἀλλ' ἐν αὐτῷ μέσῳ
πεφυκότες ἐκείνῳ, καὶ προσεχόμενοι 70) πάντα τρό-
πον, οὐκ ἐδύναντο μέχρι πλείονος ἀξύνετοι μένειν,
ἄλλως τε ξύνεσιν καὶ λόγον εἰληφότες περὶ αὐτὴν 71),
ἅτε

65) pro δὲ malim δὴ, aut γὰρ, aut οὖν.
66) κοινὴ] κοινῇ Morell. recte Caſaubonus hic loci voc.
ἐπίνοια tuetur.
67) λογικῷ] affert Morellus e codice regio λογισμῷ;
quod ſi cum καὶ comparo, quod in Veneta ibi eſt, vbi
Morellus κατὰ ſuffecit, ſuſpicor, in libris Dionis vetu-
ſtis geminam eſſe lectionem hic verſatam, alteram vulga-
tam, alteram hanc: καὶ ἔμφυτος ἐν παντὶ, (ſcil. ἀν-
θρώπῳ) *vnicuique homini inſita*, τῷ λογισμῷ γιγνομένη
καὶ φύσει. *exſiſtens e vi*, qua homo praeditus eſt, *ratio-
cinandi, atque natura.* καὶ φυσικῇ Koehler.
68) χαρᾶς] intactum praeteriit hoc vlcus Caſaubonus; ten-
tauit, non ſanauit, Morellus. faciemus nos idem, pari,
quod praeuideo, cum fortuna et venia. deditne Dio ταραχῆς?
69) αὐτοὺς] ſic recte Veneta, cod. reg. et Caſaubonus.
αὐτοῦ Morell. deinde malim καὶ ἄλλα πολλὰ μαρτύρια.
70) malim aut περιεχόμενοι *ſepti, cincti*, aut προσερχόμε-
νοι, id eſt προσήκοντες, *attingentes eos* propinquitate
aut neceſſitudine.
71) περὶ αὐτὴν] in V. L. Venetae eſt περὶ τὴν, vnde con-
iectura fiat, fuiſſe in libris quibusdam ſic: ἄλλως τε καὶ
λόγον καὶ ξύνεσιν εἰληφότες περιττήν. placet tamen
ante omnia παρ' αὐτῶν, *ab ipſis*, diis puta. v. verſ. 1. quod
etiam

ἅτε δὴ περιλαμπόμενοι πάντοθεν θείοις καὶ μεγάλοις φάσμασιν, οὐρανοῦ τε καὶ ἄστρων· ἔτι δὲ ἡλίου καὶ σελήνης, νυκτός τε καὶ ἡμέρας, ἐντυγχάνοντες[72]) ποικίλοις καὶ ἀνομοίοις εἴδεσιν, ὄψεις τε ἀμηχάνους ὁρῶντες, καὶ φωνὰς ἀκούοντες παντοδαπὰς, ἀνέμων τε καὶ ὕλης καὶ ποταμῶν καὶ θαλάττης, ἔτι δὲ ζώων ἡμέρων καὶ ἀγρίων· αὐτοί τε φθόγγον ἥδιστον καὶ σαφέστατον ἱέντες, καὶ ἀγαπῶντες τῆς ἀνθρωπίνης φωνῆς τὸ γαῦρον καὶ ἐπίσημον, ἐπιθέμενοι σύμβολα τοῖς εἰς αἴσθησιν ἀφικνουμένοις· ὡς πᾶν τὸ νοηθὲν ὀνομάζειν καὶ δηλοῦν[73]) εὐμαρῶς, ἀπείρων πραγμάτων καὶ μνήμας καὶ ἐπινοίας παραλαμβάνοντες. πῶς οὖν ἀγνῶτες[74]) εἶναι ἔμελλον καὶ μηδεμίαν ἕξειν ὑπόνοιαν τοῦ σπείραντος, καὶ φυτεύσαντος, καὶ σώζοντος, καὶ τρέφοντος, πανταχόθεν ἐμπιπλάμενοι τῆς θείας φύσεως, διά τε ὄψεως καὶ ἀκοῆς, συμπάσης τε ἀτεχνῶς αἰσθήσεως; νεμόμενοι μὲν ἐπὶ γῆς, ὁρῶντες δ' ἐξ οὐρανοῦ φῶς, τροφὰς δὲ ἀφθόνους ἔχοντες ἐκπορίσαντος[75]) καὶ προπαρασκευάσαντος τοῦ προπάτορος θεοῦ. πρώτην μὲν οἱ πρῶτοι καὶ αὐτόχθονες τὴν γεώδη, μαλα-

etiam Anglo video ſuccurriſſe. aut, quod idem eſt, παρ' αὐτοῦ, vt ad θείου redeat p. 384, 11. minus hic ſatis facit Caſauboni περὶ αὐτῶν aut αὐτῆς.

72) ſententia eſt: *incurrentes in formas ſolisque lunaeque multifarias et ſibi diſſimiles, de die nocteque.*

73) in Veneta eſt δήλως. ſupereſt aliquid in oratione ſcabri. copula deeſt ante ἀπείρων. dubito itaque, annon Dio potius dederit — ὀνομάζειν, καὶ δὴ οὕτως εὐμαρῶς ἀπείρων πρ.

74) ἀγνῶτες] ſic recte Ven. et cod. regius. ἀγνοοῦντες Morell.

75) ἐκπορίσαντος] ſic et Veneta; ſed Morellus affert e regio εὐπορήσαντος, contemnens, ſine cauſa. nam εὐπορεῖν centies apud Demoſthenem pro ἐκπορίζειν *praeſtare, ſuppeditare, adminiſtrare*, occurrit.

μαλακῆς ἔτι καὶ πίονος τῆς ἰλύος τότε οὔσης, ὥσπερ ἀπὸ μητρὸς τῆς γῆς λιχμώμενοι [76]), καθάπερ τὰ φυτὰ νῦν ἕλκουσιν ἐξ αὐτῆς ἰκμάδα. δευτέραν δὲ τοῖς ἤδη προϊοῦσι, καρπῶν αὐτομάτων, καὶ πόας οὐ σκληρᾶς, ἅμα δὲ δρόσῳ γλυκείας καὶ νάμασι νυμφῶν ποτίμοις. καὶ δὴ καὶ τοῦ περιέχοντος ἠρτημένοι [77]), καὶ τρεφόμενοι τῇ διηνεκεῖ τοῦ πνεύματος [78]) ἐπιῤῥοῇ, ἀέρα ὑγρὸν ἕλκοντες, ὥστε νήπιοι παῖδες, οὔποτε ἐπιλείποντος γάλακτος, αἰεὶ σφίσι θηλῆς [79]) ἐγκειμένης. (σχεδὸν γὰρ οὖν [80]) ταύτην δικαιότερον λέγομεν πρώτην τροφήν [81]), τοῖς τε πρότερον καὶ τοῖς ὕστερον ἁπλῆν. ἐπειδὰν γὰρ ἐκπέσῃ τῆς γαστρὸς νωθρόν τε [82]) καὶ ἀδρανὲς τὸ βρέφος, δέχεται μὲν ἡ

γῆ,

76) τῆς γῆς λιχμ. praeiuit Casaubonus, vel potius rei ipsa ratio, et demonstrat insequens *αὐτῆς*, quod nequit nisi ad *terram* referri. Ven. et Morell. omittunt γῆς.

77) cl. Koehler. vult *ἀρυόμενοι*, haurientes, imbibentes aërem; sed *τοῦ περιέχοντος ἠρτημένοι* bene habet. *apti ex aere.* dicitur aliquid aptum esse ex aliqua re, seu ex ea pendere, quod ipsa nititur atque continetur; ita vt, re cadente, quo sustinetur, ipsum quoque concidat. Nos quoque vernacule dicimus *von einem Dinge abhängen.* Clauum exime, vnde funiculus cum appenso pondere pendet, ipsum quoque pondus cum funiculo statim concidet. Sic aër est veluti clauus, e quo suspensa est vita nostra. tolle auras, nulli sumus. Alluditur quoque, sed ex transuerso, ad oscillatorium aëris et pulmonum motum. *ἀρτᾶσθαι* non solum est *suspendi*, sed et *oscillare.* recte cl. Koehlerus interpretem castigauit.

78) *πνεύματος*] Veneta *πράγματος*, quod commemoro, vt constet tironibus, in codd. mstis ista duo vocabula saepe commutari a supinitate librariorum.

79) λήθης lectio marginis Morell. est in Veneta.

80) οὖν malim cum ἄν, et λέγομεν cum λέγοιμεν mutari. v. λέγοιτο p. 387, 4.

81) *πρώτην τροφήν*] respice ad p. 385. vlt.

82) *νωθρόν τε*] Morellus pro τε affert e regio ἔτι, quod haud spernam.

γῆ, ἡ τῷ ὄντι μήτηρ, ὁ δὲ ἀὴρ εἰσπνεύσας τε καὶ εἰσψύξας, εὐθὺς ἤγειρεν ὑγροτέρᾳ τροφῇ 83) γάλακτος, καὶ φθέγξεσθαι παρέσχε. ταύτην 84) εἰκότως πρώτην λέγοιτ' ἂν τοῖς γεννωμένοις ἡ φύσις ἐπισχεῖν θηλήν.) ἃ δὴ πάσχοντες ἐπινοοῦντες, οὐκ ἐδύναντο μὴ θαυμάζειν καὶ ἀγαπᾷν τὸ δαιμόνιον. πρὸς δὲ αὖ τούτοις, αἰσθανομένοις τῶν ὡρῶν 85), ὅτι τῆς ἡμετέρας ἕνεκα γίγνονται σωτηρίας πάνυ ἀκριβῶς καὶ πεφεισμένως 86) ἑκατέρας τῆς ὑπερβολῆς· ἔτι δὲ καὶ τόδε ἐξαίρετον ἔχοντες ἐκ τῶν θεῶν πρὸς τὰ ἄλλα ζῶα, λογίζεσθαι 87) καὶ διανοεῖσθαι περὶ αὐτῶν. σχεδὸν οὖν ὅμοιον, ὥσπερ εἴ τις ἄνδρα Ἕλληνα, ἢ βάρβαρον μυεῖσθαι παραδοὺς 88) εἰς μυστικόν τινα μυχόν, ὑπερφυῆ κάλλει καὶ μεγέθει, πολλὰ μὲν ὁρῶντα μυστικὰ θεάματα, πολλῶν δὲ ἀκούοντα τοιούτων φωνῶν, σκότους τε καὶ φωτὸς ἐναλλὰξ αὐτῷ φαινομένων, ἄλλων τε μυρίων γιγνομένων

83) ὑγροτέραι τροφῆ dat Veneta, non vitiose, sed ex antiquiore scribendi more, qui iota non subscribit datiuorum fini, sed adscribit; quomodo codex Demosthenis Augustanus vbique exhibet. sententia est: *nutrimento, quod lacte est humidius et mollius.* pro φθέγξεσθαι, quod est in ambabus edd. malim φθέγγεσθαι aut φθέγξασθαι.

84) post ταύτην copula deest, seu οὖν, seu δέ.

85) αἰσθανόμενοι καὶ τῶν ὡρῶν.

86) post πεφεισμένως videtur ἐπιθιγοῦσαι vel tale quid deesse. locus hic communis est a multis tractatus.

87) malim τὸ λογίζεσθαι, quia τόδε praecessit.

88) post παραδοὺς abest εἰσάγῃ vel tale quid. pro μῦθον Morell. coniecit Casaubonus οἶκον, quod est in margine Morellianae, sed melius Anglus μυχὸν, (coeca gallina, vt prouerbio dicimus, interdum quoque granum reperit) iidem ambo, pro ὑποφυῆ Morell. ὑπερφυῆ recte dant. sed sic dudum ante editum erat a Turrisano. Morellus e regio ὑπερφυεῖ profert.

νων· ἔτι δὲ, εἰ 89) καθάπερ εἰώθασιν ἐν τῷ καλουμένῳ θρονισμῷ καθίσαντες τοὺς μυουμένους οἱ τελοῦντες, κύκλῳ περιχορεύειν· ἆρά γε τὸν ἄνδρα τοῦτον μηδὲν παθεῖν εἰκὸς τῇ ψυχῇ, μηδ' ὑπονοῆσαι τὰ γιγνόμενα, ὡς μετὰ γνώμης καὶ παρασκευῆς πράττεται σοφωτέρας· εἰ καὶ πάνυ τις εἴη τῶν μακρόθεν καὶ ἀνωνύμων βαρβάρων, μηδενὸς ἐξηγητοῦ μηδὲ ἑρμηνέως παρόντος, ἀνθρωπίνην ψυχὴν ἔχων 90); ἢ τοῦτο μὲν οὐκ ἀνυστόν; κοινῇ δὲ ξύμπαν τὸ τῶν ἀνθρώπων γένος, τὴν ὁλόκληρον καὶ τῷ ὄντι τελείαν τελετὴν μυούμενον, οὐκ ἐν οἰκήματι μικρῷ παρασκευασθέντι πρὸς ὑποδοχὴν ὄχλου βραχέος ὑπὸ Ἀθηναίων· ἀλλὰ ἐν τῷδε τῷ κόσμῳ ποικίλῳ καὶ σοφῷ δημιουργήματι, μυρίων ἑκάστοτε θαυμαστῶν 91) φαινομένων· ἔτι δὲ οὐκ ἀνθρώπων ὁμοίων τοῖς τελουμένοις, ἀλλὰ θεῶν ἀθανάτων θνητοὺς τελούντων, νυκτί τε καὶ ἡμέρᾳ καὶ φωτὶ καὶ ἄστροις, εἰ θέμις εἰπεῖν, ἀτεχνῶς περιχορευόντων ἀεὶ, τούτων ξυμπάντων μηδεμίαν αἴσθησιν ἔδει 92) μηδὲ ὑποψίαν λαβεῖν; μάλιστα δὲ τοῦ κορυφαίου προεστῶτος τῶν ὅλων, καὶ κατευθύνοντος τὸν ἅπαντα οὐρανὸν καὶ κόσμον, οἷον σοφοῦ κυβερνήτου νεὼς ἄρχοντος, πάνυ καλῶς τε καὶ ἀνενδεῶς 93) παρε-

89) εἰ] suspectum habui hunc locum vitii, et defectus alicuius, antequam familiarius cognossem Dionis morem. Exemplum huius βραχυλογίας luculentum v. paulo post n. 6. μηδὲ ὥσπερ — quod idem est ac si dixisset μηδὲ ποιοῦντος, ὥσπερ οἱ παῖδες, οἱ τοὺς τροχοὺς — sic et hic, vbi ex insequentibus assumendum est verbum omissum, quo a lectore tacite adderetur, scil. περιχορεύοιεν αὐτόν. de enthronismo v. Valesii Emend. p. 52.

90) f. ἀνθρωπίνην γε ψυχὴν ἔχων. pro παρόντος, quod Morello debemus, est in Ven. et in cod. regio παρόντων; vnde suspicio nascitur, non ἑρμηνέως fuisse in libris illis, qui pluralem hunc dedere, sed ἑρμηνέων etiam in plurali.

91) f. θαυμάτων.

92) ἔδει male abest a Veneta et regio codice.

93) ἀνενδεῶς] sic recte Ven. et Cod. regius. ἐνενδεῶς Morell.

παρεσκευασμένης; ὃ γὰρ ἐπὶ τῶν ἀνθρώπων τὸ τοιοῦτον [94]) ἐπιγιγνόμενον θαυμάσαι τις ἄν; πολὺ δὲ μᾶλλον, ὁπωσοῦν καὶ μέχρι τῶν θηρίων διικνεῖται τῶν ἀφώνων καὶ ἀλόγων, ὡς καὶ ταῦτα γιγνώσκειν καὶ τιμᾶν τὸν θεὸν, καὶ προθυμεῖσθαι ζῆν κατὰ τὸν ἐκείνου θεσμόν. ἔτι δὲ μᾶλλον οὐκ ἀπεοικότως [95]) τὰ φυτὰ (οἷς μηδεμία μηδενὸς ἔννοια, ἀλλὰ ἄψυχα καὶ ἄφωνα, ἁπλῇ τινι φύσει διοικούμενα,) ὡς δὴ καὶ ταῦτα ἑκουσίως καὶ βουλόμενα καρπὸν ἐκφέρειν [96]) τὸν προσήκοντα ἑκάστῳ. οὕτω πάνυ ἐναργὴς καὶ πρόδηλος ἡ τοῦδε τοῦ θεοῦ γνώμη καὶ δύναμις ἀλλ' ἢ που σφόδρα γελοῖοι καὶ ἀρχαῖοι δόξομεν ἐπὶ τοῖς λόγοις, ἐγγυτέρω φάσκοντες εἶναι τὴν τοιαύτην ξύνεσιν τοῖς θηρίοις καὶ τοῖς δένδροις, ἤπερ ἡμῖν [97]), τὴν ἀπει-

B 3 ρίαν

94) τὸ τοιοῦτον] sensum scilicet habere numinis et reuerentiam ei exhibere. pro ἐπιγιγνόμενον, quod ab hoc loco est alienum, ἐστὶ γιγνόμενον malim, et totum locum sic refingi: ὅτι γὰρ (non ὃ γὰρ) ἐπὶ τῶν ἀνθρώπων τὸ τοιοῦτόν ἐστι γιγνόμενον, θαυμάσαι τις ἄν, πολὺ δὲ μᾶλλον ὅτι ὁπωσοῦν (sic enim e Veneta leg.) καὶ μέχρι θηρίων διικνεῖται. *nam, quod in homine hoc vsu veniat, vt dei sensu tangatur eumque reuereatur, miretur aliquis; multo autem hoc miretur magis, quod etiam ad ipsas belluas, quoquo tandem modo, aut qualiscunque tandem sensus huius rei penetrarit.*

95) post ἀπεοικότως subaudi θαυμάσαι τις ἄν e v. 2. et in τὰ φυτὰ subaudi τιμᾶν τὸν θεόν.

96) ἐκφέρειν recte dat Veneta, quemadmodum praecessit v. 4. γιγνώσκειν καὶ τιμᾶν. sententia haec est: *adhuc autem multo est hoc mirabilius, quod ipsae adeo plantae dei sensu sint praedita, eumque reuereantur et gestiant eius imperiis parere; quo fit, vt vltro fructus earum quaeque suos efferant, sibi conuenientes.* ἐκφέρει Morell.

97) post ἤπερ ἡμῖν est lacuna. desunt quaedam, quae facile non sit a coniectura supplere. Pungit autem h. l. Dio Epicureos, voluptatem pro numine humano generi obtrudentes.

ρίαν τε καὶ ἄγνοιαν; ὁπότε ἄνθρωποί τινες σοφώτεροι γινόμενοι τῆς ἁπάσης σοφίας, οὐ κηρὸν ἐγχέαντες τοῖς ὠσὶν, ὥσπερ, οἶμαι, φασὶ τοὺς Ἰθακησίους ναύτας 98) ὑπὲρ τοῦ μὴ κατακοῦσαι τῆς τῶν Σειρήνων ᾠδῆς, ἀλλὰ μολίβδου τινὸς μαλθακὴν ὁμοῦ καὶ ἄτρωτον ὑπὸ φωνῆς φύσιν· ἔτι δὲ οἶμαι, πρὸ τῶν ὀφθαλμῶν σκότος πολὺ προβαλόμενοι 99) καὶ ἀχλὺν, ὑφ᾽ ἧς Ὅμηρός φησι κωλύεσθαι τὸν καταληφθέντα διαγιγνώσκειν θεὸν, ὑπερφρονοῦσι 100) τὰ θεῖα· καὶ μίαν ἱδρυσάμενοι δαίμονα πονηρὰν καὶ ἄλυπον 1) τρυφήν τινα ἢ ῥαθυμίαν πολλὴν, καὶ ἀνειμένην ὕβριν, ἡδονὴν ἐπονομάζοντες γυναικείαν τῷ ὄντι θεὰν 2), προτιμῶσι καὶ θεραπεύουσι, κυμβάλοις τισὶν ἢ ψόφοις 3), καὶ αὐλοῖς ὑπὸ σκότος αὐλουμένοις 4). τῆς εὐωχίας οὐδεὶς ἐκείνοις φθόνος, εἰ μέχρι τοῦ ᾄδειν αὐτοῖς τὸ σοφὸν ἦν, ἀλλὰ μὴ τοὺς θεοὺς ἡμῶν ἀφῃροῦντο καὶ ἀπῴκιζον, ἐξελαύνοντες ἐκ τῆς αὐτῶν πόλεώς τε καὶ ἀρχῆς, ἐκ τοῦδε τοῦ κόσμου παντὸς, εἰς

τινας

98) τοὺς Ἰθακησίους ναύτας] scil. ἐγχέαι aut ποιῆσαι.

99) προβαλόμενοι, in aor. 2. ob praemissum ἐγχέαντες. Morell. dat προβαλλόμ.

100) ὑπερφρονοῦσι] sic recte Veneta et Casaubonus. ὑποφρον Morell.

1) ἄλυπον offendit. aut in hoc, aut in πονηρὰν, est vitium; non enim bene ista componuntur. quid si Dio sic dedit: δαίμονα πονηρὰν, ὑπνηλὴν καὶ ἄλυπον τρυφήν τινα. *quum constituissent et dedicassent quasi pro numine improbum aliquod et flagitiosum numen, somnolentam aliquam et tristitiae expertem nescio quam mollitiem vitae, et incredibilem segnitiem proiectamque lasciuiam et insolentiam.* δαίμονα πονηρὰν, διάλυτον τρυφήν τινα Koehler.

2) θεὰν] sic etiam Veneta; praeferam tamen θεὸν, quod e codice regio Morellus profert.

3) forte dedit Dio τισὶν ἐριψόφοις *cymbalis valde sonantibus.*

4) post αὐλουμένοις, initio nouae sententiae videtur aliquid deesse, forsitan hoc: ἦν μὲν οὖν, vt sit ad hunc modum locus legendus — αὐλουμένοις. Ἦν μὲν οὖν τῆς εὐωχίας.

τινας χώρας ἀτόπους, καθάπερ ἀνθρώπους ἰδυστυχεῖς, εἴς τινας νήσους ἐρήμους. τάδε τὰ ξύμπαντα 5) φάσκοντες, ἀγνώμονα καὶ ἄφρονα καὶ ἀδέσποτα, καὶ μηδένα ἔχοντα ἄρχοντα, μηδὲ ταμίαν, μηδὲ ἐπιστάτην, πλανᾶσθαι εἰκῇ καὶ φέρεσθαι, μηδενὸς μήτε νῦν προνοοῦντος, μήτε πρότερον ἐργασαμένου τὸ πᾶν· μηδὲ ὥσπερ 6) οἱ παῖδες, τοὺς τροχοὺς αὐτοὶ κινήσαντες, εἶτα ἐῶσιν ἀφ᾽ αὑτῶν φέρεσθαι. ταῦτα μὲν οὖν ἐπεξῆλθεν ὁ λόγος καθ᾽ αὑτὸν ἐκβάς. (τυχὸν γὰρ οὐ ῥᾴδιον τὸν τοῦ φιλοσόφου νοῦν καὶ λόγον ἐπισχεῖν, ἔνθα ἂν ὁρμώσῃ 7), τοῦ ξυναντῶντος ἀεὶ φαινομένου ξυμφέροντος καὶ ἀναγκαίου τοῖς ἀκροωμένοις,) ἀλλ᾽ οὐ μελετηθέντα 8) πρὸς ὕδωρ καὶ δικανικὴν ἀνάγκην, ὥσπερ οὖν ἔφη τις, ἀλλὰ μετὰ πολλῆς ἐξουσίας καὶ ἀδείας 9). οὐκοῦν τό γε ἀναδραμεῖν οὐ χαλεπὸν, ὥσπερ ἐν πλῷ τοῖς ἱκανοῖς κυβερνήταις, οὐ πολὺ παραλλάξασι. τῆς γὰρ περὶ τὸ θεῖον δόξης καὶ ὑπολήψεως πρώτην μὲν ἀτεχνῶς πηγὴν ἐλέγομεν, τὴν ἔμφυτον ἅπασιν ἀνθρώποις ἐπίνοιαν, ἐξ αὐτῶν γιγνομένην τῶν ἔργων καὶ τἀληθοῦς, οὐκ ἐξ ἐπιπολῆς συστᾶσαν 10), οὐδὲ ὡς ἔτυχεν, ἀλλὰ πάνυ

5) malim τάδε δὲ τὰ ξύμπαντα. *hanc autem rerum vniversitatem.*

6) μηδὲ ὥσπερ] brachylogia Dionea pro μηδὲ ἐῶντες φέρεσθαι, ὥσπερ οἱ παῖδες — v. dicta ad n. 89.

7) ὁρμώσῃ] aut leg. cum codice regio ὁρμήσῃ, aut ὁρμῴη. videtur vtraque lectio in libris olim fuisse.

8) ἀλλ᾽ οὐ μελ.] malim ἅτ᾽ οὐ μελ. *quippe* (vel *vtpote*) *non praemeditata.* Aptus est hic accusatiuus e verbo praemisso ἐπεξῆλθεν ὁ λόγος.

9) ἀδείας] sic margo Morelli, sic et vir doctus in Veneta mea correxit. ἀγείας Ven. et Morell.

10) οὐκ ἐξ ἐπιπολῆς συστᾶσαν] sic dedi. οὐκέτι πολλὴν σύστασιν, Veneta et codex regius. οὐ κατὰ πλάνην συστᾶσαν Morell. Opponit Dio illi ἐξ ἐπιπολῆς *superficie tenus* ἰσχυρὰν καὶ ἀέναον.

ἰσχυρὰν καὶ ἀέναον ἐκ τοῦ παντὸς χρόνου καὶ παρὰ πᾶσι τοῖς ἔθνεσιν ἀρξαμένην καὶ διαμένουσαν, σχεδόν τι κοινήν τε καὶ δημοσίαν, τοῦ λογικοῦ γένους· δευτέραν δὲ λεγομένην [11]) ἐπίκτητον, καὶ δι' οὐδετέρων ἐγγινομένην ταῖς ψυχαῖς, ἢ λόγοις τε καὶ μύθοις καὶ ἔθεσι [12]), τοῖς μὲν ἀδεσπότοις τε καὶ ἀγράφοις, τοῖς δὲ ἐγγράφοις, καὶ σφόδρα γνωρίμους ἔχουσι τοὺς κυρίους. τῆς δὲ τοιαύτης ὑπολήψεως [13]) τὴν μέν τινα ἑκουσίαν καὶ παραμυθητικὴν φῶμεν· τὴν δὲ ἀναγκαίαν καὶ προστακτικήν. λέγω δὲ τοῦ μὲν ἑκουσίου καὶ παραμυθίας ἐχομένην, τὴν τῶν ποιητῶν· τοῦ δὲ ἀναγκαίου

καὶ

11) λεγομένην] malim λέγομεν (aut in coniunctiuo λέγωμεν, vt v. antep. φῶμεν) τὴν ἐπίκτητον, καὶ δι' ἑτέρων ἐγγιγνομένην — alterum fontem (vnde scil. cognitio diuini numinis ad homines permanarit) aimus esse acquisitum, seu eum scientiae modum, qui non cognatus sit scienti, neque proprius ei, neque ex ipso exstiterit, sed aliunde in eum translatus, et menti infusus ab aliis. existimo enim καὶ δι' ἑτέρων esse leg. aut καὶ διὰ τῶν ἑτέρων, et negationem delendam. male Veneta et margo Mor. καὶ δι' οὐχ ἑτέρων.

12) f. ψυχαῖς, λόγοις τε καὶ μύθοις, ἢ καὶ ἔθεσι. demonstrat geminum modum deriuandi e mente sua in mentem alterius sensus illius, quo cognoscimus esse numen diuinum; alter eorum modorum est, vt imbuendum cognitione dei oratione et narrationibus doceamus, alter vt moribus, et institutis nostris praeeamus ipsi exemplum colendi dei.

13) sententia videtur haec esse: In hoc genere originis penes alios nasci opinionem diuini numinis ex ipsa cuiusque voluntate atque persuasione, cum verbis et adhortationibus aliorum ad credendam diuini numinis veritatem adducatur: alios ad credendam eam vi et necessitate imperantium atque cogentium adduci. παραμυθεῖσθαι non solum est *consolari*, sed etiam *adhortari*, *suadere*, demonstrando, admonendoque ad probandum aliquid agendumue permouere.

καὶ προστάξεως, τὴν τῶν νομοθετῶν· τούτων γὰρ[14]) οὐδετέραν ἰσχῦσαι δυνατὸν, μὴ πρώτης ἐκείνης ὑπούσης, δι' ἣν βουλομένοις ἐγίγνοντο, καὶ τρόπον τινὰ προειδόσιν αὐτοῖς αἵ τε προστάξεις καὶ παραμυθίαι[15])· τῶν μὲν ὀρθῶς καὶ ξυμφώνως ἐξηγουμένων ποιητῶν καὶ νομοθετῶν τῇ τε ἀληθείᾳ, ταῖς τε ἐννοίαις· τῶν δὲ ἀποπλανωμένων ἔν τισιν. ἀμφοῖν δὲ τοῖν λεγομένοιν ποτέραν πρεσβυτέραν φῶμεν τῷ χρόνῳ, παρά γε ἡμῖν τοῖς Ἕλλησι, ποιήσεως καὶ νομοθεσίας, οὐκ ἂν ἔχοιμι διατεινόμενος εἰπεῖν τῷ παρόντι[16]). πρέπει δὲ ἴσως, τὸ ἀζήμιον καὶ ποιητικὸν[17]) ἀρχαιότερον εἶναι τοῦ μετὰ ζημίας καὶ προστάξεως. σχεδὸν οὖν μέχρι τοῦδε ὁμοίως πρόεισι τοῖς ἀνθρώποις τὰ περὶ τοῦ πρώτου καὶ ἀθανάτου γονέως, ὃν καὶ πατρῷον Δία καλοῦμεν[18]), οἱ τῆς

14) γὰρ] rationem nempe reddit, cur *secundum* hunc appellarit fontem opinionis de deo. Recte, ait, hos duos modos, per quos mentibus humanis sensus diuini numinis iniicitur, cum scilicet aut sponte sua fidem habent poetis, deos esse docentibus, aut necessario parent legislatoribus, religionem poenis sancientibus: hos itaque duos modos dixi secundarios quosdam quasi fontes esse cognitionis rerum diuinarum, ab illo primario deriuatos. Quod si enim hic primarius non subesset, fieri nequiret, vt illi duo secundarii multum valerent, aut diu permanerent, aut penitus inolescerent mentibus hominum.

15) f. καὶ αἱ παραμυθίαι.

16) malim εἰπεῖν ἐν τῷ παρόντι.

17) ποιητικὸν] cl. Koehlerus vult πειστικὸν, sed bene habet vulgata. poterat Dio pari iure, atque hic καὶ ποιητικὸν dixit, versu proximo dicere καὶ νομοθετικόν. sed maluit iure suo dicere καὶ προστάξεως, quod eodem redit.

18) Veneta dat ὃν καὶ πρῶτον [illegible]καλοῦμεν. facile apparet, qui πρῶτον potuerit e πατρῷον nasci; scil. πατρ exarant librarii graeci πρ cum superimposita virgula, et e iota adscripto ωιον facile potuit ωτον nasci. sed Iouem πατρῷον appellari non memini qui dixerit, praeter Dionem h. l.

Ἑλλάδος κοινωνοῦντες, καὶ τὰ περὶ τῶν θνητῶν καὶ ἀνθρωπίνων γονέων. καὶ γὰρ δὴ ἡ πρὸς ἐκείνους εὔνοια καὶ θεραπεία τοῖς ἐκγόνοις πρώτη μὲν ἀπὸ τῆς φύσεως καὶ τῆς εὐεργεσίας, ἀδίδακτος ὑπερέχει τὸ γεννῆσαν καὶ τρέφον καὶ στέργον, τοῦ γεννηθέντος εὐθὺς ἀντιφιλοῦντος καὶ ἀντιθεραπεύοντος, ὅπως ἂν ᾖ δυνατόν. δευτέρα δὲ καὶ τρίτη ποιητῶν καὶ νομοθετῶν· τῶν μὲν, παραινούντων μὴ ἀποστερεῖν χάριν τὸ πρεσβύτερον καὶ ξυγγενὲς, ἔτι δὲ αἴτιον ζωῆς καὶ τοῦ εἶναι· τῶν δὲ, ἐπαναγκαζόντων καὶ ἀπειλούντων κόλασιν τοῖς οὐ πειθομένοις, ἄνευ τοῦ διασαφεῖν καὶ δηλοῦν, ὁποῖοί τινές εἰσιν οἱ γονεῖς, καὶ τίνων εὐεργετῶν χρέος ὀφειλόμενον κελεύουσι μὴ ἀνέκτιτον ἐᾶν [19]), ἐν τοῖς περὶ τῶν θεῶν λόγοις καὶ μύθοις. μᾶλλον δὲ τοῦτο ἰδεῖν ἐστιν ἐπ' ἀμφοτέρων γινόμενον. ὁρῶ μὲν οὖν ἔγωγε τοῖς πολλοῖς πανταχοῦ τὴν ἀκρίβειαν· σκοπῶ δὲ καὶ τὰ [20]) περὶ τοὺς λόγους οὐδὲν ἧττον, οἷς μέλει πλήθους μόνον· οὐδὲν [21]) προειπόντες οὐδὲ διαστειλάμενοι περὶ τοῦ πράγματος, οὐδὲ ἀπό τινος ἀρχῆς ἀρχόμενοι τῶν λόγων, ἀλλ' αὐτό γε, ὥς φασιν, ἀπλύτοις ποσὶ διεξίασι τὰ φανερώτατα καὶ γυμνότατα. καὶ ποδῶν μὲν ἀπλύτων οὐ μεγάλη βλάβη, διά τε πηλοῦ καὶ πολλῶν καθαρμάτων ἰόντων, γλώττης δὲ ἀνεπιστήμονος οὐ μικρὰ ζημία γίνεται τοῖς ἀκροωμένοις. ἀλλὰ γὰρ [22]) εἰκὸς τοὺς πεπαιδευμένους, ὧν λόγων τινὰ

εἰκὸς

19) ἐᾶν] post hoc verbum desunt quaedam, vt et insequentibus, quae solo nequeunt ab ingenio suppleri.

20) τὰ] f. τῶν, scil. στρεφομένων. *Sed et eorum, qui in literis versantur, p[illegible] modo video non paucos, quibus curae solummodo est multitudo.* (praeceptorum puta) ὁρῶ μὲν οὖν ἔγωγε ἀμελουμένην τοῖς ποιηταῖς πανταχ. τ. ἀκ. — καὶ τὰ περὶ τοὺς λόγους ὡς οὐδὲν ἧττον, οἷς — Koehlerus.

21) ante οὐδὲν deest aut οἱ, aut ὡς.

22) ἀλλὰ γὰρ] est etiam hic locus salebrosus. indicat εἰκὸς itera-

εἰκὸς ἔχειν ἄξιον ἔχων συνεξανύειν καὶ συνεκπονεῖν, μέχρις ἂν ὡς ἐκ καμπῆς τινος καὶ δυσχωρίας καταστήσωμεν εἰς εὐθεῖαν τοὺς λόγους. τριῶν δὴ προκειμένων γενέσεων τῆς δαιμονίου παρ' ἀνθρώποις ὑπολήψεως, ἐμφύτου, ποιητικῆς, νομικῆς, τετάρτην φῶμεν τὴν πλαστικήν τε καὶ δημιουργικὴν τῶν περὶ τὰ θεῖα ἀγάλματα καὶ τὰς εἰκόνας. λέγω δὲ γραφέων τε καὶ ἀνδριαντοποιῶν, καὶ λιθοξόων, καὶ παντὸς ἁπλῶς τοῦ καταξιώσαντος αὑτὸν ἀποφῆναι μιμητὴν διὰ τέχνης τῆς δαιμονίας φύσεως· εἴτε σκιαγραφίᾳ, μάλα ἀσθενεῖ καὶ ἀπατηλῇ πρὸς ὄψιν, χρωμάτων μίξει καὶ γραμμῆς ὅρῳ σχεδὸν τὸ ἀκριβέστατον περιλαμβανούσῃ 23), εἴτε λίθων γλυφαῖς, εἴτε ξοάνων ἐργασίαις, κατ' ὀλίγον τῆς τέχνης ἀφαιρούσης τὸ περιττὸν, ἕως ἂν καταλίποι τὸ αὐτοῖς 24)

φαινό-

iteratum, et ἔχειν et ἔχων, turbatum hic eſſe a librariis; neque expedit nos varietas lectionis a Morello annotata εἰκότως, pro ſecundo εἰκός. eſt aliquid, ſed non multum, in Veneta eſſe λόγον. fortaſſe ſic dedit auctor, quantum colligere e veſtigiis corruptarum reliquiarum licet: ἀλλὰ γὰρ εἰκὸς, τοὺς πεπαιδευμένους, οὓς λόγον τινὰ εἰκὸς ἔχειν ἄξιον ἑαυτῶν, συνεξανύειν — ſubaudi ἡμῖν τοὺς λόγους. Verum tamen decet homines elegantes atque liberales, quos habere par eſt reuerentiam ſui ſemet dignam, vna cum philoſopho diſputante contendere, vt diſputationem ad metam perducant. Videtur hic Dio auditores, non nihil tumultuantes, ad tranquillitatem et attentionem reuocare voluiſſe.

23) περιλαμβανούσῃ, redit enim ad σκιαγραφίᾳ. (Morell. dat — σης) τὸ ἀκριβέστατον dubito quid ſit. ſententia videtur *extremum ambitum rei* ſignificare. ſed ignoro hanc vim vocabulo ineſſe. num τὸ ἄκρον?

24) αὐτοῖς] videtur hic τοῖς τεχνίταις vel τοῖς δημιουργοῖς deeſſe. *donec reliqua maneat illa ſpecies, quam efficere viſum fuit ipſis artificibus.* niſi dicemus, Dionem loqui breuius, ſuppreſſo eo, quod in mente haberet, atque ſignificare vellet. Voluit autem ſignificare, aut opifices, aut locatores eiusmodi operum, qui ſimulacra deorum ſibi

Ἑλλάδος κοινωνοῦντες, καὶ τὰ περὶ τῶν θνητῶν καὶ ἀνθρωπίνων γονέων. καὶ γὰρ δὴ ἡ πρὸς ἐκείνους εὔνοια καὶ θεραπεία τοῖς ἐκγόνοις πρώτη μὲν ἀπὸ τῆς φύσεως καὶ τῆς εὐεργεσίας, ἀδίδακτος ὑπερέχει τὸ γεννῆσαν καὶ τρέφον καὶ στέργον, τοῦ γεννηθέντος εὐθὺς ἀντιφιλοῦντος καὶ ἀντιθεραπεύοντος, ὅπως ἂν ᾖ δυνατόν. δευτέρα δὲ καὶ τρίτη ποιητῶν καὶ νομοθετῶν· τῶν μὲν, παραινούντων μὴ ἀποστερεῖν χάριν τὸ πρεσβύτερον καὶ ξυγγενὲς, ἔτι δὲ αἴτιον ζωῆς καὶ τοῦ εἶναι· τῶν δὲ, ἐπαναγκαζόντων καὶ ἀπειλούντων κόλασιν τοῖς οὐ πειθομένοις, ἄνευ τοῦ διασαφεῖν καὶ δηλοῦν, ὁποῖοί τινες εἰσιν οἱ γονεῖς, καὶ τίνων εὐεργετῶν χρέος ὀφειλόμενον κελεύουσι μὴ ἀνέκτιτον ἐᾶν [19]), ἐν τοῖς περὶ τῶν θεῶν λόγοις καὶ μύθοις. μᾶλλον δὲ τοῦτο ἰδεῖν ἐστιν ἐπ' ἀμφοτέρων γινόμενον. ὁρῶ μὲν οὖν ἔγωγε τοῖς πολλοῖς πανταχοῦ τὴν ἀκρίβειαν· σκοπῶ δὲ καὶ τὰ [20]) περὶ τοὺς λόγους οὐδὲν ἧττον, οἷς μέλει πλήθους μόνον· οὐδὲν [21]) προειπόντες οὐδὲ διαστειλάμενοι περὶ τοῦ πράγματος, οὐδὲ ἀπὸ τίνος ἀρχῆς ἀρχόμενοι τῶν λόγων, ἀλλ' αὐτό γε, ὥς φασιν, ἀπλύτοις ποσὶ διεξίασι τὰ φανερώτατα καὶ γυμνότατα. καὶ ποδῶν μὲν ἀπλύτων οὐ μεγάλη βλάβη, διά τε πηλοῦ καὶ πολλῶν καθαρμάτων ἰόντων, γλώττης δὲ ἀνεπιστήμονος οὐ μικρὰ ζημία γίνεται τοῖς ἀκροωμένοις. ἀλλὰ γὰρ [22]) εἰκὸς τοὺς πεπαιδευμένους, ὧν λόγων τινὰ

εἰκὸς

19) ἐᾶν] post hoc verbum desunt quaedam, vt et insequentibus, quae solo nequeunt ab ingenio suppleri.

20) τὰ] f. τῶν, scil. στρεφομένων. *sed et eorum, qui in literis versantur, pari modo video non paucos, quibus curae solummodo est multitudo.* (praeceptorum puta) ὁρῶ μὲν οὖν ἔγωγε ἀμελουμένην τοῖς ποιηταῖς πάντ. τ. ἀκ. — καὶ τὰ περὶ τοὺς λόγους ὡς οὐδὲν ἧττον, οἷς — Koehlerus.

21) ante οὐδὲν deest aut οἱ, aut ὡς.

22) ἀλλὰ γὰρ] est etiam hic locus salebrosus. indicat εἰκὸς itera-

εἰκὸς ἔχειν ἄξιον ἔχων συνεξανύειν καὶ συνεκπονεῖν, μέχρις ἂν ὡς ἐκ καμπῆς τινος καὶ δυσχωρίας καταστήσωμεν εἰς εὐθεῖαν τοὺς λόγους. τριῶν δὴ προκειμένων γενέσεων τῆς δαιμονίου παρ᾽ ἀνθρώποις ὑπολήψεως, ἐμφύτου, ποιητικῆς, νομικῆς, τετάρτην φῶμεν τὴν πλαστικήν τε καὶ δημιουργικὴν τῶν περὶ τὰ θεῖα ἀγάλματα καὶ τὰς εἰκόνας. λέγω δὲ γραφέων τε καὶ ἀνδριαντοποιῶν, καὶ λιθοξόων, καὶ παντὸς ἁπλῶς τοῦ καταξιώσαντος αὑτὸν ἀποφῆναι μιμητὴν διὰ τέχνης τῆς δαιμονίας φύσεως· εἴτε σκιαγραφίᾳ, μάλα ἀσθενεῖ καὶ ἀπατηλῇ πρὸς ὄψιν, χρωμάτων μίξει καὶ γραμμῆς ὅρῳ σχεδὸν τὸ ἀκριβέστατον περιλαμβανέσῃ [23]), εἴτε λίθων γλυφαῖς, εἴτε ξοάνων ἐργασίαις, κατ᾽ ὀλίγον τῆς τέχνης ἀφαιρούσης τὸ περιττὸν, ἕως ἂν καταλίποι τὸ αὐτοῖς [24])

Φαινό-

iteratum, et ἔχειν et ἔχων, turbatum hic esse a librariis; neque expedit nos varietas lectionis a Morello annotata εἰκότως, pro secundo εἰκὸς. est aliquid, sed non multum, in Veneta esse λόγον. fortasse sic dedit auctor, quantum colligere e vestigiis corruptarum reliquiarum licet: ἀλλὰ γὰρ εἰκὸς, τοὺς πεπαιδευμένους, οὓς λόγον τινὰ εἰκὸς ἔχειν ἄξιον ἑαυτῶν, συνεξανύειν — subaudi ἡμῖν τοὺς λόγους. Verum tamen decet homines elegantes atque liberales, quos habere par est reuerentiam sui semet dignam, vna cum philosopho disputante contendere, vt disputationem ad metam perducant. Videtur hic Dio auditores, non nihil tumultuantes, ad tranquillitatem et attentionem reuocare voluisse.

23) περιλαμβανούσῃ, redit enim ad σκιαγραφίᾳ. (Morell. dat — σης) τὸ ἀκριβέστατον dubito quid sit. sententia videtur *extremum ambitum rei* significare. sed ignoro hanc vim vocabulo inesse. num τὸ ἄκρον?

24) αὐτοῖς] videtur hic τοῖς τεχνίταις vel τοῖς δημιουργοῖς deesse. *donec reliqua maneat illa species, quam efficere visum fuit ipsis artificibus.* nisi dicemus, Dionem loqui breuius, suppresso eo, quod in mente haberet, atque significare vellet. Voluit autem significare, aut opifices, aut locatores eiusmodi operum, qui simulacra deorum sibi

φαινόμενον εἶδος· εἴτε 25) χωνείᾳ χαλκοῦ, καὶ τῶν ὁμοίων ὅσα τίμια, διὰ πυρὸς ἐλαθέντων, ἢ ῥυέντων ἐπί τινας τύπους, εἴτε κηροῦ πλάσει ῥᾷστα ξυνακολουθοῦντος τῇ τέχνῃ, καὶ πλεῖστον ἐπιδεχομένου τὸ τῆς ὑπονοίας 26). οἷος ἦν Φειδίας τε καὶ Ἀλκαμένης 27) καὶ Πολύκλειτος, ἔτι δὲ Ἀγλαοφῶν καὶ Πολύγνωτος καὶ Ζεῦξις, καὶ πρότερος αὐτῶν ὁ Δαίδαλος. οὐ γὰρ ἀπέχρη τούτοις, περὶ τἄλλα ἐπιδείκνυσθαι τὴν αὑτῶν δεινότητα καὶ σοφίαν, ἀλλὰ καὶ θεῶν εἰκόνας καὶ διαθέσεις παντοδαπὰς ἐπιδεικνύντες, ἰδίᾳ 28) τε καὶ δημοσίᾳ χορηγοὺς τὰς πόλεις λαμβάνοντες, πολλῆς ἐνέπλησαν ὑπονοίας καὶ ποικίλης περὶ τοῦ δαιμονίου· οὐ παντελῶς διαφερόμενοι τοῖς ποιηταῖς καὶ νομοθέταις τὸ μὲν, ὅπως μὴ δοκῶσι παράνομοι, καὶ ταῖς ἐπικειμέναις ἐνέχωνται ζημίαις· τὸ δὲ, ὁρῶντες προκατειλημμένους αὐτοὺς 29) ὑπὸ τῶν ποιητῶν καὶ πρεσβυτέραν οὖσαν τὴν ἐκείνων εἰδωλοποιΐαν. οὐκ οὖν ἐβούλοντο φαίνεσθαι τοῖς πολλοῖς ἀπίθανοι καὶ ἀηδεῖς εἶναι καινοποιοῦντες· τὰ μὲν οὖν πολλὰ, τοῖς μύθοις ἑπόμενοι καὶ συνηγοροῦντες ἔπλαττον, ὡς δὲ καὶ παρ'

αὐ-

ſibi curarent aere ſuo a pictoribus, caelatoribus, ſtatuariis, ſigillariis, fieri, aut vniuerſe *homines.* poſſit ſic αὐτοῖς ad ἀνθρώποις p. 395, 4. referri. conf. n. 29.

25) εἴτε] ſic dedi, *ſiue.* εἶτα Morell.

26) malim ἐπινοίας. *inuentionis*, excogitationis, imaginum mente conformatarum plurimum accipiens reddensque. In Veneta eſt μετανοίας, quod margo Morelli exhibet.

27) Alcamenes erat diſcipulus Phidiae (v. Plin. 34, 19. 12. et ibi Harduin.) Aglaophon pictor erat circa nonageſimam Olympiadem. v. Plin. 35, 36. et Quintil. 12, 10. loco ad noſtrum perappoſito.

28) ἰδίᾳ] in operibus, quae facerent a priuatis conducti.

29) αὐτοὺς] homines puta, tam priuatos quosdam, quam vniuerſas ciuitates. v. n. 28.

αὐτῶν εἰσέφερον 30), ἀντίτεχνοι καὶ ὁμότεχνοι τρόπον τινὰ γιγνόμενοι τοῖς ποιηταῖς· ὡς ἐκεῖνοι δι' ἀκοῆς, ἐπιδεικνύντες 31) ἀτεχνῶς καὶ αὐτοὶ δι' ὄψεως, καὶ ἐξηγούμενοι τὰ θεῖα, τοῖς πλείοσι καὶ ἀπειροτέροις 32) θεαταῖς. πάντα δὲ ταῦτα τὴν ἰσχὺν ἔσχεν ἀπὸ τῆς πρώτης ἀρχῆς ἐκείνης, ὡς ἐπὶ τιμῇ καὶ χάριτι ποιοῦμεν 33) τοῦ δαιμονίου. καὶ μὴν δίχα γε τῆς ἁπλῆς καὶ πρεσβυτάτης ἐννοίας περὶ θεῶν, καὶ ξυγγενῶς πᾶσιν ἀνθρώποις ἅμα τῷ λόγῳ φυομένης, πρὸς τοῖς τρισὶ τούτοις ἑρμηνεῦσι καὶ διδασκάλοις, ποιητικῆς καὶ νομοθετικῆς καὶ δημιουργικῆς 34), τέταρτον ἀνάγκη παραλαβεῖν, οὐδαμῇ ῥᾴθυμον, οὐδὲ ἀπείρως ἡγούμενον ἔχειν ὑπὲρ αὐτῶν 35). λέγω δὲ τὸν φιλόσοφον ἄνδρα, ἢ λόγῳ 36) ἐξηγητὴν, καὶ προφήτην τῆς ἀθανάτου φύσεως, ἀληθέστατον ἴσως καὶ τελειότατον. τὸν μὲν οὖν νομοθέτην ἐάσωμεν τανῦν εἰς εὐθύνας ἄγειν, ἄνδρα αὐστηρὸν, καὶ τοὺς ἄλλους αὐτὸν εὐθύνοντα· δέοι γὰρ αὐτὸν 37) αὐτοῦ φείδεσθαι καὶ

30) malim ὅμως δὲ καὶ παρ' αὐτῶν ἐστὶν ἃ εἰσέφερον.

31) ante ἐπιδεικνύντες aut addendum, aut certe ſubaudiendum eſt οὕτως.

32) lectio marginis Morell. ἀπορωτέροις eſt in Veneta.

33) malim ποιούμενα.

34) aut τοῖς ἐκ ποιητικῆς καὶ νομοθετικῆς καὶ δημιουργικῆς legendum videtur, aut ποιηταῖς καὶ νομοθέταις καὶ δημιουργοῖς.

35) ὑπὲρ αὐτῶν] id eſt περὶ αὐτῶν ἐν τοῖς κατ' αὐτοὺς *in rebus ad eos*, deos puta, *pertinentibus*.

36) f. Φιλόσοφον, ἄνδρα ἤδη λόγῳ, *hominem, qui iam ratione plana* — dicit *iam*, quia reliqui ſuperius dicti ad inſerendum hominum mentibus ſenſum diuini numinis, non diſciplina rationis, ſed aut figmentis poeſeos, aut imperio minisque legum, aut praeſtigiis ſtatuariae fuerant vſi. cl. Koehlerus coni. λογίων ἐξηγητήν.

37) αὐτὸν videtur delendum; nam ſententia haec videtur eſſe: δέοι γὰρ ἂν ἡμᾶς φείδεσθαι καὶ αὐτοῦ καὶ τῆς ὑμετέρας

καὶ τῆς ὑμετέρας ἀσχολίας. ὑπὲρ δὲ τῶν λοιπῶν ἑκάστου γένους προχειρισάμενοι τὸν ἄκρον, σκοπῶμεν· εἴ τινα ὠφέλειάν τε καὶ βλάβην φανήσονται πεποιηκότες πρὸς εὐσέβειαν, τοῖς αὐτῶν ἔργοις ἢ λόγοις, ὅπως τε ἔχουσιν ὁμολογίας, ἢ τοῦ διαφέρεσθαι[38]) ἀλλήλοις· καὶ τίς αὐτῶν ξυνέπεται τῷ ἀληθεῖ μάλιστα, τῇ πρώτῃ καὶ ἀδόλῳ γνώμῃ σύμφωνος ὤν. πάντες τοιγαροῦν οὗτοι ξυνᾴδουσιν, ὥσπερ ἑνὸς ἴχνους[39]) λαβόμενοι, καὶ τοῦτο σώζοντες· οἱ μὲν σαφῶς, οἱ δὲ ἀδηλότερον. οὐ γὰρ ἂν ἴσως[40]) δέοιτο παραμυθίας τῇ ἀληθείᾳ[41]) φιλόσοφος, εἰ πρὸς σύγκρισιν ἄγοιτο ποιηταῖς ἀγαλμάτων ἢ μέτρων· καὶ ταῦτα ἐν ὄχλῳ πανηγύρεως ἐκείνοις φίλων δικαστῶν. εἰ γάρ τις Φειδίαν πρῶτον ἐν τοῖς Ἕλλησιν εὐθύνοι, τὸν σοφὸν τοῦτον καὶ δαιμόνιον ἐργάτην τοῦ σεμνοῦ καὶ παγκάλου δημιουργήματος, καθίσας δικαστὰς τοὺς βρα-

τέρας ἀσχολίας. *oporteat enim nos et ei parcere*, ne nostri super eo iudicii seueritate ipsum irritemus, *et vestri vna negotii*, ne oratione nimis prolixa vos nimis diu moremur. Possit quidem dictio αὐτὸν αὐτοῦ φειδ. hanc habere vim, *ipsummet sibi parcere*, multa ipsum sibi ignoscere, id quod a religione legislatoris abhorret. verum haec sententia non video qui loco huic conueniat. praeterea ea lectione admissa, leg. foret καὶ ἡμᾶς τῆς ὑμετέρας ἀσχολίας. *et nos oporteat rationem vestri negotii habere.*

38) ἢ τοῦ διαφέρεσθαι] sic recte Veneta et codex regius, quod idem est atque ἢ τῆς διαφορᾶς. *quomodo inter se habeant, siue ratione consensus, siue dissensus.* Morell. omittit τοῦ.

39) ἴχνους] sic recte codex regius. In Veneta est ἴχους, et Morell. dat ἴχνος.

40) οὐ γὰρ ἂν ἴσως] sententia pro infitiatione affirmationem postulat, καὶ γὰρ ἂν ἴσως. *etenim alias* (ni hoc esset) *egeret philosophus solatio.* cl. Koehler. coni. ἐκείνης vel ἐκείνῳ φιλ.

41) malim ὁ τῇ ἀληθείᾳ.

βραβεύοντας τῷ θεῷ τὸν ἀγῶνα, μᾶλλον δὲ κοινὸν δικαστήριον ξυμπάντων τῶν Πελοποννησίων, ἔτι δὲ Βοιωτῶν καὶ Ἰώνων καὶ τῶν ἄλλων Ἑλλήνων, τῶν πανταχοῦ κατὰ τὴν Εὐρώπην καὶ τὴν Ἀσίαν· οὐ τῶν χρημάτων λόγον ἀπαιτῶν, οὐδὲ τῆς περὶ τὸ ἄγαλμα δαπάνης, ὁπόσων χρυσὸς ὠνήθη ταλάντων, καὶ ἐλέφας, ἔτι τε 42) κυπάριττος καὶ θύον πρὸς τὴν ἐν τῇ ἐργασίᾳ μόνιμον ὕλην καὶ ἀδιάφθορον· τροφῆς τε καὶ μισθῶν ἀνάλωμα τοῖς ἐργασαμένοις οὐκ ὀλίγοις οὐδὲ ὀλίγον χρόνον, ἄλλοις 43) τε οὐ φαύλοις δημιουργοῖς, καὶ τὸν πλεῖστον καὶ τελεώτατον μισθὸν ὑπὲρ τῆς τέχνης Φειδίᾳ. ταῦτα μὲν γὰρ Ἠλείοις προσήκοντα λογίσασθαι, τοῖς ἀναλώσασιν ἀφθόνως καὶ μεγαλοπρεπῶς· ἡμεῖς δὲ ὑπὲρ ἄλλου 44) φήσομεν τῷ Φειδίᾳ προκεῖσθαι τὸν ἀγῶνα. εἰ οὖν δὴ λέγοι τις πρὸς αὐτόν· ὦ βέλτιστε καὶ ἄριστε τῶν δημιουργῶν, ὡς μὲν ἡδὺ καὶ προσφιλὲς ὅραμα καὶ τέρψιν ἀμήχανον θέας εἰργάσω πᾶσιν Ἕλλησι καὶ βαρβάροις, ὁπόσοι ποτὲ δεῦρο ἀφίκοντο πολλοὶ πολλάκις, οὐδεὶς ἀντερεῖ. τῷ γὰρ ὄντι καὶ τὴν ἄλογον ἐκπλήξειε 45) τοῦτό γε τῶν ζώων φύσιν, εἰ δύναιντο προσιδεῖν μόνον, ταύρων τε τῶν ἀεὶ πρὸς τόνδε τὸν βωμὸν ἀγομένων, ὡς ἑκόντας ὑπέχειν 46) τοῖς καταρχομένοις, εἴ τινα παρέξουσι τῷ θεῷ χάριν· ἔτι δὲ ἀετῶν τε καὶ ἵππων 47) καὶ λεόντων, ὡς τὸ ἀνή-

42) malim ἔτι δέ.

43) leg. ἄλλως τε *praeſertim.*

44) malim ἄλλων.

45) ἐκπλήξειε] ſic dedi. Ven. et Mor. dant ἐκπλήξει.

46) ὑπέχειν] ſubaudi τὸν αὐχένα. οἱ καταρχόμενοι ſunt popae, qui pilos e fronte victimarum euellunt, et molam ſalſam ipſarum capitibus inſpergunt, vinumque inter earum cornua infundunt, et ſic eas vſibus ſolummodo ſacris conſecrant.

47) ἵππων non videtur ſatis conuenire, neque decere conſortium beſtiarum ferarum. num itaque γυπῶν, *vulturum*?

ἀνήμερον καὶ ἄγριον σβέσαντα 48) τοῦ θυμοῦ, πολλὴν ἡσυχίαν ἄγειν, τερφθέντα ὑπὸ τῆς θέας. ἀνθρώπων δὲ, ὃς ἂν ᾖ παντελῶς ἐπίπονος τὴν ψυχὴν, πολλὰς ἀπαντλήσας συμφορὰς καὶ λύπας ἐν τῷ βίῳ, μηδὲ ὕπνον ἡδὺν ἐπιβαλλόμενος, καὶ ὃς 49) δοκεῖ μοι, κατεναντίον στὰς τῆσδε τῆς εἰκόνος, ἐκλαθέσθαι πάντων, ὅσα ἀνθρωπίνῳ βίῳ δεινὰ καὶ χαλεπὰ οἴεται 50) παθεῖν. οὕτω σύ γε ἀνεῦρες καὶ ἐμηχανήσω θέαμα, ἀτεχνῶς Νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων. τοσοῦτο φῶς καὶ τοσαύτη χάρις ἔπεστιν ἀπὸ τῆς τέχνης. οὐδὲ γὰρ αὐτὸν τὸν Ἥφαιστον εἰκὸς ἐγκαλέσαι τῷδε τῷ ἔργῳ, κρίνοντα πρὸς ἡδονὴν καὶ τέρψιν ἀνθρωπίνης ὄψεως. εἰ δ' αὖ τὸ πρέπον εἶδος καὶ τὴν ἀξίαν μορφὴν τῆς θεοῦ φύσεως 51) ἐδημιούργησας, ὕλῃ τε 52) ἐπιτερπεῖ χρησάμενος, ἀνδρός τε ἐποίεις 53), μορφὴν ὑπερφυῆ τὸ κάλλος καὶ τὸ μέγεθος ἔδειξας 54) πλὴν ἀνδρὸς

48) σβέσαντος est in Veneta et in codice regio. vtraque lectio, tam haec, quam vulgata σβέσαντα, pariter est incommoda. neque enim ipsum animal exstinguere dicitur suam ferociam, neque ferocia ipsa semet, sed res feram deliniens et permulcens. neque tamen patitur loci ratio, vt aliter legatur, atque aut σβέσαντα aut σβέσαντος.

49) καὶ ὃς idem est atque καὶ οὗτος *etiam hic.*

50) οἴεται) conieci olim οἷά τε. *quibus tolerandis vita humana par est.* postmodum vidi Morellum coniecisse εἴωθε, *quae solet humana vita perpeti*, non inscite. lectio marg. Morell. γίνεσθαι est etiam in Var. lect. Venetae.

51) malim τῆς θείου φύσεως.

52) malim καὶ ὕλῃ τε — de ἐπιτερπεῖ, an ἐπιπρεπεῖ, adhuc dubito.

53) malim ποιήσας.

54) δείξας vnde habuerit Morellus, et vnde in eius editionem venerit, me fugit; neque enim in Veneta, neque in codice regio est. gratus tamen accipio quod ille dat. nam et sine idoneo auctore dedisse existimandus non est, et plane id necessarium est, paululum emendatum. corrigo

δρὸς καὶ τἆλλα, ποιήσας ὡς ἐποίησας, σκοπῶμεν τανῦν· ὑπὲρ ὧν ἀπολογησάμενος 55) ἱκανῶς ἐν τοῖς
33. παροῦσι, καὶ πείσας, ὅτι τὸ οἰκεῖον καὶ τὸ πρέπον ἐξεῦρες σχήματός τε καὶ μορφῆς τῷ πρώτῳ καὶ μεγίστῳ θεῷ, μισθὸν ἕτερον τοῦ παρ' Ἠλείων προσλάβοις μείζω καὶ τελειότερον. ὁρᾷς γάρ, ὅτι οὐ μικρὸς ἀγών, οὐδὲ κίνδυνος ἡμῖν. πρότερον μὲν γὰρ ἅτε οὐδὲν σαφὲς εἰδότες, ἄλλην ἄλλως 56) ἀνεπλάττομεν ἰδέαν· πᾶν τὸ θνητόν, κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ φύσιν, ἕκαστοι ἰνδαλλόμενοι καὶ ὀνειρώττοντες, εἴ τέ 57) που τινὰ μικρὰ καὶ ἄσημα τῶν ἔμπροσθεν εἰκάσματα τεχνιτῶν, οὐ πάνυ τούτοις οὔτε πιστεύοντες, οὔτε προσέχοντες τὸν νοῦν. σὺ δὲ ἰσχύϊ 58) τέχνης ἐνίκησας, καὶ ξυνέλεξας τὴν Ἑλλάδα πρῶτον, ἔπειτα τοὺς ἄλλους τῷδε τῷ φάσματι, θεσπέσιον 59) καὶ λαμπρὸν ἀποδείξας 60), ὡς μηδένα τῶν

rigo nempe sic: ἔδειξας πλὴν ἀνδρὸς καὶ τἆλλα. *num materiam vsurpando iucundam adspectu* (vel et *decoram*) *formaque virili exhibenda, admirabilis atque incredibilis tam ad venustatem speciei, quam ad staturae magnitudinem et maiestatem excellentiae, consecutus hoc sis, vt praeter humanam formam, reliqua quoque, quae dei simulacro inesse par est, exhibueris ea, quum secutus es, elaborandi ratione, hoc vero nunc quaerimus.*

55) ἀπολογησάμενος, vbi caussam pro te satis dixeris.

56) ἄλλως] imo vero ἄλλος. *aliam alius comminiscebamur imaginem dei.*

57) εἴ τε] sic Veneta; duo sunt vocabula, pro καὶ εἰ, *et, si forte quapiam* — scil. *occurrerent.* εἴη, vel ὁρῷτο, vel προσπέσοι, vel tale quid subauditur. Morell. dat εἴτε.

58) Morellus e codice regio praefert σὺ δέ γε ἰσχύϊ.

59) θεσπέσιον] subaudi αὐτό.

60) ἀποδείξας] sic olim conieceram, quam coniecturam nunc a codice regio confirmatam reperio. sententia haec est: *congregasti primum Graeciam, deinde alios quoque,* (Romanos puta et barbaros) *per hoc* (vel *ad hoc*) *spectaculum, eo, quod fecisti illud* (spectaculum) *diuinum*

τῶν ἰδόντων δόξαν 61) ἑτέραν ἔτι λαβεῖν ῥᾳδίως. ἆρ' οὖν οἴει τὸν Ἴφιτον καὶ τὸν Λυκοῦργον, καὶ τοὺς τότε Ἠλείους, διὰ χρημάτων ἀπορίαν, τὸν μὲν ἀγῶνα καὶ τὴν θυσίαν ποιῆσαι τῷ Διῒ πρέπουσαν, ἄγαλμα δὲ μηδὲν ἐξευρεῖν ἐπ' ὀνόματι καὶ σχήματι τοῦ θεοῦ· σχεδόν τι προέχοντας δυνάμει τῶν ὑστέρων, ἢ μᾶλλον φοβηθέντας, μή ποτε οὐκ ἐδύναντο ἱκανῶς ἀπομιμήσασθαι, διὰ θνητῆς τέχνης, τὴν ἄκραν καὶ τελειοτάτην φύσιν; πρὸς δὴ ταῦτα, τυχὸν εἴποι ἂν Φειδίας, ἅτε ἀνὴρ οὐκ ἄγλωττος οὐδὲ ἀγλώττου πόλεως, ἔτι δὲ συνήθης καὶ ἑταῖρος Περικλέους· ἄνδρες Ἕλληνες, ὁ μὲν ἀγὼν τῶν πώποτε μέγιστος. οὐδὲ γὰρ 62) ὑπὲρ ἀρχῆς, οὐδὲ στρατηγίας μιᾶς πόλεως, ἢ νεῶν πλήθους, ἢ πεζῶν στρατοπέδου, πότερον ὀρθῶς ἢ μὴ διῴκηται, τανῦν ὑπέχω λόγον· ἀλλὰ περὶ τοῦ πάντων κρατοῦντος θεοῦ καὶ τῆς πρὸς ἐκεῖνον ὁμοιότητος 63), εἴτε εὐσχημόνως καὶ προσεοικότως γέγονεν, οὐδὲν ἐλλείπουσα τῆς δυνατῆς πρὸς τὸ δαιμόνιον ἀνθρώποις ἀπεικασίας, εἴτε ἀναξία καὶ ἀπρεπής. ἐνθυμεῖσθε δὲ, ὅτι οὐκ ἐγὼ πρῶτος ὑμῖν ἐγενόμην ἐξηγητὴς καὶ διδάσκαλος τῆς ἀληθείας. οὐδὲ γὰρ ἔφυν, ἔτι καταρχὰς τῆς Ἑλλάδος οὐδέπω σαφῆ καὶ ἀραρότα δόγματα ἐχούσης περὶ τούτων· ἀλλὰ πρεσβυτέρας τρόπον τινὰ καὶ περὶ τοὺς θεοὺς 64) ἤδη πεπεισμένης καὶ νομιζούσης ἰσχυρῶς.

num quoddam splendidumque. Morell. et Ven. dant. ἀπέδειξας.

61) δόξαν] intellige περὶ θεοῦ, vel περὶ τῆς θείας μορφῆς. *vt nemini iam in mentem veniat suspicari, deo* vel deorum regi *aliam esse formam*, praeter eam, quam Phidias ipsi dedisset.

62) οὐδὲ γὰρ] Morellus laudat e codice regio, vt castigatius, οὐ γάρ; sed nihilo vulgatae praestat.

63) ὁμοιότητος] subaudi τοῦ ἐμοῦ ἀγάλματος. *quatenus ei simile sit simulacrum a me factum.*

64) περὶ τοὺς θεοὺς] malim περὶ τοῦ θείου.

ρῶς. καὶ ὅσα μὲν λιθοξόων ἔργα, ἢ γραφέων, ἀρχαιότερα τῆς ἐμῆς τέχνης σύμφωνα ἦσαν, πλὴν ὅσον κατὰ τὴν ἀκρίβειαν τῆς ποιήσεως, ἐῶ λέγειν. δόξας δὲ ἡμετέρας 65) κατέλαβον, παλαιὰς, ἀκινήτους, αἷς οὐκ ἦν ἐναντιοῦσθαι δυνατόν· καὶ δημιουργοὺς ἄλλους περὶ τὰ θεῖα, πρεσβυτέρους ἡμῶν, καὶ πολὺ σοφωτέρους ἀξιοῦντας εἶναι, τοὺς ποιητάς· ἐκείνων 66) μὲν δυναμένων εἰς πᾶσαν ἐπίνοιαν ἄγειν διὰ τῆς ποιήσεως, τῶν δὲ ἡμετέρων αὐτουργημάτων μόνην ταύτην 67) ἱκανὴν 68) ἐχόντων εἰκασίαν. τὰ γὰρ θεῖα φάσματα, λέγω δὲ ἡλίου καὶ σελήνης καὶ σύμπαντος οὐρανοῦ καὶ ἄστρων, αὐτὰ μὲν καθ᾽ αὑτὰ φαινόμενα θαυμαστὰ πάντως· ἡ δὲ μίμησις αὐτῶν ἁπλῆ καὶ ἄτεχνος, εἴ τις ἐθέλοι τὰ τῆς σελήνης σχήματα ἀφομοιοῦν, ἢ τὸν ἡλίου κύκλον· ἔτι δὲ ἤθους καὶ διανοίας αὐτὰ μὲν ἐκεῖνα μεστὰ πάντως 69), ἐν δὲ τοῖς εἰκάσμασιν, οὐδὲν ἐνδεικνύμενα τοιοῦτον, οἷον 70) ἴσως καὶ τὸ ἐξ ἀρχῆς οὕτως ἐνομίσθη τοῖς

65) conieceram olim ὑμετέρας, quod interpres quoque reddidit. ſed poſtmodum vidi, ὑμετέρας hoc ſibi velle: *perſuaſiones, quas nos de deo fouemus, quotquot ſumus pictores*, noſtra natio picturae et ſtatuariae dedita. confirmat hanc interpretationem paulo poſt πρεσβ. ἡμῶν et ἡμετέρων αὐτουργ. quare maneto vulgata.

66) ἐκείνων] reddit hoc rationem, cur poetae velint ſapientiores haberi pictoribus, iisque praeferri.

67) μόνην ταύτην] ſcil. ἣν ἔχομεν, τὴν διὰ τῆς ὕλης καὶ τῶν χρωμάτων δηλονότι.

68) ἱκανὴν] imo vero οὐχ ἱκανὴν vel οὐδαμῶς ἱκανήν.

69) πάντως] ſic dedi. *ſine dubio, vtique.* in Ven. eſt μετὰ πάντων. vnum errorem cum tolleret, cur alterum, πάντων, reliquit Morellus?

70) οἷον caue ad τοιοῦτον referas. ſententia haec eſt: *quomodo vt fieret*, (vt ſcil. rerum mente praeditarum ſolummodo forma externa, in oculos incurrens, oculis ſubiiceretur imagine aſſimilata, mentis autem vis interior, et oculis negata, imagine nulla redderetur; id quod fieri quo-

Ἕλλησιν. νοῦν γὰρ καὶ φρόνησιν, αὐτὴν μὲν καθ᾽ αὑτὴν, οὔτε τις πλάστης, οὔτε τις γραφεὺς, εἰκάσαι δυνατὸς ἔσται. ἀθέατοι γὰρ τῶν τοιούτων καὶ ἀνιστόρητοι παντελῶς πάντες. τὸ δὲ, ἐν ᾧ τοῦτο γινόμενόν ἐστιν, οὐχ ὑπονοοῦντες, ἀλλ᾽ εἰδότες, ἐπ᾽ αὐτὸ καταφεύγομεν, ἀνθρώπινον σῶμα, καὶ ἀγγεῖον71) φρονήσεως καὶ λόγου, θεῷ προσάπτοντες, ἐνδείᾳ καὶ ἀπορίᾳ παραδείγματος, τῷ φανερῷ τε καὶ εἰκαστῷ τὸ ἀνείκαστον καὶ ἀφανὲς ἐνδείκνυσθαι ζητοῦντες, συμβούλῳ τῇ δυνάμει72) χρώμενοι, κρεῖττον ἤ φασι τῶν βαρβάρων τινὰς ζώοις τὸ θεῖον73) ἀφομοιοῦν, κατὰ σμικρὰς καὶ ἀτόπους ἀφορμάς. ὁ δὲ πλεῖστον ὑπερβαλὼν κάλλει καὶ σεμνότητι καὶ με-

γαλο-

quoque nequit) *fortassis ab ipso picturae et statuariae principio sancitum est lege.* subauditur itaque γίγνεσθαι in οἷον.

71) f. τἀνθρώπινον σῶμα, ἅτε καὶ ἀγγ.

72) συμβούλῳ τῇ δυνάμει] sic dedi. Morell. omittit τῇ. Iuuat hic varietatem lectionis, quae in Veneta est, proponere, deinde latinam nostram huius loci interpretationem adiungere. ἀνθρώπινον — φρονήσεως καὶ λόγου θεοῦ προσάπτοντες — ἀπορίᾳ πράγματα — συμβούλου δυνάμει χρ. quia vero id, in quo hoc (scil. τὸ sapere) contingit, non suspicione adumbramus, sed certa sensuum perceptione tenemus, ideo ad id receptum habemus: humanum puta corpus, id quod, ceu vasculum perceptionis et mentis, deo agglutinemus, prae inopia melioris et conuenientioris simulacri, quod arte nulla reperiri vsquam potest; studentes quippe re aliqua perspicua, et cuius imago menti obiici atque ab ea percipi potest, rem neque imaginationi obnoxiam, neque oculis patentem, veluti demonstrare. Qua in re facultate nostra consiliario vtimur, h. e. facimus id, quod summa nostrarum virium contentio efficere valet. Id quod multo est satius, quam numen, more barbarico, si vera sunt, quae de barbaris narrant, animalibus assimulare.

73) θεῖον] sic recte interpres et Anglus. θνητὸν Ven. et Morell.

γαλοπρεπείᾳ, σχεδὸν οὗτος πολὺ κράτιστος δημιουργὸς τῶν περὶ τὰ θεῖα ἀγαλμάτων. οὐδὲ γάρ, ὡς βέλτιον ὑπῆρχε, μηδὲν ἵδρυμα μηδὲ εἰκόνα θεῶν ἀποδεδεῖχθαι παρ' ἀνθρώποις, φαίη τις ἄν· ὡς πρὸς μόνα ὁρᾶν δέον τὰ οὐράνια. ταῦτα μὲν γὰρ ξύμπαντα ὅ γε νοῦν ἔχων σέβει, θεοὺς ἡγούμενος μακαρίους μακρόθεν ὁρῶν· διὰ δὲ τὴν πρὸς τὸ δαιμόνιον γνώμην [74]), ἰσχυρὸς [75]) ἔρως πᾶσιν ἀνθρώποις ἐγγύθεν τιμᾶν, καὶ θεραπεύειν τὸ θεῖον, προσιόντας καὶ ἁπτομένους [76]) μετὰ πειθοῦς θύοντας καὶ στεφανοῦντας. ἀτεχνῶς γάρ, ὥσπερ νήπιοι παῖδες, πατρὸς ἢ μητρὸς ἀπεσπασμένοι [77]), δεινὸν ἵμερον ἔχοντες καὶ πόθον, ὀρέγουσι χεῖρας οὐ παροῦσι [78]), πολλάκις ὀνειρώττοντες ἄνθρωποι, καὶ θεοὺς οὕτως ἀγαπῶντες δικαίως, διά τε εὐεργεσίαν καὶ συγγένειαν, προθυμούμενοι πάντα τρόπον συνεῖναί τε καὶ ὁμιλεῖν· ὥστε οἱ [79]) πολλοὶ τῶν βαρβάρων, πενίᾳ τε

74) γνώμη hic loci est εὔνοια, πρόσκλισις τῆς γνώμης, vt apud Latinos *affectus* est *beneuolentia*, *propensio*.

75) post ἰσχυρὸς deesse videtur ἐντέτηκεν.

76) ἅπτεσθαι μετὰ πειθοῦς est *attingere aliquem cum pietate, obsequio et fiducia, cui certum est, eum, quem tu veneratione prosequeris, nulla te laesurum esse iniuria* malim καὶ θύοντας.

77) ἀπεσπασμένοι] sic dedi. ἀπεσπαμένοι Ven. et Mor.

78) aut alia quaepiam hic loci mendosa sunt, aut certe mutandae distinctiones, et pro θεοὺς leg. est θεοῖς, vt referatur ad ὀρέγουσι τὰς χεῖρας. *homines, tanquam pueruli, tendunt manus ad deos.* erit itaque sic distinguendum — χεῖρας οὐ παροῦσι, πολλάκις ὀνειρώττοντες, (hactenus simile de puerulis ductum) ἄνθρωποι καὶ θεοῖς, [scil. ὀρέγουσι τὰς χεῖρας οὐ παροῦσιν] ἀγαπῶντες [scil. αὐτούς, amantes eos, deos puta] οὕτως [subaudi quemadmodum pueruli suos amant parentes, idque] δικαίως iure merito.

79) aut οἱ πολλοὶ aut οὐκ ὀλίγοι. Ven. et Mor. dant οὐ πολλοί.

καὶ ἀπορίᾳ τέχνης, ὄρη θεοὺς ἐπονομάζουσι, καὶ δένδρα ἀργὰ καὶ ἀσήμους λίθους οὐδαμῶς οἰκειότερα τῆς μορφῆς [80]). εἰ δ' ὑμῖν ὑπαίτιός εἰμι τοῦ σχήματος, οὐκ ἂν φθάνοιτε Ὁμήρῳ πρότερον χαλεπῶς ἔχοντες; ἐκεῖνος γὰρ οὐ μόνον μορφὴν [81]) ἐγγύτατα τῆς δημιουργίας [82]) ἐμιμήσατο, χαίτας τε [83]) ὀνομάζων τοῦ θεοῦ, ἔτι δὲ ἀνθερεῶνα εὐθὺς ἐν ἀρχῇ τῆς ποιήσεως, ὅτε φησὶν ἱκετεύειν τὴν Θέτιν ὑπὲρ τῆς τιμῆς τοῦ παιδός· πρὸς δὲ τούτοις, ὁμιλίας τε καὶ βουλήσεις καὶ δημιουργίας τοῖς θεοῖς [84])· ἔτι δὲ

ἐξ

80) Veneta dat λίθους οὐδαμῇ οὐδαμῶς οἰκειότερα τῆς μορφῆς. in poſtremis verbis deeſſe videtur θείας. τῆς θείας μορφῆς. οἰκεῖος cum genitiuo perinde atque cum datiuo conſtruitur, diciturque οἰκεῖός τινος et τινι. nihilo propiora et conuenientiora formae diuinae, quam meus Iupiter eſt, caeteriue dii, quos nos Graeci ſolemus ad formam humanam confingere. aut ſic: nullo modo οἰκειότερα [ſubaudi τῷ θεῷ] τῆς ἡμετέρας μορφῆς. *quae nullo modo magis ad ſimilitudinem diuini numinis accedunt, quam noſtra haec humana forma.*

81) poſt μορφὴν videtur Διὸς deſiderari. *Is enim non ſolum formam Iouis expreſſit proximo ad iſtum modum, quo ſtatuarii Iouem exhibent ſpectandum.* Non habet illud οὐ μόνον *non ſolum* inſequens ἀλλὰ καὶ *ſed etiam.*

82) fort. τῆς ἐμῆς aut τῆς ἡμετέρας δημιουργίας.

83) τε aut delendum, aut cum μέν mutandum, ob ſequens ἔτι δέ.

84) τοῖς θεοῖς] forte deeſt participium huic datiuo conueniens, e. c. προσνέμων *attribuens.* poſſit quidem e ſuperioribus tacite repeti et huc referri ὀνομάζων, vel ἐμιμήσατο, verum, praeterquam quod iſta haud optime conueniunt, genitiuus melius, quam datiuus, quadraret. De voce δημιουργίας adhuc dubito; ſitne ſeruanda, an cum δημηγορίας permutanda. Mercurio quidem artem citharas compingendi, Apollini et Aeſculapio artem medendi, Vulcano fabrilem, aliis alias affingit Homerus. Conueniat quidem δημηγορίας melius illis vocabulis, cum quibus eſt copulatum, ὁμιλίας et βουλήσεις [f. βουλεύσεις], verumtamen poſſit fieri, vt iſta Dionis aetate vſu obtinuerit, vt deli-

ἐξ Ἴδης ἀφίξεις πρὸς οὐρανὸν καὶ Ὄλυμπον, ὕπνους τε καὶ συμπόσια καὶ μίξεις, μάλα μὲν ὑψηλῶς σύμπαντα κοσμῶν τοῖς ἔπεσιν, ὅμως δὲ ἐχόμενα θνητῆς ὁμοιότητος. καὶ δή γε καὶ ὁπότε [85]) ἐτόλμησεν Ἀγαμέμνονα προσεικάσαι τοῦ θεοῦ τοῖς κυριωτάτοις μέρεσιν εἰπών·

Ὄμματα καὶ κεφαλὴν ἴκελος Διῒ τερπικεραύνῳ.

τὸ δέ γε τῆς ἐμῆς ἐργασίας οὐκ ἄν τις οὐδὲ μανεὶς [86]) τινὶ ἀφομοιώσειεν, οὐδὲ θνητῷ, πρὸς κάλλος ἢ μέγεθος θεοῦ συνεξεταζόμενον. ἀφ᾽ οὗ γε, εἰ μὴ Ὁμήρου πολὺ φανῶ κρείττων καὶ σωφρονέστερος ποιητής, τοῦ δόξαντος ὑμῖν ἰσοθέου τὴν σοφίαν, ἣν βούλησθε, ὑπέχειν ζημίαν ἕτοιμος. λέγω δὲ πρὸς τὸ δυνατὸν τῆς ἐμαυτοῦ τέχνης. δαψιλὲς γὰρ χρῆμα ποίησις, καὶ πάντα τρόπον εὔπορον καὶ αὐτόνομον, καὶ χορηγίᾳ γλώττης καὶ πλήθει ῥημάτων ἅμα [87]), ἱκανὸν ἐξ

deliberationes ſenatus δημιουργίαι appellarentur. ſolebant enim nonnulli populi graeci ſuos magiſtratus δημιουργοὺς appellare, vt e Polybio et Liuio conſtat.

85) ὁπότε] *quando.* caret apodoſi — *tum* — ſenſit interpres vitium, et prudenter diſſimulauit, reddens, *aliquando.* verum hoc non eſt ὁπότε, ſed ἔστιν ὅτε. non expedio haec. ſi ſanus eſt et integer locus, neceſſe eſt, vt e ſuperioribus tacite repetatur καὶ δή γε καὶ τοῦτο ἐν τοῖς μάλιστα εἶπεν ἐχόμενον τῆς θνητῆς ὁμοιότητος.

86) aut deeſt aliquid, aut οὐδὲ cum ἀνδρὶ eſt mutandum et comma tollendum.

87) poeſin appellat rem, quae par ſit omnibus viſis et propoſitis mentis oratione exprimendis, χορηγίᾳ γλώττης καὶ ῥημάτων πλήθει ἅμα, ſimul linguae miniſterio, et vocabulorum multitudine; quorum verborum haec videtur eſſe ſententia: quia ſimul ipſi ſuppetunt innumera vocabula, quibus iam inſtructam inuenit eam dialectum, qua vtitur, et ipſe de ſuo noua comminiſcitur vocabula. haec eſt illa τῆς γλώττης χορηγία, hae ſunt illae opes, quas poetae lingua ipſa ſua adminiſtrat. Locus hic, quo in vbertatem poeſeos Homericae excurrit, erat ſuperuacaneus. nimis eſt longus. poterat iſta ſtrictim attingere.

αὐτοῦ πάντα δηλῶσαι τὰ τῆς ψυχῆς βουλήματα. κἂν 45.
ὁποιονοῦν [87b]) διανοηθῇ σχῆμα, ἢ ἔργον, ἢ πάθος, ἢ μέγεθος, οὐκ ἂν ἀπορήσειεν ἀγγέλου φωνῆς, πάνυ ἐναργῶς σημαινούσης ἕκαστα.

Στρεπτὴ γὰρ γλῶττ᾽ ἐστὶ βροτῶν, πολέες δ᾽ ἔνι μῦθοι,

φησὶν Ὅμηρος αὐτός.

Παντοῖος δ᾽ ἐπέων πολὺς νόμος ἔνθα καὶ ἔνθα.

κινδυνεύει γὰρ οὖν τὸ ἀνθρώπινον γένος ἁπάντων ἐν ἐνδείᾳ [88]) γενέσθαι μᾶλλον, ἢ φωνῆς καὶ λέξεως. τούτου δὲ μόνου κέκτηται θαυμαστόν τινα πλοῦτον. οὐδὲν γοῦν παραλέλοιπεν ἄφθεγκτον οὐδὲ ἄσημον τῶν πρὸς αἴσθησιν ἀφικνουμένων, ἀλλ᾽ εὐθὺς ἐπιβάλλει τῷ νοηθέντι σαφῆ σφραγίδα ὀνόματος, πολλάκις δὲ καὶ πλείους, φωνὰς ἑνὸς πράγματος [89]), ὧν [90]) ὁπόταν φθέγξηταί τινα, παρέσχε δόξαν οὐ πολὺ ἀσθενεστέραν τἀληθοῦς. πλείστη μὲν οὖν ἐξουσία καὶ δύναμις ἀνθρώπῳ περὶ λόγον, ἐνδείξασθαι [91]) τὸ παραστάν. ἡ δὲ τῶν ποιητῶν τέχνη μάλα αὐθάδης καὶ ἀνεπίπληκτος [92]), ἄλλως τε Ὁμήρου,

τοῦ

87b) ὁποιονοῦν vel ὁποῖον οὖν. Ven. et Mor. dant ὁποιανοῦν.

88) Morell. dat ἐνδείᾳ, Veneta ἐν δείᾳ. malim tamen ἐν ἐνδείᾳ, quia vocabulum δεία ſic ſimplex non vſurpatur, ſed compoſitum ἔνδεια.

89) poſt πράγματος videtur deeſſe σημαντικὰς, *vocabula plura eandem rem ſignificantia.*

90) ὧν] ſcil. φωνῶν. ὧν ὁπόταν φθέγξηταί τινα, παρέσχε (redit hoc neſcio ad hominemne loquentem, an ad vocem illam prolatam) *quarum vocum vnam quandam ſi protulerit homo, praeſtat* (ſeu homo, ſeu vox) *impreſſionem menti non debiliorem, atque res ipſa voce deſignata.* h. e. voces rebus ſignificandis excogitatae tam ſunt pleraeque efficaces, vt haud ſegnius mentes moueant, quam res ipſae, quarum ſunt imagines.

91) ἐνδείξασθαι] id eſt ὥστε ἐνδείξασθαι διὰ τοῦ λόγου.

92) ἀνεπίπληκτος] ſic dedi; nam ita refingenda fuerat paulum deprauata lectio Venetae ἀνεπίπληπτος, et ſic

quo-

τοῦ πλείστην ἄγοντος παῤῥησίαν, ὃς οὐχ ἕνα εἵλετο χαρακτῆρα λέξεως, ἀλλὰ πᾶσαν τὴν Ἑλληνικὴν γλῶτταν, διῃρημένην τέως, ἀνέμιξε· Δωριέων τε καὶ Ἰώνων, ἔτι δὲ τὴν Ἀθηναίων 93)· εἰς ταυτὸ κεράσας μᾶλλον, ἢ τὰ χρώματα οἱ βαφεῖς, οὐ μόνον τῶν καθ' αὑτὸν, ἀλλὰ καὶ τῶν πρότερον, εἴ πού τι ῥῆμα ἐκλελοιπὸς, καὶ τοῦτο ἀναλαβὼν, ὥσπερ νόμισμα ἀρχαῖον, ἐκ θησαυροῦ ποθὲν ἀδέσποτον 93b), διὰ φιλοχρηματίαν. πολλὰ δὲ καὶ βαρβάρων ὀνόματα 94), φειδόμενος οὐδενὸς, ὅ, τι μόνον ἡδονὴν ἢ σφοδρότητα ἔδοξεν αὐτῷ ῥῆμα ἔχειν· πρὸς δὲ τούτοις, μεταφέρων οὐ 95) τὰ γειτνιῶντα μόνον, οὐδὲ ἀπὸ τῶν ἐγγύθεν, ἀλλὰ τὰ πλεῖστον ἀπέχοντα, ὅπως κηλήσῃ τὸν ἀκροατὴν, μετ' ἐκπλήξεως καταγοητεύσας· καὶ οὐδὲ ταῦτα κατὰ χώραν ἐῶν, ἀλλὰ τὰ μὲν μηκύνων, τὰ δὲ συναιρῶν, τὰ δὲ ἄλλως παρατρέπων· τελευτῶν δὲ αὑτὸν ἀπέφαινεν οὐ μόνον μέτρων ποιητὴν, ἀλλὰ καὶ ῥημάτων· παρ' αὑτοῦ φθεγγόμενος, τὰ μὲν, ἁπλῶς τιθέμενος ὀνόματα τοῖς πράγμασι· τὰ δ' ἐπὶ τοῖς κυρίοις ἐπονομάζων· οἷον σφραγῖδα σφραγῖσιν ἐπιβάλλων ἐναργεῖ 96), καὶ μᾶλλον εὔδηλον· οὐδενὸς φθόγγου ἀπεχόμενος, ἀλλὰ ἐν βραχεῖ ποταμῶν τε μιμούμενος φωνὰς, καὶ ὕλης, καὶ ἀνέμων, καὶ πυρὸς, καὶ θαλάττης· ἔτι δὲ χαλκοῦ καὶ λίθου, καὶ ξυμπάντων ἁπλῶς

quoque vir doctus in Veneta mea correxerat. ἀνεπίληπτος Morell. — f. ἄλλως τε καὶ Ὁμήρου. *praesertim Homeri.* similis huic locus est apud Max. Tyrium p. 381, 20. ed. Markl.

93) post Ἀθηναίων videtur καὶ Αἰολέων deesse.

93b) f. ἀδεσπότου κατορυχθέντος διὰ φιλοχρηματίαν. *e thesauro quodam, hero carente, qui thesaurus humo defossus aliquando fuit per auaritiam.*

94) ὀνόματα] subaudi ἀναλαβὼν aut κεράσας.

95) οὐ] sic dedi. *non solum finitima.* αὖ Ven. et Morell.

96) f. σφραγῖδι ἐπιβάλλων ἐναργῆ.

ζώων καὶ ὀργάνων, τοῦτο μὲν θηρίων, τοῦτο δὲ ὀρνίθων, τοῦτο δὲ αὐλῶν τε καὶ συρίγγων· καναχάς τε, καὶ βόμβους, καὶ κτύπον, καὶ δοῦπον, καὶ ἄραβον, πρῶτος ἐξευρὼν, καὶ ὀνομάσας ποταμοὺς τε μορμύροντας, καὶ βέλη κλάζοντα, καὶ βοῶντα κύματα, καὶ χαλεπαίνοντας ἀνέμους, καὶ ἄλλα τοιαῦτα δεινὰ καὶ ἄτοπα τῷ ὄντι θαύματα, πολλὴν ἐμβάλλοντα τῇ γνώμῃ ταραχὴν καὶ θόρυβον. ὥστε οὐκ ἦν αὐτῷ ἀπορία φανερῶν 97) ὀνομάτων καὶ ἡδέων, ἔτι δὲ λείων καὶ τραχέων, καὶ μυρίας ἄλλας ἐχόντων διαφορὰς, ἔν τε τοῖς ἤχοις καὶ τοῖς διανοήμασιν· ὑφ᾽ ἧς ἐποποιίας δυνατὸς ἦν, ὁποῖον ἐβούλετο, ἐμποιῆσαι τῇ ψυχῇ πάθος. τὸ δὲ ἡμέτερον αὖ γένος, τὸ χειρωνακτικὸν καὶ δημιουργικὸν, οὐδαμῇ ἐφικνεῖται τῆς τοιαύτης ἐλευθερίας· ἀλλὰ πρώτης μὲν ὕλης προσδεόμεθα, ἀσφαλοῦς μὲν, ὥστε διαμεῖναι, πολὺν δὲ ἐχούσης κάματον, πορισθῆναί τε οὐ ῥαδίας· ἔτι δὲ οὐκ ὀλίγων συνεργῶν. πρὸς δὲ αὖ τούτοις ἓν σχῆμα ἑκάστης εἰκόνος ἀνάγκη εἰργάσθαι· καὶ τοῦτο ἀκίνητον καὶ μένον, ὥστε τὴν πᾶσαν ἐν αὐτῷ τοῦ θεοῦ ξυλλαβεῖν φύσιν καὶ δύναμιν 98). τοῖς δὲ ποιηταῖς πολλάς τινας μορφὰς καὶ παντοδαπὰ εἴδη 99) περιλαβεῖν τῇ ποιήσει ῥᾴδιον, κινήσεις τε καὶ ἡσυχίας προστιθέντας αὐτοῖς, ὅπως ἂν ἑκάστοτε πρέπειν ἡγῶνται, καὶ ἔργα καὶ λόγους, καὶ προσέτι, οἶμαι, τὸ τῆς ἀπάτης καὶ τὸ τοῦ χρόνου 100). μιᾷ γὰρ ἐπι-

νοίᾳ

97) φανερῶν suspectum; debet esse vocabulum significans id, quod suaui, iucundo sit contrarium. opponitur enim τῷ ἡδεῖ; num φοβερῶν *horribilium?*

98) post δύναμιν videtur ἀδύνατον deesse.

99) παντοδαπὰ εἴδη] sic recte Casaubonus. Anglus, qui nescio an Casaubono sublegerit, minus placet, corrigens παντοδαπὰ δὲ εἴδη. Ven. et Mor. dant παντοδαπάς ἐπειδή.

100) τὸ τῆς ἀπάτης et τὸ τοῦ χρόνου quid sit, quod poetae suae poesi adiungant, haud intelligo.

νοίᾳ [1]) καὶ ὁρμῇ τῆς ψυχῆς ἀναχθεὶς ὁ ποιητὴς, πολύ τι πλῆθος [2]) ἐπήρυσεν· ὥσπερ ἐκ πηγῆς ὕδατος ὑπερβλύσαντος, πρὶν ἐπιλιπεῖν αὐτὸν καὶ διαῤῥυῆναι τὸ φάντασμα καὶ τὴν ἐπίνοιαν, ἣν ἔλαβε. τὸ δέ γε ἡμέτερον τῆς τέχνης ἐπίπονον καὶ βραδὺ, μόλις καὶ ὀλίγον [3]) προβαῖνον, ἅτε οἶμαι πετρώδει καὶ στερεᾷ κάμνον [4]) ὕλῃ. τὸ δὲ πάντων χαλεπώτατον, ἀνάγκη παραμένειν τῷ δημιουργῷ τὴν εἰκόνα ἐν τῇ ψυχῇ τὴν αὐτὴν αἰεὶ, μέχρις ἂν ἐκτελέσῃ τὸ ἔργον, πολλάκις καὶ πολλοῖς ἔτεσι. καὶ δὴ τὸ λεγόμενον, ὡς ἔστιν ἀκοῆς πιστότερα ὄμματα, ἀληθὲς ἴσως [5])· πολύ γε μὴν δυσπιστότερα [6]) καὶ πλείονος δεόμενα ἐνεργείας [7]). ἡ μὲν γὰρ ὄψις αὐτοῖς [8]) ὁρωμένοις ξυμβάλλει, τὴν δὲ ἀκοὴν οὐκ ἀδύνατον ἀναπτερῶσαι καὶ παραλογίσασθαι, ῥήματα εἰσπέμποντα γεγοητευμένα μέτροις καὶ ἤχοις. καὶ μὴν τά γε ἡμέτερα τῆς τέχνης [9]), ἀναγκαῖα μέτρα, πλή-

1) ἐπινοίᾳ] Anglus vult ἐπιπνοίᾳ.

2) olim conieceram πλῆθος ἐπῶν ἐπήρυσεν. neque multum abludit Anglus, quem poſtea inſpexi, πλῆθος ἐπέων ἤρυσεν corrigens.

3) f. μόλις καὶ κατ' ὀλίγον πρ. quod iam Anglus occupauit.

4) f. ἐγκάμνον, vel συγκάμνον.

5) f. ἀληθὲς μὲν ἴσως.

6) δυσπιστότερα] oculi hic dicuntur primum πιστότεροι τῆς ἀκοῆς, tum rurſus δυσπιστότεροι, quae ſibi videntur haud conſtare. ſed bene conſtant. primo loco dicuntur oculi fideliores auribus, quia certius eorum teſtimonio, quam harum, fidi poteſt, ſed rurſus difficilius oculi, quam aures, credunt; de quo tamen dubito.

7) malim ἐναργείας, perſpicuitatis, et luminis velut irradiantis. Vulgatae tamen patronum ſe fert cl. Koehlerus.

8) malim. αὐτοῖς τοῖς ὁρωμένοις. in ipſa incurrit ea, quae ſe conſpectui offerunt.

9) τά γε ἡμέτερα τῆς τέχνης] ſcil. μέτρα. dubito, praeſtetne hoc, an, quod olim conieci, τά γε τῆς ἡμετέρας τέχνης.

πλήθους τε πέρι, καὶ μεγέθους· τοῖς δὲ ποιηταῖς ἔξεστι καὶ ταῦτα ἐφ' ὁποσονοῦν αὐξῆσαι. τοιγαροῦν Ὁμήρῳ μὲν ῥᾴδιον ἐγένετο[10]) εἰπεῖν τὸ μέγεθος τῆς ἔριδος, ὅτι

Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.

ἐμοὶ δὲ ἀγαπητὸν δήπουθεν, πληρῶσαι τὴν ὑπὸ Ἠλείων ἢ Ἀθηναίων[11]) ἀποδειχθέντα τόπον. σὺ μὲν οὖν φήσεις[12]), ὦ σοφώτατε τῶν ποιητῶν Ὅμηρε, πολὺ τῇ δυνάμει τῆς ποιήσεως καὶ τῷ χρόνῳ προέχων· σχεδὸν γὰρ πρῶτος ἐπέδειξας τοῖς Ἕλλησι τῶν τε ἄλλων ἁπάντων θεῶν, καὶ δὴ τοῦ μεγίστου θεῶν, πολλὰς καὶ καλὰς εἰκόνας, τὰς μέν τινας ἡμέρους, τὰς δὲ φοβερὰς καὶ δεινάς. ὁ δὲ ἡμέτερος, εἰρηνικὸς καὶ πανταχοῦ πρᾶος· οἷος ἀστασιάστου καὶ ὁμονοούσης τῆς Ἑλλάδος ἐπίσκοπος· ὃν ἐγὼ μετὰ τῆς ἐμαυτοῦ τέχνης καὶ τῆς Ἠλείων πόλεως σοφῆς καὶ ἀγαθῆς βουλευσάμενος, ἱδρυσάμην, ἥμερον καὶ σεμνὸν ἐν ἀλύπῳ σχήματι, καὶ βίου καὶ ζωῆς, καὶ ξυμπάντων δοτῆρα τῶν ἀγαθῶν, κοινὸν ἀνθρώπων καὶ πατέρα, καὶ σωτῆρα καὶ φύλακα, ὡς δυνατὸν ἦν θνητῷ διανοηθέντι, μιμήσασθαι τὴν θείαν καὶ ἀμήχανον ψυχήν. σκόπει δέ, εἰ μὴ πάσαις ταῖς ἐπωνυμίαις, ταῖς τοῦ θεοῦ πρέπουσαν εὑρήσεις τὴν εἰκόνα; Ζεὺς γὰρ μόνος θεῶν πατὴρ καὶ βασιλεὺς εἷς ὀνομάζεται, πολιεύς τε[13]) καὶ φίλιος

καὶ

10) v. Luciani Contemplantes c. 4. p. 495, 8. ed. Wetsten.

11) de Phidiae Minerua in arce Athenis collocata, quis est, qui ignoret?

12) f. σὺ μὲν ἂν νικᾷν φήσεις. *aies tu quidem vincere*, ideo quod nobis et arte poetica, et vetustate temporis, praestes, aut alias participium προέχων cum infinitiuo προέχειν est mutandum.

13) post πολιεύς τε videtur ὁμόγνιος excidisse. id quod e p. 413. 6. colligitur. pari modo verosimile fit, versum 1. p. 413. e versu 11. sqq. ita esse integrandum: καὶ φύξιος, καὶ ξένιος, καὶ κτήσιος, καὶ ἐπικάρπιος.

καὶ ἑταιρεῖος, πρὸς δὲ αὐτοῖς, ἱκέσιός τε καὶ ξένιος, καὶ ἐπικάρπιος, καὶ μυρίας ἄλλας ἐπικλήσεις [14]) ἔχων, πάσας ἀγαθάς· βασιλεὺς μὲν κατὰ τὴν ἀρχὴν καὶ δύναμιν ὠνομασμένος· πατὴρ δὲ, οἶμαι, διά τε κηδεμονίαν, καὶ τὸ πρᾶον· πολιεὺς δὲ, κατὰ τὸν νόμον [5]) καὶ τὸ κοινὸν ὄφελος· ὁμόγνιος δὲ, διὰ τὴν τοῦ γένους κοινωνίαν θεοῖς καὶ ἀνθρώποις· φίλιος δὲ καὶ ἑταιρεῖος, ὅτι πάντας ἀνθρώπους ξυνάγει καὶ βούλεται φίλους εἶναι ἀλλήλοις, ἐχθρὸν δὲ ἢ πολέμιον, οὐδένα οὐδενός· ἱκέσιος δὲ, ὡς ἂν ἐπήκοός τε καὶ ἵλεως [6]) τοῖς δεομένοις· φύξιος δὲ, διὰ τὴν τῶν κακῶν ἀπόφυξιν· ξένιος δὲ, ὅτι δεῖ μηδὲ τῶν ξένων ἀμελεῖν, μηδὲ ἀλλότριον ἡγεῖσθαι ἀνθρώπων μηδένα· κτήσιος δὲ καὶ ἐπικάρπιος, ἅτε τῶν καρπῶν αἴτιος, καὶ δοτὴρ πλούτου καὶ δυνάμεως· ὅσου οὐδὲ ἐπιδεῖξαι ταῦτα μὴ φθεγγόμενον [17]). ἆρα οὐχ ἱκανῶς ἔχει κατὰ τὴν τέχνην; τὴν μὲν γὰρ ἀρχὴν καὶ τὸν βασιλέα βούλεται δηλοῦν, τὸ ἰσχυρὸν τοῦ εἴδους, καὶ τὸ μεγαλοπρεπές· τὸν δὲ πατέρα

καὶ

14) post ἐπικλήσεις deesse videtur φαίνεται, aut pro ἔχων leg. est ἔχει.

15) recte Veneta τὸν νόμον. sed deinde quoque leg. τὸ κοινὸν, et nescio, an post πολιεὺς δὲ etiam addendum sit καὶ νόμιος. Mor. dat τὸ νόμον et τὸν κοινόν.

16) verba καὶ ἵλεως a texto Venetae absunt, sed varietas lectionis ea refert.

17) ὅσου οὐδὲ — φθεγγόμενον] Apparet verba corrupta et mutila esse. neque multum iuuat, in Veneta post οὐδὲ adhuc ἦν legi. sententia satis est perspicua, sed verba ipsa haud reperio. sententia haec est: ὅτου δὲ ἦν ἄγαλμα ἐπιδεῖξαι πάντα ταῦτα δηλοῦν, μὴ φθεγγόμενον. ἆρα οὐχ ἱκανῶς ἔχει κατὰ τὴν τέχνην; *cuius itaque fuit ostendere* (h. e. qui artifex potuit repraesentare, exhibere) *simulacrum, quod cum non loquatur, tamen ista omnia vultu atque habitu ipso significet; ille artifex*, (aut *illud simulacrum*) *necesse est, vt sic satis sit ad artis rationem probabilis* (aut *probabile.*)

καὶ τὴν κηδεμονίαν, τὸ πρᾶον καὶ προσφιλές· τὸν δὲ πολιέα καὶ νόμιμον 18), ἥ τε σεμνότης καὶ τὸ αὐστηρόν· τὴν δὲ ἀνθρώπων καὶ θεῶν ξυγγένειαν, αὐτό που τὸ τῆς μορφῆς ὅμοιον, ἐν εἴδει συμβόλου· τὸν δὲ φίλιον καὶ ἱκέσιον, καὶ ξένιον καὶ φύξιον, καὶ πάντα τὰ τοιαῦτα ἁπλῶς· φιλανθρωπία καὶ τὸ πρᾶον καὶ τὸ χρηστὸν ἐμφαινόμενον. προσομοιοῖ δὲ τὸν κτήσιον καὶ τὸν ἐπικάρπιον, ἥ τε ἁπλότης καὶ ἡ μεγαλοφροσύνη, δηλουμένη διὰ τῆς μορφῆς· ἀτεχνῶς γὰρ διδόντι καὶ χαριζομένῳ μάλιστα προσέοικε τἀγαθά. ταῦτα μὲν οὖν, ὡς οἷόν τε ἦν, ἐμιμησάμην, ἅτε οὐκ ἔχων ὀνομάσαι· συνεχῶς δὲ ἀστράπτοντα 19) ἐπὶ πολέμῳ καὶ φθορᾷ πλήθους, ἢ ὄμβρων ὑπερβολήν, χαλάζης 20) ἢ χιόνος· ἢ τανύοντα κυανῆν ἶριν, καὶ 21) τοῦ πολέμου ξύμβολον, ἢ ἀστέρα πέμποντα ξυνεχεῖς σπινθῆρας· ἢ ἐπιβάλλοντα δεινὸν τέρας ναύταις, ἢ στρατιώτῃ ἐπιπέμποντα ἔριν ἀργαλέαν 22)· Ἕλλησι καὶ βαρβάροις ἔρωτα ἐμβάλλει πολέμου καὶ μάχης ἄπαυστον, κάμνουσιν ἀνθρώποις καὶ ἀπειρηκόσιν· οὐδέ γε ἱστάντα ἐπὶ πλάστιγγος ἀνθρώπων ἢ ἡμιθέων κῆρας, ἢ στρατοπέ-

δων

18) νόμιμον] imo vero νόμιον. *praesidem, tutorem, vindicem legum.*

19) ἀστράπτοντα etc.] hi omnes accusatiui redeunt ad verbum οὐκ ἦν διὰ τῆς τέχνης μιμήσασθαι p. 415, v. 1.

20) f. ἢ ὄμβρων ὑπερβολὴν ἐφιέντα, ἢ χαλάζης — aut *immanes immittentem imbres grandinesue.*

21) καὶ ex hoc versu in inferiorem deducam: ἶριν, τοῦ πολέμου σύμβολον, ἢ ἀστέρα πέμποντα καὶ συνεχεῖς σπινθῆρας. aut extendentem cyaneam irin, belli nunciam et indicem, aut stellam immittentem et continentes scintillas (figura est ἓν διὰ δυοῖν dicta) h. e. stellam iugiter scintillas spargentem.

22) post ἀργαλέαν desideratur ἥ. quae *Eris*, vel *Discordia.*

δων ὅλων [23]), αὐτομάτῳ ῥοπῇ κρινομένας. οὐκ ἦν διὰ τῆς τέχνης μιμεῖσθαι· οὐ μὴν οὐδὲ, παρὸν, ἠθέλησα ἄν ποτε. βροντῆς γὰρ εἴδωλον ἄφθογγον, ἢ ἀστραπῆς, ἢ κεραυνοῦ εἴκασμα ἀλαμπὲς, ἐκ τῶν τῇδε ἐπιγείων μεταλλευμάτων, ποῖον ἄν τι καὶ γένοιτο; ἔτι δὲ γῆν σειομένην καὶ κινούμενον Ὄλυμπον ὑπὸ νεύματι βραχεῖ τῶν ὀφρύων, ἢ τινα νέφους περὶ τῇ κεφαλῇ στέφανον· Ὁμήρῳ μὲν εἰπεῖν εὐμαρὲς, καὶ πολλὴ πρὸς τὰ τοιαῦτα ἅπαντα ἐλευθερία. τῇ δέ γε ἡμετέρᾳ τέχνῃ παντελῶς ἄπορον, ἐγγύθεν ἐχούσῃ καὶ σαφῆ τὸν ἔλεγχον τῆς ὄψεως. εἰ δ' αὖ τὸ τῆς ὕλης ἀσημότερον ἡγεῖταί τις, ἢ κατὰ τὴν ἀξίαν τοῦ θεοῦ, τοῦτο μὲν ἀληθές τε καὶ ὀρθόν· ἀλλ' οὔτε τοὺς δόντας, οὐδὲ τὸν ἑλόμενον καὶ δοκιμάσαντα, ἐν δίκῃ μέμφοιτ' ἄν. οὐ γὰρ ἦν ἑτέρα φύσις ἀμείνων, οὐδὲ λαμπροτέρα πρὸς ὄψιν, ἣν δυνατὸν ἐς χεῖρας ἀνθρώπων ἀφικέσθαι καὶ μεταλαβεῖν δημιουργίας. ἀέρα γὰρ ἢ πῦρ ἐργάσασθαι [24]), καὶ τὴν ἄφθονον πηγὴν

23) *ἀνθρώπων ἢ* [vel *καὶ*] *ἡμιθέων κῆρας, ἢ στρατοπέδων ὅλων* [scil. *κῆρας*, aut si mauis *τύχας* addi, adde.]

24) Non male hoc de loco meritus est Anglus, cuius inventa quaedam vertentes in rem nostram, nostraque visa addentes, locum sic constituemus: *ἀέρα γὰρ ἢ πῦρ* [vel *ἀέρα τε γὰρ καὶ πῦρ*] *ἐργάσασθαι* *aërem enim et ignem efficere, iugiterque manantem aquarum fontem, per mortalia quaedam instrumenta, item illud elementum, quod in omnibus illis pro solido quodam fundamento est: non auri dico, neque saxi, sed vniuersam tenacem atque grauem materiam οὐσίαν* (vt recte obseruauit Anglus, non *οὖσαν*) *et ita quidem, vt, qui ista omnia faciat, cum seorsim vnumquodque dispescat, tum rursus in vnum commisceat veluti cinnum genus quodque animantiumque vegetantiumque: hoc vero οὐδὲ θεοῖς πᾶσι δυνατὸν ne diis quidem omnibus licet, ἀλλ' ἢ μόνῳ τούτῳ σχεδὸν, ὃν πάνυ καλῶς — sed illi soli fere datum est, quem alius quidam poeta* [praeter poetam sic excellenter dictum, Homerum; videtur ille Pindarus esse] *sic perquam praeclare allocutus est.*

πηγὴν ὕδατος, ἔν τισι θνητοῖς ὀργάνοις; ὅσον τε ἐν ἅπασι τούτοις στερεὸν ἔργμα; λέγω δὲ οὐ χρυσοῦ καὶ λίθου, ταῦτα μὲν γὰρ μικρὰ καὶ φαῦλα, ἀλλὰ τὴν πᾶσαν ἰσχυρὰν καὶ βαρεῖαν οὐσίαν, ἰδίᾳ τε ἕκαστον διακρίνοντα, καὶ ἐμπλέκοντα εἰς ταυτὸ γένος ζώων καὶ φυτῶν· οὐδὲ θεοῖς πᾶσι δυνατὸν, ἢ μόνῳ τούτῳ σχεδὸν, ὃν πάνυ καλῶς ποιητὴς προσεῖπεν ἕτερος·

Δωδωναῖε μεγασθενὲς,
Ἀριστότεχνα πάτερ.

οὗτος γὰρ δὴ πρῶτος καὶ τελειότατος δημιουργὸς, χορηγὸν λαβὼν τῆς αὑτοῦ τέχνης, οὐ τὴν Ἠλείων πόλιν, ἀλλὰ τὴν πᾶσαν τοῦ παντὸς ὕλην. Φειδίαν δὲ, ἢ Πολύκλειτον, οὐκ ἂν εἰκότως 25) ἀπαιτοῖτε πλέον οὐδέν· ἀλλὰ καὶ ταῦτα μείζω καὶ σεμνότερα τῆς ἡμετέρας χειρωναξίας. οὐδὲ γὰρ τὸν Ἥφαιστον Ὅμηρος ἐν τοῖς ἄλλοις πεποίηκεν ἐπιδεικνύμενον τὴν ἐμπειρίαν, ἀλλὰ τεχνίτην μὲν θεὸν εὐπόρησεν ἐπὶ τὸ τῆς ἀσπίδος ἔργον, ὕλην δὲ ἑτέραν οὐκ ἐφίκετο εὑρεῖν. Φησὶ γὰρ οὕτω·

Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
Καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον.

ἀνθρώπων μὲν οὖν ἔγωγε οὐδενὶ παραχωρήσαιμι, κρείττονα ἐμοῦ ποτὲ γενέσθαι περὶ τὴν τέχνην, αὐτῷ δὲ τῷ Διῒ, δημιουργοῦντι τὸν ἅπαντα κόσμον 25b), οὐ χρὴ ξυμβάλλειν οὐδένα θνητόν. ταῦτα οὖν εἰπόντα καὶ ἀπολογησάμενον τὸν Φειδίαν εἰκότως ἐμοὶ δοκοῦσιν οἱ Ἕλληνες στεφανῶσαι ἄν. ἴσως δὲ τοὺς πολλοὺς λέλη-

θεν

est. ἔργμα est res omnis, aliam veluti vinculis quibusdam continens atque constringens custodiensque, ne dilabatur neu pereat. Ven. et Mor. dant ἀρά τε ἢ πῦρ — οὖσαν — οὐ δὴ θεοῖς — μόνον τοῦτο σχεδὸν, ὃ πάνυ. et margo Mor. ἔρμα.

25) εἰκότως] sic recte Veneta. εἰκότων Morell.

25b) Ven. et margo Mor. dant χρόνον.

θεν ὁ λόγος, ὑπὲρ ὧν γέγονε. καὶ μάλα 26), ἐμοὶ δοκεῖ 27), φιλοσόφοις γε ἁρμόζον, ἢ πλήθει, ἀκοῦσαι. περί τε ἀγαλμάτων ἱδρύσεως, ὅπως ἄμεινον ἢ χεῖρον διανοοῦνται περὶ τῶν θεῶν· ἔτι δὲ, περί τε 28) πρώτης ἐπινοίας θεῶν, ποία τις καὶ τίνα τρόπον ἐν τοῖς ἀνθρώποις ἐγένετο; πολλὰ δὲ, οἶμαι, καὶ περὶ δυνάμεως ἐῤῥήθη τοῦ Διὸς καὶ τῶν ἐπωνυμιῶν 29). εἰ δὲ μετ' εὐφημίας τοῦ γε 30) ἀγάλματος καὶ τῶν ἱδρυσαμένων, πολὺ ἄμεινον. τῷ γὰρ ὄντι τοιοῦτος 31) ἡμῖν προσορᾶν ἔοικε, πάνυ εὔνους καὶ κηδόμενος, ὥς ἔμοιγε μικροῦ φθέγγεσθαι δοκεῖ. τάδε μὲν οὗτος 32). Ἠλεῖοι δὲ καὶ ἡ ξύμπασα Ἑλλὰς καλῶς καὶ προσηκόντως ἐπιτελεῖ, θυσίας τε θύουσα ἐκ τῶν παρόν-

των

26) malim μᾶλλον. mirum negat esse, orationis suae si plerisque finis obscurus sit. videri enim eam sibi, conuenire philosophis magis, quam plebeculae, vt eam audiant.

27) melius dat Veneta δοκεῖν. *quod mihi quidem videtur.* sed ne sic quidem expedita videntur omnia. melius procederet oratio ad hunc modum: *Videtur*, ait, *fugere vulgares homines, quo haec pertineat disputatio.* καὶ μάλα εἰκότως. *neque id mirum, sed vel maxime consentaneum est.* μᾶλλον, (ἐμοὶ δοκεῖν) φιλοσόφοις γε ἁρμόζον, ἢ πλήθει, ἀκοῦσαι περί τε ἀγ. *cum, mea quidem sententia, philosophis magis, quam plebeculae, conueniat audire disputantem de simulacrorum dedicationibus* — ἁρμόζον est participium simile illis, ἐξὸν, δέον, παρὸν, παρέχον — Ven. et Mor. dant ἁρμόζων, et margo Mor. ἁρμόττων.

28) τε] malim τῆς.

29) lectio marg. Morell. κατὰ τὰς ἐπωνυμίας affertur etiam in var. lect. Venetae.

30) γε] malim τε.

31) τοιοῦτος] scil. *Iupiter.*

32) οὗτος] sic recte Veneta, scil. *Iupiter*: et sic quidem Iupiter, scil. agit, aut patitur. haec est ratio Iouis. haec de eo possunt praedicari. referuntur haec ad ista τοῦ τε ἀγάλματος καὶ τῶν ἱδρυσαμένων. De simulacro hactenus; iam de Eleis, qui id dedicarant. Morell. dat οὕτως.

τῶν μεγαλοπρεπεῖς, καὶ δὴ τὸν 33) εὐκλεέστατον ἀγῶνα τιθεῖσα ἀπ' ἀρχῆς, εὐεξίας, καὶ ῥώμης καὶ τάχους· ὅσα τε ἑορτῶν καὶ μυστηρίων ἔθη λαβοῦσα διαφυλάττει. ἀλλὰ ἐκεῖνο 34) φροντίζων σκοπῶ, ὅτι

Αὐτόν σ' οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας
Λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, καὶ ἀεικέα ἕσσαι 35).

33) f. καὶ δὴ καὶ τὸν εὐκλ.
34) f. ἐκεῖνό γε φροντίζων σκοπῶ. Verum enim vero cogitanti mihi occurrunt iſta homerica αὐτόν σ' οὐκ ἀγαθὴ — vt verear, ne ſit, qui haec ipſa diſputanti mihi exprobret ſordes veſtitus et deformitatem vniuerſi habitus mei. ἐκεῖνο margo Mor. ſed textum et Ven. ἐκεῖνος.
35) Veneta dat: σκοπῶ, ὅτι αὐτήν γε οὐκ ἀγαθὴ — αὐχμεῖν τε κακῶς. καὶ ἀεὶ καὶ * ἀεε.

ΕΝ ΑΘΗΝΑΙΣ, ΠΕΡΙ ΦΥΓΗΣ.

ΛΟΓΟΣ ΙΓ'.

Ὅτε φεύγειν συνέβη με 1) φιλίας ἕνεκεν λεγομένης ἀνδρὸς οὐ πονηροῦ, τῶν δὲ τότε εὐδαιμόνων τε καὶ ἀρχόντων ἐγγύτατα ὄντος· διὰ ταῦτα δὲ καὶ ἀποθανόντος, δι' ἃ πολλοῖς καὶ σχεδὸν πᾶσιν ἐδόκει μακάριος, διὰ τὴν ἐκείνων οἰκειότητα καὶ ξυγγένειαν, ταύτης ἐνεχθείσης ἐπ' ἐμὲ τῆς αἰτίας, ὡς δὴ τἀνδρὶ φίλον ὄντα καὶ ξύμβουλον· ἔθος γάρ τι τοῦτό ἐστι τῶν τυράννων, ὥσπερ ἐν Σκύθαις τοῖς βασιλεῦσι συνθάπτειν οἰνοχόους, καὶ μαγείρους καὶ παλλακάς· οὕτω τοῖς ὑπ' αὐτῶν ἀποθνήσκουσιν ἑταίρους προστιθέναι πλείους, ἀπ' οὐδεμιᾶς αἰτίας. τότε δ' οὖν, ἐπεὶ με φεύγειν ἔδοξεν 2), ἐσκόπουν, πότερον ὄντως χα-

λεπὸν

1) ὅτε φεύγειν συνέβη με] apodoſis eſt in verbis n. 2 τότε δ' οὖν ἐπεί με φεύγειν ἔδοξε.

λεπόν τι καὶ δυστυχὲς εἴη τὸ τῆς φυγῆς, κατὰ τὴν τῶν πολλῶν δόξαν· ἢ πάντα τὰ τοιαῦτα ἕτερον πέπονθεν, ὁποῖον λεγόμενόν ἐστι[3]) περὶ τὴν μαντείαν τὴν τῶν γυναικῶν ἐν τοῖς ἱεροῖς[4]). ἐκεῖναι γὰρ βῶλόν[5]) τινα ἢ λίθον ἐπαίρουσαι, σκοποῦσιν ἐν τούτῳ περὶ τοῦ πράγματος, ὃ πυνθάνονται. καὶ δὴ ταῖς μὲν αὐτῶν φασι γίγνεσθαι κοῦφον, ταῖς δὲ βαρὺν, ὡς μηδὲ κινῆσαι δύνασθαι ῥαδίως. μὴ ἄρα καὶ τὸ φεύγειν, καὶ τὸ πένεσθαι, καὶ γῆρας δὴ καὶ νόσος καὶ πάντα τὰ τοιαῦτα[6]), τοῖς μὲν βαρέα φανεῖται καὶ χαλεπὰ, τοῖς δ᾽ ἐλαφρά τε καὶ εὔκολα; ἐκεῖ μὲν ἴσως, κατὰ τὴν τοῦ πράγματος διαφορὰν, ἐλαφρύνοντος[7]) τοῦ δαιμονίου τὸ βάρος· ἐνταῦθα δὲ, οἶμαι, πρὸς τὴν τοῦ χρωμένου δύναμιν καὶ γνώμην· καὶ δὴ ἀνεμιμνησκόμην Ὀδυσσέος τε παρ᾽ Ὁμήρῳ[8]), κατοδυρομένου πολλάκις αὐτὸν, ἀνδρὸς Ἥρωος οὐδαμῶς τε ἀδυνάτου καρτερεῖν πολλά· ὅμως ἀνάξια λέγοντος καὶ θρηνοῦντος ἑκάστοτε παρὰ τῇ θαλάττῃ, διὰ πόθον τῆς πατρίδος. τέλος δὲ, ὡς φησιν ὁ ποιη-

3) variis modis potest hic locus sanari, aut legendo ἕτερόν τι πέπονθεν, — aut οὐχ ἕτερόν τι πέπονθεν, ἢ τὸ λεγ. aut denique ἕτερον πέπονθεν ὅμοιον τῷ λεγομένῳ περὶ τήν.

4) f. ἐν τοῖς Ἀπόλλωνος ἱεροῖς. non enim aliis in templis, quam Apollinis, id fiebat.

5) βῶλον] coniecturam hanc meam confirmatam vidi ab Henr. Valesio p. 53. βωμὸν Ven. et Mor.

6) πάντα τὰ τοιαῦτα] sic Veneta, Morell. omittit τά.

7) ἐλαφρύνοντος] sic recte Veneta. *ideo quod deus, ibi quidem*, in exemplo mulierum per saxa et glebas sortes tentantium, *rem sublatam, pro re nata alleuaret* magis minusue, *hic autem*, in causa hominum aduersis oppressorum, calamitatem magis minusue *alleuaret, pro cuiusque sinistra fortuna vtentis mente atque facultate.* Morell. dat ἠλαφρύνετο. nescio tamen, an post ἐλαφρύνοντος τοῦ δαιμονίου desint verba ἢ βαρύνοντος. *allevet aut gravet.*

8) παρ᾽ ὁμήρῳ] παρ᾽ ὁμήρου Ven. et Mor.

ὁ ποιητὴς, ἐπεθύμει καπνὸν ἰδεῖν ἀπὸ τῆς αὐτοῦ γῆς ἀνιέντα 9), εἰ καὶ δέοι παραχρῆμα ἀποθνήσκειν. καὶ οὔτε τὰ πρότερον ἔργα παρεμυθεῖτο αὐτὸν, οὔτε θεὸς καλὴ καὶ ἀγαθὴ, περὶ πολλοῦ ποιουμένη, ὥστε ὑποσχέσθαι ποιήσειν αὐτὸν ἀθάνατον· ἀλλὰ πάντων τούτων κατίσχυεν ὁ τῆς πατρίδος πόθος τε καὶ ἔρως. πάλιν δ' αὖ παρ' ἑτέρῳ ποιητῇ τῶν ὕστερον 10), τὴν Ἠλέκτραν πυνθανομένην ὑπὲρ τοῦ ἀδελφοῦ λυπηρῶς, καὶ ἐλεοῦσαν αὐτὸν τῆς φυγῆς, οὕτω πως ἐρωτῶσαν·

Ποῦ γῆς ὁ τλήμων τλήμονας φυγὰς ἔχει;

καὶ τὸν οὐχ ἧττον ἐλεεινῶς ἀποκρινάμενον·

Οὐχ ἕνα νομίζων φθείρεται πόλεως τόπον.

τὴν δὲ αὖθις ἐρωτῶσαν·

Ἦπου σπανίζει τοῦ καθ' ἡμέραν βίου;

κἀκεῖνον οὕτω λέγοντα·

Ἔχει μὲν, ἀσθενῆ δὲ, ἅτε φεύγων ἀνήρ.

πρὸς δὴ τούτοις, μυρία δὴ τολμηθέντα τολμήματα, καὶ πολέμους πολεμηθέντας ὑπὸ φυγάδων, ὅπως οἴκαδε κατέλθοιεν, πρὸς δὲ 11) τοὺς δήμους καὶ τοὺς τυράννους τοὺς ἐξελάσαντας, παρὰ δύναμιν 12), μέγα νομίζοντας, εἰ καὶ δέοι, τελευτᾷν μαχομένους

ἐν

9) poſſit ἀνιέντα, ſi quis contendat pertinacius, defendi, ſubaudiendo ἑαυτόν. malim tamen ἀνιόντα, vt planius et vſitatius.

10) poſt ὕστερον videtur ἑώρων vel tale quid deeſſe.

11) δὲ] lege τε. *bella geſta aduerſus populosque tyrannosque, a quibus exterminati eſſent.*

12) παρὰ δύναμιν] ſi nihil hic deeſt, referenda haec ſunt ad τολμηθέντα et πολεμηθέντας. ſed tum νομιζόντων item ſit legendum, ob praemiſſum φυγάδων. ſuſpicor tamen pauca quaedam excidiſſe poſt ἐξελάσαντας, e. c. ad hunc modum: ὥστε καὶ πολλοὺς αὐτῶν τοὺς μεγίστους ὑποστῆναι κινδύνους παρὰ δύναμιν, μέγα νομίζοντας, εἰ καὶ δέοι, τελευτᾷν μαχομένους.

ἐν τῇ αὐτῶν γῇ· σύμπαντα ταῦτά με ἠνάγκαζε καὶ ἐξέπληττε, δεινὸν ἡγεῖσθαι καὶ βαρὺ τὸ συμβεβηκός. ἐπεὶ δὲ ἐνεθυμούμην, ὅτι Κροίσῳ, τῷ Λυδῶν βασιλεῖ, συνεβούλευσεν ὁ Ἀπόλλων, συμβάντος τινός, φεύγειν ἑκόντα καταλιπόντα τὴν ἀρχὴν, καὶ μηδὲν αἰσχύνεσθαι τούτου ἕνεκεν, εἰ δόξει κακὸς εἶναι τοῖς ἀνθρώποις, οὕτω πως θεσπίσας·

Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
Καὶ τότε, Λυδὲ ποδαβρὲ, πολυψηφῖδα παρ' Ἕρμον
Φεύγειν, μηδὲ μένειν·
μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

δηλονότι τὴν αἰδῶ νῦν ἀντὶ τῆς αἰσχύνης ὀνομάζων, ὥστε ἔθος ἐστὶ τοῖς ποιηταῖς, καὶ τὸ κακὸν εἶναι, ἀντὶ τῆς δόξης παρὰ τοῖς πολλοῖς [13]. ἐκ δὲ [14]) τούτου ἐνεθυμούμην, ὅτι οὐ πάντως ἡ φυγὴ βλαβερὸν, οὐδὲ ἀσύμφορον, οὐδὲ τὸ μένειν ἀγαθὸν καὶ πολλοῦ ἄξιον. οὐ γὰρ ἂν τὸ μὲν [15]) αὐτῶν παρῄνει καὶ συνεβούλευεν ὁ Ἀπόλλων φεύγειν, τὸ δὲ μένειν ἄντικρυς ἀπηγόρευε, καὶ ταῦτα ἀνδρὶ θεσπίζων, ὃς ἦν ἐπιμελέστατος περὶ τὸ θεῖον, καὶ θυσίας τε πλείστας ἔθυε, καὶ μέγιστα ἀναθήματα ἐπεπόμφει, τῶν πώποτε ἀναθέντων εἰς Δελφούς. ταῦτα ἐνθυμουμένῳ μοι ἔδοξε καὶ αὐτὸν εἰς θεοῦ βαδίσαντα, χρήσασθαι συμβούλῳ ἱκανῷ, κατὰ τὸ παλαιὸν ἔθος τῶν Ἑλλήνων. οὐ γὰρ περὶ νόσου μὲν καὶ ἀπαιδίας [16]), εἴ τῳ μὴ γί-

13) ἀντὶ τῆς — πολλοῖς] id eſt ἀντὶ τοῦ κακὸς δοκεῖν τοῖς πολλοῖς.

14) perinde eſt δὲ ſerues, an δὴ adſciſcas. illo modo erit δὲ repetitio illius δὲ, quod verſ. 3. legitur. mihi nil movendum h. l. videtur.

15) τὸ μὲν — τὸ δὲ] τῷ μὲν — τῷ δὲ Morell. et Ven.

16) ἀπαιδίας] quia vocabulum ἀπαιδία etiam poterat pro genere vitae morumque illiberali et feroci haberi, ideo addit, quo ſignificatu hoc loco vocabulum id vſurpet, acceptumque velit, ſcil. εἴ τῳ παῖδες μὴ γίγνοιντο: ne quis haec verba pro ſcholio habeat.

γνοιντο παῖδες, καὶ περὶ καρπῶν ἱκανῶς συμβουλεύειν αὐτὸν [17]), περὶ δὲ τοιούτου πράγματος ἧττον δυνήσεσθαι. καὶ δὴ χρωμένῳ μοι ἀνεῖλεν ἄτοπόν τινα χρησμὸν, καὶ οὐ ῥάδιον συμβαλεῖν. ἐκέλευε γάρ με αὐτὸ τοῦτο πράττειν, ἐν ᾧ εἰμὶ, πάσῃ προθυμίᾳ, ὡς καλήν τινα καὶ συμφέρουσαν πρᾶξιν· ἕως ἂν, ἔφη, ἐπὶ τὸ ὕστατον ἀπέλθῃς τῆς γῆς. καίτοι χαλεπὸν καὶ κατ' ἀνθρώπους ψεύδεσθαι, μὴ ὅτι κατὰ θεόν [18]). ἐλογισάμην οὖν, ὅτι [19]) ὁ μὲν Ὀδυσσεὺς μετὰ τοσούτους πλάνους οὐκ ὤκνησεν ἀλᾶσθαι πάλιν κώπην φέρων, Τειρεσίου συμβουλεύσαντος, ἀνδρὸς τεθνηκότος, μέχρις ἂν ἀνθρώποις συμβάλῃ, μηδὲ ἀκοῇ γιγνώσκουσι θάλασσαν· ἐμοὶ δὲ οὐ ποιητέον τοῦτο [20]), τοῦ θεοῦ κελεύοντος; οὕτω δὴ παρακελευσάμενος ἐμαυτῷ, μήτε δεδιέναι, μήτε αἰσχύνεσθαι τὸ πρᾶγμα, στολήν τε ταπεινὴν ἀναλαβὼν, καὶ τἄλλα κολάσας ἐμαυτὸν, ἠλώμην πανταχοῦ. οἱ δὲ ἐντυγχάνοντες ἄνθρωποι ὁρῶντες, οἱ μὲν ἀλήτην, οἱ δὲ πτωχὸν ἐκάλουν, οἱ δέ τινες καὶ φιλόσοφον. ἐντεῦθεν ἐμοὶ συνέβη, κατ'

ὀλί-

17) συμβουλεύειν αὐτὸν] ſcil. ᾤμην, vel ἐνόμιζον, vel tale quid; eſt enim oratio obliqua.

18) ἀνθρώπους — θεὸν] ſic recte Veneta et codex regius. vnde colligitur, Dionem ſic dediſſe: καίτοι χαλεπὸν καὶ ἀνθρώπους ψεύδεσθαι, μὴ ὅτι γε θεόν. *atqui durum et turpe eſt, homines mentiri, nedum vt deus mentiatur.* Inferre vult, cum Apollo, qui deus ſit, exſilium tamen vt rem bonam commendarit, fieri non poſſe, vt exſilium malum quid ſit; quandoquidem deus mentiri nequeat. ψεύδεσθαι κατά τινος eſt falſa de aliquo perhibere, quaſi egerit dixeritue, quae ille nunquam egiſſet dixiſſetue, quae ſententia ab hoc loco eſt aliena. Morell. dat ἀνθρώπου — θεοῦ.

19) ὅτι redundat h. l. nam ab ὁ μὲν incipit ſoliloquium Dionis ſecum.

20) ἐμοὶ δ' οὐ ποιητέον τοῦτο] *mibi vero hoc minus ſit faciendum?* eſt interrogatio recuſationis, indignationis, faſtidii plena.

ὀλίγον τε καὶ οὐ βουλευσάμενον [21]) αὐτὸν, οὐδὲ ἐφ' ἑαυτῷ μέγα φρονήσαντα, τούτου τοῦ ὀνόματος τυχεῖν. οἱ μὲν γὰρ πολλοὶ τῶν καλουμένων φιλοσόφων αὐτοὺς ἀνακηρύττουσιν, ὥσπερ οἱ Ὀλυμπιάσι κήρυκες· ἐγὼ δὲ, τῶν ἄλλων λεγόντων, οὐκ ἐδυνάμην ἀεὶ καὶ πᾶσι διαμάχεσθαι. τυχὸν δέ τι καὶ ἀπολαῦσαι τῆς φήμης συνέβη μοι. πολλοὶ γὰρ ἠρώτων προσιόντες, ὅτι φαίνοιτο, ἀγαθὸν [22]) ἢ κακόν; ὥστε ἠναγκαζόμην φροντίζειν ὑπὲρ τούτων, ἵνα ἔχοιμι ἀποκρίνεσθαι τοῖς ἐρωτῶσι. πάλιν δὲ ἐκέλευον λέγειν, μεταστάντα [23]) εἰς τὸ κοινόν. οὐκοῦν καὶ τοῦτο ἀναγκαῖον ἐγίγνετο λέγειν περὶ τῶν προσηκόντων τοῖς ἀνθρώποις, καὶ ἀφ' ὧν ἔμελλον ὀνίνεσθαι, τὰ ἐμοὶ φαινόμενα. ἐδόκουν δέ μοι πάντες ἄφρονες, ὡς ἔπος εἰπεῖν, καὶ οὐδεὶς οὐδὲν, ὧν ἔδει, πράττειν, οὐδὲ σκοπεῖν, ὅπως, ἀπαλλαγεὶς τῶν παρόντων κακῶν καὶ πολλῆς [24]) ἀμαθίας καὶ ταραχῆς, ἐπιεικέστερον βιώσηται καὶ ἄμεινον. κυκώμενοι δὲ καὶ φερόμενοι πάντες ἐν ταυτῷ, καὶ περὶ τὰ αὐτὰ σχεδὸν, περί τε χρήματα καὶ δόξας καὶ σωμάτων τινὰς ἡδονὰς, οὐδεὶς ἀπαλλαγῆναι [25]) τούτων δυνάμενος,

21) βουλευσάμενον dubito damnem, an absoluam. sed hoc malo, quia βουλεύεσθαι saepissime pro βούλεσθαι occurrit vsurpatum.

22) ὅτι φαίνοιτο, ἀγαθὸν] tollendum esse comma, et ὅτι in duo vocabula ὅ τι dispescendum, dubio vacat. sed sententia loci dubia est; vel potius satis de ea constat. possint tamen verba ambigue accipi; nam possint etiam hoc significare: interrogabat me quisque accedens, quod ipse vellet, siue bonum et probabile id esset, quod interrogaret, siue malum et contemnendum. Verum tamen e nexu totius loci constat, hanc verbis inesse sententiam: *interrogabant me, quidnam mihi bonum, quidnam secus esse videretur.* Est ergo idem, ac si dixisset: ὅ, τι μοι φαίνοιτο εἶναι ἀγαθὸν ἢ κακόν.

23) fort. λέγειν με καταστάντα — *hortabantur me, vt in medium progressus disputarem.*

24) imo vero καὶ τῆς πολλῆς.

25) malim οὐδεὶς δ' ἀπαλλαγῆναι.

μενος, οὐδὲ ἐλευθερῶσαι τὴν ἑαυτοῦ ψυχήν· καθάπερ, οἶμαι, τὰ ἐμπεσόντα εἰς τὰς δίνας, εἰλούμενα καὶ περιστρεφόμενα, καὶ οὐχ οἷά τε [26]) γινόμενα ἀπαλλαγῆναι τῆς δινήσεως. ταῦτα καὶ τοιαῦτα [27]) τούς τε ἄλλους ἅπαντας, καὶ μάλιστα καὶ πρῶτον ἐμαυτὸν καταμεμφόμενος. ἐνίοτε δὲ ὑπὸ ἀπορίας ἐφερόμην [27 b.]) ἐπί τινα λόγον ἀρχαῖον, λεγόμενον ὑπό τινος Σωκράτους, ὃν οὐδέποτε ἐκεῖνος ἐπαύσατο λέγων· πανταχοῦ δὲ [28]) καὶ πρὸς ἅπαντας βοῶν καὶ διατεινόμενος ἐν ταῖς παλαίστραις, καὶ ἐν τῷ Λυκείῳ, καὶ ἐπὶ τῶν δικαστηρίων [29]), καὶ κατ᾽ ἀγοράν, ὥσπερ ἀπὸ μηχανῆς θεὸς [30]), ὡς ἔφη τις. οὐ μέντοι προσεποιούμην ἐμὸν εἶναι τὸν λόγον, ἀλλ᾽ ὅπερ ἦν· καὶ ἠξίουν, εἰ ἄρα μὴ δύνωμαι ἀπομνημονεῦσαι ἀκριβῶς ἁπάντων τῶν ῥημάτων [31]), μηδὲ ὅλης τῆς διανοίας, ἀλλὰ πλέον ἢ ἔλαττον εἴπω τι, συγγνώμην ἔχειν· μηδὲ ὅτι ταῦτα λέγω, ἃ τυγ-

χάν

26) in regio esse Morellus testatur καὶ οὐχ οἷά τε δυνάμενα, postremam vocem scholium esse dictionis οἷά τε non male suspicans. quicquid est, ex eo coniectura Casauboni certissima confirmatur. οἷα τὰ Ven. et Mor.

27) post τοιαῦτα, aut post ἐμαυτὸν, aut post καταμεμφόμενος, deesse videtur aliquid, e. c. οὐκ ἐπαυόμην, aut delendum est δὲ post ἐνίοτε.

27 b) margo Mor. dat. ἀνῆγον.

28) aut δὲ cum τε est mutandum, aut post ἅπαντας addendum est διετέλει.

29) sic recte Veneta et codex regius. τῷ δικαστηρίῳ Morell.

30) f. θεόν. redit enim ad τὸν λόγον versu 7. sententia est: vtebar ita Socratica illa disputatione, vt per eam e nodis plagisque, si in quas incidissem, me expedirem, sic vt scenicis suus e machina deus praesto est laborantibus.

31) Verbum ἀπομνημονεύειν, si bene memini, accusativum rei, genitiuum personae adsciscit. estne itaque ἅπαντα τὰ ῥήματα scribendum? et paulo post μηδὲ ὅλην τὴν διάνοιαν? an dicendum, deesse participium genitiuum regens, vt e. c. ἐχόμενος.

χάνει πολλοῖς ἔτεσι πρότερον εἰρημένα, διὰ τοῦτο ἧττον προσέχειν τὸν νοῦν. ἴσως γὰρ ἄν, ἔφην, οὕτω μάλιστα ὠφεληθείητε. οὐ γὰρ δή γε εἰκός ἐστι τοὺς παλαιοὺς λόγους, ὥσπερ φάρμακα παλαιά, διαπνεύσαντας ἀπολωλεκέναι 32) τὴν δύναμιν. ἐκεῖνος γάρ, ὁπότ' ἴδοι πλείονας ἀνθρώπους ἐν τῷ αὐτῷ, σχετλιάζων καὶ ἐπιτιμῶν ἐβόα πάνυ ἀνδρείως τε καὶ ἀνυποστόλως· ποῖ φέρεσθε, ὦ ἄνθρωποι, καὶ ἀγνοεῖτε, μηδὲν τῶν δεόντων πράττοντες, χρημάτων μὲν ἐπιμελούμενοι, καὶ πορίζοντες πάντα τρόπον, ὅπως αὐτοί τε ἄφθονα ἔχετε, καὶ τοῖς παισὶν ἔτι πλείω παραδώσετε, αὐτῶν δὲ τῶν παίδων, καὶ πρότερον ὑμῶν τῶν πατέρων, ἠμελήκατε ὁμοίως ἅπαντες· οὐδεμίαν ὁρῶντες 33), οὔτε παίδευσιν, οὔτε ἄσκησιν ἱκανήν, οὐδὲ ὠφέλιμον ἀνθρώποις, ἣν παιδευθέντες, δυνήσονται 34) τοῖς χρήμασι χρῆσθαι ὀρθῶς καὶ δικαίως, ἀλλὰ μὴ βλαβερῶς τε καὶ ἀδίκως, καὶ ὑμῖν αὐτοῖς ἐπιζημίως· ὃ σπουδαιότερον ἡγεῖσθαι τῶν χρημάτων ἐχρῆν, καὶ τοῖς υἱοῖς 35) καὶ

32) ἀπολωλεκέναι recte dat codex regius, idemque dare voluit Veneta, tametsi typotheta paululum aberrauit, dans ἀπολωλεμέναι. Morell. dat ἀπολωλέναι.

33) ὁρῶντες equidem ausim defendere. *spectantes*, h. e. affectantes, exercentes. neque me multum mouet, quod Morellus ait, coniecturam suam εὑρόντες, margini adscriptam, a codice regio confirmari.

34) aut δυνήσεσθε legendum est, aut ὑμῖν paulo post delendum.

35) υἱοῖς] sic dudum conieceram leg. esse, quod nunc a Morello auctoritate codicis regii confirmatum video. sed et praeterea ex insequente κἀκείνους ὑμῖν (nam ita ibi leg. est) colligo, hoc versu ὑμᾶς deesse, vt sit χρημάτων ὑμᾶς ἐχρῆν, vt plena sit oppositio. tandem etiam articulus τοῖς delendus videtur; nam alias sequi par erat καὶ ταῖς θυγατράσι, et τοῖς ἀδελφοῖς. habet quidem codex regius ταῖς ante θυγατράσι, sed satius iudico h. l. articulos plane omitti. Ven. et Mor. dant τοῖς ἀνθρώποις καὶ θυγατρ. — κἀκεῖνοι; et Ven. deest ἐχρῆν.

θυγατράσι καὶ γυναιξὶ καὶ ἀδελφοῖς καὶ φίλοις, κἀκείνους ὑμῖν· ἀλλὰ οἱ [36]) κιθαρίζειν καὶ παλαίειν καὶ γράμματα μανθάνοντες ὑπὸ τῶν γονέων, καὶ τοὺς υἱεῖς διδάξαντες [37]), οἴεσθε σωφρονέστερον καὶ ἄμεινον οἰκήσειν τὴν πόλιν; καίτοι εἴ τις συναγαγὼν τούς τε κιθαριστὰς, καὶ τοὺς παιδοτρίβας, καὶ τοὺς γραμματιστὰς τοὺς ἄριστα ἐπισταμένους ἕκαστα τούτων, πόλιν κατοικήσει [38]) ἐξ αὐτῶν ἢ καὶ ἔθνος, καθάπερ ὑμεῖς ποτε τὴν Ἰωνίαν· ποία τις ἂν ὑμῖν δοκεῖ γενέσθαι πόλις, καὶ τίνα οἰκεῖσθαι τρόπον οὐ πολὺ κάκιον καὶ αἴσχιον, τῆς ἐν Αἰγύπτῳ καπήλων πόλεως; ὅπου πάντες κάπηλοι κατοικοῦσιν, ὁμοίως μὲν ἄνδρες, ὁμοίως δὲ γυναῖκες. οὐ πολὺ γελοιότερον οἰκήσουσιν οὗτοι, οὓς λέγω τοὺς ὑμετέρους καὶ τῶν παίδων διδασκάλους, οἱ παιδοτρίβαι καὶ κιθαρισταὶ καὶ γραμματισταὶ, προσλαβόντες τούς τε ῥαψῳδοὺς καὶ τοὺς ὑποκριτάς. καὶ γὰρ δὴ, ὅσα μανθάνουσιν οἱ ἄνθρωποι, τούτου ἕνεκα μανθάνουσιν, ὅπως, ἐπιδὴ ἡ χρεία ἐνστῇ, πρὸς ἣν ἐμάνθανεν ἕκαστος, ποιῇ τὸ κατὰ τὴν τέχνην [39])· οἷον ὁ μὲν κυβερνήτης ὅταν εἰς τὴν ναῦν ἐμβῇ, τῷ πηδαλίῳ κατιθύνων [40]). διὰ τοῦτο γὰρ ἐμάνθανεν κυβερνᾷν. ὁ δὲ ἰατρὸς ἐπειδὴ παραλάβῃ τὸν κάμνοντα, τοῖς φαρμάκοις καὶ τοῖς περὶ τὴν δίαιταν ἰώμενος, οὗ ἕνεκα ἐκτήσατο τὴν ἐμπειρίαν.

36) οἱ aut plane expungendum, aut cum γὰρ est mutandum.

37) ἀσκοῦντες margo Mor.

38) imo vero κατοικίσει, a verbo κατοικίζειν.

39) recte dat Veneta ποιῇ τὸ κατὰ τὴν τέχνην. *efficiat, peragat id, quod ars, quam didicit, secum fert.* ποιῇ κατὰ τὸ τὴν τ. Morell.

40) Morell. dat. κατευθύνει. paulo correctius est κατευθύνῃ, quod dat Veneta; sed verum est κατιθύνων, ob insequens ἰώμενος. aptum est hoc participium e superiori ποιῇ τὸ — τέχνην. Repeto potius ab ἰθύνω, quam ab εὐθύνω; quamquam ne hoc quidem prorsus damnabo.

πειρίαν. οὐκοῦν καὶ ὑμεῖς, ἔφη, ἐπειδὴ δέῃ τι βουλεύεσθαι περὶ τῆς πόλεως, συνελθόντες εἰς τὴν ἐκκλησίαν, οἱ μὲν ὑμῶν κιθαρίζουσιν [41]) ἀναστάντες· οἱ δέ τινες παλαίετε, ἄλλοι δὲ ἀναγινώσκετε τῶν Ὁμήρου τι λαβόντες ἢ τῶν Ἡσιόδου· ταῦτα γὰρ ἄμεινον ἴστε ἑτέρου· καὶ ἀπὸ τούτων οἴεσθε ἄνδρες ἀγαθοὶ ἔσεσθαι, καὶ δυνήσεσθαι τά τε κοινὰ πράξειν ὀρθῶς, καὶ τὰ ἴδια. καὶ νῦν ἐπὶ ταύταις ταῖς ἐλπίσιν οἰκεῖτε τὴν πόλιν, καὶ τοὺς υἱέας παρασκευάζετε, ὡς δυνατοὺς ἐσομένους χρῆσθαι τοῖς τε αὐτῶν καὶ τοῖς δημοσίοις πράγμασιν, οἷς ἂν [42]) ἱκανῶς κιθαρίσωσιν ἢ Παλλάδα [43]) περσέπτολιν Ἀθηνᾶν, ἢ τῷ ποδὶ [44]) βῶσι πρὸς τὴν λύραν· ὅπως δὲ γνώσεσθε [45]) τὰ συμφέροντα ὑμῖν αὐτοῖς καὶ τῇ πατρίδι, καὶ νομίμως καὶ δικαίως μεθ' ὁμονοίας πολιτεύσησθε καὶ οἰκήσητε, μὴ ἀδικῶν ἄλλος ἄλλον [46]), μηδὲ ἐπιβουλεύων, τοῦτο δὲ οὐδέποτε ἐμάθετε, οὐδὲ ἐμέλησεν ὑμῖν πώποτε, οὐδὲ νῦν ἔτι φροντίζετε. καίτοι τραγῳδοὺς ἑκάστοτε ὁρᾶτε τοῖς Διονυσίοις, καὶ ἐλεεῖτε τὰ ἀτυχήματα τῶν ἐν ταῖς τραγῳδίαις ἀνθρώπων [47])· ἀλλ' ὅμως οὐδέποτε ἐνεθυμήθητε, ὅτι οὐ περὶ τοὺς ἀγραμμάτους, οὐδὲ περὶ τοὺς ἀπᾴδοντας, οὐδὲ τοὺς οὐκ εἰδότας παλαίειν, γίνεται τὰ κακὰ ταῦ-

ταῦτα,

41) κιθαρίζουσιν] sic, an κιθαρίζετε, dederit auctor, in medio relinquo.

42) οἷς ἂν] aut primum vocabulum cum οἷον est mutandum, *exempli causa*, aut ambo vocabula in vnum ὅταν sunt contrahenda.

43) idem est atque ἢ κιθαρίσωσι παλλάδα, quod ordinaria verborum collocatio postulabat. imitatus est Aristophanis Nub. v. 964.

44) τῷ ποδὶ] f. leg. εὐτάκτῳ ποδί.

45) malim γνώσησθε ob insequentia.

46) ἄλλος ἄλλον recte dat Veneta, quomodo coniecerat Casaubonus. Morell. omittit ἄλλος.

47) ἀνθρώπων haud placet.

τα, οὐδὲ ὅτι πένης τίς ἐστιν. οὐδεὶς ἕνεκα τούτου [48]) τραγῳδίαν ἐδίδαξεν. τοὐναντίον γὰρ περὶ τοὺς Ἀτρέας καὶ τοὺς Ἀγαμέμνονας καὶ τοὺς Οἰδίποδας ἴδοι τις ἂν πάσας τὰς τραγῳδίας [49]), οἳ πλεῖστα ἐκέκτηντο χρήματα χρυσοῦ καὶ ἀργύρου, καὶ γῆς καὶ βοσκημάτων· καὶ δὴ τῷ δυστυχεστάτῳ αὐτῶν γενέσθαι φασὶ χρυσοῦν πρόβατον. καὶ μὴν ὁ Θάμυρίς γε, εὖ μάλα ἐπιστάμενος κιθαρίζειν, καὶ πρὸς αὐτὰς τὰς Μούσας ἐρίζων περὶ τῆς ἁρμονίας, ἐτυφλώθη διὰ τοῦτο, καὶ προσέτι ἀπέμαθε τὴν κιθαριστικήν. καὶ τὸν Παλαμήδην οὐδὲν ὤνησεν αὐτὸν εὑρόντα τὰ γράμματα, πρὸς τὸ μὴ ἀδίκως ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν ὑπ' αὐτοῦ παιδευθέντων καταλευσθέντα ἀποθανεῖν· ἀλλ' ἕως μὲν ἦσαν ἀγράμματοι καὶ ἀμαθεῖς τούτου τοῦ μαθήματος, ζῆν αὐτὸν εἴων· ἐπειδὴ δὲ τούς τε ἄλλους ἐδίδαξε γράμματα, καὶ τοὺς Ἀτρείδας δηλονότι πρώτους, καὶ μετὰ τῶν γραμμάτων, τοὺς φρυκτοὺς ὅπως χρὴ ἀνέχειν, καὶ ἀριθμεῖν τὸ πλῆθος· ἐπεὶ πρότερον οὐκ ᾔδεισαν οὐδὲ καλῶς ἀριθμῆσαι τὸν ὄχλον, ὥσπερ οἱ ποιμένες τὰ πρόβατα, τηνικαῦτα σοφώτεροι γενόμενοι καὶ ἀμείνους ἀπέκτειναν αὐτόν. εἰ δέ γε, ἔφη, τοὺς ῥήτορας οἴεσθε ἱκανοὺς εἶναι πρὸς τὸ βουλεύεσθαι, καὶ τὴν ἐκείνων τέχνην ἄνδρας ἀγαθοὺς ποιεῖν· θαυμάζω, ὅτι οὐ καὶ δικάζειν ἐκείνοις ἐπετρέψατε ὑπὲρ τῶν πραγμάτων, ἀλλ' ὑμῖν αὐτοῖς· καὶ ὅπως οὐ δικαιοτάτους [50]) καὶ ἀρίστους ὑπειλήφατε, καὶ τὰ χρήματα ἐκείνοις ἐπετρέψατε διαχειρίζειν. ὅμοιον γὰρ ἂν ποιήσητε, ὥσπερ

48) malim τούτων, *propter has res.*

49) *πάσας τὰς τραγ.*] subaudi *γιγνομένας*, aut *στρεφομένας*.

50) *καὶ ὅπως οὐ δικ.*] dudum suspicabar deesse *εἰ*, qua in suspicione confirmor a Veneta, in qua non *οὐ*, sed *οὐκ* est; vt legendum videatur *καὶ ὅπως οὐκ, εἰ δικ.* et quare non etiam facultates vestras iis administrandas permittatis, si honestissimos atque iustitiae studiosissimos habeatis.

ὥσπερ εἰ κυβερνήτας καὶ ναυάρχους τῶν τριήρων ἀποδείξοιτε τοὺς τριηρήτας[51]), ἢ τοὺς κελευστάς. εἰ δὲ τις δή τοι λέγοι τῶν πολιτικῶν τε καὶ ῥητόρων πρὸς αὐτὸν, ὅτι ταύτῃ μέντοι τῇ παιδεύσει χρώμενοι Ἀθηναῖοι, Περσῶν ἐπιστρατευσάντων τοσαύταις μυριάσιν ἐπὶ τὴν πόλιν δὶς ἐφεξῆς καὶ τὴν ἄλλην Ἑλλάδα, τὸ μὲν πρῶτον δύναμιν καὶ στρατηγοὺς ἀποστείλαντος τοῦ βασιλέως, ὕστερον δὲ αὐτοῦ Ξέρξου παραγενομένου, μετὰ παντὸς τοῦ πλήθους τοῦ κατὰ τὴν Ἀσίαν, ἅπαντας τούτους ἐνίκησαν, καὶ πανταχοῦ περιῆσαν αὐτῶν, καὶ τῷ βουλεύεσθαι καὶ τῷ μάχεσθαι. καίτοι πῶς ἂν ἠδύναντο περιεῖναι τηλικαύτης παρασκευῆς καὶ τοσούτου πλήθους, μὴ διαφέροντες κατ' ἀρετήν; ἢ πῶς ἂν ἀρετῇ διέφερον, μὴ τῆς ἀρίστης παιδείας τυγχάνοντες, ἀλλὰ φαύλης καὶ ἀνωφελοῦς; πρὸς τὸν τοιαῦτα εἰπόντα ἔλεγεν, ὅτι οὐδὲ ἐκεῖνοι ἦλθον παιδείαν οὐδεμίαν παιδευθέντες, οὐδὲ ἐπιστάμενοι βουλεύεσθαι περὶ τῶν πραγμάτων· ἀλλὰ τοξεύειν τε καὶ ἱππεύειν καὶ θηρᾶν μεμελετηκότες, καὶ τὸ γυμνοῦσθαι τὸ σῶμα, αἴσχιστον αὐτοῖς ἐδόκει, καὶ τὸ ὀπύειν ἐν τῷ φανερῷ· ταῦτα καὶ [52]) αὐτοὺς οὐδὲν ἔμελλεν ὀνήσειν· ὥστε οὐδ' ἦν στρατηγὸς ἐκείνων οὐδεὶς, οὐδὲ βασιλεύς· ἀλλὰ μυριάδες ἀνθρώπων ἀμύθητοι πάντων ἀφρόνων καὶ κακοδαιμόνων. εἰ [53]) δέ τις ἐν αὐτοῖς ὑπῆρχεν ὀρθὴν ἔχων τιάραν, καὶ ἐπὶ θρόνου χρυσοῦ καθίζων, ὑφ' οὗ πάντες ὥσπερ ὑπὸ δαίμονος ἠλαύνοντο πρὸς βίαν· οἱ μὲν εἰς τὴν θάλατταν, οἱ δὲ κατὰ τῶν ὀρῶν, καὶ μαστιγούμενοι καὶ δεδιότες καὶ ὠθούμενοι καὶ κατατρέμοντες [54]) ἠναγκάζοντο ἀποθνήσκειν.

ὥσπερ

51) τριηρήτας] lege τριηρίτας. V. L. Ven. et margo Mor. dant τριηλάτας.
52) καὶ] malim δέ.
53) εἰ] l. εἷς. *unus.*
54) f. τρέμοντες simplex.

ὥσπερ[55]) οὖν εἰ δύο ἀνθρώπω οὐκ εἰδότε παλαίοιεν[56])· ὁ γὰρ ἕτερος[57]) καταβάλλοι ἂν ἐνίοτε τὸν ἕτερον, οὐ δι᾽ ἐμπειρίαν, ἀλλὰ διά τινα τύχην, πολλάκις δὲ καὶ δὶς ἐφεξῆς ὁ αὐτός· οὕτω καὶ Ἀθηναίοις Πέρσαι συμβαλόντες[58]), τοτὲ μὲν Ἀθηναῖοι περιῆσαν, τοτὲ δὲ Πέρσαι· ὥσπερ ὕστερον, ὅτε καὶ τὰ τείχη τῆς πόλεως κατέβαλλον μετὰ Λακεδαιμονίων πολεμοῦντες. ἐπεὶ ἔχοις ἄν μοι εἰπεῖν, εἴ ποτε[59]) Ἀθηναῖοι ἀμουσότεροι καὶ ἀγραμματότεροι γεγόνεσαν. ἔπειτα αὖθις ἐπὶ Κόνωνος, ὅτε ἐνίκησαν τῇ ναυμαχίᾳ τῇ περὶ Κνίδον, ἄμεινον ἐπάλαιον καὶ ᾖδον; οὕτως οὖν ἀπέφαινεν[60]) αὐτοὺς, οὐδεμιᾶς παιδείας χρηστῆς τυγχάνοντας. τοῦτο δὲ οὐ μόνον Ἀθηναίοις, ἀλλὰ καὶ σχεδόν τι πᾶσιν ἀνθρώποις, καὶ πρότερον καὶ νῦν συμβέβηκεν. καὶ μὴν τό γε ἀπαίδευτον εἶναι[61]), καὶ μηδὲν ἐπιστάμενον ἃ χρὴ[62]), μηδὲ ἱκανῶς παρεσκευασμένον πρὸς τὸν βίον, ζῆν τε καὶ πράττειν ἐπιχειρεῖν οὕτω μεγάλα πράγματα, μηδὲ αὐτοῖς ἐκείνοις ἀρέσκειν[63])· τοὺς γὰρ ἀμαθεῖς καὶ ἀπαιδεύτους, ψέγειν αὐτοὺς ὡς οὐ δυναμένους[64]) ζῆν ὀρθῶς· εἶναι δὲ ἀμαθεῖς, οὐχὶ τοὺς ὑφαίνειν ἢ σκυτο-

55) ὥσπερ] scil. γίγνεται, vel συμβαίνει.
56) παλαίοιεν] sic codex regius. παλαίειν Ven. et Morell.
57) ὁ γὰρ ἕτερος] sic recte Veneta, ὅτε ἕτερος Morell. et var. lect. Ven.
58) συμβαλόντες] sunt hic nominatiui absoluti, pro genitiuis consequentiae vsurpati.
59) εἴ ποτε] leg. esse εἰ τότε Casaubonus et Anglus viderunt.
60) ἀπέφαινεν] sic solebat Socrates demonstrare.
61) εἶναι] melius conueniret ὄντα.
62) ἃ χρὴ] malim ὧν χρὴ.
63) ἀρέσκειν] sic recte Veneta; est enim obliqua oratio. subauditur ἔφη Σωκράτης. ἀρέσκει Morell.
64) οὐ δυναμ.] sic codex regius, Casaubonus et Anglus, sed Morell. omittit οὐ.

σκυτοτομεῖν μὴ ἐπισταμένους, οὐδὲ τοὺς ὀρχεῖσθαι οὐκ εἰδότας· ἀλλὰ τοὺς ἀγνοοῦντας, ἅ ἐστιν εἰδότα, καλὸν καὶ ἀγαθὸν ἄνδρα εἶναι. καὶ οὕτω δὴ παρεκάλει πρὸς τὸ ἐπιμελεῖσθαι, καὶ προσέχειν αὑτῷ τὸν νοῦν καὶ φιλοσοφεῖν. ᾔδει γὰρ, ὅτι τοῦτο ζητοῦντες [65]), οὐδὲν ἄλλο ποιήσουσιν, ἢ φιλοσοφήσουσι. τὸ γὰρ ζητεῖν [66]) καὶ φιλοτιμεῖσθαι, ὅπως τις ἔσται καλὸς καὶ ἀγαθὸς, οὐκ ἄλλο τι εἶναι, ἢ τὸ φιλοσοφεῖν. οὐ μέντοι πολλάκις οὕτως ὠνόμαζεν, ἀλλὰ μόνον ζητεῖν ἐκέλευεν, ὅπως ἄνδρες ἀγαθοὶ ἔσονται. ἀλλὰ πρός γε [67]) τοὺς ἄλλους σχεδόν τι τὰ αὐτὰ διελεγόμην ἀρχαῖα καὶ φαῦλα· καὶ ἐπειδὴ οὐκ εἴων ἐν αὐτῇ τῇ Ῥώμῃ γενόμενον ἡσυχίαν ἄγειν, ἴδιον [68]) μὲν οὐδένα ἐτόλμων διαλέγεσθαι λόγον, μὴ καταγέλαστός τε καὶ ἀνόητος δόξω φοβούμενος, ἅτε συνειδὼς αὑτῷ πολλὴν ἀρχαιότητα καὶ ἀμαθίαν. ἐνεθυμούμην δέ· φέρε, εἰ μιμούμενος τοιούτους τινὰς διαλέγωμαι λόγους, ἢ [69]) περὶ τῶν θαυμαζομένων παρ' αὐτοῖς, ὡς οὐδέν ἐστιν αὐτῶν ἀγαθὸν, καὶ περὶ τρυφῆς καὶ ἀκολασίας, καὶ ὅτι παιδείας πολλῆς τε καὶ ἀγαθῆς δέονται· τυχὸν οὐ καταγελάσουσί μου ταῦτα λέγοντος, οὐδὲ φήσουσιν ἀνόητον; εἰ δὲ μὴ, ἕξω λέγειν, ὅτι εἰσὶν οἱ λόγοι οὗτοι ἀνδρὸς, ὃν οἵ τε Ἕλληνες ἐθαύμασαν ἅπαντες ἐπὶ σοφίᾳ, καὶ δὴ καὶ ὁ Ἀπόλλων σοφὸν αὐτὸν ἡγήσατο, καὶ Ἀρχέλαος, Μακεδόνων βασιλεὺς, πολλὰ εἰδὼς, καὶ πολ-
λοῖς

65) f. ὅτι οἱ τοῦτο ζητοῦντες. significat autem hoc τοῦτο, studium euadendi in virum bonum et probum.

66) ζητεῖν] sic codex regius. ζητοῦν Morell. et Ven.

67) γε] malim μὲν, tametsi δὲ non sequatur; nam directa haec fuerat oratio ἐπειδὴ δὲ.* Romanos enim opponit τοῖς ἄλλοις, incolis aliorum oppidorum, quae Dio adiit. ille vero maluit καὶ ἐπειδὴ dicere.

68) ἴδιον] ex ipso me natam, a me excogitatam.

69) ἢ dele.

λοῖς συγγεγονὼς τῶν σοφῶν ἐκάλει αὐτὸν ἐπὶ δώροις καὶ μισθοῖς, ὅπως ἀκούοι αὐτοῦ διαλεγομένου τοὺς λόγους τούτους. οὕτω δὴ καὶ ἐγὼ ἐπειρώμην διαλέγεσθαι Ῥωμαίοις, ἐπειδή με ἐκάλεσαν, καὶ λέγειν ἠξίουν, οὐ κατὰ δύο καὶ τρεῖς ἀπολαμβάνων [70] ἐν παλαίστραις καὶ περιπάτοις· οὐ γὰρ ἦν δυνατὸν οὕτως ἐν ἐκείνῃ τῇ πόλει ξυγγίνεσθαι· πολλοῖς δὲ ἀθρόοις [71] εἰς ταυτὸ συνιοῦσιν· ὅτι δέονται παιδείας κρείττονος καὶ ἐπιμελεστέρας, εἰ μέλλουσιν εὐδαίμονες ἔσεσθαι τῷ ὄντι, ἀλλὰ μὴ δόξῃ [72] τῶν πολλῶν ἀνθρώπων. ὥσπερ νῦν ἄν [73] τις αὐτοὺς μεταπείσει καὶ διδάξει παραλαβὼν, ὅτι τούτων μὲν οὐδέν ἐστιν ἀγαθὸν, ὑπὲρ ὧν σπουδάζουσι καὶ πάσῃ προθυμίᾳ κτῶνται· καὶ νομίζουσιν, ὅσῳ ἂν πλείω κτήσωνται, τοσούτῳ ἄμεινον βιώσεσθαι καὶ μακαριώτερον· σωφροσύνην δὲ καὶ ἀνδρείαν καὶ δικαιοσύνην ἐάν [74]

περ

70) ἀπολαμβάνων] bona haec eſt lectio, immerito ſollicitata. Caſaubonus ἀπολαμβάνοντες mallet; Morellus e ſuis codd. ἀπολαμβάνειν et ἀπολαμβάνοντα profert: vitioſa illa omnia. Aptus eſt ille nominat. ſing. e ſuperioribus ἐπειρώμην διαλέγεσθαι. ſententia eſt haec: *non iam, vt antea aliis in oppidis Graeciae conſueueram facere, Romae duos tresue adoleſcentulos a palaeſtra ſeorſim ſeducebam, quibuscum diſſererem; ſed in magnis coetibus verba facienda mihi erant.*

71) πολλοῖς δὲ ἀθρόοις] repete a communi ἐπειρώμην διαλέγεσθαι. niſi aliquid deeſt, quod potius videtur, e. c. ἔλεγον, vel ἐπεδείκνυον.

72) ἀλλὰ μὴ δόξῃ] ſubaudi *μόνον.*

73) ὥσπερ νῦν ἄν (vel, vt Morellus e cod. reg. profert, εἰ nullo diſcrimine) τις —] Apodoſis periodi huius perquam ambitioſae et perplexae videtur p. 228, 25. ed. Mor. eſſe in iſtis τότε γὰρ ἂν ἔφην. *Exempli cauſa,* ἔφην, *inquam, ſi quis nunc eos,* (homines puta vulgares) *dedoceat, et a priſtino errore deducat, planum faciendo — tum demum erit, veſtra vrbs magna.*

74) ἐὰν eſt iteratio ſuperioris ἂν (n. 73.) comma, quod ante ἐὰν Mor. habet, recte abeſt a Veneta.

περ ἐκμελετήσωσι καὶ ταῖς ψυχαῖς ἀναλάβωσι, διδασκάλους ποθὲν τούτων εὑρόντες, καὶ τῶν ἄλλων ἁπάντων ἀμελήσαντες 75), εἴτε Ἕλληνας 76), εἴτε Ῥωμαίους, εἴτε τις παρὰ Σκύθαις, ἢ παρ' Ἰνδοῖς ἀνήρ ἐστι, διδάσκαλος ὢν εἶπον· ὥσπερ, οἶμαι, τοξικῆς τε καὶ ἱππικῆς, ἢ νὴ Δία 77), ἰατρός τις θεραπεύειν ἐπιστάμενος τὰ νοσήματα τοῦ σώματος, οὕτως ἱκανὸς ὢν ἰᾶσθαι τὰς τῆς ψυχῆς νόσους· ὅστις ἀκολασίας καὶ πλεονεξίας καὶ τῶν τοιούτων ἀῤῥωστημάτων δυνήσεται ἀπαλλάξαι τοὺς ὑπ' αὐτῶν κρατουμένους, τοῦτον παραλαβόντας 78) καὶ ἀγαγόν-

75) Verba καὶ τῶν ἄλλων ἁπάντων ἀμελήσαντες sunt interiecta inter superiora et insequentia, quae inter se a lectore coniungi debent. Cohaerent enim διδασκάλους et ἕλληνας: ista, quae dixi transsilienda, veluti sunt in analysi. sententia est: *repertis, vndeunde tandem, magistris (posteaquam inquisitioni huic reliqua omnia postbabuerint) siue Graeci sunt illi magistri, siue Romani.*

76) εἴτε ἕλληνας] admonui iam, quod dudum ante me fecit Casaubonus, hos accusatiuos ἕλληνας et ῥωμαίους, si seruantur, referendos esse ad superius διδασκάλους; sed Morellus iniicit scrupulum, testans, in codice regio fuisse a se repertum εἴτε παρ' ἕλληνας. fallor, an ibi scriptum fuit, quod ille perperam legit et parum fideliter reddidit, εἴτε παρ' ἕλλησιν, εἴτε ῥωμαίοις, *siue apud Graecos est eiusmodi magister, siue apud Romanos.* mihi verosimile fit Dionem dedisse: εἴτε ἕλλην, εἴτε ῥωμαῖος in nominatiuo sing.

77) ἢ νὴ Δία] sic recte Veneta et Casaubonus. Morell. omittit ἤ.

78) παραλαβόντας — cum reliquis casibus, et infinitiuo προαγορεῦσαι quo referam, non habeo. donec certiora in lucem prodeant, sarciendi quodammodo hiatus ergo, mutemus illos omnes accusatiuos nominatiuis et infinitiuum coniunctiuo, legamusque sic: τοῦτον οὖν παραλαβόντες καὶ ἀγαγόντες λόγῳ πείσαντες — καταστήσαντές τε εἰς τὴν ἀκρόπολιν, ἐὰν προαγορεύσωσι τοὺς νέους — *hunc itaque magistrum posteaquam in manus sumserint,*

γόντας, λόγῳ πείσαντας, ἢ φιλίᾳ· χρήμασι μὲν γὰρ οὐ δυνατὸν ἄνδρα πεισθῆναι τοιοῦτον, οὐδὲ ἄλλοις δώροις· καταστήσαντάς τε εἰς τὴν ἀκρόπολιν, νόμῳ προαγορεῦσαι, τοὺς νέους ἅπαντας φοιτᾷν παρ' αὐτὸν, καὶ συνεῖναι καὶ μηδὲν ἧττον τοὺς πρεσβυτέρους, ἕως ἂν σοφοὶ γενόμενοι ἅπαντες, καὶ δικαιοσύνης ἐρασθέντες, καταφρονήσαντες χρυσοῦ, καὶ ἀργύρου, καὶ ἐλέφαντος, καὶ ὄψου δὴ καὶ μύρου καὶ ἀφροδισίων, εὐδαίμονες οἰκῶσιν τῷ ὄντι, καὶ ἄρχοντες, μάλιστα καὶ πρῶτον, αὐτῶν, ἔπειτα καὶ τῶν ἄλλων ἀνθρώπων· τότε γὰρ ἂν, ἔφην, ἔσται ὑμῶν ἡ πόλις μεγάλη, καὶ ἰσχυρὰ καὶ ἄρχουσα κατ' ἀλήθειαν· ὡς τό γε νῦν τὸ μέγεθος αὐτῆς ὕποπτον καὶ οὐ πάνυ ἀσφαλές. ὅσῳ γὰρ ἂν, ἔφην, πλείων ἥ τε ἀνδρεία καὶ ἡ δικαιοσύνη καὶ σωφροσύνη γίνεται παρ' ὑμῖν, τοσούτῳ ἔλαττον ἔσται τότε ἀργύριον, καὶ τὸ χρυσίον, καὶ τὰ ἐλεφάντινα σκεύη, καὶ τὰ ἠλέκτρινα, καὶ κρύσταλλος, καὶ θύσος 79), καὶ ἔβενος, καὶ ὁ τῶν γυναικῶν κόσμος, καὶ τὰ ποικίλματα ταῦτα, καὶ αἱ βαφαὶ, καὶ ξύμπαντα ἁπλῶς τὰ νῦν ἐν τῇ πόλει τίμια καὶ περιμάχητα, ἐλαττόνων 80) αὐτῶν δεήσεσθε. ὅταν δὲ ἐληλυθότες ἦτε ἐπ' ἄκρον ἀρετῆς, οὐδενὸς τούτων δεήσεσθε· ἀλλὰ καὶ οἰκίας μικροτέρας καὶ ἀμείνους οἰκήσετε, καὶ οὐ τοσοῦτον ὄχλον θρέψετε ἀνδραπόδων ἀργῶν, καὶ πρὸς οὐδὲν χρησίμων. τὸ δὴ 81) πάντων παραδοξότατον.

ſerint, et in oppidum ſuum adduxerint, (homines puta, qui nunc ſunt) *orationis blanditiis, gratiaue adductum, et in arce conſtituerint, legeque promulgata imperauerint iuuenibus omnibus, vt eum frequentent — tum demum erit vrbs veſtra magna.* At vel ſic tamen oratio manet dura et impedita.

79) θύσος] probo Caſauboni emendationem θύον. v. p. 399, 7.

80) malim καὶ ἐλαττόνων.

81) δὴ] l. δέ.

τον. ὅσῳ γὰρ ἂν εὐσεβέστεροι καὶ ὁσιώτεροι γένησθε, τοσούτῳ ἔλαττων ἔσται παρ' ὑμῖν ὁ λιβανωτὸς, καὶ τὰ θυμιάματα, καὶ τὰ στεφανώματα· καὶ θύσετε ἐλάττους θυσίας, καὶ ἀπ' ἐλάττονος δαπάνης, καὶ τὸ πᾶν πλῆθος τὸ νῦν παρ' ὑμῖν τρεφόμενον, πολὺ ἔλαττον ἔσται· καὶ ἡ ξύμπασα πόλις, ὥσπερ ναῦς κουφισθεῖσα, ἀνακύψει τε, καὶ πολὺ ἔσται ἐλαφροτέρα καὶ ἀσφαλεστέρα. ταυτὰ δὲ [82]) ταῦτα καὶ Σίβυλλαν εὑρήσετε μαντευομένην ὑμῖν καὶ Βάκιν· εἴπερ ἀγαθὼ χρησμολόγω καὶ μάντιε ἐγενέσθην. ὡς δὲ νῦν τὰ παρόντα διάκειται, χρημάτων ἕνεκα καὶ πλήθους, ἃ πάντα πανταχόθεν εἰς ἕνα τοῦτον ἤθροισται τὸν τόπον, τρυφῆς ἐπικρατούσης καὶ πλεονεξίας, ὅμοιόν ἐστιν, ὥσπερ ὁ τὴν τοῦ Πατρόκλου [83]) πυρὰν κοσμήσας Ἀχιλλεὺς, πολλῶν μὲν ξύλων, πολλῶν δὲ σωμάτων καὶ ἐσθῆτος, ἔτι δὲ πιμελῆς τε καὶ ἐλαίου· πρὸς τούτοις παρακαλεῖ τοὺς ἀνέμους, σπένδων, καὶ θυσίαν [84]) ὑπισχνούμενος, ἐλθόντας, ἐμπρῆσαί τε καὶ ἀνάψαι. τὰ γὰρ τοιαῦτα οὐχ ἧττόν γε πέφυκεν ἐξάπτειν τὴν τῶν ἀνθρώπων ὕβριν τε καὶ ἀκολασίαν. οὐ μέντοι ἔλεγον, ὡς χαλεπὸν αὐτοῖς παιδευθῆναι· ἐπεὶ καὶ τἆλλα, ἔφην, οὐδενὸς βελτίους πρότερον ὄντες, ὅσα ἐβουλήθητε, ῥᾳδίως ἐμάθετε· λέγω δὲ ἱππικὴν, καὶ τοξικὴν, καὶ ὁπλιτικήν [85]).

82) ταυτὰ δὲ ταῦτα recte dat codex regius. ταῦτα δὲ τ. Ven. et Morell.

83) malim ὥσπερ ὅταν τὴν Πατρόκλου. illud ὅταν cohaeret cum παρακαλεῖ paulo post.

84) θυσίας vult Morellus e regio.

85) in fine desunt non pauca, dubito, inchoata reliquerit Dio, an iniuria temporum hominumque reliqua perierint.

ΠΕΡΙ ΔΟΥΛΕΙΑΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑΣ ΠΡΩΤΟΣ.

ΛΟΓΟΣ ΙΔʹ.

Οἱ ἄνθρωποι ἐπιθυμοῦσι μὲν ἐλεύθεροι εἶναι μάλιστα πάντων, καί φασι, τὴν ἐλευθερίαν μέγιστον τῶν ἀγαθῶν, τὴν δὲ δουλείαν αἴσχιστον καὶ δυστυχέστατον ὑπάρχειν· αὐτὸ δὲ τοῦτο, ὅ, τι ἐστὶ τὸ ἐλεύθερον[1]) εἶναι, ἢ ὅ, τι τὸ δουλεύειν, οὐκ ἴσασι. καὶ τοίνυν οὐδὲ ποιοῦσιν οὐδὲν, ὡς ἔπος εἰπεῖν, ὅπως τὸ μὲν αἰσχρὸν καὶ χαλεπὸν ἐκφεύξονται, τὴν δουλείαν· ὃ δὲ δοκεῖ αὐτοῖς πολλοῦ ἄξιον εἶναι, κτήσονται, τὴν ἐλευθερίαν· ἀλλὰ τοὐναντίον ταῦτα πράττουσιν, ἐξ ὧν ἀνάγκη τοὺς ἐπιτηδεύοντας διατελεῖν δουλεύοντας τὸν ἅπαντα χρόνον, καὶ μηδεπώποτε ἐλευθερίας ἐπιτυγχάνειν. πλὴν τούτους οὐκ ἄξιον ἴσως θαυμάσαι, ὅτι οὔτε ἑλεῖν οὔτε φυλάξασθαι δύναιντ' ἂν ὃ τυγχάνουσιν ἀγνοοῦντες. εἰ γοῦν ἐτύγχανον ἀγνοοῦντες πρόβατον καὶ λύκον, ὅ, τι ἐστὶν ἑκάτερον αὐτῶν, ὅμως[2]) δὲ ἡγοῦντο, τὸ μὲν ὠφέλιμον καὶ κτήσασθαι ἀγαθὸν, τὸ δὲ βλαβερὸν καὶ ἀσύμφορον· οὐκ ἄρα θαυμαστὸν οὐδὲν, εἰ τὸ μὲν πρόβατον ἐφοβοῦντο καὶ ἔφευγον ἐνίοτε, ὡς λύκον· τὸν δὲ λύκον προσίεντο καὶ ὑπέμενον, νομίσαντες πρόβατον. ἡ γὰρ ἄγνοια τοιαῦτα ἐργάζεται τοὺς οὐκ εἰδότας, καὶ ἀναγκάζει τἀναντία φεύγειν καὶ διώκειν ὧν βούλονται, καὶ τῶν συμφερόντων. ἀλλὰ γὰρ φέρε δὴ

σκεψώ-

1) ἐλεύθερον] sic recte codex regius, ἐλευθέριον Ven. et Mor.
2) ὅμως] sic recte Anglus. praeterea quoque constantiae ergo leg. ἡγοῦντο, ob praecedens ἐτύγχανον. *verum tamen praeterea quoque opinentur.* ὅπως δὲ ἡγοῖντο Ven. et Mor.

σκεψώμεθα, εἰ ἄρα τε 3) οἱ πολλοὶ ἐπίστανται περὶ ἐλευθερίας καὶ δουλείας σαφῶς. ἴσως γάρ τοι μάτην αὐτοὺς αἰτιώμεθα· οἱ δὲ παντὸς μᾶλλον ταῦτα ἴσασιν· εἰ οὖν ἔροιτό τις αὐτούς, ὅ, τι ἐστὶ τὸ ἐλεύθερον, φαῖεν ἂν ἴσως, τὸ μηδενὸς ὑπήκοον 4), ἀλλὰ πράττειν ἁπλῶς τὰ δοκοῦντα ἑαυτῷ. τὸν δὲ τοῦτο ἀποκρινάμενον ἐάν τις ἐπερωτᾷ, εἰ ἐν χορῷ χορευτὴν ὄντα, μὴ προσέχειν τῷ κορυφαίῳ, μηδὲ ὑπήκοον εἶναι αὐτοῦ· ἀλλὰ ᾄδειν τε καὶ ἀπᾴδειν, ὅπως ἂν αὐτῷ ἐπίῃ· τοῦτο καλὸν οἴεται εἶναι καὶ ἐλευθέριον; τὸ δὲ ἐναντίον τούτου, τὸ προσέχειν τε καὶ πείθεσθαι τῷ ἡγεμόνι τοῦ χοροῦ, καὶ τότε ἄρχεσθαι καὶ παύεσθαι ᾄδοντα, ὁπόταν ἐκεῖνος κελεύῃ, αἰσχρὸν εἶναι καὶ δουλοπρεπές; οὐκ ἄν, οἶμαι, ὁμολογῇ. οὐδὲ εἴ τις ἐρωτήσειε, πλέοντα μὴ φροντίζειν τοῦ κυβερνήτου, μηδὲ ποιεῖν ἅττ᾽ ἂν ἐκεῖνος εἴποι, εἰ τὸ τοιοῦτον ἐλευθέριον οἴοιτο; οἷον κελεύσαντος καθῆσθαι, ἑστάναι ἐν τῇ νηΐ, ἂν αὐτῷ μὴ ἐπίῃ· κελεύσῃ 5) ἀντλεῖν ποτε, ἢ συνέλκειν τὰ ἱστία, μήτ᾽ ἀντλῆσαι, μήθ᾽ ἅψασθαι τῶν κάλων· οὐδὲ τοῦτον εἴποι ἂν ἐλεύθερον, οὐδὲ ζηλωτόν, ὅτι πράττει τὰ δοκοῦντα αὐτῷ. καὶ μήν, τούς γε στρατιώτας οὐκ ἂν φαίη δούλους εἶναι, δι᾽ ὅτι ὑπήκοοί εἰσι τοῦ στρατηγοῦ, καὶ τότε ἀνίστανται, ὁπόταν ἐκεῖνος προστάξῃ, καὶ σῖτον αἱροῦνται, καὶ ὅπλα λαμβάνουσι, καὶ παρατάττονται καὶ ἐπίασι, καὶ ἀναχωροῦσιν οὐκ ἄλλως, ἢ τοῦ στρατηγοῦ κελεύσαντος· οὐδέ γε τοὺς κάμνοντας, ὅτι πείθονται τοῖς ἰατροῖς, οὐ διὰ τοῦτο φήσουσι δούλους εἶναι· καίτοι οὐ

3) τε] aut γε aut τι lege.

4) post ὑπήκοον excidit εἶναι, quod etiam interpreti latino visum fuit, viroque docto, qui id in margine Venetae annotauit, aut, si hoc nolumus, leg. erit πράττον in partic.

5) ante κελεύσῃ addendum esse κἂν e codice regio Morellus admonuit.

σμικρά γε οὐδὲ ῥάδια πείθονται αὐτοῖς· ἀλλὰ καὶ πεινῆν καὶ διψῆν ἐνίοτε προστάττουσιν· κἂν δόξῃ ποτὲ τῷ ἰατρῷ τὸν κάμνοντα δῆσαι, παραχρῆμα ἐδέθη, κἂν τεμεῖν, ἢ καῦσαι, καυθήσεται καὶ τμηθήσεται, ἐφ᾽ ὅσον ἂν ἐκείνῳ δοκῇ. ἐὰν δὲ μὴ πείθηται, πάντες οἱ ἐν τῇ οἰκίᾳ τῷ ἰατρῷ συναγωνιοῦνται, οὐ μόνον οἱ ἐλεύθεροι, ἀλλὰ πολλάκις 6) οἱ τοῦ νοσοῦντος οἰκέται αὐτοὶ καταδοῦσι 7) τὸν δεσπότην, καὶ πῦρ κομίζουσιν, ὅπως καυθήσεται, καὶ τἄλλα ὑπηρετοῦσι. μὴ οὖν οὐ φῂς ἐλεύθερον εἶναι 8) τὸν ἄνδρα τοῦτον, ὅτι πολλὰ καὶ ἀηδῆ, ἑτέρου κελεύοντος, ὑπομένει; οὐ γὰρ δήπου τὸν Περσῶν βασιλέα Δαρεῖον οὐκ ἂν ἔφης ἐλεύθερον εἶναι, ἐπειδὴ καταπεσὼν ἀπὸ τοῦ ἵππου ἐν κυνηγεσίοις, τοῦ ἀστραγάλου ἐκχωρήσαντος, ὑπήκουε τοῖς ἰατροῖς ἕλκουσι καὶ στρεβλοῦσιν αὐτοῦ τὸν πόδα, ὅπως καταστήσεται αὐτοῦ τὸ ἄρθρον, καὶ ταῦτα Αἰγυπτίοις ἀνθρώποις· οὐδ᾽ αὖ Ξέρξην 9), ὁπηνίκα ἀναχωρῶν ἐκ τῆς Ἑλλάδος, καὶ χειμαζόμενος ἐν τῇ νηΐ, πάντα ἐπείθετο τῷ κυβερνήτῃ, καὶ παρὰ τὴν ἐκείνου γνώμην οὐκ ἐπέτρεπεν αὐτῷ, οὐδὲ νεῦσαι,

6) f. ἀλλὰ καὶ πολλάκις.

7) malim καταδέουσιν, vt vſitatius.

8) μὴ οὖν — εἶναι] idem eſt, ac ſi dixiſſet μὴ οὖν φήσεις εἶναι τὸν ἄνδρα τοῦτον οὐκ ἐλεύθερον. *tu itaque iam non affirmabis, hunc hominem eſſe non liberum*: vt ſtatim poſt: οὐ γὰρ δήπου — ἐλεύθερον εἶναι, idem eſt, ac ſi dixiſſet οὐ γὰρ δήπου ἔφης τὸν Δαρεῖον εἶναι οὐκ ἐλεύθερον. *non enim profecto auſis affirmare, Darium liberum haud eſſe.* quia tamen p. 439, 4. φήσουσιν et ἐροῦσιν ſequitur, ideo malim hic quoque loci οὖν οὐ φήσουσιν, *non igitur iam negabunt*, (ii puta, ſi quos de ſeruitute et libertate interrcgemus) *ideo quemquam liberum eſſe, quod moleſtias habeat perferendas.* nam optime reſpondet p. 439, 4. *neque rurſus aient eam eſſe libertatem, ſi quis, quicquid lubeat, id faciat.* Pari modo ἔφης v. 13. mutatum velim cum ἔφησαν. *non facile ſint affirmaturi.*

9) ξέρξην] ſic recte dat Veneta, ſcil. negabis liberum eſſe. Morell. dat ξέρξης.

νεῦσαι, οὐδὲ μεταβῆναι, δοκοῦντι μηδενὸς ἀνθρώπων ὑπακούειν [10])· οὐδὲ τὸ πράττειν, ὅ, τι ἂν τις ἐθέλῃ, ἐλευθερίαν ἔτι φήσουσιν εἶναι. ἀλλ' ἴσως ἐροῦσιν, ὅτι οὗτοι μὲν ἐπὶ τῷ αὑτῶν συμφέροντι ὑπακούουσιν, ὡς οἱ πλέοντες τῷ κυβερνήτῃ, καὶ οἱ στρατιῶται τῷ στρατηγῷ, καὶ οἱ κάμνοντες δὲ τῷ ἰατρῷ διὰ τοῦτο πείθονται. οὐδὲ γὰρ ἄλλ' ἄττα προστάττουσιν οὗτοι, ἢ τὰ συμφέροντα αὐτοῖς· οἱ δέ γε δεσπόται τοῖς δούλοις οὐ τὰ αὐτὰ [11]) ἐπιτάττουσιν, ἃ ἐκείνοις συνοίσει, ἀλλ' ἅπερ αὑτοῖς οἴονται λυσιτελεῖν. τί δὲ δή; ἆρά γε [12]) συμφέρει τῷ δεσπότῃ τεθνάναι τὸν οἰκέτην, ἢ νοσεῖν, ἢ πονηρὸν εἶναι; οὐδεὶς ἂν εἴποι. ἀλλὰ τοὐναντίον, οἶμαι, τό τε ζῆν καὶ ὑγιαίνειν καὶ χρηστὸν εἶναι. τὰ αὐτὰ δὲ ταῦτα φανεῖται καὶ τῷ οἰκέτῃ συμφέροντα· ὥστε καὶ τῷ οἰκέτῃ ὁ δεσπότης, οὐδὲν ἧττον, ἄνπερ ἔχῃ νοῦν, τὰ συμφέροντα ἐκείνῳ προστάξει· ταῦτα γὰρ καὶ αὐτῷ φαίνεται ξυμφέρειν. ἀλλὰ ὑπὲρ ὅτου ἄν τις ἀργύριον καταβάλλοι [13]), οὗτος ἐξ ἀνάγκης δοῦλός ἐστιν; οὐκοῦν πολλοὶ περὶ πολλῶν καὶ ἐλευθέρων [14]) κατα-

10) forte simplex ἀκούειν hic melius conueniat, quia μηδενὸς praecessit. nam, si bene memini, ὑπακούειν solummodo cum datiuo construitur. In meo opusculo Dioneo vocabulum δοκοῦντι mutaueram in οὐκ οὖν τὸ, et punctum commate; vt sententia esset: *Itaque non amplius aient libertatem hanc esse, vt nemo nemini obtemperet, neque hanc, vt quicquid quisque velit, id agat.* qua de coniectura iudicium penes lectorem esto. v. p. 437, 5.

11) τὰ αὐτα] malim ταῦτα.

12) post ἆρά γε addunt Ven. et Mor. οὖν, quod recte abest a codice regio. aut eius loco substituatur οἷον *exempli causa.*

13) praeferam rursus e regio καταβάλῃ.

14) in aliis est καὶ ἐπ' ἐλευθέρων. videtur vtraque lectio sic componenda et reformanda esse: καὶ ἐλευθέρων ἐπ' ἐλευθερίᾳ καταβεβλήκασιν ἀργύριον. *multi pro multis iisque natu liberis aes dependerunt, quo amissam libertatem recuperarent.*

καταβεβλήκασιν ἀργύριον· οἱ μὲν πολεμίοις, οἱ δὲ λῃσταῖς λύτρα διδόντες; οἱ δέ τινες τὴν αὐτῶν τιμὴν καταβεβλήκασι τοῖς δεσπόταις· καὶ οὐ δήπου δοῦλοί εἰσιν οὗτοι αὐτῶν. ἀλλὰ μὴν, ὃν ἂν ἐξῇ ἑτέρῳ μαστιγῶσαι καὶ δῆσαι καὶ ἀνελεῖν καὶ ἄλλ', ὅ, τι ἂν βούληται, ἐργάσασθαι, οὗτος ἐκείνου δοῦλός ἐστι; τί δαί; οὐκ ἔξεστι τοῖς λῃσταῖς ταῦτα ποιεῖν τοὺς ληφθέντας; καὶ οὐδὲν μᾶλλον δοῦλοί εἰσι [15]). τί δέ; τοῖς δικασταῖς οὐκ ἔξεστι τιμᾶν καὶ δεσμοῦ καὶ θανάτου καὶ ἄλλου, ὅτου ἂν βούλωνται πολλοῖς τῶν κρινομένων; καὶ οὐ δήπου δοῦλοί εἰσιν οὗτοι. εἰ δὲ μίαν ἡμέραν, ἐν ᾗ κρίνεται ἕκαστος, οὐδὲν τοῦτο [16])· καὶ γὰρ μίαν ἡμέραν ἤδη τις λέγει γενέσθαι δοῦλος. ἀλλὰ μὴν, ἑνὶ λόγῳ συλλαβόντα χρὴ ἀποφήνασθαι, ὡς, ὅτῳ μὲν ἔξεστιν ὃ βούλεται πράττειν, ἐλεύθερός ἐστιν· ὅτῳ δὲ μὴ ἔξεστι, δοῦλος. οὐδ' ἐπὶ [17]) τῶν πλεόντων, οὐδὲ τῶν καμνόντων, οὐδὲ τῶν στρατευομένων, οὐδὲ τῶν μανθανόντων γράμματα, ἢ κιθαρίζειν, ἢ παλαίειν, ἢ ἄλλην τινὰ τέχνην, ἐρεῖς αὐτό· οὐ γὰρ ἔξεστι τούτοις πράττειν, ὡς αὐτοὶ ἐθέλουσιν, ἀλλ' ὡς ὅ, τε κυβερνήτης καὶ ἰατρὸς [18]) καὶ διδάσκαλος προστάττει [19]). οὐ τοί-

15) οὐδὲν μᾶλλον δοῦλοί εἰσι] sic recte Anglus. οὐδὲν ἧττον δοῦλοι — Ven. et Morell. Haud raro ista μᾶλλον et ἧττον inter se vitiose permutantur. exemplum est in annotat. Morelli ad p. 240, 32. ed. Mor. Casaubonus addit post δοῦλοι, οὐκ.

16) οὐδὲν τοῦτο] scil. πρὸς τὸ ἐρώτημα, vel πρὸς τὴν θέσιν. nihil hoc facit ad rem praesentem, non mutat quaestionem, non satisfacit ei.

17) fort. δοῦλος. ἀλλ' οὐδ' ἐπὶ.

18) post ἰατρὸς addendum esse καὶ στρατηγὸς e superioribus constat (v. v. 17. οὐδὲ τῶν στρατευομένων.)

19) προστάττει] sic dedi. vidit idem Anglus quoque et Valesius Emendat. p. 53. et res ipsa monstrat. Veneta et Morell. dant πράττει. Saepissime haec duo verba inter se permutantur ex errore in sigla commisso.

οὐ τοίνυν οὐδὲ τοῖς ἄλλοις ἔξεστιν ἃ ἐθέλουσι ποιεῖν, ἀλλ' ἐάν τις παρὰ τοὺς νόμους τοὺς κειμένους πράττῃ, ζημιώσεται. οὐκοῦν ὅσα μὴ ἀπείρηται [20]) ὑπὸ τῶν νόμων, μηδὲ προστέτακται, ὁ περὶ τούτων ἔχων αὐτὸς τὴν ἐξουσίαν τοῦ πράττειν, ὡς βούλεται, ἢ μή, ἐλεύθερος, ὁ δὲ τοὐναντίον, ἀδύνατος [21]), δῆλος. τί δαί; οἴει σοι ἐξεῖναι, ὅσα μὴ ἀπείρηται μὲν ὑπὸ τῶν νόμων ἐγγράφως, αἰσχρὰ δὲ ἄλλως δοκεῖ τοῖς ἀνθρώποις καὶ ἄτοπα· λέγω δέ, οἷον τελωνεῖν, ἢ πορνοβοσκεῖν, ἢ ἄλλα ὅμοια πράττειν; οὐ μὰ Δία, φαίην [22]) ἄν, οὐδὲ τὰ τοιαῦτα ἐξεῖναι τοῖς ἐλευθέροις. καὶ γὰρ περὶ τούτων ἐπίκειται ζημία, τὸ μισεῖσθαι ἢ δυσχεραίνεσθαι ὑπὸ τῶν ἀνθρώπων. τί δαί; τοῖς ἀκολάστοις ἀνθρώποις, ὅσα ποιοῦσι διὰ τὴν ἀκολασίαν, καὶ τοῖς ἀνοήτοις, ὅσα διὰ τὴν ἄνοιαν, ἢ οὐσίας ἀμελοῦντες, ἢ σώματος, ἢ ἀδίκως καὶ ἀγνωμόνως προσφερόμενοι ἀλλήλοις, οὐ πάντα ταῦτα ἐπιζήμια τοῖς ποιοῦσιν ἐστίν; ἢ γὰρ εἰς τὸ σῶμα, ἢ τὴν οὐσίαν, ἢ τὸ μέγιστον, τὴν ψυχὴν τὴν αὐτῶν βλάπτονται. τοῦτο μὲν ἀληθὲς λέγεις. οὐκοῦν οὐδὲ ταῦτα ἔξεστι πράττειν; οὐ γὰρ οὖν. ἑνὶ δὴ λόγῳ, τὰ μὲν φαῦλα καὶ ἄτοπα καὶ ἀσύμφορα οὐκ ἔξεστι πράττειν· τὰ δὲ δίκαια καὶ συμφέροντα καὶ ἀγαθά, χρὴ φάναι, ὅτι προσήκει τε καὶ ἔξεστιν; ἐμοὶ γοῦν δοκεῖ. οὐκοῦν οὐδενὶ τά τε φαῦλα καὶ ἀσύμφορα ποιεῖν, ἀζήμιόν ἐστιν, οὔτε Ἕλληνι, οὔτε βαρβάρῳ, οὔτε ὑπὲρ ὅτου τις τιμὴν δέδωκεν ἀργύριον. οὐ γὰρ οὖν. τὰ δέ γε ἐναντία πᾶσιν ὁμοίως ἐφεῖται· καὶ οἱ μὲν τὰ ἐφειμένα [23]) πράττοντες, ἀζήμιοι διατελοῦσιν· οἱ δὲ τὰ κεκωλυμένα, ζημιοῦνται. ἄλλοι

20) malim μηδ' ἀπείρηται.
21) ἀδύνατος] scil. πράττειν ὃ βούλεται.
22) Φαίην] hic incipit dialogismus.
23) ἐφειμένα] sic codex regius et vir doctus in Veneta mea, sed Veneta et Morell. dant ἐφιεμένα.

οὖν δοκοῦσί σοι πράττειν ἃ ἔξεστιν, ἢ οἱ ἐπιστάμενοι ταῦτα, καὶ ἄλλοι τἀναντία, ἢ οἱ ἀγνοοῦντες; οὐδαμῶς. οὐκοῦν οἱ φρόνιμοι [24]) ὅσα βούλονται πράττειν, ἔξεστιν αὐτοῖς· οἱ δὲ ἄφρονες, ἃ βούλονται, οὐκ ἐξὸν, ἐπιχειροῦσι πράττειν· ὥστε ἀνάγκη, τοὺς μὲν φρονίμους ἐλευθέρους τε εἶναι, καὶ ἐξεῖναι αὐτοῖς ποιεῖν, ὡς ἐθέλουσι· τοὺς δὲ ἀνοήτους δούλους τε εἶναι, καὶ ἃ μὴ ἔξεστιν αὐτοῖς, ταῦτα ποιεῖν; ἴσως. οὐκοῦν καὶ τὴν ἐλευθερίαν χρὴ λέγειν ἐπιστήμην τῶν ἐφειμένων [25]) καὶ τῶν κεκωλυμένων, τὴν δὲ δουλείαν, ἄγνοιαν ὧν τε ἔξεστι καὶ ὧν μή. ἐκ δὲ τούτου τοῦ λόγου, οὐδὲν ἂν κωλύοι, τὸν μέγαν βασιλέα, πάνυ μεγάλην τιάραν ἐπὶ τῆς κεφαλῆς ἔχοντα, δοῦλον εἶναι, καὶ μὴ ἐξεῖναι αὐτῷ πράττειν μηδὲν ὧν ποιεῖ· πάντα γὰρ ἐπιζημίως καὶ ἀσυμφόρως πράξει· ἄλλον δέ τινα δοῦλον δοκοῦντα καὶ ὀνομαζόμενον, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις, ἂν οὕτω τύχῃ, πεπραμένον, εἰ δὲ ἄρα τοῦτο [26]) συμβαίνοι, πέδας πάνυ παχείας ἔχοντα, μᾶλλον ἐλεύθερον εἶναι τοῦ μεγάλου βασιλέως. ἐμοὶ μὲν σφόδρα δοκεῖ ἄτοπον, εἰ πέδας ἔχων τις, ἢ ἐστιγμένος, ἢ ἐν μύλωνι ἀλῶν, ἐλεύθερος ἔσται μᾶλλον τοῦ μεγάλου βασιλέως. τί δέ; ἐν Θρᾴκῃ γέγονας; ἔγωγε. ἑώρακας οὖν ἐκεῖ τὰς γυναῖκας τὰς ἐλευθέρας στιγμάτων μεστὰς, καὶ τοσούτῳ πλείονα ἐχούσας στίγματα καὶ ποικιλώτερα, ὅσῳ ἂν βελτίους καὶ ἐκ βελτιόνων δοκοῦσι; τί οὖν τοῦτο [27]); ὅτι βασίλισσαν, ὡς ἔοικεν, οὐδὲν κωλύει ἐστιγμένην εἶναι,

24) οὐκοῦν οἱ φρόνιμοι] sic codex regius. Ven. et Morell. omittunt οἱ.

25) ἐφειμένων] sic dedi. ἐφιεμένων Ven. et Mor.

26) malim εἰ δ' ἄρα καὶ τοῦτο συμβ. et (*si hoc quoque contingat*). pro συμβαίνοι dat var. lect. Venetae συμβαίνει.

27) Veneta dat οὖν δὴ τοῦτο, sine τι, quod vir doctus adscripsit.

εἶναι, βασιλέα δὲ οἴει κωλύειν[28]); σὺ τοίνυν οὐδὲ περὶ ἐκείνου τοῦ ἔθνους ἀκήκοας, παρ' οἷς ὁ βασιλεὺς ἐν πύργῳ πάνυ ὑψηλῷ φυλάττεται, καὶ οὐκ ἔξεστιν αὐτῷ καταβῆναι ἀπὸ τοῦ πύργου; εἰ δέ γε ἀκηκόεις, ἠπίστω ἄν, ὅτι καὶ δεδεμένον ἐστὶν εἶναι βασιλέα[29]) περιειργμένον. καὶ τυχὸν ἥκουες ἂν ἐκείνων τῶν ἀνθρώπων θαυμαζόντων, εἰ διηγοῦ σὺ περὶ τοῦ Περσῶν βασιλέως, καὶ ἀπιστούντων, ὅτι ἐστί τις βασιλεὺς, περιελαύνων ἐφ' ἅρματος, καὶ ὅποι βούληται ἀπιών. ἀλλὰ δεδεμένον οὐκ ἀποδείξεις βασιλέα; οὐ τῶν γε ἀνθρώπων τυχόν· ἐπεὶ ὅ γε τῶν θεῶν βασιλεὺς ὁ πρῶτος καὶ πρεσβύτατος δέδεται, ὥς φασιν· εἰ χρὴ πιστεύειν Ἡσιόδῳ τε καὶ Ὁμήρῳ, καὶ ἄλλοις σοφοῖς ἀνδράσιν, οἳ περὶ Κρόνου ταῦτα λέγουσι. καὶ μὰ Δία οὐχ ὑπ' ἐχθροῦ ἀδίκως παθόντα[30]) τοῦτο, ἀλλ' ὑπὸ τοῦ δικαιοτάτου καὶ φιλτάτου, δηλονότι ὡς βασιλικὰ καὶ συμφέροντα ἐκείνῳ δρῶντος. οἱ δὲ τοῦτο μὲν ἀγνοοῦσι[31]), καὶ οὐδέποτ' ἂν οἰηθεῖεν πτωχὸν ἢ δεσμώτην ἢ ἄδοξον γενέσθαι βασιλέα; καίτοι τὸν Ὀδυσσέα ἀκούοντες, ὅτι πτωχὸς ὢν, καὶ τοὺς μνηστῆρας αἰτῶν, οὐδὲν ἧττον βασιλεὺς ἦν, καὶ τῆς οἰκίας

28) f. οἴει τι κωλύειν, aut οἴει πολλὰ κωλύειν. vir doctus in Veneta mea adſcripſerat κωλύεσθαι.

29) f. ὅτι καὶ περιειργμένον ἐστὶν εἶναι βασιλέα, ſine δεδεμένον. nam eo ſeruato, ſtultum eſſet opponere iſtud ἀλλὰ δεδεμένον οὐκ ἀποδείξεις βασιλέα. concedo, exemplum a te allatum eſſe regis intra moenia coerciti, et libertate eundi, quo velit, priuati, qui tamen rex, eoque liber ſit nihilominus. At compedibus certe vinctum tu mihi regem nullum oſtendes. reſpondet Dio: Forſitan fiat, vt exemplum regis hominis vincti nullum reperiam; at inter deos tamen eſt Saturnus —

30) παθόντα ſi bene habet, e proximo ſubaudiri debet λέγουσι. ego vero nullus dubito h. l. φασὶ deeſſe; vt ſit ἀδίκως φασὶ παθόντα τοῦτο.

31) f. οἱ δὲ πολλοὶ τοῦτο μὲν ἀγνοοῦσι.

οἰκίας κύριος· ὁ δὲ Ἀντίνοος καὶ ὁ Εὐρύμαχος, οὓς Ὅμηρος ὠνόμαζε βασιλέας, ἄθλιοι καὶ δυστυχεῖς. ἀλλὰ ταῦτα μὲν, ὡς ἔφην, ἀγνοοῦσι· σημεῖα δὲ αὐτοῖς περιτιθέασι τιάρας καὶ σκῆπτρα καὶ διαδήματα, μὴ λάθωσι βασιλεῖς ὄντες· ὥσπερ, οἶμαι, τοῖς βοσκήμασι χαρακτῆρας ἐπιβάλλουσιν οἱ δεσπόται, ὅπως ἐπίσημα ἔσται 32). τοιγαροῦν ὁ Περσῶν βασιλεὺς, ὅπως μὲν ἕξει μόνος ὀρθὴν τὴν τιάραν, ἐφρόντιζεν· καὶ εἴ τις ἄλλος τοῦτο ἐποίησεν, εὐθὺς ἐκέλευσεν ἀποθνήσκειν αὐτὸν, ὡς οὐκ ἐνὸν, οὐδὲ συμφέρον, ἐν τοσαύταις μυριάσιν ἀνθρώπων δύο εἶναι φοροῦντας τιάρας ὀρθάς 33)· ὅπως δὲ τὴν γνώμην ὀρθὴν ἕξει, καὶ μηδεὶς ἄλλος φρονήσει αὐτοῦ σοφώτερον 34), οὐδὲν αὐτῷ ἔμελεν. μὴ οὖν 35); ὥσπερ τῆς βασιλείας τῆς τότε τοιαῦτα ὑπῆρχε σημεῖα, καὶ νῦν δεῖ τῆς ἐλευθερίας τοιαῦτα ὑπάρχειν σύμβολα, καὶ βαδίζειν πῖλον ἔχοντα ἐπὶ τῆς κεφαλῆς, ἄλλως δὲ οὐ δυνησόμεθα γνῶναι τὸν ἐλεύθερον, ἢ τὸν δοῦλον.

32) ἔσται] sic aut cum Anglo leg. est, aut εἴη. Ven. et Mor. dant ἐστι.

33) τιάρας ὀρθὰς] sic recte Casaubonus. Ven. et Mor. omittunt ὀρθάς.

34) σοφώτερον] sic aut cum Veneta et codice regio leg. est, aut σοφώτερα in plur. σοφώτερος Morell.

35) μὴ οὖν] *ergone?* v. Morelli annotat. ad p. 438, 10.

ΠΕΡΙ

ΠΕΡΙ ΔΟΥΛΕΙΑΣ ΚΑΙ ΕΛΕΥΘΕΡΙΑΣ, ΔΕΥΤΕΡΟΣ.

ΛΟΓΟΣ ΙΕ'.

Ἀλλὰ μὴν ἔναγχος παρεγενόμην τισὶ διαμφισβητοῦσι περὶ δουλείας καὶ ἐλευθερίας, οὐκ ἐπὶ δικαστῶν, οὐδ' ἐν τῇ ἀγορᾷ, οὑτωσὶ δὲ κατ' οἰκίαν, ἐπὶ χρόνον πάμπολυν. καὶ παρῆσαν ἑκατέρῳ τοῖν ἀνδροῖν οὐκ ὀλίγοι σπουδάζοντες. ἐτύγχανον γὰρ ὑπὲρ ἄλλων πρότερον ἀντιλέγοντες, ὡς ἐμοὶ δοκοῦσιν· ἡττώμενος δὲ ἐν τοῖς λόγοις ἕτερος καὶ διαπορῶν, εἰς λοιδορίαν ἐτράπετο· ὥσπερ εἴωθε τοῦτο συμβαίνειν πολλάκις· καὶ ὠνείδισεν οὐχ ὡς ἐλεύθερον 1) ὄντα τὸν ἕτερον. καὶ ὃς πάνυ πρᾴως ἐμειδίασέ τε καὶ εἶπε· πόθεν δὲ ἔστιν, ὦ ἄριστε, εἰδέναι, ὅστις δοῦλος, ἢ ὅστις ἐλεύθερος; ναὶ μὰ Δία, ἔφη. ἐπίσταμαι γοῦν ἐμαυτὸν μὲν ἐλεύθερον ὄντα καὶ τούτους ἅπαντας· σοὶ δὲ οὐδὲν προσῆκον ἐλευθερίας. καί τινες τῶν παρόντων ἐγέλασαν. καὶ ὃς οὐδέν τι μᾶλλον ᾐσχύνθη· ἀλλ' ὥσπερ οἱ ἀλεκτρυόνες πρὸς τὴν πληγὴν ἐπεγείρονται καὶ θαῤῥοῦσιν, κἀκεῖνος ἐπηγέρθη καὶ ἐθάῤῥησε πρὸς τὴν λοιδορίαν, καὶ ἤρετο αὐτὸν, ὁπόθεν τοῦτο ἐπίσταται, τό περί τε αὐτοῦ 2), καὶ περὶ ἐκείνου. ὅτι, ἔφη, τὸν μὲν ἐμαυτοῦ πατέρα ἐπίσταμαι Ἀθηναῖον ὄντα, εἴπερ τις ἄλλος· τὸν δὲ σὸν, οἰκέτην τοῦ δεῖνος, εἰπὼν τὸ ὄνομα. καὶ ὃς, τί οὖν, εἶπε, κατὰ τοῦτο κωλύει με, ἐν Κυνοσάργει ἀλείφεσθαι μετὰ τῶν νόθων, εἴπερ ἐκ μητρὸς ἐλευθέρας, ἴσως δὲ καὶ ἀστῆς τυγχάνω γεγονὼς, καὶ πατρὸς, οὗ σὺ φῄς; ἢ οὐ πολ-

1) f. ὠνείδισεν ὡς οὐκ ἐλεύθ. et ſic Morellus quoque coniecit.
2) αὐτοῦ redit ad eum, cui ſeruilis conditio exprobrabatur, ἐκείνου ad eum, qui conuicio hoc alterum petiſſet.

οὐ πολλαὶ ἀσταὶ γυναῖκες δι' ἐρημίαν τε καὶ ἀπορίαν, αἱ μὲν ἐκ ξένων ἐκύησαν, αἱ δὲ ἐκ δούλων; τινὲς μὲν ἀγνοοῦσαι τοῦτο, τινὲς δὲ καὶ ἐπιστάμεναι; καὶ οὐδεὶς δοῦλός ἐστιν, ἀλλὰ μονονοὺκ 3) Ἀθηναῖος, τῶν οὕτω γεννηθέντων. ἀλλ' ἐγώ σου, ἔφη, καὶ τὴν μητέρα ἐπίσταμαι ὁμόδουλον τοῦ πατρός. εἶεν, ἔφη, τὴν δὲ σαυτοῦ οἶσθα; πάνυ μὲν οὖν ἀστὴν ἐξ ἀστῶν, καὶ προῖκα ἱκανὴν ἐπενηνεγμένην. ἦ καὶ ἔχοις ἂν ὀμόσας εἰπεῖν, ὡς, ἐξ οὗ φησιν ἐκείνη, ἐκ τούτου γέγονας; ὁ μὲν γὰρ Τηλέμαχος οὐ πάνυ ἠξίου διατείνεσθαι ὑπὲρ Πηνελόπης τῆς Ἰκαρίου, σφόδρα σώφρονος δοκούσης γυναικὸς, ὅτι ἀληθῆ λέγει, τὸν Ὀδυσσέα ἀποφαίνουσα αὐτοῦ πατέρα· σὺ δὲ οὐ μόνον ὑπὲρ σαυτοῦ, ἀλλὰ καὶ 4) τῆς σῆς μητρὸς, ἐὰν κελεύσῃ σέ τις, ὀμόσαι ἴσως ἔοικας. ἀλλὰ καὶ περὶ δούλης ἡστινοσοῦν, ἐξ ὅτου ποτὲ ἐκύησεν, ὥσπερ ἣν λέγεις ἐμὴν μητέρα. ἀδύνατον γάρ σοι δοκεῖ εἶναι ἐξ ἄλλου ἀνδρὸς κυῆσαι ἐλευθέρου, ἢ καὶ τοῦ αὐτῆς δεσπότου· οὐ πολλοὶ Ἀθηναίων συγγίνονται θεραπαίναις αὐτῶν, οἱ μέν τινες κρύφα, οἱ δὲ καὶ φανερῶς; οὐ γὰρ δήπου βελτίους εἰσὶ πάντες τοῦ Ἡρακλέους, ὃς οὐδὲ τῇ Ἰαρδάνου δούλῃ συγγενέσθαι ἀπηξίωσεν, ἐξ ἧς ἐγένοντο οἱ Σαρδέων βασιλεῖς. ἔτι δὲ οὐ δοκεῖ σοι, ὡς ἔοικε, Κλυταιμνήστρα, Τυνδάρεω μὲν θυγάτηρ, γυνὴ δὲ Ἀγαμέμνονος, μὴ μόνον Ἀγαμέμνονι συνεῖναι, τῷ αὐτῆς ἀνδρὶ, ἀλλὰ καὶ, ἀποδημήσαντος ἐκείνου, Αἰγίσθῳ συγγενέσθαι; καὶ Ἀερόπη, ἡ Ἀτρέως γυνὴ, τὴν Θυέστου προσδέξασθαι ὁμιλίαν; καὶ ἄλλαι πολλαὶ καὶ πάλαι καὶ νῦν ἐνδόξων καὶ πλουσίων ἀνδρῶν γυναῖκες, ἑτέροις συγγίνεσθαι, καὶ παῖδας ἐνίοτε ἐξ ἐκεί-

νων

3) μονονοὺκ — ἐγώ σου] sic codex regius. μονονοὺ — ἐγώ σοι Ven. et Morell.

4) σαυτοῦ, ἀλλὰ καὶ] tria haec verba delenda videntur, vt aliena ab h. l. et sententiam interturbantia.

νων ποιεῖσθαι· ἣν δὲ σὺ λέγεις θεράπαιναν, οὕτω πάνυ ἀκριβῶς φυλάττειν τὰ πρὸς τὸν ἄνδρα τὸν αὐτῆς, ὥστε μὴ ἂν ἑτέρῳ συγγίνεσθαι; ἔτι δὲ καὶ περὶ σαυτοῦ καὶ περὶ ἐμοῦ διαβεβαιοῖς, ὡς ἑκάτερος ἡμῶν ἐστι τῆς δοκούσης καὶ λεγομένης μητρός; καίτοι πολλοὺς Ἀθηναίων ἔχοις ἂν εἰπεῖν καὶ τῶν πάνυ γνωρίμων, οἳ ἐφάνησαν ὕστερον, οὐ μόνον πατρὸς, ἀλλὰ καὶ μητρὸς, οὐχ ἧς ἐλέγοντο, ὑποβολιμαῖοι ποθὲν τραφέντες. καὶ ταῦτα σὺ ἑκάστοτε ὁρᾷς δεικνύμενα καὶ λεγόμενα ὑπὸ τῶν κωμῳδιοδιδασκάλων, καὶ ἐν ταῖς τραγῳδίαις· καὶ ὅμως οὐδὲν ἧττον ἰσχυρίζῃ καὶ περὶ σαυτοῦ καὶ περὶ ἐμοῦ, ὡς εὖ εἰδὼς, ὅπως γεγόναμεν, καὶ ἐκ τίνων. οὐκ οἶσθα ἔφη, ὅτι κατηγορίας [5]) δίδωσιν ὁ νόμος γράψασθαι τοῦτον, ὃς ἂν βλασφημῇ τινα, οὐκ ἔχων ἀποδεῖξαι, περὶ ὧν λέγει, σαφὲς οὐδέν; καὶ ὅς, ἐπίσταμαι γὰρ, ἔφη, ὅτι αἱ μὲν ἐλεύθεραι γυναῖκες ὑποβάλλονται πολλάκις δι' ἀπαιδίαν, ὅταν μὴ δύνωνται αὐταὶ κυῆσαι· βουλομένη κατασχεῖν ἑκάστη τὸν ἄνδρα τὸν ἑαυτῆς, καὶ τὸν οἶκον, καὶ ἅμα οὐκ ἀποροῦσαι, ὅθεν τοὺς παῖδας θρέψωσι. τὰς δὲ δούλας τοὐναντίον, τὰς μὲν, πρὸ τοῦ τόκου διαφθειρούσας, τὰς δὲ ὕστερον, ἐὰν δύνωνται λαθεῖν, τὸ γινόμενον· ἔτι καὶ [6]) τῶν ἀνδρῶν συνειδότων, ὅπως μὴ πράγματα ἔχωσι, παιδοτροφεῖν ἀναγκαζόμενοι πρὸς τῇ δουλείᾳ. ναὶ μὰ Δία, ἔφη, πλήν γε τῆς Οἰνέως [7]) τοῦ Πανδίωνος, εἶπε, νόθου παιδός. ὁ γὰρ ἐκείνου νομεὺς ὁ ἐν ταῖς Ἐλευθέραις, καὶ

5) κατηγορίας] imo vero κακηγορίας. res nota ex oratoribus graecis. v. Salmasii Obſerv. ad Ius Atticum p. 254.

6) f. ἔτι δὲ καὶ τ.

7) τῆς Οἰνέως] ſic bene et feliciter emendauit Anglus, ſcil. δούλης. praeter ancillam Oenei, qui fuit filius nothus Pandionis. τῆς οἰήσεως Ven. et Mor. Morellus praeterea e codice regio Πανδίονος et Ἀμφίονα corrigit. ἐκείνου] Oenei puta.

καὶ ἡ γυνὴ ἡ τοῦ νομέως, οὐ μόνον οὐκ ἐξετίθεσαν αὐτοὶ γεννήσαντες, ἀλλὰ καὶ ἀλλότρια εὑρόντες ἐν τῇ ὁδῷ παιδία 8), οὐκ εἰδότες, ὅτου ποτὲ ἦσαν, ἀνελόμενοι ἔτρεφον, ὡς αὑτῶν, καὶ οὐδὲ ὕστερον ἑκόντες, οὐδέ ποτε ὡμολόγησαν, ὅτι ἀλλότριοι ἦσαν. σὺ δὲ ἴσως καὶ τὸν Ζῆθον καὶ τὸν Ἀμφίονα ἐλοιδόρεις ἄν, πρὶν φανεροὺς γενέσθαι, καὶ διώμνυσο ὡς περὶ δούλων τῶν τοῦ Διὸς υἱέων. καὶ ὅς γελάσας πάνυ εἰρωνικῶς· τοὺς τραγῳδοὺς, ἔφη, καλεῖς μάρτυρας. οἷς γε πιστεύουσιν, εἶπεν, οἱ Ἕλληνες. οὓς γὰρ ἐκεῖνοι 9) ἀποδεικνύουσιν ἥρωας, τούτοις φαίνονται 10) ἐναγίζοντες ὡς ἥρωσι, καὶ τὰ ἡρῷα ἐκείνοις ᾠκοδομημένα ἰδεῖν ἐστιν. ὅμως δὲ ἐννόησον, εἰ βούλει, καὶ τὴν Φρυγίαν τὴν Πριάμου δούλην, ἣ τὸν Ἀλέξανδρον ἐν τῇ Ἴδῃ ἐξέθρεψεν ὡς αὑτῆς υἱέα, λαβοῦσα παρὰ τοῦ ἀνδρὸς βουκόλου ὄντος, καὶ τὴν παιδοτροφίαν οὐ χαλεπῶς ἔφερεν. Τήλεφον δὲ, τὸν Αὔγης καὶ Ἡρακλέους, οὐχ ὑπὸ γυναικὸς, ἀλλ' ὑπὸ ἐλάφου, τραφῆναι λέγουσιν. ἢ δοκεῖ σοι ἔλαφος μᾶλλον ἐλεῆσαι ἂν βρέφος, καὶ ἐπιθυμῆσαι τρέφειν, ἢ ἄνθρωπος, ἐὰν τύχῃ οὖσα; φέρε δὴ πρὸς θεῶν· εἰ δὲ δὴ προσομολογήσαιμί σοι τούτους εἶναί μου γονέας, οὓς σὺ φῄς, πόθεν οἶσθα περὶ τῆς ἐκείνων δουλείας; ἢ καὶ τοὺς γονέας αὐτῶν ἠπίστω σαφῶς, καὶ ἕτοιμος εἶ καὶ περὶ ἐκείνων κατόμνυσθαι ἑκατέρου, ὅτι ἐξ ἀμφοῖν δούλοιν γεγόνασιν ἀμφότεροι, καὶ τοὺς ἔτι πρότερον καὶ ἐξ ἀρχῆς ἅπαντας; δῆλον γὰρ, ὡς, ἐάν περ ἐλεύθερος ᾖ τις τῶν ἐκ τοῦ γένους, οὐκέτι οἷόν τε τοὺς ἀπ' ἐκείνων 11) δούλους ὀρθῶς νομίζεσθαι. τοῦτο δὲ οὐ δυνατόν ἐστι, ὦ βέλτιστε, ὥς φασιν, ἐκ τοῦ παν-

8) παιδία] Zethum et Amphionem.
9) ἐκεῖνοι] poetae tragici.
10) Φαίνονται] reliqui graeci.
11) ἐκείνων] imo vero ἐκείνου.

παντὸς αἰῶνος, εἶναί τι γένος ἀνθρώπων, ἐν ᾧ οὐκ ἄπειροι μὲν ἐλεύθεροι γεγόνασιν, οὐκ ἐλάττους δὲ τούτων οἱ δεδουλευκότες· καὶ νὴ Δία τύραννοι, καὶ βασιλεῖς, καὶ δεσμῶται, καὶ στιγματίαι, καὶ κάπηλοι, καὶ σκυτοτόμοι, καὶ τἆλλα ὅσα ἐν ἀνθρώποις ἐστὶν, ἁπάσας μὲν εὐεργεσίας 12), ἅπαντας δὲ βίους, ἁπάσας δὲ τύχας καὶ ξυμφορὰς μετηλλαχότες. ἢ οὐκ οἶσθα τούτου ἕνεκεν 13) τὰ τῶν ἡρώων λεγομένων γένη, εὐθὺς εἰς θεοὺς οἱ ποιηταὶ ἀναφέρουσιν, ὥστε μηκέτι ἐξετάζεσθαι τὸ πρόσωπον 14); καὶ τοὺς γε πλείονας αὐτῶν φασιν ἐκ Διὸς γεγονέναι, ἵνα μὴ αὐτοῖς οἵ τε βασιλεῖς καὶ οἱ οἰκισταὶ τῶν πόλεων καὶ ἐπώνυμοι, εἰς τοιαῦτα ἐμπίπτωσιν, ἃ δοκεῖ παρὰ τοῖς ἀνθρώποις ὀνείδη εἶναι. ὥστε, εἴπερ οὕτως ἔχει τὰ τῶν ἀνθρώπων, ὡς ἡμεῖς τε καὶ ἄλλοι σοφώτεροι ἡμῶν φασιν, οὐδὲν ἂν μᾶλλόν σοι προσήκει 15) ἐλευθερίας κατὰ γένος, ἢ ὁτῳοῦν τῶν σφόδρα δοκούντων οἰκετῶν· εἰ μὴ ἄρα καὶ σὺ φθάσεις ἀναγαγὼν εἰς Δία, ἢ εἰς Ποσειδῶνα, ἢ Ἀπόλλωνα, τοὺς σαυτοῦ προγόνους, τοὺς δέ γε ἐμοῦ 16) εἰς δούλους. τὸ μὲν τοίνυν, ἔφη, τοῦ γένους 17), καὶ τὸ τῶν προγόνων, ἐῶμεν· ἐπειδὴ οὕτω σοι δοκεῖ ἀστάθμητον εἶναι· ἴσως γάρ τοι ἀναφανήσῃ ὥσπερ Ἀμφίων καὶ Ζῆθος καὶ Ἀλέξανδρος ὁ Πριάμου γεγονώς. ἀλλά σέ γε αὐτὸν

12) εὐεργεσίας] imo vero ἐργασίας.

13) f. οὐκ οἶσθα, ὅτι τούτου ἕνεκα.

14) τὸ πρόσωπον] imo vero τὸ, vel τὰ πρόσω. *vlteriora, altiora*, quae antecesserunt ipsorum natales, id est patres et maiores.

15) malim προσήκοι, aut προσήκῃ.

16) ἐμοῦ] imo vero ἐμούς. In Veneta est τοῦ δέ γ' ἐμοὶ περὶ δουλείας. quod quid sibi velit haud video. in codice regio est οὐδέ γε ἐμοὶ περὶ δουλείας, vt in marg. Morell. repraesentatur.

17) τοῦ γένους] sic Veneta. Morell. dat γένος et omittit τοῦ.

τὸν πάντες ἐπιστάμεθα δουλεύοντα. τί δέ; εἶπε· δοκοῦσί σοι πάντες οἱ δουλεύοντες, δοῦλοι; ἀλλὰ οὐ πολλοὶ αὐτῶν ἐλεύθεροι ὄντες, καὶ ἀδίκως δουλεύοντες; ὧν τινὲς ἤδη καὶ εἰς δικαστήριον ἐλθόντες, ἀπέδειξαν ἐλευθέρους ὄντας ἑαυτούς 18). οἱ δέ τινες καὶ ἀνέχονται 19) μέχρι παντὸς, οὐκ ἔχοντες ἀποδεῖξαι φανερῶς περὶ τῆς ἐλευθερίας, ἢ οἷς ἂν χαλεποὶ οὐκ ὦσιν 20) οἱ λεγόμενοι αὐτῶν δεσπόται. ἐπεὶ φέρε, Εὔμαιος, ὁ Κτησίου τοῦ Ὀρμένου ἀνδρὸς πάνυ ἐλευθέρου καὶ πλουσίου παῖς, οὐκ ἐδούλευσεν ἐν Ἰθάκῃ παρ' Ὀδυσσεῖ καὶ Λαέρτῃ; καὶ ἐνὸν αὐτῷ ἀποπλεῦσαι πολλάκις οἴκαδε, εἰ ἐβούλετο, οὐδέποτε ἠξίωσε. τί δαί; Ἀθηναῖοι πολλοὶ τῶν ἐν Σικελίᾳ ληφθέντων οὐκ ἐδούλευον ἐν Σικελίᾳ καὶ ἐν Πελοποννήσῳ, ἐλεύθεροι ὄντες; καὶ ἐν ἄλλαις πολλαῖς μάχαις, οἱ ἀεὶ αἰχμάλωτοι γινόμενοι, οἱ μὲν χρόνον τινὰ, ἕως ἂν εὕρωσι τοὺς λυσομένους, οἱ δὲ μέχρι παντός. ὁπότε καὶ ὁ Καλλίου υἱὸς ἔδοξε δουλεῦσαι πολὺν χρόνον ἐπὶ Θρᾴκης, μετὰ τὴν μάχην, ἣν Ἀθηναῖοι περὶ ’κανθον ἡττήθησαν· ὥστε καὶ ὕστερον διαφυγὼν καὶ ἀφικόμενος, ἠμφισβήτει τοῦ κλήρου τοῦ Καλλίου, καὶ πολλὰ πράγματα παρεῖχε τοῖς ξυγγενέσιν. ἐκεῖνος μὲν, οἶμαι, ψευδόμενος· ἦν γὰρ οὐχ υἱὸς, ἀλλ' ἱπποκόμος Καλλίου, τὴν δὲ ὄψιν ὅμοιος τῷ τοῦ Καλλίου μειρακίῳ, ὃ ἔτυχεν ἐν τῇ μάχῃ τελευτῆσαν· ἔτι δὲ ἡλλήνιζεν ἀκριβῶς, καὶ γράμματα ἠπίστατο. ἀλλὰ ἕτεροί γε μυρίοι τοῦτο πεπόνθασιν· ἐπεὶ καὶ τῶν νῦν τῶν 21) ἐνθάδε δουλευόν-

18) pro ἐλθόντες vult Morellus e codice regio εἰσελθόντες. — ἀπέδειξαν ἑαυτοὺς ἐλευθέρους] eoque ipsi semet in libertatem vindicarunt.

19) ἀνέχονται] scil. τὴν δουλείαν. manent serui, tolerant seruitutem vsque ad finem vitae.

20) χαλεποὶ οὐκ ὦσιν] sic recte Casaubonus. Veneta et Morell. omittunt οὐκ.

21) τῶν secundum delendum videtur.

λευόντων, οὐκ ἀπογινώσκω πολλοὺς εἶναι ἐλευθέρους. οὐ γὰρ, ἐὰν μὲν[22]) Ἀθηναίων τις ἁλοὺς κατὰ πόλεμον εἰς Πέρσας ἀπαχθῇ, καὶ νὴ Δία[23]), ἐὰν εἰς Θρᾴκην ἢ Σικελίαν ἀχθεὶς ἀπεμποληθῇ, φήσομεν ἐλεύθερον ὄντα δουλεύειν; ἐὰν δὲ Θρᾳκῶν τις, ἢ Περσῶν, μὴ μόνον ἐξ ἐλευθέρων γεγονὼς ἐκεῖ, δεῦρο ἀχθῇ, ἀλλὰ καὶ δυνάστου τινὸς ἢ βασιλέως υἱὸς, οὐχ ὁμολογήσομεν ἐλεύθερον εἶναι; οὐκ οἶσθα τὸν Ἀθήνησιν[24]), ἔφη, νόμον, παρὰ πολλοῖς δὲ καὶ ἄλλοις, ὅτι τὸν φύσει δοῦλον γενόμενον οὐκ ἐᾷ μετέχειν τῆς πολιτείας; τὸν δὲ Καλλίου υἱὸν, εἴπερ ὄντως ἐσώθη ποτὲ ἁλοὺς, ἀφικόμενον ἐκ Θρᾴκης, συχνὰ ἔτη γεγονότα ἐκεῖ, καὶ πολλάκις μεμαστιγωμένον, οὐδεὶς ἂν ἠξίου τῆς πολιτείας ἀπελαύνειν ἐνίοτε[25]). ὥστε καὶ ὁ νόμος οὐ φησι δούλους γεγονέναι τοὺς ἀδίκως δουλεύσαντας. τί δὲ καὶ ποιοῦντά με ἐπίστασαι, πρὸς θεῶν, ἢ τί πάσχοντα, ὅτι με φῂς ἐπίστασθαι δουλεύοντα; τρεφόμενον ἔγωγε ὑπὸ τοῦ δεσπότου, καὶ ἀκολουθοῦντα ἐκείνῳ, καὶ ποιοῦντα ὅ, τι ποτ᾽ ἐκεῖνος προστάττει[26]); εἰ δὲ μὴ, παιόμενον. οὕτω μὲν, ἔφη, καὶ τοὺς υἱοὺς ἀποφαίνεις δούλους τῶν πατέρων. καὶ γὰρ ἀκολουθοῦσι πολλοῖς τῶν πενήτων[27]), καὶ εἰς γυμνάσιον βαδίζουσι, καὶ ἐπὶ δεῖπνον, καὶ τρέφονται πάντες ὑπὸ τῶν πατέρων, καὶ παίονται πολλά-

22) ἐὰν μὲν] sic recte Casaubonus et Anglus. ἐὰν μὴ Ven. et Morell. vir autem doctus Venetae meae margini adscripsit οὐ γὰρ μὴ, ἐὰν ἀθην.

23) f. ἀπαχθῇ, ἢ καὶ νὴ Δ.

24) τὸν ἀθήνησιν] subaudi κείμενον.

25) ante ἐνίοτε deesse quaedam videntur. e. c. πρόδηλον ὂν, ὃ σὺ ἔοικας ἀγνοεῖν, τὸ τοὺς δουλεύοντας ἐλευθέρους εἶναι ἐνίοτε.

26) προστάττῃ, aut προστάττοι.

27) significat moris fuisse, vt liberi pauperum patres suos, seu in gymnasium, seu ad epulas publicas euntes, affectarentur. ergo diuitum liberi non sic.

κις ὑπ' αὐτῶν, καὶ πείθονται[28]) ὅ, τι ἂν ἐκεῖνοι προστάττωσιν αὐτοῖς. καίτοι ἕνεκα τοῦ πείθεσθαι, καὶ πληγὰς λαμβάνειν, καὶ τῶν γραμματιστῶν οἰκέτας φήσεις τοὺς παρ' αὐτοῖς μανθάνοντας; καὶ τοὺς παιδοτρίβας δεσπότας εἶναι τῶν μαθητῶν, ἢ τοὺς ἄλλο τι διδάσκοντας; καὶ γὰρ προστάττουσιν αὐτοῖς, καὶ τύπτουσι μὴ πειθομένους. νὴ Δί', ἔφη. ἀλλ' οὐκ ἔστι τοῖς παιδοτρίβαις, οὐδὲ τοῖς ἄλλοις διδασκάλοις δῆσαι τοὺς μαθητὰς, οὐδὲ ἀποδόσθαι, οὐδέ γε εἰς μύλωνα ἐμβαλεῖν· τοῖς δέ γε δεσπόταις ἅπαντα[29]) ταῦτα ἐφειμένα ἐστίν. ἴσως γὰρ οὐκ οἶσθα, ὅτι παρὰ πολλοῖς καὶ σφόδρα εὐνομουμένοις ταῦτα, ἃ λέγεις, ἔξεστι τοῖς πατράσι περὶ τοὺς υἱέας, καὶ δεῖν, ἐὰν βούλωνται, καὶ ἀποδίδοσθαι, καὶ ὅ, τι τούτων χαλεπώτερον· ἐφεῖται γὰρ αὐτοῖς ἀποκτεῖναι, μήτε κρίναντας, μήτε ὅλως αἰτιασαμένους. ἀλλ' ὅμως οὐδὲν μᾶλλον δοῦλοί εἰσι τῶν πατέρων, ἀλλὰ υἱεῖς· εἰ δὲ δὴ ὅτι μάλιστα ἐδούλευον, καὶ δοῦλος[30]) ἐξαρχῆς ὑπῆρχον δικαίως, τί με, ἔφη, κωλύει νῦν ἐλεύθερον εἶναι μηδενὸς ἔλαττον· σὲ δὲ αὖ τοὐναντίον, εἰ καὶ σφόδρα ἐξ ἐλευθέρων ἦσθα, δοῦλον εἶναι παντὸς μᾶλλον; ἐγὼ μὲν, εἶπεν, οὐχ ὁρῶ, ὅπως, ἐλεύθερος ὤν, δοῦλος ἔσομαι· σὲ δὲ οὐκ ἀδύνατον ἐλεύθερον γενέσθαι, ἀφέντος τοῦ δεσπότου. τί δαὶ, ὦ λῷστε, ἔφη, οὐθεὶς ἂν γένοιτο ἐλεύθερος μὴ ὑπὸ τοῦ δεσπότου ἀφεθείς; πῶς γάρ; εἶπεν. ὅπως[31]) Ἀθη-

28) f. ὑπ' αὐτῶν, ἂν μὴ πείθωνται.

29) ἅπαντα] sic recte Veneta. ἅπαντας Mor.

30) δοῦλος] sic dedi; nam ὑπῆρχον est prima persona sing. *si vel aequissimo iure seruus fuerim.* Ven. et Mor. dant δοῦλοι.

31) ὅπως] subaudi οἱ πρότερον δοῦλοι ἐγένοντο ἂν ἐλεύθεροι. *eo modo, quo serui, qui ante fuerunt, libertate donati fuissent,* (si res successum habuisset) *Atheniensibus sciscentibus.*

Ἀθηναίων ψηφισαμένων μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην τοὺς συμπολεμήσαντας οἰκέτας ἐλευθέρους εἶναι. εἰ προὔβη ὁ πόλεμος, ἀλλὰ μὴ διελύσατο θᾶττον ὁ Φίλιππος πρὸς αὐτοὺς, πολλοὶ ἂν τῶν Ἀθήνησιν οἰκετῶν, ἢ μικροῦ πάντες, ἐλεύθεροι ἦσαν, οὐχ ὑπὸ τοῦ δεσπότου ἕκαστος ἀφεθείς. ἔστω τοῦτό γε, εἰ δημοσίᾳ σε ἡ πόλις ἐλευθερώσει. τί δαί; ἐμαυτὸν οὐκ ἄν σοι δοκῶ ἐλευθερῶσαι; εἴ γε ἀργύριόν ποθεν καταβάλλοις τῷ δεσπότῃ, τοῦτόν φημι τὸν τρόπον· ἀλλὰ 32) ὅνπερ Κῦρος οὐ μόνον ἑαυτὸν, ἀλλὰ καὶ Πέρσας ἅπαντας ἠλευθέρωσε, τοσοῦτον ὄχλον, οὔτε ἀργύριον οὐδενὶ καταβαλὼν, οὔτε ὑπὸ τοῦ δεσπότου ἀφεθείς. ἢ οὐκ οἶσθα, ὅτι λυχνοποιὸς ἦν ὁ Κῦρος Ἀστυάγου καὶ ὁπότε γε ἠδυνήθη, καὶ ἔδοξεν αὐτῷ, ἐλεύθερος ἅμα καὶ βασιλεὺς ἐγένετο τῆς Ἀσίας ἁπάσης; εἶεν ἐμὲ δὲ πῶς ἂν φῂς δοῦλον γενέσθαι 33); ὅτι μυρίοι δήπου ἀποδίδονται ἑαυτοὺς ἐλεύθεροι ὄντες, ὥστε δουλεύειν κατὰ συγγραφὴν ἐνίοτε, ἐπ' οὐδενὶ τῶν μετρίων, ἀλλ' ἐπὶ πᾶσι τοῖς χαλεπωτάτοις; τέως μὲν οὖν προσεῖχον τοῖς λόγοις οἱ παρόντες, ὡς οὐ μετὰ σπουδῆς λεγομένοις μᾶλλον, ἢ μετὰ παιδιᾶς· ὕστερον δὲ ἐφιλονείκουν καὶ ἐδόκει ἄτοπον εἶναι, εἰ μηδὲν ἔσται εἰπεῖν τεκμήριον, ᾧ τις ἀναμφιλόγως διακρίνει 34) τὸν δοῦλον ἀπὸ τοῦ ἐλευθέρου, ἀλλ' εὐμαρὲς ἔσοιτο περὶ παντὸς ἀμφισβητεῖν καὶ ἀντιλέγειν. ἀφέντες οὖν ὑπὲρ ἐκείνου σκοπεῖν καὶ τῆς ἐκείνου δουλείας, ἐσκόπουν, ὅστις εἴη δοῦλος. καὶ

32) ἀλλὰ] ſubaudi κατὰ τοῦτον τὸν τρόπον οὐ δοκῶ σοι ἐμαυτὸν ἂν ἐλευθερῶσαι. *verum tamen hoc quidem modo, quo Cyrus — non videor tibi ipſemet me in libertatem poſſe aſſerere?*

33) poſt γενέσθαι videntur aliqua deeſſe; nam inſequentia non ſatis cohaerent cum ſuperioribus.

34) f. διακρινεῖ, aut διακρίνῃ, aut διακρίνειε.

ἐδόκει αὐτοῖς, ὃν ἄν τις κεκτημένος[35]) κυρίως, ὥσπερ ἄλλο τι τῶν αὐτοῦ χρημάτων ἢ βοσκημάτων, ὥστε ἐξεῖναι αὐτῷ χρῆσθαι ὅ, τι βούλεται· οὗτος ὀρθῶς λέγεσθαί τε καὶ εἶναι δοῦλος τοῦ κεκτημένου. πάλιν οὖν ἠμφισβήτει ὁ περὶ τῆς δουλείας ἀντιλέγων, ὅ, τι ποτὲ εἴη τὸ κύριον τῆς κτήσεως. καὶ γὰρ οἰκίαν, καὶ χωρίον, καὶ ἵππον, καὶ βοῦν πολλοὺς ἤδη φανῆναι[36]) τῶν κεκτημένων πολὺν χρόνον, οὐ δικαίως ἔχοντας, ἐνίοτε δὲ καὶ παρὰ τῶν πατέρων παρειληφότας[37])· οὕτω δὴ καὶ ἄνθρωπον εἶναι ἀδίκως κεκτῆσθαι· καὶ γὰρ δὴ τῶν κτωμένων εἶναι[38]) τοὺς οἰκέτας, ὥσπερ καὶ τ' ἄλλα ξύμπαντα· οἱ μὲν γὰρ ἄλλως λαμβάνουσιν ἢ χρησαμένου τινὸς[39]), ἢ κληρονομήσαντος, ἢ πριαμένου· τινὲς δὲ ἐξ ἀρχῆς τοὺς παρὰ σφίσι γεννηθέντας, οὓς οἰκογενεῖς καλοῦσι. τρίτος δὲ κτήσεως τρόπος, ὅταν ἐν πολέμῳ λαβὼν αἰχμάλωτον, ἢ καὶ ληϊσάμενος, κατὰ τοῦτον τὸν τρόπον ἔχῃ καταδουλωσάμενος, ὅσπερ, οἶμαι, πρεσβύτατος ἁπάντων ἐστί. τοὺς γὰρ πρώτους γενομένους δούλους οὐκ εἰκὸς ἐκ δούλων φῦναι τὴν ἀρχήν· ἀλλὰ ὑπὸ λῃστείας ἢ πολέμου κρατηθέντας, οὕτως ἀναγκασθῆναι δουλεύειν τοῖς λαβοῦσιν. οὐκοῦν οὗτος ὁ παλαιότατος τρόπος, ἐξ οὗ πάντες οἱ λοιποὶ ἤρτηνται, σφόδρα ἀσθενὴς καὶ οὐδὲν ἔχων ἰσχυρόν· ὅταν γάρ ποτε

35) f. ὃν ἄν τις ἔχῃ κεκτημένος.

36) Φανῆναι] sic vir doctus in marg. Venetae. Φανεῖναι Ven. et Mor.

37) *tametsi etiam ea, vt subinde fit, a patribus haereditate tradita accepissent.*

38) dele εἶναι, et paulo post pro γὰρ ἄλλως lege παρ' ἄλλων. *nam eorum, qui seruos adipiscuntur,* (vel *acquirunt sibi*, vel *possident*,) *vt reliqua omnia, sic et hos, aut ab aliis accipiunt* —

39) f. ἢ χαρισαμένου τινὸς, *siue quod alter,* prior dominus, *eos ipsis donauerit,* ἢ κληρονομήσαντες, *siue haereditate,* ἢ πριάμενοι, *siue emtione.*

ποτε δυνηθῶσιν ἐκεῖνοι πάλιν ἀποφυγεῖν, οὐδὲν κωλύει ἐλευθέρους εἶναι αὐτοὺς, ὡς ἀδίκως δουλεύοντας· ὥστε οὐδὲ πρότερόν ποτε δοῦλοι ἦσαν. ἐνίοτε δὲ οὐ μόνον αὐτοὶ ἀπέφυγον τὴν δουλείαν, ἀλλὰ καὶ τοὺς δεσπότας κατεδουλώσαντο. κἀνταῦθα ἤδη, φασὶν, ὀστράκου μεταπεσόντος, ἅπαν γίνεται τοὐναντίον τῶν πρότερον. εἶπεν οὖν τις τῶν παρόντων, ὅτι ἐκεῖνοι μὲν αὐτοὶ ἴσως οὐκ ἂν λέγοιντο δοῦλοι, τοῖς δὲ ἐξ αὐτῶν γεννωμένοις καὶ τοῖς δευτέροις καὶ τοῖς τρίτοις κυρίως ἂν ἤδη προσήκοι τοῦ ὀνόματος. καὶ πῶς; εἰ μὲν γὰρ τὸ ἁλῶναι ποιεῖ δουλεύειν αὐτοὺς, τοῖς ἑαλωκόσι 40) μᾶλλον προσήκοι, ἂν ἢ τοῖς ἐξ ἐκείνων; εἰ δὲ τὸ ἐκ δούλων γεγονέναι, δηλονότι ἐξ ἐλευθέρων ὄντες τῶν ἑαλωκότων, οἱ μετ' αὐτοὺς οὐκ ἂν εἶεν οἰκέται· καὶ γὰρ δὴ ὁρῶμεν Μεσσηνίους ἐκείνους 41), δι' ὅσων ἐτῶν, οὐ μόνον τὴν ἐλευθερίαν, ἀλλὰ καὶ τὴν χώραν ἐκομίσαντο τὴν αὐτῶν. ἐπεὶ γὰρ ἡττήθησαν ἐν Λεύκτροις ὑπὸ Θηβαίων Λακεδαιμόνιοι, στρατεύσαντες εἰς Πελοπόννησον Θηβαῖοι μετὰ τῶν συμμάχων, ἠνάγκασαν τήν τε χώραν τὴν Μεσσηνίαν ἀποδοῦναι Λακεδαιμονίους, καὶ ὅσοι ἦσαν ἀπ' ἐκείνων γεγονότες. δουλεύοντες πρότερον γὰρ Λακεδαιμόνιοι, τοὺς 42) Εἵλωτας λεγομένους κατῴκισαν πάλιν εἰς Μεσσήνην. καὶ ταῦτα οὐδεὶς φησιν ἀδίκως πεποιηκέναι τοὺς Θηβαίους· ἀλλὰ παγκάλως καὶ δικαίως. ὥστε, εἴπερ οὗτος ὁ τρόπος οὐ δίκαιός ἐστι τῆς κτήσεως, ἐξ οὗ πάντες οἱ λοιποὶ τὴν ἀρχὴν ἔχουσι, κινδυνεύει μηδὲ ἄλλος μηδεὶς εἶναι, μηδὲ τῷ ὄντι καὶ κατ' ἀλήθειαν δοῦλος λέγεσθαι. ἀλλὰ 43) μὴ οὐχ οὗτος ᾖ λεγόμενος ἐξ ἀρχῆς ὁ δοῦλος, ὑπὲρ ὅτου ἀργύριόν τις

40) f. δουλεύειν, αὐτοῖς τοῖς ἑαλωκόσι.
41) Ven. et Mor. post ἐκείνους addunt ὡς, quod Casaubonus recte delet.
42) l. δουλεύοντες πρότερον παρὰ Λακεδαιμονίοις, τοὺς —
43) ἀλλὰ [scil. ὅρα, vide] μή.

τοῦ σώματος 44) κατέβαλεν, ἢ ὃς ἂν ἐκ δούλων λεγομένων ᾖ γεγονὼς, ὥσπερ οἱ πολλοὶ νομίζουσι· πολὺ δὲ μᾶλλον, ὥσπερ ὁ ἐλεύθερος 45) καὶ δουλοπρεπής. τῶν μὲν γὰρ λεγομένων δούλων πολλοὺς ὁμολογήσομεν δήπου εἶναι ἐλευθερίους· τῶν δέ γε ἐλευθέρων πολλοὺς πάνυ δουλοπρεπεῖς. ἔτι δὲ ὥσπερ τοὺς γενναίους καὶ τοὺς εὐγενεῖς· τούτους γὰρ οἱ ἐξ ἀρχῆς ὠνόμασαν, τοὺς εὖ γεγονότας πρὸς ἀρετὴν, οὐδὲν πολυπραγμονοῦντες, ἐκ τίνων εἶεν· ὕστερον δὲ οἱ ἐκ τῶν πάνυ πλουσίων καὶ τῶν ἐνδόξων ὑπό τινων εὐγενεῖς ἐκλήθησαν. τούτου δὲ σημεῖον σαφέστατον. ἐπὶ γὰρ τῶν ἀλεκτρυόνων, καὶ τῶν ἵππων, καὶ τῶν κυνῶν, διέμεινε τὸ ὄνομα, ὥσπερ καὶ ἐπὶ τῶν ἀνθρώπων εἶχε τὸ παλαιόν. ὁ γὰρ θεασάμενος 46) θυμοειδῆ καὶ γαῦρον καὶ πρὸς δρόμον εὖ ἔχοντα, οὐ πυθόμενος, εἴτε ἐξ Ἀρκαδίας ὁ πατὴρ αὐτοῦ ἐτύγχανεν ὢν, εἴτε ἐκ Μηδίας, εἴτε Θετταλὸς, φησὶν εὐγενῆ, τὸν ἵππον αὐτὸν κρίνων. ὁμοίως δὲ ὃς ἂν ἔμπειρος κυνῶν, ἐὰν κύνα 47) ἴδῃ ταχεῖαν καὶ πρόθυμον καὶ συνετὴν περὶ τὸ ἴχνος, οὐδὲν ἐπιζητεῖ, πότερον ἐκ Καρῶν τὸ γένος, ἢ Λάκαινα, ἢ ἀλλαχόθεν ποθὲν, ἀλλά φησι γενναίαν τὴν κύνα. τὸ αὐτὸ δὲ τοῦτο ἐπ' ἀλεκτρυό-

νος

44) Construſtio eſt ὑπὲρ τοῦ σώματος ὅτου — *ſuper corpore cuius.* malim tamen poſt τις addi τιμήν.

45) f. leg. ὥσπερ ἀνελεύθερος, *quisquis illiberali et ſeruili eſt ingenio.* ſed videtur aliquid deeſſe, cuius rei indicio eſt inſequens ὥσπερ τοὺς γενναίους καὶ τοὺς εὐγενεῖς, quod pendet nunc, olim redibat ad praemiſſa, quibus hodie caremus. video quidem amiſſorum ſententiam, quae haec aut fuit, aut potuit fuiſſe: ſed vide, ne *ſerui* et *liberi* ſit par ratio et vis, atque eſt *illiberalis* et *liberalis.* ſed verba quis dabit ſine bono codice?

46) f. καὶ γὰρ ἵππον θεασάμενος.

47) κυνῶν ἐὰν κύνα] ſic recte codex regius. ſed Ven. et Mor. omittunt ἐάν.

νος καὶ τῶν ἄλλων ζώων. οὐκοῦν δηλονότι καὶ ἐπ᾽ ἀνθρώπων οὕτως ἔχοι ἂν 48), ὥστε, ὃς ἂν ᾖ πρὸς ἀρετὴν καλῶς γεγονώς, τοῦτον προσήκει γενναῖον λέγεσθαι, κἂν μηδεὶς ἐπίστηται τοὺς γονέας αὐτοῦ, μηδὲ τοὺς προγόνους. ἀλλὰ μὴν οὐχ οἷόν τε γενναῖον μὲν εἶναί τινα, μὴ εὐγενῆ δὲ τοῦτον· οὐδ᾽ εὐγενῆ ὄντα, μὴ ἐλεύθερον εἶναι. ὥστε καὶ τὸν ἀγεννῆ πάντα 49) ἀνάγκη δοῦλον εἶναι. καὶ γὰρ δὴ εἰ τὸ τῆς δουλείας καὶ τῆς ἐλευθερίας 50) ἔθος ἦν ἐπί τε ἵππων λέγεσθαι, καὶ ἀλεκτρυόνων καὶ κυνῶν, οὐκ ἂν ἄλλους μὲν γενναίους εἶναι ἐλέγομεν, ἄλλους δὲ ἐλευθέρους· οὐδὲ ἄλλους μὲν δούλους, ἄλλους δὲ ἀγενεῖς. ὁμοίως δὴ καὶ ἐπ᾽ ἀνθρώπων, οὐκ ἄλλους μὲν εἰκός ἐστι γενναίους καὶ εὐγενεῖς λέγειν, ἄλλους δὲ ἐλευθέρους, ἀλλὰ τοὺς αὐτούς· οὐδὲ ἄλλους μὲν ἀγενεῖς καὶ ταπεινούς, ἄλλους δὲ δούλους. καὶ οὕτω δὴ ἀποφαίνει ὁ λόγος, οὐ τοὺς φιλοσόφους μεταφέροντας τὰ ὀνόματα· ἀλλὰ τοὺς πολλοὺς τῶν ἀνοήτων ἀνθρώπων, διὰ τὴν ἀπειρίαν.

48) ἔχοι ἂν] sic recte vir doctus in margine Venetae meae. ἔχοιεν ἂν Ven. et Mor.
49) l. πᾶσα ἀνάγκη.
50) ἐλευθερίας] subaudi ὄνομα, vel potius adde.

ΠΕΡΙ ΛΥΠΗΣ.

ΛΟΓΟΣ ΙΣΤ'.

Τὸ μὲν ὑφ᾽ ἡδονῆς κρατεῖσθαι τοὺς πολλούς, αἰτίαν ἴσως ἔχει· κηλούμενοι γὰρ καὶ γοητευόμενοι παρὰ ταύτῃ μένουσι· τὸ δὲ λύπῃ δεδουλῶσθαι, παντελῶς ἄλογον καὶ θαυμαστόν. ὀδυνώμενοι γὰρ καὶ βασανιζόμενοι τῇ χαλεπωτάτῃ πασῶν βασάνῳ, μέ-

νομεν ἐν αὐτῇ, καὶ τὸν λόγον, ἐλευθεροῦντα ἡμᾶς καὶ ἀπαλλάσσοντα τῆς ἀλγηδόνος, οὐ προσιέμεθα. καίτοι τί ταπεινότερον ἀνδρὸς λυπουμένου; τί δὲ οὕτως αἰσχρὸν θέαμα. καὶ γάρ, οἶμαι, καὶ τοῦ σώματος καθικνεῖται τὸ πάθος [1]), καὶ τοῦτο συστέλλει, καὶ σκυθρωπὸν καὶ δυσειδὲς ὀφθῆναι παρέχει. τὸ δὲ μὴ μόνον εἴκειν τῇ φθορᾷ [2]) τῆς διανοίας, ἀλλὰ καὶ προσμηχανᾶσθαί τινας [3]) ἔξωθεν, οἷον μέλαιναν ἐσθῆτα, καὶ συμπλοκὰς χειρῶν [4]), καὶ ταπεινὰς καθέδρας· ὡς ὑπὸ τούτων πάντων ἀναγκάζεσθαι τρόπον τινὰ τὴν διάνοιαν, μηδέποτε ἀφίστασθαι τῆς λύπης, ἀλλ᾽ ἀεὶ μνημονεύειν καὶ λυπεῖσθαι, διεγνωκότας μὴ ἔσεσθαί τινα ἀπαλλαγὴν τούτου, εἰ [5]) μὴ πάντως ἀεὶ φαίνεσθαί τινα αἰτίαν τοῦ πάθους, οὐχὶ σφόδρα εὔηθες; ἢ γὰρ προσήκοντος θάνατος, ἢ νόσος οἰκείων [5]) τινός, ἢ καὶ αὐτοῦ, πρὸς δὲ τούτοις, ἀδοξία, χρημάτων ἀποβολή, τὸ μὴ παρεῖναί τι τῶν προκειμένων, ἢ παρὰ τὸ δέον ἀσχολία, κίνδυνος, μυρία ἄλλα ὅσα, συμβαίνει κατὰ τὸν βίον· καὶ σχεδὸν ἀνάγκη τούτων ἀεί τι παρεῖναι.

τὸ

1) καθικνεῖται abeſt a Veneta, et Morellus addit hoc verbum poſt θέαμα; ſed verba ſic ſunt ordinanda: θέαμα. καὶ γὰρ — σώματος καθικνεῖται τὸ πάθος — nam ad corpus quoque, vt facile eſt exiſtimatu, malum hoc, vel perturbatio mentis haec, penetrat. v. Caſaubon. et Morell. ad h. l.

2) φθορᾷ et 3) τινας vtrumque bene habet. paſſus hic eſt Caſaubonus aliquid humani. in τινὰς ſubauditur φθορὰς, id quod etiam vir doctus in marg. Venetae meae annotauit. primo vocabulo, τὸ δὲ, reſpondet inſequens οὐχὶ σφόδρα εὔηθες.

4) συμπλοκὰς χειρῶν exponit Henr. Valeſius ad Ammian. Marcell. p. 561.

5) εἰ] l. ἢ. vt qui certo cognitum atque exploratum habeant, non ſemper exſtituram vel occurſuram ſibi lugendi cauſam.

5b) margo Mor. dat ἐκείνων.

τὸ δὲ τελευταῖον, ἂν ἄρα γιγνώσκηται 6) χρόνος, ἐν ᾧ μηδὲν ἀπαντᾷ δύσκολον· ἀλλά τοι τὸ προσδοκᾷν αὐτὸ, καὶ γινώσκειν, ὡς δυνατόν ἐστι συμβῆναι, καθάψεται 7) τῆς γνώμης τῶν οὕτω διακειμένων· οὐκοῦν καθ' ἕκαστον αὐτῶν δεῖ ποιεῖσθαι τὴν παραμυθίαν· ἀνήνυτον 8) γὰρ τὸ πρᾶγμα καὶ λυπηρός ἐστιν ὁ βίος· ἀλλὰ ὅλως ἐξελόντα τῆς ψυχῆς τὸ πάθος· καὶ τοῦτο κρίναντα βεβαίως, ὅτι μὴ λυπητέον ἐστὶ περὶ μηδενὸς τῷ νοῦν ἔχοντι, τὸ λοιπὸν ἐλευθεριάζειν, καὶ πάντων ἄδεια τῶν δυσχερῶν ἔσται. οὐδὲν γάρ ἐστιν αὐτῶν 9) δεινόν· ἀλλὰ ὑπὸ τῆς δόξης καὶ τῆς ἀσθενείας τῆς ἡμετέρας γίνεται τοιοῦτον. οἱ γοῦν πολλοὶ, κἂν γένηταί τι τῶν νομιζομένων ἀτόπων, ἀεὶ τούτου μνημονεύουσι, δυσχεροῦς οὔσης τῆς μνήμης· ὅμοιον δή τι πάσχοντες τοῖς παιδίοις. καὶ γὰρ ἐκεῖνα τοῦ πυρὸς ἅψασθαι προθυμεῖται, καίτοι σφόδρα ἀλγοῦντα 10), κἂν ἀφῇς, ἅψεται πάλιν. ὥσπερ οὖν τοῖς εἰς πόλεμον ἐξιοῦσιν οὐδέν ἐστιν ὄφελος, ἂν

6) γιγνώσκηται] ſic recte Veneta. γιγνώσκεται Morell.

7) καθάψεται] ſic recte Veneta et Caſaubonus, καθάψηται Morell.

8) ἀνήνυτον bene habet. res ea foret infiniti laboris, exitu carentis.

9) αὐτῶν] ſic Veneta, et ſic vult Morellus. ſed αὐτῷ Morellianae videtur vitium typographicum eſſe. ſi quid mutandum ſit, quod non videtur, nam in αὐτῶν nihil eſt, quod me quidem offendat, haud diſplicet Angli αὐτό. poſſit quoque legi — ἐστιν ἐν αὐτῷ δεινόν. *nihil enim in ſemet eſt graue.*

10) poſt ἀλγοῦντα Naogeorgus addit in latinis *ex tactu*, quaſi legiſſet ἐξ ἀφῆς. et ſane vir doctus in marg. Venetae meae adſcripſerat haec: ἐξ ἀφῆς *ex tactu, vel etſi ſiueris.* ſane ſententia poſtulat eiusmodi quid. quid ſi ergo iſta ambo coniungamus ἀλγοῦντα ἐξ ἀφῆς, tametſi ex ambuſtione vehementer crucientur. (ἀφὴ enim h. l. non *tactus* erit, ſed *ambuſtio.*) κἂν ἀφῇς — et iterum tangent, ſi permiſeris. margo Mor. dat καὶ ἐξ ἀφῆς.

ἂν γυμνοὶ προσελθόντες [11]), ἔπειτα ἕκαστον τῶν φερομένων βελῶν ἐκκλίνειν ἐθέλωσιν· οὐ γὰρ ἔνι φυλάττεσθαι πάντα· δεῖ δὲ θώρακος στερεοῦ καὶ τῆς ἄλλης πανοπλίας, ὥστε, κἂν ἐμπέσῃ τι [12]), μὴ διικνεῖσθαι. τὸν αὐτὸν τρόπον καὶ τοῖς εἰς τὸν βίον προελθοῦσιν οὐχ οἷόν τε ἐκκλίνειν οὐδὲ φυλάττεσθαι, ὥστε ὑπὸ μηδενὸς παίεσθαι τῶν ἐκ τῆς τύχης, μυρίων ἐφ᾽ ἕκαστον φερομένων· ἀλλὰ διανοίας ἰσχυρᾶς ἐστι χρεία, μάλιστα μὲν ἀτρώτου καὶ πρὸς μηδὲν εἰκούσης, εἰ δὲ μή γε ῥᾳδίως [13]), μηδὲ ὑπὸ τοῦ τυχόντος τιτρωσκομένης· ἐπεὶ πολλάκις ἀνάγκη κεντεῖσθαι, καὶ μυρία τραύματα λαμβάνειν. καὶ γὰρ οἱ τοὺς πόδας ἔχοντες ἁπαλοὺς καὶ παντελῶς ἀτρίπτους, ἔπειτα γυμνοῖς αὐτοῖς βαδίζοντες, οὐδέποτε τοιαύτην εὑρήσουσιν ὁδὸν, ὥστε μὴ νύττεσθαι [14]), μηδὲ ἀλγεῖν, ἀλλὰ καὶ τὸ τυχὸν αὐτῶν ἅπτεται. τοῖς δὲ ἠσκηκόσιν, οὐδὲ ἡ πάνυ [15]) τραχεῖα, χαλεπή. τοσούτων οὖν δυσκόλων ὄντων ἀπὸ τοῦ σώματος ἀρξαμένοις [16]),

τί

11) malim προελθόντες, progressi aduersus hostem.

12) ἐμπέσῃ τι recte dat Veneta. ἐμπέσῃ σῃ (sic) Morell.

13) lego εἰ δὲ μή, *sin minus*, h. e. εἰ μὴ πάρεστι διάνοια ἄτρωτος καὶ πρὸς μηδὲν εἴκουσα, *si minus adest animus inuulnerabilis, esto saltim non facile vulnerabilis*, μή γε ῥᾳδίως — praefero hoc lectioni, quam Morellus e codice regio protulit εἰ δὲ μή γε, μὴ ῥᾳδίως, tametsi eodem redit. videtur huc pertinere lectio κἂν μή, quae est in Var. lect. Venetae, vt sit κἂν μή, μή γε ῥᾳδίως. vir doctus in margine Venetae meae scripserat ἤ. videtur voluisse legi ἢ μή γε ῥᾳδίως.

14) νύττεσθαι] sic correxit etiam vir doctus in Veneta mea, pro κύττεσθαι, quod est in Veneta, non κύπτεσθαι, quomodo perhibet margo Morell.

15) οὐδὲ ἡ πάνυ τρ.] sic Veneta et codex regius, Mor. omittit ἡ.

16) ἀπὸ τοῦ σώματος ἀρξ.] *si numerandi initium a corpore facimus*, si censum malorum a malis corpus nostrum affligentibus ordimur. miror Casaubonum in loco tam plano et facili adhaesisse.

τί δεῖ προσδοκᾷν; ἢ πῶς ἔνεστιν ἑκάστου τούτων αἰσθανόμενον καὶ ῥᾳδίως ἐνδιδόντα, μὴ κακοδαιμονέστατον ἁπάντων εἶναι προσευχόμενον τοῖς θεοῖς, ὅπως μὴ τοῦτο, μηδὲ τοῦτο συμβῇ· καθάπερ εἴ τις ἐν ὄμβρῳ πορευόμενος, σκέπασμα μὲν ἔχοι μηδὲν, εὔχοιτο δὲ μόνον ἕκαστον τῶν σταλαγμῶν διαφυγεῖν· πολὺ γοῦν τῶν σταλαγμῶν συνεχέστερά ἐστι τὰ δυσχερῆ παρὰ τῆς τύχης· ἢ νὴ Δία εἴ τις πλέων, ἀντὶ τοῦ τοῖς οἴαξι προσέχειν, καὶ τὸ προσπίπτον δέχεσθαι καλῶς, εὔχοιτο μηδὲν τῶν κυμάτων κατὰ τὴν ναῦν γενέσθαι; φέρε γὰρ, ὦ μάταιε, κἂν πάντα σοι τἄλλα ἔχῃ κατὰ τρόπον, ἀλλὰ τοῦ γε εἰς τὴν ἐπιοῦσαν ἡμέραν βιώσεσθαι, τίνα ἔχεις πίστιν, καὶ μὴ μεταξὺ [17]) πάντων ἀθρόως ἀφαιρεθῆναι τῶν δοκούντων ἀγαθῶν; οὐκοῦν σε περὶ τούτου πρώτου προσήκει λυπεῖσθαι, καὶ δεδιέναι τὴν ἀδηλότητα τοῦ πράγματος. ἂν δὲ ἐκεῖνο ἐνθυμηθῇς, ὅτι μηδείς ἐστιν ὅλως τοῦ βίου χρόνος, ἀλλὰ πάντες οἱ μακάριοι καὶ λίαν εὐδαίμονες δόξαντες εἶναι τεθνήκασι· καί σοι πάρεστιν ἤδη τοῦτο τὸ πέρας, κἂν ἐπὶ πλεῖστον ἔλθῃς τοῦ βίου· πολὺν λῆρον ἡγήσῃ καὶ μεγάλην εὐήθειαν, τὸ νομίζειν ὅλως τι δεινὸν εἶναι τῶν γιγνομένων, ἢ μέγα, ἢ θαυμαστὸν, δίχα γε ἑνὸς, τοῦ χωρὶς λύπης καὶ φόβου καὶ τῶν τοιούτων παθῶν μίαν γοῦν ἡμέραν διαγαγεῖν [18]). τὸν Ἰάσονα, φασὶ, δυνάμει τινὶ χρησάμενον [19]), λαβόντα παρὰ τῆς Μηδείας· ἔπειτα, οἶμαι, μήτε παρὰ τοῦ δράκοντος μηδὲν παθεῖν, μήτε ὑπὸ

17) μεταξὺ ſtat per ſe abſolute, interea dum fruitur vita bonisque ſuis omnibus, aut eſt idem atque *ἐν τῷ μεταξὺ χρόνῳ interea temporis.*

18) recte poſt διαγαγεῖν punctum figunt Veneta et Caſaubonus, ſed huius καθάπερ nil indigemus.

19) χρησάμενον non improbo. videtur tamen χρισάμενον (a verbo χρίω) melius h. l. conuenire. δύναμις h. l. eſt medicamentum potens, cui vis ineſt efficiendi aliquid.

ὑπὸ τῶν ταύρων τῶν τὸ πῦρ ἀναπνεόντων. ταύτην οὖν δεῖ κτήσασθαι τὴν δύναμιν παρὰ τῆς Μηδείας, τουτέστι τῆς φρονήσεως, λαβόντα, καὶ τὸ λοιπὸν ἁπάντων καταφρονεῖν. εἰ δὲ μὴ, πάντα πῦρ ἡμῖν, καὶ πάντα ἄυπνοι δράκοντες. καίτοι [20]) τῶν λυπουμένων ἕκαστος, τὸ αὐτῷ συμβεβηκὸς, φησὶν εἶναι δεινότατον, καὶ μάλιστα ἄξιον λύπης· καὶ γὰρ τῶν φερόντων ἕκαστος, ὃ φέρει, τοῦτ᾽ εἶναι δοκεῖ βαρύτατον. ἔστι δὲ ἀσθενοῦς τοῦτο καὶ φαύλου σώματος. τὸ γὰρ αὐτὸ ἕτερος λαβὼν ἂν ἰσχυρότερος, ῥᾳδίως οἴσει.

20) καίτοι] dubium hoc est, cui occurritur in istis καὶ γὰρ —

ΠΕΡΙ ΠΛΕΟΝΕΞΙΑΣ.

ΛΟΓΟΣ ΙΖ′.

Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων ὑπὲρ τούτων οἴονται δεῖν λέγειν [1]), ὑπὲρ ὧν ἕκαστος οὐκ ἔχει τὴν ἀληθῆ δόξαν, ὅπως ἀκούσαντες ὑπὲρ ὧν ἀγνοοῦσι, μάθωσι· περὶ δὲ τῶν γνωρίμων καὶ πᾶσιν ὁμοίως φαινομένων περιττὸν εἶναι διδάσκειν. ἐγὼ δὲ εἰ μὲν ἑώρων ἡμᾶς οἷς νομίζομεν ὀρθῶς ἔχειν ἐμμένοντας, καὶ μηδὲν ἔξωθεν πράττοντας τῆς ὑπαρχούσης ὑπολήψεως, οὐδ᾽ ἂν αὐτὸς ᾤμην ἀναγκαῖον εἶναι διατείνασθαι περὶ τῶν προδήλων. ἐπεὶ δὲ οὐχὶ τὴν ἄγνοιαν ἡμᾶς

τῶν

1) scio quidem infinitiuum saepe ita poni, vt δεῖν debeat subaudiri; hic tamen a Casaubono ad λέγειν additum libenter amplector: vt sit οἴονται δεῖν λέγειν. subaudi τοὺς λέγοντας ἡμᾶς. plerique hominum, quum nos ad disputandum prouocant, ea nobis argumenta dicendo esse tractanda existimant.

τῶν ἀγαθῶν καὶ τῶν κακῶν τοσοῦτον ὁρῶ λυποῦσαν, ὅσον τὸ μὴ πείθεσθαι τοῖς ὑπὲρ τούτων διαλογισμοῖς, μηδὲ ἀκολουθεῖν αἷς ἔχομεν αὐτοὶ δόξαις 2), μεγάλην ὠφέλειαν ἡγοῦμαι, τὸ συνεχῶς ἀναμιμνήσκειν καὶ διὰ τοῦ λόγου παρακαλεῖν, πρὸς τὸ πείθεσθαι καὶ φυλάττειν ἔργῳ τὸ προσῆκον. ὥσπερ γάρ, οἶμαι, καὶ τοὺς ἰατροὺς καὶ τοὺς κυβερνήτας ὁρῶμεν πολλάκις τὰ αὐτὰ προστάττοντας, καίτοι τὸ πρῶτον ἀκηκοότων οἷς ἂν κελεύωσιν, ἀλλ' 3) ἐπειδὴ ἀμελοῦντας αὐτοὺς καὶ μὴ προσέχοντας βλέπωσιν· οὕτως καὶ κατὰ τὸν βίον χρήσιμόν ἐστι γίγνεσθαι πολλάκις περὶ τῶν αὐτῶν τοὺς λόγους, ὅταν εἰδῶσι μὲν οἱ πολλοὶ τὸ δέον, μὴ μέντοι πράττωσιν. οὐ γάρ ἐστι τέλος, οὔτε τοῖς κάμνουσι τὸ γνῶναι τὸ συμφέρον αὐτοῖς, ἀλλ', οἶμαι, τὸ χρήσασθαι· τοῦτο γὰρ αὐτοῖς παρέξει τὴν ὑγείαν· οὔτε τοῖς ἄλλοις, τὸ μαθεῖν τά γε ὠφελοῦντα καὶ βλάπτοντα 4) πρὸς τὸν βίον, ἀλλὰ τὸ μὴ διαμαρτάνειν τῇ τούτων αἱρέσει. καθάπερ γάρ ἐστιν ἰδεῖν τοὺς ὀφθαλμιῶντας, ἐπισταμένους μέν, ὅτι λυπεῖ τὸ προσάγειν τοῖς ὀφθαλμοῖς τὰς χεῖρας, ὅμως δὲ οὐκ ἐθέλοντας ἀπέχεσθαι· παραπλησίως καὶ περὶ τὰ ἄλλα πράγματα, οἱ πολλοὶ καὶ λίαν εἰδότες, ὡς οὐ λυσιτελεῖ τι ποιεῖν, οὐδὲν ἧττον ἐμπίπτουσιν εἰς αὐτό. τίς γοῦν οὐκ οἶδε τὴν ἀκρασίαν, ὡς μέγα ἐστὶν κακὸν τοῖς ἔχουσιν; ἀλλ' ὅμως μυρίους ἂν τις ἀκρατεῖς εὕροι. καὶ νὴ Δία γε, τὴν ἀργίαν ἅπαντες ἴσασιν, ὡς οὐ μόνον οὐχ οἵα τε πορίζειν τὰ δέοντα πρὸς τὸ ζῆν, ἀλλ' ὅτι 5) καὶ τὰ ὄντα ἀπόλλυσι· καὶ τῷ ὄντι, πλείους ἐστὶν

εὑρεῖν

2) δόξαις] sic recte Veneta. δόξας Morell.

3) ἀλλὰ] subaudi e superioribus τὰ αὐτὰ πολλάκις προστάττουσιν.

4) τά γε —] malim τά τε ὠφελοῦντα καὶ τὰ βλάπτοντα.

5) ὅτι] malim ἔτι.

εὑρεῖν τοὺς ἀργοὺς, τῶν ἐθελόντων τί πράττειν. ὅθεν, οἶμαι, προσήκει τοὺς ἄμεινον φρονοῦντας ἀεὶ καὶ συνεχῶς ὑπὲρ τούτων λέγειν· ἐάν πως γένηται δυνατὸν, ἐπιστρέψαι καὶ βιάσασθαι πρὸς τὸ κρεῖττον. ὥσπερ γὰρ ἐν τοῖς μυστηρίοις ὁ ἱεροφάντης οὐχ ἅπαξ προαγορεύει τοῖς μυουμένοις ἕκαστον ὧν χρὴ, τὸν αὐτὸν τρόπον καὶ τοὺς ὑπὲρ τῶν συμφερόντων λόγους, ὥσπερ τιν' ἀπόῤῥησιν [6]) ἱερὰν, λυσιτελεῖ πολλάκις, μᾶλλον δὲ ἀεὶ λέγεσθαι. τὰ γοῦν φλεγμαίνοντα τῶν σωμάτων οὐκ εὐθὺς ἐνέδωκε πρὸς τὴν πρώτην καταιόνησιν, ἀλλ' ἂν συνεχῶς ποιῇ τις [7]), ἐμαλάχθη καὶ ῥᾷον ἔσχεν· οὐκοῦν ὁμοίως καὶ τὴν ἐν τῇ ψυχῇ τῶν πολλῶν φλεγμονὴν, ἀγαπητὸν, εἴ τις δύναιτο πραῦναι, διηνεκῶς τῷ λόγῳ χρώμενος. Φημὶ δὴ καὶ περὶ τῆς πλεονεξίας εἰδέναι μὲν ἅπαντας, ὡς οὔτε συμφέρον, οὔτε καλόν ἐστιν, ἀλλὰ τῶν μεγίστων κακῶν αἴτιον, μὴ μέντοι γε ἀπέχεσθαι· μηδὲ ἐθέλειν μηδένα ἀνθρώπων, ἴσον ἔχειν [8]) τῷ πέλας. καίτοι τὴν μὲν ἀργίαν καὶ τὴν ἀκρασίαν, καὶ καθόλου πάσας ἁπλῶς τὰς ἄλλας κακίας, εὕροι τις ἂν, αὐτοῖς τοῖς ἔχουσι βλαβερὰς· καὶ νουθεσίας μὲν, οἶμαι, καὶ καταγνώσεως τοὺς ἔν τινι τούτων ὑπάρχοντας, δικαίως τυγχάνοντας· οὐ μὴν μισουμένους γε, οὐδὲ κοινοὺς ἅπασι δοκοῦντας ἐχθρούς. ἡ πλεονεξία δὲ μέγιστόν ἐστιν αὐτῷ τινι κακόν· λυπεῖ δὲ καὶ

τοὺς

6) In Veneta est τινα πόῤῥησιν, vbi vir doctus quidem adscripsit a Morello vulgatam, nescio vnde nactus, an ex ipsa Morelliana, dubito tamen, sitne illa vera lectio. f. praestat aut simplex ῥῆσιν, aut προῤῥησιν, non quatenus praedictionem futurorum euentorum, sed denuntiationem agendorum aut omittendorum significat; vt modo προαγορεύειν, vers. 6. et προειπεῖν apud Demosthenem in eodem sensu denuntiandi, edicendi, imperandi.

7) ποιῇ τις] subaudi e praemissis τὴν καταιόνησιν.

8) ἴσον ἔχειν] sic recte Veneta et codex regius. Morell. dat ἴσων.

τοὺς πέλας· καὶ τὸν πλεονέκτην οὐδεὶς ἐλεεῖ δήπουθεν, οὐδὲ ἀξιοῖ διδάσκειν. προβάλλονται δὲ ἅπαντες, καὶ πολέμιον αὐτὸν νομίζουσιν. ἕκαστος οὖν αὐτῶν εἰ βούλεται γνῶναι τὸ μέγεθος τῆς τοιαύτης πονηρίας, ἐννοησάτω, πῶς αὐτὸς ἔχει πρὸς τοὺς ἐπιχειροῦντας πλεονεκτεῖν. οὕτως γὰρ ἂν συμβάλλοι, πῶς καὶ τοὺς λοιποὺς ἀνάγκη πρὸς ἐκεῖνον ἔχειν, ἐὰν ᾖ τοιοῦτος. Καὶ μὴν ὅ γε Εὐριπίδης 9) οὐδενὸς ἧττον ἔνδοξος ὢν τῶν ποιητῶν, τὴν Ἰοκάστην εἰσάγει λέγουσαν πρὸς τὸν Ἐτεοκλέα, παρακαλοῦσαν αὐτὸν ἀποστῆναι τοῦ πλεονεκτεῖν τὸν ἀδελφὸν, οὕτω πως·

Τί τῆς κακίστης δαιμόνων ἐφίεσαι
Πλεονεξίας, παῖ; μὴ σύ γ'. ἄδικος ἡ θεός.
Πολλοὺς δ' ἐς οἴκους καὶ πόλεις εὐδαίμονας
Εἰσῆλθε, κἀξῆλθ' 10) ἐπ' ὀλέθρῳ τῶν χρωμένων,
Ἐφ' ᾗ σὺ μαίνῃ. τοῦτο κάλλιστον βροτοῖς,
Ἰσότητα τιμᾷν, ἣ φίλους ἀεὶ φίλοις,
Πόλεις τε πόλεσι, συμμάχους τε συμμάχοις,
Συνδεῖ· τὸ γὰρ ἴσον, νόμιμον ἀνθρώποις ἔφυ.
Τῷ πλέονι δ' αἰεὶ πολέμιον καθίσταται
Τοὔλασσον, ἐχθρᾶς δ' ἡμέρας κατάρχεται.

παρεθέμην δὲ ἑξῆς τὰ ἰαμβεῖα. τὸ γὰρ τοῖς καλῶς εἰρημένοις αὐτοῖς χρῆσθαι 11), νοῦν ἔχοντός ἐστιν. ἐν δὴ τούτοις ἅπαντα ἔνεσι τὰ συμβαίνοντα ἐκ τῆς πλεονεξίας· ὅτι μήτε ἰδίᾳ, μήτε κοινῇ συμφέρει· τοὐναντίον δὲ καὶ τὴν τῶν οἴκων εὐδαιμονίαν καὶ τὴν τῶν πόλεων ἀνατρέπει καὶ διαφθείρει. καὶ πάλιν ὡς νόμος ἀνθρώποις τιμᾷν τὸ ἴσον. καὶ ἔτι, τὸ

μὲν

9) Euripidis elogium ex Aeschine sumtum esse docuit cl. Valkenaer ad Phoenissas p. 195.

10) κἀξῆλθ' ἐπ' ὀλ.] sic recte Veneta. κἀξῆλθεν Morell.

11) αὐτοῖς χρῆσθαι] ipsis vti, ipsos ponere locos, ipsa auctorum verba dare, non sententiam eorum suis verbis adumbratam.

μὲν 12) κοινὴν φιλίαν, καὶ πᾶσιν εἰρήνην πρὸς ἀλλήλους ποιεῖ 13) · τὰς δὲ διαφορὰς, καὶ τὰς ἐμφύλους ἔριδας, καὶ τοὺς ἔξω πολέμους, κατ' οὐδὲν ἕτερον συμβαίνοντας 14), ἢ διὰ τὴν τοῦ πλείονος ἐπιθυμίαν, ἐξ ὧν ἕκαστος καὶ τῶν ἱκανῶν ἀποστερῆται 15). καίτοι τί τοῦ ζῆν ἀναγκαιότερόν ἐστιν; ἢ τί τούτου περὶ πλείστου 16) ποιοῦνται πάντες; ἀλλ' ὅμως καὶ τοῦτο ἀπολλύουσι χρημάτων ἐπιθυμίᾳ 17). οἱ δὲ καὶ τὰς πατρίδας τὰς αὐτῶν ἀναστάτους ἐποίησαν. μετὰ ταῦτα τοίνυν ὁ αὐτὸς ποιητὴς οὔ φησιν ἐν τοῖς θείοις εἶναι πλεονεξίαν· διὰ τοῦτο ἄφθαρτα καὶ ἀγήρω μένειν αὐτὰ, τὴν προσήκουσαν ἐν ἕκαστον ἑαυτῷ τάξιν φυλάττοντα, τήν τε νύκτα καὶ τὴν ἡμέραν καὶ τὰς ὥρας. εἰ γὰρ μὴ τοῦτον εἶχε τὸν τρόπον, οὐκ ἂν αὐτῶν οὐδὲν δύνασθαι διαμένειν. ὅταν οὖν καὶ τοῖς θείοις ἡ πλεονεξία φθορὰν ἐπιφέρῃ 18), τί χρὴ νομίζειν τἀνθρωπεῖα πάσχειν ἀπὸ ταύτης τῆς νόσου; καλῶς δὲ μέμνηται καὶ μέτρων καὶ σταθμῶν, ὡς ὑπὲρ 19)

τοῦ

12) τὸ μὲν] scil. ἴσον aequitatem.

13) aut ποιεῖν, aut ἐμποιεῖν potius. vtrum optes, semper infinitiuum sententia postulat, propter praemissum τιμᾶν. subaudi φησὶν ὁ ποιητής. v. vers. 10. aut ἔνεστιν ἐν τούτοις τοῖς ἰαμβείοις.

14) συμβαίνοντας] participium pro infinitiuo συμβαίνειν.

15) l. ἀποστερεῖται.

16) πλείστου] imo vero πλείονος.

17) ἐπιθυμίᾳ] sic correxit, praeter Casaubonum, etiam vir doctus in Veneta mea, et sic citat Morellus in annotationibus, vbi ait ἐπιθυμίᾳ a codice regio abesse; sed Ven. et Mor. dant ἐπιθυμίαν.

18) aut ἐπιφέρει in indic. aut seruato coniunct. leg. χρῆν in infin. *oportere*, scil. *ait poeta*.

19) ὥσπερ (vt Veneta et Morell. dant) cum ὡς ὑπὲρ esse mutandum, de eo dubium nullum superest; et videtur Anglius quoque ὑπὲρ scripsisse, non ὅπερ, quod Wolf ei imputat. sed assentiendum in eo vtique Casaubono est. verum sitne μηδενὸς delendum, quod idem vult, an seruan-

τοῦ δικαίου καὶ τοῦ πλεονεκτεῖν μηδένα μηδενός, τούτων εὑρημένων. ὁ δὲ Ἡσίοδος καὶ πλέον εἶναι τοῦ παντός φησι τὸ ἥμισυ, τὰς ἐκ τοῦ πλεονεκτεῖν βλάβας, οἶμαι, καὶ ζημίας λογιζόμενος. τίς γὰρ πώποτε ἢ βασιλεύς, ἢ δυνάστης, ἢ δῆμος, ἐπιχειρήσας ὑπερβῆναι τὸ δίκαιον, καὶ τοῦ πλείονος ὀρεχθῆναι, οὐχ ἅπασαν μὲν τὴν ὑπάρχουσαν εὐδαιμονίαν ἀπέβαλε, μεγάλαις δὲ καὶ ἀμηχάνοις ἐχρήσατο συμφοραῖς, ἅπασι δὲ τοῖς μετ' αὐτὸν παραδείγματα ἐμφανῆ τῆς ἀνοίας [20]) καὶ τῆς πονηρίας κατέλιπεν; ἢ τίς τῶν ἐλαττοῦσθαι βουλομένων καὶ τὴν δοκοῦσαν ἧτταν ῥαδίως ὑπομένειν, οὐ πολλαπλάσια μὲν τῶν ἄλλων ἐκτήσατο, αὐτομάτως αὐτῷ καὶ δίχα πόνου περιγινόμενα [21]), πλεῖστον δὲ χρόνον τὴν εὐημερίαν κατέσχεν, ἀσφαλέστατα δὲ ἐχρήσατο τοῖς παρὰ τῆς τύχης ἀγαθοῖς; αὐτίκα γοῦν οἱ τῆς Ἰοκάστης υἱεῖς, οὐκ, ἐπεὶ διέστησαν τοῦ πλείονος χάριν· ὁ μὲν, μόνος ἄρχειν βουλόμενος, ὁ δ' ἐξ ἅπαντος τρόπου ζητῶν κομίσασθαι τῆς δυναστείας τὸ μέρος· οὐκ, ἀδελφοὶ μὲν ὄντες, ἀλλήλους ἀπέκτειναν, μεγάλων δὲ κακῶν αἴτιοι κατέστησαν τοῖς συναραμένοις ἀμφότεροι [22]); τῶν μὲν ἐπιστρατευσάντων παραχρῆμα ἀπολομένων, τῶν δὲ αἰτιωμένων [23]) μετὰ

vandum, an denique cum μηδὲν mutandum, in dubio relinquam. tametsi vsitatius est πλεονεκτεῖν τινα, quam τινος, caussam tamen nullam video, cur non etiam hoc dici possit, pro πλέον ἔχειν τινός. *plus habere, quam alter, alterum emolumentis vincere.* video nunc Morellum eadem paene ad h. l. attulisse.

20) ἀνοίας] in Veneta est ἀνθρωποίας, vbi vir doctus adscripsit ἀπανθρωπίας, quod interpres reddidit, et margo Morell. dat γρ. ἀνθρωπείας et ἴσ. ἀνανθρωπείας.

21) malim παραγινόμενα.

22) f. ἀμφοτέροις. *illis, qui vtrique fratrum, tam Eteocli, quam Polynici, praesto fuissent.*

23) αἰτιωμένων] nemo adhucdum corruptum hoc vocabulum

μικρὸν ἡττηθέντων, ἐπειδὴ τοὺς νεκροὺς οὐκ εἴων ταφῆναι; καὶ μὴν δι᾽ ἑνὸς ἀνδρὸς πλεονεξίαν, τοῦ τὴν Ἑλένην ἁρπάσαντος, καὶ τὰ τοῦ Μενελάου κτήματα, οἱ μεγίστην τῆς Ἀσίας οἰκοῦντες πόλιν ἀπώλοντο μετὰ παίδων καὶ γυναικῶν· καὶ μίαν γυναῖκα ὑποδεξάμενοι, καὶ χρήματα ὀλίγα, τηλικαύτην τιμωρίαν ἔτισαν. ὁ τοίνυν Ξέρξης, ὁ τῆς ἑτέρας ἠπείρου κύριος, ἐπειδὴ καὶ τῆς Ἑλλάδος ἐπεθύμησε, καὶ τοσοῦτον στόλον καὶ τοσαύτας μυριάδας συναγαγὼν ἤνεγκεν, ἅπασαν μὲν αἰσχρῶς [24]) ἀπέβαλε τὴν δύναμιν, μόλις δὲ τὸ σῶμα ἴσχυσε διασῶσαι φεύγων αὐτός. πορθουμένης δὲ μετὰ ταῦτα τῆς χώρας καὶ τῶν πόλεων τῶν ἐπὶ θαλάττῃ, φέρειν ἠναγκάζετο. καὶ μὴν Πολυκράτη φασὶ, ἕως μὲν Σάμου μόνης ἦρχεν, εὐδαιμονέστατον ἁπάντων γενέσθαι· βουλόμενον δέ τι καὶ περὶ τῶν πέρα πολυπραγμονεῖν, διαπλεύσαντα πρὸς Ὀρόντην [25]), ὡς χρήματα λάβοι, μηδὲ ῥᾳδίου γε θανάτου τυχεῖν, ἀλλὰ ἀνασκολοπισθέντα ὑπὸ τοῦ βαρβάρου διαφθαρῆναι. ταῦτα μὲν, ἵν᾽ ᾖ παραδείγματα ἡμῖν, ἔκ τε τῶν σφό-

bulum sanauit. In meo opusculo Dioneo conieceram λειπομένων, quasi significaret hoc, *illis, qui e pugna reliqui fuere facti.* sed primum non conuenit hoc satis sententiae, potius enim *aduersariis* ea requirit, deinde non animaduerti, λείπεσθαι non significare, *reliquus et superstes manere*, sed *vinci*, *superari.* quod plane sententiae repugnat. vide ergo, num praestet τῶν δὲ ἠναντιωμένων, *illis autem, qui istis aduersati fuerant*, Thebanis puta. margo Mor. dat π. γ. ὠθουμένων.

24) αἰσχρῶς] sic Ven. *αἰσχρὸς* Mor.

25) Ὀρόντην] videtur haec lectio, quae in Dionis codicibus Herodoteis procul dubio fuit, praestare illi, quae hodie in libris nostris apud Herodotum 3, 120. circumfertur, vbi v. Wesseling. *Orontes* nomen tam hominum, quam locorum, et fluuiorum, vetustis orientis populis, fuit vsitatum.

σφόδρα παλαιῶν, καὶ τῶν μετὰ ταῦτα, καὶ τῶν ἐν ποιήμασι, καὶ τῶν ἄλλως ἱστορουμένων, παρήνεγκα. ἄξιον δὲ ἐνθυμηθῆναι καὶ τὸν θεόν, ὡς κἀκεῖνος κολάζειν πέφυκε τοὺς πλεονεκτοῦντας. Λακεδαιμονίοις γὰρ χρωμένοις εἰ δίδωσιν αὐτοῖς τὴν Ἀρκαδίαν· οὐ μόνον ἀπεῖπε, καὶ τὴν ἀπληστίαν ὠνείδισεν, οὕτως εἰπών·

Ἀρκαδίην μ' αἰτεῖς, οὔτοι δώσω.

ἀλλὰ καὶ τιμωρίαν ἐπέθηκεν αὐτοῖς, προειπὼν μὲν τὸ μέλλον· οὕτως δέ, ὥστε ἐκείνους μὴ συνέντας, ἐπὶ Τέγεαν στρατεύεσθαι, καὶ ταῖς γινωσκομέναις ὑπὸ πάντων συμφοραῖς περιπεσεῖν. καίτοι φανερῶς τὴν Ἀρκαδίαν αὐτοῖς ἀρνούμενος, οὐδὲ τὴν Τέγεαν ἐδίδου. τὸ γὰρ ἰσχυρὸν τῆς Ἀρκαδίας καὶ μέγιστον τοῦτ' ἦν. ἀλλ' ὅμως διὰ τὴν πλεονεξίαν οὐδὲ ὦτα ἔχουσιν οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐδὲ τῶν λεγομένων [26]) αἰσθάνονται. πάλιν τοίνυν Ἀθηναίοις, ἐρωτῶσι περὶ τῆς νήσου Σικελίας, ἔχρησε, προσλαβεῖν τῇ πόλει τὴν Σικελίαν, λόφον τινὰ [27]) ἐγγὺς ὄντα τῆς πόλεως. οἱ δὲ τῶν μὲν παρακειμένων καὶ τῶν ἐν ὀφθαλμοῖς ἠμέλησαν. οὕτως ἔκφρονες ὑπῆρχον, διὰ τὴν ἐπιθυμίαν τοῦ πλείονος, ὥστε τὸν θεὸν αὐτοῖς ἐνόμιζον λέγειν, ἑνὶ τείχει περιλαβεῖν τὰς Ἀθήνας, καὶ τὴν ἀπὸ μυρίων που σταδίων οὖσαν νῆσον. τοιγαροῦν ἐκεῖσε πλεύσαντες οὐ μόνον Σικελίας διήμαρτον, ἀλλὰ καὶ τῆς Ἀττικῆς ἐστερήθησαν, καὶ τὴν πόλιν αὐτὴν ἐπεῖδον ἐπὶ τοῖς πολεμίοις γεγενημένην. καὶ τὰ μὲν τοιαῦτα εἰ θέλοι τις ἐπεξιέναι, δῆλον, ὡς οὐδὲν ἔτι ἐπιλείψει [27]). σκοπεῖν δ', ὅτι τὴν ἰσχὺν

26) f. οὐδὲ τῶν σαφῶς λεγομένων. *ne ea quidem, quae clare perspicueque dicuntur.*

27) post λόφον τινὰ videtur λέγων (scil. ὁ θεὸς) abesse.

27b) ὡς οὐδὲν ἔτι ἐπιλείψει] sententia dictionem aliquam hyperbolicam postulat, e. c. ὡς οὐδ' εἰ ἔτη ὅλα λέγῃ, ἐπι-

οἱ πλεῖστοι 28) τῶν ἀγαθῶν εἶναι νομίζουσιν, ἀλλ', οἶμαι, τοῖς ἐπ' ἄκρων ἰσχύουσι, καὶ λίαν ὑπερβάλλουσι τῇ κατὰ τὸ σῶμα εὐεξίᾳ, συμφέρει μέρος τι αὐτῆς ἀφελεῖν. (τὸ γὰρ πλέον, οἶμαι, τοῦ συμμέτρου παγχάλεπον.) ὁμοίως ὁ πλοῦτος ἔχων τινὰ χρείαν, ἐὰν μὲν ᾖ μέτριος, οὐ λυπεῖ τοὺς ἔχοντας, ἀλλ' εὐχερέστερον καὶ, νὴ Δί', ἀνεπιδεῆ παρέχει τὸν βίον· ἐὰν δὲ ὑπερβάλλῃ, πλείονας παρέχει τὰς φροντίδας καὶ τὰ λυπηρὰ τῆς δοκούσης ἡδονῆς· καὶ πολλοὶ μετενόησαν, σφόδρα πλουτήσαντες. οἱ δὲ, δι' αὐτὸ τοῦτο, ἄποροι καὶ τῶν ἐλαχίστων κατέστησαν. εἶεν. ἀλλ' ἐν ἡμῖν αὐτοῖς, εἰ τῶν τῆς φύσεως μερῶν ἕκαστον ἐθέλοι πλεονεκτεῖν, ἔσθ' ὅπως τὸν βραχύτατον καιρὸν διαμεῖναι δυνησόμεθα. λέγω δὲ, οἷον εἰ πλέον τινὶ τοῦ συμμέτρου αἷμα 29) γίγνοιτο, ἢ νὴ Δία τὸ πνεῦμα τὸ θερμὸν, ὅτι δήποτ' 30), ἐν ἡμῖν ἐπιτείνοι παρὰ τὴν σύμμετρον καὶ τὴν προσήκουσαν 31), οὐχὶ μεγάλας ἐπίστασθε καὶ χαλεπὰς ἐκ τούτων ἁπαντῶν νόσους; ἐν δὲ ταῖς ἁρμονίαις τῶν ὀργάνων τούτων 32), εἰ πλεονεκτήσει

τῶν

ἐπιλείψει. *Apparet eiusmodi exempla, ei, si quis exsequi velit, defutura non esse, tametsi totos annos in iis enarrandis consumat.*

28) f. ὅτι, τὴν ἰσχὺν εἰ οἱ πλεῖστοι. *quod robur si hominum plerique in bonis habent.* — illud ὅτι refertur ad insequentia et cum iis cohaeret, ὁμοίως ὁ πλοῦτος — οὐ λυπεῖ. *diuitiae, modicae quidem, haud molestent.*

29) f. τὸ αἷμα. articulus h. l. per se necessarius non est, sed est propter insequens τὸ πνεῦμα.

30) f. ἢ ὅ, τι δήποτε. *aut quodcunque tandem.*

31) post προσήκουσαν siue dubio deest τάσιν aut κρᾶσιν, quicquid Casaubonus repugnat.

32) τῶν ὀργάνων τούτων bene habet. horum, quae sic appellantur, organorum seu instrumentorum, qua appellatione vniuersa nemo tamen ignorat solummodo musica significari. Voluit Anglus τατῶν. sed primum scribendum sic esset, τῶν ὀργάνων τῶν τατῶν, articulo iterato. dein-

τῶν φθόγγων τις[33]) τῇ τάσει, πρὸς τοῦ Διός, οὐκ ἀνάγκη πᾶσαν λελύσθαι τὴν ἁρμονίαν; σφόδρα δ' ἔγωγε θαυμάζω, τί ἂν ἐποιήσαμεν, εἰ μὴ καὶ τοῦ βίου τὸ ἐλάχιστον παρὰ τῶν θεῶν μέτρον εἴχομεν· ἀλλ' ὥσπερ εἰς τὸν αἰῶνα παρασκευαζόμενοι, πλέον ἄλλος ἄλλου φιλοτιμοίμεθα[34]) ἔχειν. ὥσπερ οὖν εἴ τις εἰδώς, ὅτι ἢ δύ' ἢ τριῶν ἡμερῶν, ἐὰν πλεῖστος διαγένηται χρόνος, ἔχει πλοῦν, ἔπειτα δὲ[35]) ἐνιαυτοῦ σῖτα ἐμβάλλοιτο, ἀνόητος δόξει· τὸν αὐτὸν τρόπον, εἴ τις, ἐπιστάμενος, ὅτι πλείω τῶν ἑβδομήκοντα ἐτῶν οὐκ ἂν βιώσειεν, εἰς ἔτη χίλια πορίζοιτο βίον ἴσως[36]), οὐχ ὁμοίως ἂν εἴη μαινόμενος; ἔνιοι μὲν γὰρ τοσαῦτα παρασκευάζονται, ὡς, εἴ γ' ἔπλεον, εὐθὺς ἂν καταδῦναι τὴν ναῦν. καὶ νὴ Δία γε συμβαίνει μυρίοις. εἶεν. εἰ δὲ δή τις ἐφ' ἑστίασιν κεκληκὼς δέκα ἀνθρώπους, ἢ πεντεκαίδεκα, τούτους αὐτὸν ἐμπλῆσαι δέον, ὁ δὲ πεντακοσίοις ἢ χιλίοις ἑτοιμάζῃ τροφήν, οὐ παντελῶς ἐξιστάναι[37]) δόξει; τοιγαροῦν καὶ ἡμεῖς εἰδότες τὰς τοῦ σώματος χρείας εὐαριθμήτους τινάς· ἐσθῆτος γάρ, οἶμαι, καὶ σκέπης καὶ τροφῆς δεόμεθα· ἔπειτα κατατεινόμεθα ὥσπερ στρατοπέδῳ τὰ ἐπιτήδεια συνάγοντες· καὶ νὴ Δία γε εἰκότως. οἱ γὰρ πολλοὶ

deinde non ſolum in fidibus, ſed et in tibiis, peccare poſſunt ſoni τῇ τάσει, intentione ſeu chordarum, ſeu ſpiritus, aut deficiente, aut modum excedente.

33) τις] ſic recte Veneta, redit enim ad τῶν φθόγγων. vnus aliquis e ſonis. Morell. dat τι.

34) φιλοτιμοίμεθα] ſic dedi; pendet enim ex εἰ v. 3. *ſi contenderemus.* v. ἐμβάλλοιτο paulo poſt. Ven. et Morell. dant φιλοτιμούμεθα.

35) δὲ videtur delendum. v. verſ. 11. vbi eſt εἰς ἔτη, non εἰς δ' ἔτη.

36) βίον ἴσως, *ad mille annos forſitan victum compares,* οὐχ ὁμοίως *nonne is pari modo inſaniat?*

37) ἐξιστάναι] imo vero ἐξεστάναι, *inſanire;* nam illud alterum poſſit forſitan *ad inſaniam adigere* ſignificare.

πολλοὶ βόσκουσι παρʼ ἑαυτοῖς τῶν ἐπιθυμιῶν στρατόπεδον. καὶ ἐσθῆτα μὲν οὐδεὶς βούλεται μείζω τοῦ σώματος ἔχειν, ὡς δύσχρηστον ὄν [38])· οὐσίαν δὲ τῷ παντὶ μείζω τῆς χρείας ἐπιθυμοῦσιν ἅπαντες ἔχειν, οὐκ εἰδότες, ὅτι τοῦτο ἐκείνου χαλεπώτερον. δοκεῖ δέ μοι Κροῖσος καλῶς ὁ Λυδὸς τὴν ἀπληστίαν τῶν ἀνθρώπων ἐλέγξαι βουλόμενος, εἰς τοὺς θησαυροὺς εἰσαγαγών τινας, τοσοῦτο χρυσίον αὐτοῖς ἐπιτρέπειν ἐξενεγκεῖν, ὅσον ἕκαστος ἂν δύνηται σώματι. τοὺς γὰρ πολλοὺς [39]), οὐ μόνον τὸν κόλπον ἐμπλήσαντας, ἀλλὰ καὶ τῇ κεφαλῇ [40]) τοῦ ψήγματος ἐκφέρειν, καὶ τῷ στόματι, καὶ μόλις [41]) πορεύεσθαι, πάνυ γελοίους καὶ διεστραμμένους. οὕτως οὖν καὶ κατὰ τὸν βίον [42]), πορεύεσθαί τινας ἀσχημονοῦντας ὑπὸ τῆς πλεονεξίας, καὶ καταγελάστους ὄντας.

38) ὄν] scil. τὸ ἔχειν ἐσθῆτα μείζω τοῦ σώματος.

39) τοὺς γὰρ πολλοὺς] aut addendum est, aut certe subaudiendum, φασίν.

40) in Veneta est τῆς κεφαλῆς. forte τὴν κεφαλὴν, scil. ἐμπλήσαντας.

41) f. στόματι, ὥστε καὶ μόλις.

42) post βίον videtur deesse ἡγοῦμαι, vel οἶμαι, vel εἰκός ἐστι, vel tale quid.

ΠΕΡΙ

ΠΕΡΙ ΛΟΓΟΥ ΑΣΚΗΣΕΩΣ.

ΛΟΓΟΣ ΙΗ'.

Πολλάκις ἐπαινέσας τὸν σὸν τρόπον, ὡς ἀνδρὸς ἀγαθοῦ, καὶ ἀξίου πρωτεύειν ἐν τοῖς ἀρίστοις· οὐδέποτε πρότερον ἐθαύμασα, ὡς νῦν. τὸν γὰρ ἡλικίας τε ἐν τῷ ἀκμαιοτάτῳ ὄντα, καὶ δυνάμει οὐδενὸς λειπόμενον, καὶ ἄφθονα κεκτημένον, καὶ πάσης ἐξουσίας οὔσης, δι' ἡμέρας καὶ νυκτὸς τρυφᾷν· ὅμως ἔτι παιδείας ὀρέγεσθαι, καὶ φιλοκαλεῖν περὶ τὴν τῶν λόγων ἐμπειρίαν, καὶ μὴ ὀκνεῖν μηδὲ εἰ πονεῖν δέοι· σφόδρα μοι ἔδοξε γενναίας ψυχῆς, καὶ οὐ φιλοτίμου μόνον, ἀλλὰ τῷ ὄντι φιλοσόφου ἔργον εἶναι. καὶ γὰρ τῶν παλαιῶν οἱ ἄριστοι, οὐ μόνον ἀκμάζειν μανθάνοντες, ἀλλὰ καὶ γηράσκειν ἔφασκον. πάνυ δὲ σύ μοι δοκεῖς φρονεῖν, ἡγούμενος πολιτικῷ ἀνδρὶ δεῖν λόγων ἐμπειρίας τε καὶ δυνάμεως. καὶ γὰρ πρὸς τὸ ἀγαπᾶσθαι, καὶ πρὸς τὸ ἰσχύειν, καὶ πρὸς τὸ τιμᾶσθαι, καὶ πρὸς τὸ μὴ καταφρονεῖσθαι, πλείστη ἀπὸ τούτου ὠφέλεια. τίνι μὲν γὰρ μᾶλλον ἄνθρωποι δείσαντες θαῤῥοῦσιν, ἢ λόγῳ; τίνι δὲ ἐξυβρίζοντες καὶ ἐπαιρόμενοι καθαιροῦνται καὶ κολάζονται; τίνι δὲ ἐπιθυμιῶν ἀπέχονται; τίνα δὲ νουθετοῦντα πρᾳότερον φέρουσιν· οὐ λόγῳ εὐφραίνοντα [1]); πολλάκις οὖν ἰδεῖν ἐστιν ἐν ταῖς πόλεσιν, ἀναλίσκοντας [2]) μὲν ἑτέρους καὶ χαριζομένους καὶ ἀναθήμασι κοσμοῦντας [3])· ἐπαινουμένους δὲ τοὺς λέγοντας,

1) f. οὐ λόγῳ εὐφραίνονται; *nonne oratione exhilarantur?*

2) ἀναλίσκοντας] sic recte Casaubonus. ἀναδιδάσκοντας Ven. et Morell.

3) ἀναθήμασι κοσμοῦντας] scil. τὰς ἑαυτῶν πόλεις.

τας, ὡς καὶ αὐτῶν ἐκείνων 4) αἰτίους. διὸ καὶ τῶν ποιητῶν οἱ ἀρχαιότατοι, καὶ παρὰ θεῶν τὴν ποίησιν λαβόντες, οὔτε τοὺς ἰσχυροὺς, οὔτε τοὺς καλοὺς ὡς θεοὺς ἔφασαν ὁρᾶσθαι, ἀλλὰ τοὺς λέγοντας. ὅτι μὲν δὴ ταῦτα καὶ συνεώρακας καὶ ἐπιχειρεῖς πράττειν, ἐπαινῶ σὲ καὶ θαυμάζω. χάριν δὲ οὐ τὴν τυχοῦσαν οἶδα ὑπὲρ ἐμαυτοῦ, ὅτι με πρὸς τὴν διάνοιαν ταύτην καὶ τὸ ἐγχείρημα, χρήσιμον ἑαυτῷ νενόμικας 5); μέχρι νῦν μὲν γὰρ, ὥσπερ τις ἔφη τῶν παλαιῶν· αὐτῷ κακῶς εἶναι μάντις 6)· κἀγὼ ἐξαρκεῖν ᾤμην ἐμαυτῷ περὶ τοὺς λόγους, μόγις καὶ τοῦτο 7). σὺ δέ με ἐπαίρεις καὶ θαῤῥεῖν ἀναπείθεις, εἰ ἀνδρὶ καὶ παιδείας ἐπὶ πλεῖστον ἥκοντι, καὶ τηλικούτῳ, δύναμαι χρήσιμος εἶναι. δυναίμην δ' ἂν τυχὸν, ὥσπερ 8) ὁδὸν ἰόντι μάλα ἰσχυρῷ καὶ ἀκμάζοντι, παῖς, ἤ τις πρεσβύτης ἐνίοτε νομεὺς, ἐπίτομον δείξας ἢ λεωφόρον, ἣν οὐκ ἔτυχεν εἰδώς. ἀλλ' ἵνα μὴ πολλὰ πρὸ τοῦ πράγματος 9), ἤδη οἷς προσέταξας ἐγχειρητέον.

4) αὐτῶν ἐκείνων] nam literis et eloquentiae debentur bonae leges et prudens conſtitutio reip. per quae ciues fiunt opulenti, vt poſſint vrbes ſuas donariis et muneribus ornare.

5) χρήσιμον ἑαυτῷ νενόμικας poteſt bonum videri et ἑαυτῷ idem eſſe atque σαυτῷ *tibimet ipſi.*

6) αὐτῷ κακῶς εἶναι μάντις bene habet — *vt veterum aliquis aliquando dixit, ſe vtcunque ſibi vatem eſſe.* nos quoque ſimili modo *übel und böſe* vſurpamus, cum volumus indicare rem aliquam geri quomodocunque, tametſi non vſquequaque optime, tamen ſic, vt tolerabile ſit, et quodammodo neceſſitati ſatis fiat, tametſi non modis omnibus.

7) μόγις καὶ τοῦτο] ſubaudi τὸ ὀλίγον, ὃ κέκτημαι. fort. leg. μόγις δὲ καὶ τοῦτο. *ſed vel hoc ipſum tantillum vix ſatis putabam.* vel μόγις, καὶ οὐδὲ τοῦτο. *vix, ac ne vix quidem.*

8) ὥσπερ] ſubaudi a communi δύναται χρήσιμος εἶναι.

9) ἵνα μὴ — πράγματος] ſcil. λέγων διατρίβω vel ἐνοχλῶ. tametſi horum aliquid adeſſe malim.

τέον. μειρακίῳ μὲν ἢ νέῳ ἀνδρὶ, τοῦ τε πράττειν ἀποχωρῆσαι 10) βουλομένῳ, καὶ πρὸς ἀσκήσει γενέσθαι, καὶ δύναμιν περιποιήσασθαι λόγων, ἑτέρων ἔργων τε καὶ πράξεων 11) δεῖ. σὺ δὲ οὔτε ἄπειρος τοῦ ἔργου 12), οὔτε ἀπολιπεῖν τὸ πράττειν 13) δύνασαι, οὔτε χρῄζεις 14) δικανικῆς δυνάμεώς τε καὶ δεινότητος, ἀλλὰ τῆς πολιτικῷ ἀνδρὶ πρεπέσης τε ἅμα καὶ ἀρκούσης 15). τοῦτο μὲν δὴ πρῶτον ἴσθι, ὅτι οὐ δεῖ σοι πόνου καὶ ταλαιπωρίας· τῷ μὲν γὰρ ἐπὶ πολὺ ἀσκήσαντι ταῦτα ἐπιπλεῖστον προάγει 16), τῷ δ' ἐπ' ὀλίγον χρησαμένῳ, συλλήψει 17) τὴν ψυχὴν, καὶ ὀκνη-

10) Veneta dat ἀποχαρῆσαι, vbi vir doctus in margine adſcripſit ἐπιχειρῆσαι, bene ad ſententiam, ſed verbum hoc cum datiuo et accuſatiuo, non cum genitiuo, conſtruitur. videtur melius conuenire ἀποπειρῆσαι, aut in medio ἀποπειρήσασθαι, *deguſtare geſtum rerum*, periculum facere et tirocinium ponere adminiſtrationis rerum ciuilium.

11) ἔργα ſunt *opera* penſa, in quibus elaborandum eſt, πράξεις effectiones illorum operum.

12) f. ἄπειρος εἶ τοῦ ἔργου, ſtudium eloquentiae forenſis ſignificat.

13) πράττειν] gerere remp.

14) χρῄζεις] ſic recte Veneta, χρῄζειν Morell.

15) τῆς — πρεπούσης — ἀρκούσης] pendent hi genitiui, verbo, quo nitantur, deſtituti. videtur ἐπείληψαι deeſſe. conſecutus es facultatem eam, quae hominem ciuilem deceat, eique ſufficiat.

16) προάγει] h. e. πρόεισι, *procedunt*. ei, qui diutiſſime validiſſimeque ſe his in rebus exercuit, ei facillime, proſperrimeque quoad vult longiſſime procedunt, proficit in iis quam longiſſime.

17) συλλήψει] poſſunt varia excogitari, fortaſſis non plane aliena, neque tamen id reperiri, quod Dio reliquit. ſententia fert συντρίβει aut συγκόπτει, *conterit*, *comminuit*, h. e. deiicit mentem, aut συντήκει, vel συλλείβει. — προσφέρεσθαι bene habet. *accingi ad opus agendum*, id aggredi, accedere, capeſſere. et ſic quoque vir doctus in margine Venetae meae accepit interpretatusque eſt.

ὀκνηρὰν ποιεῖ προσφέρεσθαι. καθάπερ τοὺς ἀσυνήθεις περὶ σώματος ἄσκησιν, εἴ τις κοπώσειε βαρυτέροις γυμνασίοις [18]), ἀσθενεστέρους ἐποίησεν· ἀλλ' ὡς τοῖς ἀήθεσι πονεῖν, σώματος ἀπολείψεως [19]) δεῖ μᾶλλον καὶ κινήσεως συμμέτρου, ἢ γυμνασίας· οὕτω σοι ἐν τῇ περὶ τοὺς λόγους ἐπιμελείᾳ, χρεία ἐστὶ μᾶλλον ἡδονῆς μεμιγμένης [20]), ἢ ἀσκήσεως καὶ πόνου. τῶν μὲν δὴ ποιητῶν συμβουλεύσαιμ' ἄν σοι, Μενάνδρῳ τε τῷ κωμικῷ μὴ παρέργως ἐντυγχάνειν, καὶ Εὐριπίδῃ τῷ τραγικῷ, καὶ τούτοις, μὴ οὕτως ἀναγινώσκοντα [21]) ἑτέρων ἐπισταμένων, μάλιστα μὲν καὶ ἡδέως,

18) voc. γυμνάσιον pro γύμνασμα, *exercitatione*, vſurpari haud memini. malim itaque βαρυτέραις γυμνασίαις.

19) ἀπολείψεως] vir doctus in margine Venetae idem ἀλείψεως adſcripſit. Caſaubonus interpretem ἀπαλείψεως voluiſſe ait, ideoque laudat. dubito, an vtrumque recte. ſimplex vſitatius eſt ἄλειψις, quam compoſitum ἀπάλειψις. deinde cur appoſitum σώματος? mihi potius videtur σώματος ἀναλήψεως leg. eſſe, *recreatione*, *refectione corporis.*

20) μεμιγμένης] ſcil. τῇ ἐπιμελείᾳ, quod praeceſſit; niſi malumus ἡδονῆς σπουδῇ μεμιγμ.

21) μὴ οὕτως ἀναγινώσκοντα bene habet, non ſic ſimpliciter legentem, tuiſmet oculis, et ſolis oculis, vt nos legimus, vt legunt omnes, qui legunt quicquam: ſed per alios legentem, h. e. audientem alios iſta recitantes. quare malim ſic legi: μὴ οὕτως ἀναγινώσκοντα, ἀλλ' ὑφ' ἑτέρων, ἐπισταμένων, μάλιστα μὲν ἡδέως, εἰ δ' οὖν (vel εἰ δ' οὖν μὴ) ἀλύπως, γ' ὑποκρ. *ſed per alios, qui ſciant, quod inprimis equidem velim, et maxime ſit faciendum, ſuauiter et iucunde perſonas et res, quae in ſcena fiunt, voce geſtuque repraeſentare; ſin minus, ſaltem ſine aurium offenſione.* Poſt οὕτως in codice regio eſt αὐτὸν, quod, vt non repudio, ita valde neceſſarium non iudico. Caſaubonus tamen pro οὕτως ibat ſubſtitutum; male ille quidem, non recordatus elegantiam et vim huius aduerbii. Conſtat vel e Plinii epiſtolis, veteres coenae adhibere conſueuiſſe lyriſtas et comoedos, qui fabulas vetuſtas voce et geſtu referrent. Tractauit h. locum quoque Vale-

ἡδέως, εἰ δ' οὖν ἀλύπως ὑποκρίνασθαι. πλείων γὰρ ἡ αἴσθησις ἀπαλλαγέντι τῆς περὶ τὸ γινώσκειν 22) ἀσχολίας. καὶ μηδεὶς τῶν σοφῶν αἰτιάσηταί με, ὡς προκρίναντα τῆς ἀρχαίας κωμῳδίας τὴν Μενάνδρου, ἢ τῶν ἀρχαίων τραγῳδῶν Εὐριπίδην. οὐδὲ γὰρ οἱ ἰατροὶ τὰς πολυτελεστάτας τροφὰς συντάττουσι τοῖς δεομένοις θεραπείας, ἀλλὰ τὰς ὠφελίμους 23). πολὺ δ' ἂν ἔργον εἴη τὸ λέγειν, ὅσα ἀπὸ τούτων χρήσιμα. ἥ τε γὰρ τοῦ Μενάνδρου μίμησις ἅπαντος ἤθους καὶ χάριτος, πᾶσαν ὑπερβέβληκε τὴν δεινότητα τῶν παλαιῶν κωμικῶν· ἥ τε Εὐριπίδου προσήνεια καὶ πιθανότης, τοῦ μὲν τραγικοῦ ἀπαυθαδήματος 24) καὶ ἀξιώματος τυχὸν οὐκ ἂν τελέως ἐφικνοῖτο· πολιτικῷ δὲ ἀνδρὶ πάνυ ὠφέλιμος, ἔτι δὲ ἤθη 25) καὶ πάθη δεινὸς πληρῶσαι, καὶ γνώμας πρὸς

Valeſius Emend. p. 54, 55. Pari eum modo interpretatus eſt Anglus.

22) γινώσκειν] imo vero ἀναγινώσκειν.

23) colligi poſſe videtur ex hoc loco, Ariſtophanis, Aeſchyli, Sophoclis exemplaria Romae et in Graecia tum fuiſſe cariora pretio et rariora inuentu, quam Menandri et Euripidis.

24) iuuat lectionem Venetae afferre, minus fideliter a Morello relatam, τοῦ τραγικοῦ ἀπαιθήματος: vbi vir doctus α mediae vocis cum ω mutauerat, et poſtremae vocis interpretationem *contumacia.* Vnde natum ſit in ed. Morell. εὐπαθήματος neſcio. Caſaubonus voluit εὐςαθήματος. mihi, legenti veſtigia lectionis Venetae, probabile ſit Dionem dediſſe τοῦ τραγικοῦ ἀπαυθαδήματος, *tragicae arrogantiae.* potuit Dio nomen ſubſtantiuum ἀπαυθάδημα formare a verbo ἀπαυθαδέω. *ipſe meo vtor arbitrio, meum ſequor ingenium, ſpreto aliorum conſilio atque more publico.* faciunt hoc profecto tragici nimisquam ſaepe.

25) f. leg. ὠφέλιμός ἐςι, παντοδαπὰ ἤθη καὶ πάθη δεινὸς ὢν πληρῶσαι. *homini in rep. verſanti eſt vtilis, quippe qui nullum non genus morum atque affectuum exhauriat,* h. e. totam eorum formam, vim et naturam oratione expri-

πρὸς ἅπαντας ὠφελίμους καταμίγνυσι [26]) τοῖς ποιήμασιν, ἅτε φιλοσοφίας οὐκ ἄπειρος ὤν. Ὅμηρος δὲ καὶ μέσος καὶ ὕστατος καὶ πρῶτος παντὶ παιδὶ καὶ ἀνδρὶ καὶ γέροντι· τοσοῦτον ἀφ' αὑτοῦ διδοὺς, ὅσον ἕκαστος δύναται λαβεῖν. μέλη δὲ καὶ ἐλεγεῖα καὶ ἴαμβοι καὶ διθύραμβοι, τῷ μὲν σχολὴν ἄγοντι πολλοῦ ἄξιοι· τῷ δὲ πράττειν τε καὶ ἅμα τὰς πράξεις καὶ τοὺς λόγους αὔξειν διανοουμένῳ οὐκ ἂν εἴη πρὸς αὐτὰ σχολή. τοῖς δ' ἱστορικοῖς διὰ πολλὰ ἀνάγκη τὸν πολιτικὸν ἄνδρα μετὰ σπουδῆς ἐντυγχάνειν· ὅτι καὶ ἄνευ τῶν λόγων [27]), τὸ ἔμπειρον εἶναι πράξεων καὶ δυστυχιῶν καὶ εὐτυχιῶν, οὐ κατὰ λόγον μόνον, ἀλλὰ ἐνίοτε καὶ παρὰ λόγον, ἀνδράσι τε καὶ πόλεσι συμβαινουσῶν, σφόδρα ἀναγκαῖον πολιτικῷ ἀνδρὶ καὶ τὰ πολιτικὰ πράττειν προαιρουμένῳ. ὁ γὰρ πλεῖστα ἑτέροις συμβάντα ἐπιστάμενος, ἄριστα, οἷς αὐτὸς ἐγχειρεῖ, διαπράξεται, καὶ ἐκ τῶν ἐνόντων ἀσφαλῶς, καὶ οὔτε εὖ πράττων παρὰ μέτρον ἐπαρθήσεται, δυσπραγίαν τε πᾶσαν οἴσει γενναίως, διὰ τὸ μηδ' ἐν οἷς εὖ ἔπραττεν, ἀνεννόητος [28]) εἶναι τῆς ἐπὶ τὸ ἐναντίον μεταβολῆς. Ἡροδότῳ μὲν οὖν, εἴ ποτε

primat. ἤθη per η, non per ε. (vt Ven. et Mor. dant) Latinis vnum modo est vocabulum, quo vtrumque exprimant, tam *internos* cuiusque mores seu sensus habitusque animi, quam *publicos* omnium mores in rebus quibusdam certo modo agendis demonstratos.

26) malim καταμιγνὺς; reddit enim rationem, cur Euripidem aiat homini in rep. versanti conuenire atque prodesse.

27) ἄνευ τῶν λόγων] non excludit literam, sed *praeter* literas et *vna cum* illis necessariam quoque ait experientiam rerum vsu contractam. λόγοι, literae, hic sunt cognitiones rerum literis traditarum, e libris haustae, vna cum facultate de rebus occurrentibus sapienter illisque cognitionibus accommodate diserteque disputandi.

28) ἀνεννόητος] sic recte Veneta. ἐνεννόητος Mor.

εἴ ποτε ἔφορόν 29) σοι, μετὰ πολλῆς ἡσυχίας ἐντεύξῃ. τὸ γὰρ ἀνειμένον καὶ τὸ γλυκὺ τῆς ἀπαγγελίας 30), ὑπόνοιαν παρέχει, μυθῶδες μᾶλλον, ἢ ἱστορικὸν, τὸ σύγγραμμα εἶναι. τῶν δὲ ἄκρων Θουκυδίδης ἐμοὶ δοκεῖ, καὶ τῶν δευτέρων Θεόπομπος. καὶ γὰρ ἱστορικόν τι περὶ τὴν ἀπαγγελίαν τῶν λόγων ἔχει· καὶ οὐκ ἀδύνατος, οὐδὲ ὀλίγος 31) περὶ τὴν ἑρμηνείαν· καὶ τὸ ῥάθυμον περὶ τὰς λέξεις οὐχ οὕτως φαῦλον, ὥστε σε λυπῆσαι. Ἔφορος δὲ πολλὴν μὲν ἱστορίαν παραδίδωσι· τὸ δὲ ὕπτιον καὶ ἀνειμένον τῆς ἀπαγγελίας σοὶ οὐκ ἐπιτήδειον. τῶν γε μὴν ῥητόρων τοὺς ἀρίστους τίς οὐκ ἐπίσταται; Δημοσθένην μὲν, δυνάμει τε ἀπαγγελίας, καὶ δεινότητι διανοίας, καὶ πλήθει λόγων, πάντας τοὺς ῥήτορας ὑπερβεβληκότα· Λυσίαν δὲ βραχύτητι καὶ ἁπλότητι, καὶ συνεχείᾳ διανοίας, καὶ τῷ λεληθέναι τὴν δεινότητα. πλὴν οὐκ ἂν ἐγώ σοι συμβουλεύσαιμι, τὰ πολλὰ τούτοις ἐντυγχάνειν· ἀλλ᾽ Ὑπερίδῃ τε μᾶλλον καὶ Αἰσχίνῃ. τούτων γὰρ ἁπλούστεραί τε αἱ δυνάμεις, καὶ εὐληπτότεραι αἱ κατασκευαὶ, καὶ τὸ κάλλος τῶν ὀνομάτων οὐδὲν ἐκείνων λειπόμενον. ἀλλὰ καὶ Λυκούργῳ συμβουλεύσαιμι ἂν ἐντυγχάνειν σε, ἐλαφροτέρῳ τούτων ὄντι, καὶ ἐμφαίνοντί τινα ἐν τοῖς λόγοις ἁπλότητα τοῦ τρόπου. ἐνταῦθα δή φημι δεῖν· (καὶ εἴ τις ἐντυχὼν τῇ παραινέσει τῶν πάνυ ἀκριβῶν αἰτιάσεται·)

29) ἔφορον crucem mihi figit. Plana quidem et in aperto est sententia. *si quando tibi vacat*, aut *commodum est*. sed ἔφορον id non significat, neque εὔφορον, neque ἔφωρον. In Veneta est ἄφορον. nil expedio. viderint acutiores.

30) τῆς ἀπαγγελίας] sic recte Casaub. et Ven. *enunciationis, elocutionis.* ἐπαγγελίας Morell. v. paulo post, et Wesseling. ad Diodor. Sic. I. 246, 7.

31) ὀλίγος si bene habet, de quo dubito, significabit idem quod ἀνειμένος, ἀμελὴς, ῥάθυμος. *qui parum aut nihil studii in ornanda et polienda oratione ponat.* malim tamen aut ὀλίγωρος, aut λιτός.

ται·) μηδὲ τῶν νεωτέρων καὶ ὀλίγον πρὸ ἡμῶν [32]) ἀπείρως ἔχειν· λέγω δὲ τῶν περὶ τὸν Ἀντίπατρον [33]), καὶ Θεόδωρον, καὶ Πλουτίωνα, καὶ Κόνωνα, καὶ τὴν τοιαύτην ὕλην [34]). αἱ γὰρ τούτων δυνάμεις καὶ ταύτῃ ἂν εἶεν ἡμῖν ὠφέλιμοι, ᾗ οὐκ ἂν ἐντυγχάνοιμεν αὐτοῖς δεδουλωμένοι [35]) τὴν γνώμην, ὥσπερ τοῖς παλαιοῖς. ὑπὸ γὰρ τοῦ δύνασθαί τι τῶν εἰρημένων αἰτιάσασθαι, μάλιστα θαῤῥοῦμεν πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρεῖν, ᾗ [36]) καὶ ἥδιόν τις παραβάλλει αὐτὸν, ᾧ πείθεται συγκρινόμενος, οὐ καταδεέστερος, ἐνίοτε δὲ καὶ βελτίων φαίνεσθαι. τρέψομαι δὲ ἤδη ἐπὶ τοὺς Σωκρατικοὺς, οὓς δὴ ἀναγκαιοτάτους εἶναί φημι παντὶ ἀνδρὶ λόγων ἐφιεμένῳ. ὥσπερ γὰρ οὐδὲν ὄψον ἄνευ ἁλῶν γεύσει κεχαρισμένον, οὕτως οὐδὲν εἶδος ἔμοιγε δοκεῖ ἀκοῇ προσηνὲς ἂν γενέσθαι, χάριτος Σωκρατικῆς ἄμοιρον. τοὺς μὲν δὴ ἄλλους μακρὸν [37]) ἂν εἴη ἔργον ἐπαινεῖν· καὶ ἐντυγχάνειν αὐτοῖς οὐ τὸ τυχόν. Ξενοφῶντα δὲ ἔγωγε ἡγοῦμαι,

ἀνδρὶ

32) ὀλίγον πρὸ ἡμῶν] scil. γεγονότων.

33) Antipater ille videtur significari, in quem epigramma incerti auctoris exstat in Anthologia Henr. Stephani graeca 3. c. 31. p. 257. Theodorus autem Gadarenus, alias Rhodius, rhetor est, quem Tiberius Caesar Rhodi exsilium agens frequentauit. v. Interpp. Quintiliani 2, 11. et 3, 1. Pro *Plutione* substituit Meursius *Polytionem* Athenis Atticis p. 13. sed bene habet vulgata. Plutionem rhetorem laudat Seneca Suasor. 1. Cononem hic commemoratum nullus dubito eundem esse cum eo, cuius fabulosa argumenta Photius in Bibliotheca seruauit. vixit is aetate D. Augusti.

34) ὕλην forte bene habet. cogitaui tamen aliquando de ἴλην *cateruam*, *gregem*.

35) ᾗ — δεδουλωμένοι] sic recte Veneta, Casaubonus et Anglus. ᾗ — δεδουλωμένοις Morell.

36) ᾗ] sic rursus recte Ven. *quapropter*, ᾗ Mor.

37) μακρὸν in neutro, et sic quoque vir doctus in marg. Venetae meae. Ven. et Mor. dant μακρὰν.

ἀνδρὶ πολιτικῷ, καὶ μόνον τῶν παλαιῶν ἐξαρκεῖν δύνασθαι· εἴτε 38) ἐν πολέμῳ τὶς στρατηγῶν, εἴτε πόλεως ἀφηγούμενος, εἴτε ἐν δήμῳ λέγων, εἴτε ἐν βουλευτηρίῳ, μὴ ὡς ῥήτωρ ἐθέλοι μόνον, ἀλλὰ καὶ ὡς πολιτικὸς καὶ βασιλικὸς ἀνὴρ, τὰ τοιούτῳ προσήκοντα ἐν δίκῃ εἰπεῖν. πάντων ἄριστος ἐμοὶ καὶ λυσιτελέστατος, πρὸς ταῦτα πάντα Ξενοφῶν. τά τε γὰρ διανοήματα σαφῆ καὶ ἁπλᾶ καὶ παντὶ ῥάδια φαινόμενα· τό τε εἶδος τῆς ἀπαγγελίας προσηνὲς, καὶ κεχαρισμένον, καὶ πιστικὸν, πολλὴν μὲν ἔχον πιθανότητα, πολλὴν δὲ χάριν καὶ ἐπιβολήν 39)· ὥστε μὴ λόγων δεινότητι μόνον, ἀλλὰ καὶ γοητείᾳ ἐοικέναι τὴν δύναμιν. εἰ γοῦν ἐθελήσειας αὐτοῦ τῇ περὶ τὴν Ἀνάβασιν πραγματείᾳ σφόδρα ἐπιμελῶς ἐντυχεῖν, οὐδένα λόγον εὑρήσεις τῶν ὑπὸ σοῦ λεχθῆναι δυνησομένων, ὃν 40) οὐ διείληπται, καὶ κανόνος ἂν τρόπον 41) ὑπόσχοιτο τῷ πρὸς αὐτὸν ἀπευθῦναι 42) ἢ μιμήσασθαι βουλομένῳ. εἴτε γὰρ θαῤῥῦναι τοὺς σφόδρα καταπεπτωκότας χρήσιμον πολιτικῷ ἀνδρὶ, καὶ πολλάκις 43), ὡς χρὴ τοῦτο ποιεῖν δείκνυσιν· εἴτε προτρέψαι καὶ παρακαλέσαι, οὐδεὶς, Ἑλληνικῆς φωνῆς ἐπαΐων, οὐκ ἂν ἐπαρθείη τοῖς προ-

38) post εἴτε deesse videtur γὰρ, aut alias post εἰπεῖν est punctum figendum. (quod punctum in Mor. deest.)

39) ἐπιβολὴν] auram quasi afflatu fascinantem. aliter exposuit Anglus, sed alienius ab hoc loco. de suauitate ad mentem lectoris ita allabente, vt aura dulcis ad nares allabens, ἐπιβάλλουσα, caput tentat, hic agi, sequentia docent.

40) ὃν] *quem Xenopho non pertractarit.* Ven. et Mor. dant ὅς.

41) malim τόπον. *locum normae obtineat.*

42) aut deest ἑαυτὸν post ἀπευθῦναι, aut leg. est ἀπευθύνασθαι, aut ἀπευθυνθῆναι.

43) post πολλάκις deest ἐστί. et haec verba pro parenthesi habenda sunt. *si expedit — (et profecto saepe expedit) monstrat Xenopho, quomodo hoc instituere nos oporteat.*

προτρεπτικοῖς Ξενοφῶντος λόγοις. ἔμοιγ᾽ οὖν κινεῖται ἡ διάνοια, καὶ ἐνίοτε δακρύω μεταξὺ, τοσούτων ἔργων τοῖς λόγοις ἐντυγχάνων 44). εἴτε μεγαλοφρονοῦσι καὶ ἐπηρμένοις ὁμιλῆσαι φρονίμως, καὶ μήτε παθεῖν τι ὑπ᾽ αὐτῶν δυσχερανάντων, μήτε ἀπρεπῶς δουλῶσαι τὴν αὐτοῦ διάνοιαν, καὶ τὸ ἐκείνοις κεχαρισμένον ἐκ παντὸς ποιῆσαι, καὶ ταῦτα ἔνεστι. καὶ ἀπορρήτοις δὲ λόγοις ὡς προσήκει χρήσασθαι, καὶ πρὸς στρατηγοὺς ἄνευ πλήθους, καὶ πρὸς πλῆθος κατὰ ταυτό 45)· καὶ βασιλικῶς τινὰ τρόπον διαλεχθῆναι, καὶ ἐξαπατῆσαι ὅπως 45), πολεμίους μὲν ἐπὶ βλάβῃ, φίλους δ᾽ ἐπὶ τῷ συμφέροντι, καὶ μάτην ταραττομένοις, ἀλύπως τἀληθὲς καὶ πιστῶς εἰπεῖν· καὶ τὸ μὴ ῥᾳδίως πιστεύειν τοῖς ὑπερέχουσι· καὶ οἷς ἐξαπατῶσιν οἱ ὑπερέχοντες· καὶ οἷς καταστρατηγοῦσι καὶ καταστρατηγοῦνται ἄνθρωποι, πάντα ταῦτα ἱκανῶς τὸ σύνταγμα περιέχει. ἅτε γὰρ, οἶμαι, μιγνὺς ταῖς πράξεσι τοὺς λόγους, οὐκ ἐξ ἀκοῆς παραλαβὼν, οὐδὲ μιμησάμενος, ἀλλ᾽ αὐτὸς πράξας ἅμα καὶ εἰπὼν, πιθανωτάτους ἐποίησεν ἐν ἅπασί τε τοῖς συντάγμασι· καὶ ἐν τούτῳ μάλιστα, οὗ ἐπιμνησθεὶς ἐτύγχανον. καὶ εὖ ἴσθι, οὐδένα σοι τρόπον μεταμελήσει 47)· ἀλλὰ καὶ ἐν βουλῇ καὶ ἐν δήμῳ, ὀρέγοντός σοι χεῖρα αἰσθήσῃ τοῦ ἀνδρὸς, εἰ αὐτῷ προθύμως καὶ φιλοτίμως ἐντυγχάνοις. γράφειν μὲν

οὖν

44) ἐντυγχάνων] sic recte vir doctus in margine Venetae meae notauit. *interdum illacrymo meae lectioni narrationum de tantis rebus gestis.* ἐντυγχάνω Ven. et Mor.

45) κατὰ ταὐτὸ videtur significare h. l. idem atque ἄνευ στρατηγῶν. *ad milites per absentiam imperatorum.*

46) τινὰ τρόπον et ὅπως traiecit. Consuetus enim ordo postulabat, vt illud ante βασιλικῶς, hoc ante ἐξαπατῆσαι staret. Imposuit hoc Anglo, vt πως encliticum suffectum iret.

47) μεταμελήσει] subaudi ex insequentibus εἰ αὐτῷ προθύμως καὶ φιλοτίμως ἐντυγχάνοις.

ἓν οὐ συμβουλεύσω σοι αὐτῷ, ἀλλ' ἢ σφόδρα ἀραιῶς, ἐπιδιδόναι 48) δὲ μᾶλλον. πρῶτον μὲν γὰρ ἑτοιμότερος 49) τῷ λέγοντι ὁ ὑπαγορεύων, τοῦ γράφοντος. ἔπειτα ἐλάττονι πόνῳ γίνεται 50)· ἔπειτα πρὸς δύναμιν μὲν ἧττον συλλαμβάνει τοῦ 51) γράφειν· πρὸς ἕξιν δὲ 52), πλεῖον. καὶ γράφειν δὲ οὐ ταῦτά σε ἀξιῶ τὰ σχολαστικὰ πλάσματα, ἀλλ' εἴπερ ἄρα τινὰ τῶν λόγων, οἷς ἂν ἥσθῃς ἐντυγχάνων, μάλιστα τῶν Ξενοφωντείων, ἢ ἀντιλέγοντα τοῖς εἰρημένοις, ἢ τὰ αὐτὰ ἕτερον τρόπον ὑποβάλλοντα. καὶ ἀναλαμβάνειν 53) μέντοι, εἴ σοι ῥᾴδιον μεμνῆσθαι, τὰ ἐκείνων ἄμεινον. τῷ τε γὰρ τρόπῳ τῆς ἀπαγγελίας καὶ τῇ ἀκριβείᾳ τῶν διανοημάτων, πάνυ συνήθεις ποιεῖ. λέγω δὲ, οὐχ ἵνα σύνταγμά τι ὅλον,

48) ἐπιδιδόναι nolim ſolicitari, eſt ad calamum dictare. vniuerſe eſt mandare, committere, iniungere alteri exſequenda, quaecunque ſunt; ſic inprimis notario verba calamo celeri excipienti; item diſcipulo, quod memoriae mandet, memoriter ediſcat. ſic Sopater vſurpat in fine Prolegomenorum ad Ariſtidem.

49) aut ὁμοιότερος, aut ἐγγύτερος, poſtulat ſententia. *dictans ſimilior eſt diſputanti, quam ſcribens.*

50) ἐλάττονι πόνῳ γίνεται] ſic recte Veneta, codex regius, Caſaubonus et Anglus. Morell. omittit πόνῳ.

51) τοῦ] vir doctus in margine Venetae meae ſcripſit τὸ, in quo falſus eſt et a ſententia auctoris aberrauit, quae haec eſt: *exercitatio ſcribendi plus confert ad* δύναμιν, *exercitatio loquendi plus ad* ἕξιν. appellat δύναμιν facultatem ſenſus animi verbis planis, ſed ornatis, et ad perſuadendum efficacibus, exprimere, quod niſi meditando et commentando fieri nequit, ἕξιν habitum diſputandi probabiliter, tametſi non ornate, ſed ex tempore, quamuis pinguiuſcule.

52) δὲ] ſic recte interpres. δὴ Ven. et Mor.

53) ἀναλαμβάνειν eſt *memoriter ediſcere.* ſententia eſt: *ſi facile tibi eſt memoriter ediſcere, ſatius erit locos veterum, quam aut recentiorum, aut tuamet ipſius ſcripta, ediſcere.*

ὥσπερ οἱ παῖδες, εἴρων συνάπτῃς 54)· ἀλλ' ἵνα, εἴ τι σοι σφόδρα ἀρέσειε, τοῦτο κατάσχῃς. πλείονα 55) περὶ τούτου μειρακίῳ ἂν ἔγραψα· σοὶ δὲ ἀρκεῖ τοσαῦτα. καὶ γὰρ εἰ ἐλάχιστα ἀναλάβοις, πολὺ ὀνήσῃ. καὶ εἰ δυσκόλως ἔχοις καὶ μετὰ ὀδύνης πράττοις 56), οὐκ ἐξ ἅπαντος ἀναγκαῖον. ἀλλὰ ἔοικα μὲν πάνυ μηκῦναι τὴν συμβουλίαν· σὺ δὲ αἴτιος, ἀναπείσας καὶ προκαλεσάμενος· ὥσπερ οἱ ἐν πάλῃ ὑπερέχοντες τοῖς ἀσθενεστέροις ὑπείκοντες, ἐνίοτε ἔπεισαν αὐτοὺς, πείθεσθαι ἰσχυροτέρους εἶναι· καὶ σὺ ἔοικας, ἃ κρεῖττον 57) τυγχάνεις εἰδὼς, ἐμοὶ 58) προτρέψαι, ὡς ἔλαττον ἐπισταμένῳ γράψαι. βουλοίμην δ' ἂν, εἴ σοι κεχαρισμένον εἴη, καὶ ἐν τῷ αὐτῷ ποτε ἡμᾶς γενέσθαι, ἵνα καὶ ἐντυγχάνοντες τοῖς παλαιοῖς, καὶ διαλεγόμενοι περὶ αὐτῶν, χρήσιμοί τι ἐγενόμεθα. ὥσπερ τοῖς ζωγράφοις καὶ πλάσταις οὐκ ἀπόχρη εἰπεῖν, ὅτι δεῖ τοιάδε χρώματα εἶναι, καὶ τοιάσδε τὰς γραμμὰς, ἀλλὰ μεγίστη ὠφέλεια,

εἴ τις

54) εἴρων συνάπτῃς] *hoc non eo dico, quo tu librum aliquem veteris alicuius auctoris, id quod pueri in scholis factitant, a capite ad calcem memoriter ediscas.*

55) πλείονα] sic recte interpres: *plura hac de re.* πλεῖστα Ven. et Mor.

56) πράττοις] sic dedi, vt modo praecessit ἀναλάβοις. *quod si autem aegre, molesteque hoc facias. h. e.* locos veterum memoriae mandes. nescio praeterea quoque, an δυσκόλως πρὸς τοῦτο ἔχοις. *sis ad hoc inuitus, et inuita Minerua natus*, accedasque ad hoc agendum cum taedio. Ven. et Mor. dant πράττεις.

57) κρεῖττον] *melius*, vt statim ἔλαττον. Ven. et Mor. dant κρείττων.

58) ἐμοὶ possit quodammodo defendi, referendo ad ἔοικας, *videris mibi*, et tum subaudiendo ἐμέ; sed hoc paulo durius est. quare malim legi ἐμὲ προτρέψαι. *tu videris mibi me hortatus esse, vt ea, quae tu melius, quam ego, nosses, tibi tamen scripto praeciperem, quasi tu ea minus, quam ego, teneres.*

εἴ τις αὐτοὺς ἢ γράφοντας ἢ πλάττοντας ἴδοι· καὶ ὡς τοῖς παιδοτρίβαις οὐκ ἀρκεῖ εἰπεῖν τὰ παλαίσματα, ἀλλὰ καὶ δεῖξαι ἀνάγκη τῷ μαθησομένῳ· οὕτω καὶ ἐν ταῖς τοιαύταις συμβουλίαις πλείων ἡ ὠφέλεια γίγνοιτ' ἄν, εἴ τις αὐτὸν πράττοντα ἴδοι τὸν συμβεβουλευκότα. ὡς ἔγωγε, καὶ εἰ ἀναγιγνώσκειν με δέοι, σοῦ ἀκροωμένου, τῆς σῆς ἕνεκα ὠφελείας οὐκ ἂν ὀκνήσαιμι, στέργων τέ σε, καὶ τῆς σῆς φιλοτιμίας ἀγάμενος, καὶ τῆς πρὸς ἐμὲ τιμῆς χάριν εἰδώς.

ΠΕΡΙ ΤΗΣ ΑΥΤΟΥ ΦΙΛΗΚΟΙΑΣ.

ΛΟΓΟΣ ΙΘ΄.

Ἐδέοντο μὲν πάλαι τῶν οἰκείων τῶν ἐμῶν τινὲς ἐντυγχάνειν μοι· καὶ τῶν πολιτῶν δὲ ἐλέγοντο ἐπιθυμεῖν πολλοὶ θεάσασθαι, νομίζοντες πλέον τι παρὰ τοὺς ἄλλους ἔχειν με, διὰ τὴν ἄλλην μεταβολὴν τοῦ βίου, καὶ διὰ τὴν δοκοῦσαν αὐτοῖς τοῦ σώματος ταλαιπωρίαν· τελευτῶντες δὲ ἤδη καὶ ἐνεκάλουν, ἀδικεῖσθαι φάσκοντες [1]. ἐγὼ δὲ οὐκ ἤθελον ἐγγὺς ἰέναι πρὸς αὐτοὺς τοὺς ὅρους, ἀλλὰ ἐδόκει μοι τὸ τοιοῦτο παντελῶς ἀχθομένου τινὸς εἶναι τῇ φυγῇ, καὶ ἐπιθυμοῦντος κατελθεῖν· ὥσπερ οἱ μηδὲν καταλιπόντες ἐν τῇ κύλικι δῆλοί [2] εἰσι πάνυ διψῶντες. ἐλθὼν

1) ἀδικεῖσθαι φάσκοντες] eo fcil. quod mei copiam ipfis facere nollem, et coram illis difputare.

2) δῆλοι] fic recte Cafaubonus. *qui nihil in poculo relinquunt, fed vel cum ipfis faecibus vacuant, eo facto de fe produnt, fe admodum fitire, idque ex eo agnofcitur.* δῆλον Ven. et Mor.

οὖν εἰς Κύζικον 3), ἐκεῖ διέτριβον, καὶ παρεῖχον, εἴ τις βούλεταί μοι τῶν ἐπιτηδείων συγγίνεσθαι. καὶ δὴ καὶ τὸ τοῦ κιθαρῳδοῦ τοῦτο, ὃ λέγουσιν, ἔσωσέ με, ᾠδήν τινα αὐτοῖς 4). ἐπεὶ γὰρ ἧκεν ὁ ἄριστος τῶν νῦν κιθαρῳδῶν, ὡς δ' ἔνιοί φασιν, οὐδὲ τῶν πρώτων οὐδενὸς ἐνδεέστερος, ἀλλ' οὐδὲ Ἀρίωνος ἐκ τοῦ πελάγους 5)· μαντευόμενοι 6) δηλονότι, πῶς γὰρ εἰδοῖεν τὸ σαφὲς οὐκ ἀκούσαντες ἐκείνου; ὡς δ' οὖν τάχιστα ᾔσθοντο ἐπιδημοῦντα τὸν ἄνδρα, εὐθὺς σπουδὴ ἀμήχανος· καὶ πάντες ἐβάδιζον εἰς τὸ βουλευτήριον. ἐγὼ οὖν καὶ αὐτὸς ἐξεῖναι νομίζων καὶ ἡμῖν 7), ἀκοῦσαι καὶ μεταλαβεῖν οὕτω καλῆς εὐωχίας, ἐν ἀνθρώποις τρισχιλίοις καὶ πλείοσιν, ἧκον ἐν πρώτοις πάνυ θαῤῥῶν, εἰμὶ δὲ φιλήκοος καὶ φιλόμουσος ἀτεχνῶς, οὐ πάνυ ἔμπειρος ὢν μουσικῆς· ὥστε, εἴπερ ἔτυχον γεγονὼς κατὰ τὸν αὐτὸν χρόνον Ὀρφεῖ, δοκῶ μοι, πρῶτος ἂν ἐπηκολούθουν, εἰ καὶ ἔδει 8) μετὰ νεβρῶν τινων,

3) οὖν] sic recte Ven. ἐκ Mor.

4) ᾠδήν τινα αὐτοῖς] vitii locum hunc arguit Casaubonus, et saltim ᾄσαντος deesse autumat, cui codex regius quodammodo suffragatur, addens ᾄσαντα, teste Morello. Veneta quoque dat ᾠδήν τινα ἅπαντα αὐτοῖς. sed bene habere videtur vulgata, et subaudiri δός. *da illis cantiunculam, qua placentur.* Dilucidior esset oratio, si originem prouerbii teneremus.

5) imo vero transpositis vocabulis τοῦ ἐκ πελάγους, scil. σωθέντος. *ne Arione quidem ipso inferior, illo, qui ex undis maris saluus euasit, vel seruatus est.* mirum est dictu, quantam caliginem res tam leuicula, traiectio voculae vnius, Casaubono obiecerit.

6) μαντευόμενοι cohaeret cum φασι. *vt aiunt quidam non certa illi scientia freti, sed coniecturam quandam sequentes, et quasi diuinantes*, h. e. opinantes solummodo.

7) ἡμῖν] mihi aliisque philosophis mei similibus.

8) ἔδει] sic bene correxit Casaubonus. ἤδη Ven. et Mor. Constructio δοκῶ μοι πρῶτος ἐπηκολούθουν pro ἐπηκολουθηκέναι mihi insolens et dura atque vitiosa videtur.

τινων, ἢ μόσχων, οὐδὲν αἰδούμενος· ἐπεὶ καὶ νῦν ταυτὸ τοῦτο πάσχω πολλάκις, ἐπειδὰν εἰσαφίκωμαι σοφιστοῦ, διὰ τὴν προσοῦσάν μοι ἀκρασίαν 9) περὶ τοὺς λόγους, καὶ μετὰ τοιούτων συναγελάζομαι θρεμμάτων, ὡραίων καὶ καλῶν, ἄλλως δὲ θορυβούντων, καὶ σκιρτᾶν προθυμουμένων. τοῦτο δὲ πέπονθα πρὸς τοὺς σοφιστάς τε καὶ ῥήτορας ἅπαντας σχεδόν. καθάπερ οἱ πτωχοὶ καὶ τοὺς μετρίως εὐπόρους μακαρίζουσι διὰ τὴν αὐτῶν ἀπορίαν· κἀγὼ τοὺς ἀμηγέπη δυνατοὺς λέγειν θαυμάζω καὶ ἀγαπῶ, διὰ τὸ αὐτὸς ἀδύνατος εἶναι λέγειν; τὰ μέντοι τῶν κιθαρῳδῶν τε καὶ, νὴ Δία, τῶν ὑποκριτῶν, οὐ παρ᾽ ὀλίγον μοι δοκεῖ διαφέρειν 10). πρὸς ἡδονήν τε γὰρ φωνὴ 11) μείζων, καὶ δηλονότι ἐπιμελεστέρα, ἥ τε ἕξις 12) οὐκ αὐτοσχέδιος, ὥσπερ ἡ τῶν ῥητόρων ἐξ ὑπεγείου 13) τὰ πολλὰ πειρωμένων λέγειν, ἀλλὰ ποιητῶν, ἐπιμελῶς καὶ κατὰ σχολὴν πεποιηκότων. καὶ τά τε 14) πολλὰ αὐτῶν ἀρχαῖά ἐστι, καὶ πολὺ σοφωτέρων ἀνδρῶν, ἢ τῶν νῦν· τὰ μὲν τῆς κωμῳδίας, ἅπαντα· τῆς δὲ τραγῳδίας, τὰ μὲν ἰσχυρά, ὡς ἔοικε, μένει· λέγω δὲ τὰ ἰαμβεῖα 15), καὶ τούτων μέρη διεξίασιν ἐν τοῖς θεάτροις· τὰ δὲ μαλακώτερα ἐξεῤῥύη, καὶ

9) probo Caſauboni ἀκρασίαν pro ἀκρόασιν Ven. et Mor.

10) διαφέρειν] *praeſtare*, arti puta ſophiſtarum et oratorum ex tempore loquentium.

11) φωνὴ] vox hiſtrionum et citharoedorum aſſa voce canentium.

12) ἕξις] imo vero λέξις, *dictio*, oratio, verba, quae ab hiſtrionibus et citharoedis recitantur, quippe quae non ipſorum ſunt, ſed veterum et probatorum poetarum.

13) l. ἐξ ὑπογυίου, *ex tempore*, ſubito, ſiue vlla praeparatione et meditatione.

14) leg. τά γε.

15) τὰ ἰαμβεῖα] ea, quae ſenariis perſcripta ſunt, fabulae ipſae, ſine choris.

τὰ [16]) περὶ τὰ μέλη. ὥσπερ οἶμαι, τῶν ἀνθρώπων τῶν παλαιῶν ὅσα μὲν ἐστι στερεὰ τοῦ σώματος, ὑπομένει [17]) τῷ χρόνῳ, τὰ ὀστᾶ καὶ οἱ μύες, τἄλλα δὲ ἐλάττω γίνεται. οὐκοῦν τὰ σώματα ὁρᾶται τὰ τῶν παντελῶς γερόντων ἐνδεδωκότα καὶ λαγαρά. ὅσοι δ' αὖ παχεῖς γέροντες ὑπὸ πλούτου καὶ τρυφῆς, ἰσχυροῦ μὲν οὐδενὸς προσόντος ἔτι, πιμελῆς δὲ ἀντὶ τῶν σαρκῶν, εὐτραφεῖς ὁρῶνται καὶ νεώτεροι πολλοῖς [18]).

16) ἐξερρύη, καὶ τὰ] tria haec verba in duo contrahe, ἐξερρύηκε, partes molliores diffluxerunt, carmina puta, seu odae, a choris decantandae. v. Valef. Emendat. p. 55. sententia est: histriones graecos (nam de his solummodo agit, non de latinis) recitare vetustarum fabularum, comicarum quidem omnia, tragicarum autem partes solidiores solummodo quasdam: hoc est, senarios; molliorum, h. e. epodicorum a choris cantari solitorum, plane nihil.

17) ὑπομένει] *perdurant, permanent, sustinent iniurias tempore.* τῷ χρόνῳ] id est σὺν τῷ μακρῷ χρόνῳ, *tametsi per longum tempus.*

18) πολλοῖς] desunt non pauca, imo vero plurima disputationis huius pars periit; cuius quod fuerit argumentum haud constat, et ex hoc praeloquio colligi nequit, ne sententia quidem coepta absoluta est; pendet enim ὅσοι. *quotquot senes videntur multis — quid illi agunt?* hoc vero desideratur.

ΠΕΡΙ

ΠΕΡΙ ΑΝΑΧΩΡΗΣΕΩΣ.

ΛΟΓΟΣ Κ΄.

Τί γάρ ποτε τὸ τῆς ἀναχωρήσεώς ἐστι, καὶ τίνας χρὴ τιθέναι τοὺς ἀναχωροῦντας; ἆρά γε τοὺς ἀπὸ τῶν προσηκόντων ἔργων αὐτοῖς καὶ πράξεων ἀφισταμένους, τούτους χρὴ φάσκειν ἀναχωρεῖν; οἷον εἴ τις Ἀθηναῖος ὤν, δέον αὐτὸν στρατεύεσθαι ὑπὲρ τῆς πατρίδος, Λακεδαιμονίων εἰσβεβληκότων εἰς τὴν Ἀττικήν, ἢ Φιλίππου ἐπιόντος, ἢ ἄλλων πολεμίων, ὁ δὲ ἀναχωρήσει εἰς Μέγαρα, ἢ Αἴγιναν, ἕνεκα τοῦ μὴ στρατεύεσθαι, μηδὲ κινδυνεύειν, οὗτος ἀνακεχωρηκέναι λέγοιτο; ἢ εἴ τις συχνὴν οὐσίαν κεκτημένος, ἕνεκα τοῦ διαφυγεῖν τὰς λειτουργίας, ἀπέλθοι ἐκ τῆς πόλεως; ἢ εἴ τις ἰᾶσθαι τοὺς νοσοῦντας ἱκανὸς ὤν, καὶ φίλων δὴ καὶ ἐπιτηδείων αὐτῷ καμνόντων, ὅπως μὴ κακοπαθῇ, καὶ πράγματα ἔχῃ τούτους θεραπεύων, ἀπολίποι αὐτούς τε καὶ ἀποδημήσειεν εἰς ἕτερον τόπον; ἢ εἴ τις ἄλλος ἐν πόλει δέον ἐξετάζεσθαι, καὶ αὐτὸς 1) ἄρχειν καὶ ἀρχαῖς ὑπηρετεῖν, καὶ φυλακάς τινας φυλάττειν ἀγρυπνῶν, μὴ βούλοιτο· ἀλλ', ὅπως τούτων ἀπηλλαγμένος ἁπάντων ἔσται, καὶ μηδὲ εἰς αὐτὸν ἐξελέγξῃ, μηδὲ κωλύσῃ, πίνοντα καὶ καθεύδοντα καὶ ῥαθυμοῦντα, ἑτέρωσε ἀποχωροῖ ποι, ἆρα τοῦτο 2) ἀναχωρεῖν ῥητέον; ἀλλ' οὗτοι μέν, δῆλον, ὅτι φεύγουσί τε καὶ δραπετεύουσι, καὶ οὐκ ἂν εἴη πρόφασις αὐτοῖς οὐδὲ συγγνώμη τῆς

1) αὐτὸς] aut sic leg. est, ob insequens ἀγρυπνῶν, aut ibi seruato accusatiuo, (vt Ven. et Mor. dant) etiam hic leg. est ἀγρυπνοῦντα.

2) τοῦτο in se malum non est, insequentia tamen docent leg. esse τοῦτον.

τοιαύτης σχολῆς τε καὶ ἀποδράσεως. μὴ οὖν τοὺς — ἀπὸ τῶν ἀνωφελῶν πραγμάτων, καὶ τῶν οὐ προσηκόντων αὐτοῖς ἀσχολιῶν ἀπιόντας, καὶ σχολήν τινα πορίζοντας αὐτοῖς ἀπὸ τῶν ἐνοχλούντων μάτην, ῥητέον ὡς ἀναχωροῦντας [3]; ἀλλ' οὕτως μὲν οὐχ ὁ μεταβὰς ἐκ πόλεώς τινος εἰς ἑτέραν πόλιν, ἢ ἐκ τόπου εἰς ἕτερον τόπον, ἀναχωρεῖν λέγοιτ' ἄν· ὅπου γὰρ ἂν ἀφίκηται, πολλὰ ἂν εἴη τὰ ἐμποδὼν αὐτῷ γινόμενα, καὶ οὐκ ἐῶντα τὰ προσήκοντα ποιεῖν. καὶ γὰρ τὸ ἐπὶ πότῳ ξυνεῖναι, καὶ τὸ πίνοντα, ἢ [4] κυβεύοντα, ἢ ἄλλο τι τῶν βλαβερῶν καὶ ἀσυμφόρων πράττοντα διατελεῖν, πανταχοῦ τοιαῦτά ἐστιν ἀδολεσχοῦντα [5] καὶ ἀκούοντα λόγων οὐδὲν χρησίμων, ἢ περὶ τὰ βασιλέως πράγματα διατρίβειν· ἢ τὰ [6] τοῦ δεῖνος, ὥς ἔφη τις. οὐ γάρ ἐστιν ἀνόητος τῆς αὐτοῦ ψυχῆς κύριος, ἀλλὰ ῥεμβόμενός τε καὶ ἀγόμενος ῥᾳδίως ὑπὸ τῆς τυχούσης προφάσεως καὶ ὁμιλίας [7]. ὥστε οἱ πολλοὶ ἄνθρωποι, καθάπερ οἱ ἄσωτοι, τῶν χρημάτων οὐκ ἂν δύναιντο ἀποδοῦναι λόγον, πρὸς ὅ, τι ἀνηλώκασιν ἕκαστον αὐτῶν, φαίνεται δ' ὅμως ἀνηλωμένα πάνυ συχνὰ χρήματα, οὐδὲ οὗτοι τοῦ

χρόνου

3) l. *ὡς ἀναχωροῦσι.*

4) *πίνοντα ἢ*] haec duo verba videntur delenda; modo enim praecessit de compotatione.

5) potest hic locus variis modis emendari, semper incertis, donec codex bonus dubium tollat. interim hi duo modo videntur mihi probabiles; alter vt post *πανταχοῦ* ponatur punctum, subaudiatur *ἐστι. hae res vbique sunt. τοιαῦτά ἐστι καὶ τὸ ἀδολεσχοῦντα — Eiusmodi etiam sunt haec* — alter sic: *πανταχοῦ τὰ αὐτὰ vbique sunt eadem. ἔτι δ' ἀδολεσχ. praeterea quoque vbique sunt eadem haec.*

6) *ἢ τὰ*] sic recte margo Mor. *aut nescio cuius res procurare.* per contemtum hoc dicitur. seruus esse reguli alicuius, vel diuitis superbi. *ἢ τὸ* Ven. et t. Mor.

7) post *ὁμιλίας* deest aliquid, e. c. *κατέχεται detinetur*, aut *φθείρεται*, vel tale quid.

χρόνου τε καὶ βίου δύναιντ' ἀποδοῦναι λόγον, πρὸς ὅ, τι ἑκάστην ἡμέραν ἀνήλωσαν, ἢ μῆνα, ἢ ἐνιαυτόν· Φαίνεται δ' οὖν παριὼν ὁ βίος καὶ δαπανώμενος ὁ χρόνος, οὐκ ὀλίγου ἄξιος τοῖς ἀνθρώποις, οὐδὲ ἧττονος, ἐμοὶ δοκεῖν, ἢ τὸ ἀργύριον. ἀλλ' ὅμως μιᾶς δραχμῆς ἀπολομένης, ἀνάγκη αἰσθέσθαι καὶ δηχθῆναι ἀμηγέπη· εἰ δὲ καὶ πλείους τις ἀποβάλλοι[8]), οὐ πολλοί εἰσιν οἱ ἐπὶ τῷ τοιούτῳ πρᾴως ἔχοντες· λέγω δὲ, οὐ διὰ τὴν ἀμέλειαν λυπούμενοι καὶ δακνόμενοι, καὶ διὰ τὸ μὴ προσέχειν, ἐφ' οἷς[9]) ἄξιον ἦν δάκνεσθαι· ἀλλ' ἐπὶ τῇ ἀπωλείᾳ τῶν δραχμῶν. ἡμέρας δὲ ἐξελθούσης καὶ ἀπολομένης, καὶ δύο καὶ τριῶν, οὐδείς ἐστιν, ὃς ἐφρόντισεν. ἀλλ' ἐκεῖ μὲν δύνανται λογίζεσθαι τὸ τοιοῦτον[10]), ὅτι, εἰ μὴ προσέξουσι μηδὲ φροντιοῦσι τῶν τοιούτων, λάθοι ἂν αὐτοὺς ἡ σύμπασα οὐσία διαρρυεῖσα καὶ ἀπολομένη. ἐνταῦθα δὲ οὐ δύνανται ταυτὸ τοῦτο λογίσασθαι, ὡς, εἰ μὴ προνοήσουσιν ἑκάστης ἡμέρας, καὶ φυλάξουσι μὴ εἰκῆ προϊέναι, λάθοι ἂν αὐτοὺς ὁ σύμπας βίος διαρρυεὶς καὶ ἀπολόμενος. ἀλλ' ὅτι γε[11]) οὐ τόπος ἐστὶν ὁ παρέχων, οὐδὲ τὸ ἀποδημῆσαι, τὸ μὴ φαῦλ' ἄττα πράττειν, οὐδὲ εἰς Κόρινθον[12]) ἢ Θήβας ἀνακεχωρη-

χωρη-

8) ἀποβάλλοι] Ven. et Mor. dant ἐκβάλλοι. saepe ἐκ et ἀπὸ permutantur a librariis, aut ab iis, qui codices mstos non satis didicerunt tractare, neque satis tenent siglas graecorum librariorum.

9) ἐφ' οἷς] ἐπὶ τῇ ἀμελείᾳ puta καὶ τῷ μὴ προσέχειν.

10) τὸ τοιοῦτον videtur delendum, vt e proximo versu perperam iteratum.

11) ἀλλ' ὅτι γε] aut deest aliquid, e. c. δῆλον, aut εἰκός ἐστιν, aut tale quid. *verum constat*, vel *liquet nullum locum praebere vacationem a prauis coeptis.* aut leg. est ἀλλὰ γὰρ οὐ τόπος *verum enim vero neque locus vllus, neque peregrinatio hoc praestat, vt vacuus sis et liber a malis institutis.*

12) malim οὐδὲ τὸ εἰς Κόρ. *neque iter ad Corinthum, aut ad Thebas, hoc a turpibus otium praestat, sed hoc praestat, vt secum quis velit esse, et sibi attendere.*

χωρηκέναι, τὸ δὲ, τὸν βουλόμενον πρὸς αὑτῷ εἶναι. καὶ γὰρ ἐν Θήβαις καὶ ἐν Μεγάροις, καὶ πανταχοῦ σχεδὸν, οὗ τις ἂν ἀπέλθοι τῆς Ἑλλάδος καὶ τῆς Ἰταλίας, ἔνεστι τό τε ἀργεῖν καὶ τὸ ῥαθυμεῖν, καὶ οὐκ ἀπορήσει προφάσεως, ὅπου ἂν τύχοι ὤν, δι' ἣν βλακεύων τε καὶ ἀσχολούμενος ἀναλώσει καὶ πάνυ πολὺν χρόνον, ἂν οὕτως τύχῃ. μὴ οὖν [13]) βελτίστη καὶ λυσιτελεστάτη πασῶν ἡ εἰς αὑτὸν ἀναχώρησις, καὶ τὸ προσέχειν τοῖς αὑτοῦ πράγμασιν· ἐάν τε ἐν Βαβυλῶνι τύχῃ τις ὤν, ἐάν τ' Ἀθήνησιν, ἐάν τ' ἐν στρατοπέδῳ, ἐάν τ' ἐν νήσῳ μικρᾷ καὶ μόνος. αἱ γὰρ τοιαῦται ἀναχωρήσεις [14]) καὶ ἀποδημίαι μικράν τινα ἔχουσι ῥοπὴν πρὸς τὸ σχολὴν ἄγειν καὶ τὸ πράττειν τὰ δέοντα· ὥσπερ τοῖς ἀσθενοῦσιν, ἐφ' ἑτέρας καὶ ἑτέρας κλίνας κατακλίνεσθαι. φέρει μέν τινα ἐνίοτε μικρὰν ἀνάπαυσιν, οὐ μὴν ἱκανήν γε, οὐδ' ὥστε ἀπαλλάξαι. ἰδεῖν δέ ἐστι καὶ ἐν τῷ πάνυ πολλῷ θορύβῳ τε καὶ πλήθει, οὐ κωλυόμενον πράττειν ἕκαστον τὸ αὑτοῦ ἔργον· ἀλλ' ὅ, τε αὐλῶν, ἢ διδάσκων αὐλεῖν, τοῦτο ποιεῖ, πολλάκις ἐπ' αὐτῆς τῆς ὁδοῦ τὸ διδασκαλεῖον ἔχων [15]), καὶ οὐδὲν αὐτὸν ἐξίστησι τὸ πλῆθος, οὐδὲ ὁ θόρυβος τῶν παριόντων· ὅ, τε ὀρχούμενος ὁμοίως, ἢ ὀρχηστοδιδάσκαλος πρὸς τούτῳ ἐστὶν, ἀμελήσας τῶν μαχομένων τε καὶ ἀποδυομένων, καὶ ἄλλα πραττόντων· ὅ, τε κιθαριστὴς, ὅ, τε ζωγράφος· ὃ δὲ πάντων φοβερώτατόν [16]) ἐστιν, οἱ γὰρ τῶν γραμμάτων διδάσκαλοι μετὰ τῶν

παίδων

13) μὴ οὖν] bene habet: *vide ergo, ne omnium secessuum ille sit optimus, qui cuique sit in semet ipsum.*

14) αἱ γὰρ τοιαῦται ἀναχ.] non secessus et descensus in mentem cuiusque suam, sed illi vulgares Roma in villam, aut Rhodum, aut alio —

15) locum hunc illustrat Henr. Valesius Emendat. p. 56.

16) φοβερώτατον] subaudi ἀκοῦσαι. *auditu maxime formidabile.* rariuscule dictum, pro θαυμαστότατον.

παίδων ἐν ταῖς ὁδοῖς κάθηνται, καὶ οὐδὲν αὐτοῖς ἐμποδών ἐστιν ἐν τοσούτῳ πλήθει, τοῦ διδάσκειν τε καὶ μανθάνειν. ἤδη δέ ποτε εἶδον ἐγὼ, διὰ τοῦ Ἱπποδρόμου βαδίζων, πολλοὺς ἐν τῷ αὐτῷ ἀνθρώπους, ἄλλον ἄλλο τι πράττοντας· τὸν μὲν αὐλοῦντα, τὸν δὲ ὀρχούμενον, τὸν δὲ θαῦμα ἀποδιδόμενον[17]), τὸν δὲ ποίημα ἀναγινώσκοντα, τὸν δὲ ᾄδοντα, τὸν δὲ ἱστορίαν τινὰ ἢ μῦθον διηγούμενον· καὶ οὐδὲ εἷς τούτων οὐδένα ἐκώλυσε προσέχειν αὐτῷ, καὶ τὸ προκείμενον πράττειν. καίτοι[18]) τούτων οὐδέν ἐστι τῶν ἔργων, ὃ συνάγει τὴν ψυχὴν καὶ καθίστησι, καὶ καταφρονεῖν ποιεῖ τῶν ἄλλων ἁπάντων. παιδεία δὲ, ὡς ἔοικε, καὶ φιλοσοφία, αἳ μάλιστα τοῦτο διαπράττονται, πολλῆς ἐρημίας τε καὶ ἀναχωρήσεως τυγχάνουσι δεόμεναι· καὶ ὥσπερ τοῖς νοσοῦσιν, εἰ μὴ πανταχόθεν ἐστὶ σιωπή τε καὶ ἡσυχία, οὐ δυνατὸν ὕπνου μεταλαβεῖν· οὕτως ἄρα καὶ τοῖς φιλολόγοις, εἰ μὴ πάντες ὑποσιγήσουσιν αὐτοῖς, καὶ μήτε ὅραμα μηδὲν ἄλλο ἔσται[19]), μήτε ἀκούσματος ἀκούειν μηδενὸς, οὐκ ἄρα οἵα τε ἔσται ἡ ψυχὴ, τοῖς αὐτοῖς[20]) προσέχειν καὶ περὶ ταῦτα γίνεσθαι· ἀλλ' ἔγωγε ὁρῶ καὶ τοὺς πλησίον τῆς θαλάττης, οὐδὲν πάσχοντας, ἀλλὰ διανοεῖσθαι δυναμένους, ἃ βούλονται διανοεῖσθαι, καὶ λέγοντας καὶ ἀκούοντας, καὶ καθεύδοντας, ὁπόταν αὐτοῖς ᾖ καιρός· ὅτι οὐδὲν οἴονται προσήκειν αὐτοῖς τοῦ φόβου[21]) τούτου, οὐδὲ φροντίζουσιν. εἰ δὲ

17) θαύματα ἀποδιδόμενον, *spectacula mirifica et portentosa ostentantem pro pecunia.*

18) καίτοι] hic incipit quaestio, vel obiectio. *Verum tamen vide, ne philosophia opus habeat secessu.*

19) aut post ἄλλο, aut post ἔσται, deest ὁρᾶν.

20) l. τοῖς αὐτῆς, scil. ἔργοις. *studiis suis attendere.*

21) τοῦ Φόβου] non dubito v. Φόβος apud poetas occurrere in significatu *strepitus, fremitus terrifici.* prosaici vero ψόφον aut θόρυβον vsurpant; quorum vtrum huic loco con-

εἰ δέ γε ἐβούλοντο προσέχειν, ὁπότε μείζων ἢ ἐλάττων γίγνοιτο ἦχος ἢ διαριθμεῖν τὰ κύματα προσπίπτοντα 22), ἢ τοὺς λάρους τε καὶ ἄλλα ὄρνεα 23) ὁρᾶν, ὅπως ἐπιπέτονται ἐπὶ τὰ κύματα 24), καὶ νήχονται ῥᾳδίως ἐπ' αὐτῶν, οὐκ ἂν ἦν αὐτοῖς σχολὴ ἄλλο τι ποιεῖν· οὐκοῦν καὶ ὅστις δυνατὸς ἐννοῆσαι περὶ τῶν πολλῶν ἀνθρώπων, καὶ τοῦ θορύβου τοῦ κατ' αὐτοὺς καὶ τῶν πραγμάτων, ὅτι οὐδὲν διαφέρει ταῦτα τῶν ἐν τῇ θαλάττῃ γινομένων, οὐκ ἂν ἐνοχλοῖτο ὑπὸ πάντων. ἀλλὰ τοῦτό ἐστιν, ὡς ἔοικε, πολλοῦ ἄξιον τὸ μάθημα καὶ δίδαγμα, τὸ τὴν ψυχὴν ἐθίζειν ἕπεσθαι τῷ λόγῳ, καὶ μὴ ἐπ' ἄλλ' ἄττα τρέπεσθαι, ἢ τά τε προκείμενα καὶ δοκοῦντα ὀρθῶς ἔχειν. καὶ ἡμῖν 25) οὕτως ἐθισθεῖσα ἡ ψυχὴ, λόγῳ δυνήσεται ἅπαντα διαπράττεσθαι τὰ προσήκοντα αὐτῇ· ἡ δὲ ῥεμβομένη τε καὶ ἀλύουσα καὶ ἄλλοτε ἐπ' ἄλλῳ 26) τρεπομένη, ὅταν τι προφανῇ ποτε ἡδονήν τινα, ἢ ῥᾳστώνην ἔχον, ὥσπερ 27) ὕδατος ἐν ἑτεροκλινεῖ χωρίῳ, ὅποι ἔτυχε τρεπομένου, οὐδὲ ἂν ὠφεληθῇ, οὐχ ὑπὸ τῆς 28) πάσης ἐρημίας τε καὶ ἡσυχίας. οἶδα γὰρ ἔγωγε, καὶ τῶν κυνῶν τὰς

μὲν

conueniat magis, in medio relinquam. Morellus quoque ψόφου malebat, Casaubonus φλοίσβου. quod Dione haud indignum, a poeticis vocabulis haud abhorrente. possit pari modo ὀττόβου suffici. sed faciam cum Morello. v. p. 494, 8.

22) non damno quidem vulgatam, malim tamen ἢ νὴ Δία ἀριθμεῖν τὰ κύματα τὰ προσπ.

23) f. καὶ τἄλλα ὄρνεα.

24) ἐπὶ τὰ κύματα est *versus vndas*, sed sententia postulat ἐπὶ τῶν κυμάτων, *super vndis.*

25) ἡμῖν recte Anglus mutauit cum ἡ μὲν, sed tum articulus paulo post erit delendus.

26) ἐπ' ἄλλα in neutro plurali.

27) ὥσπερ] l. δίκην. illud est scholium huius.

28) f. οὐκ ἂν ὠφεληθῇ οὐδὲ ὑπὸ τῆς π.

μὲν καλῶς ἀχθείσας καὶ φιλοπόνως, ἐπειδὴ ἀφεθῶσιν, εὐθὺς ἀναζητούσας τὸ ἴχνος, καὶ οὐδ' εἰ πάντες ἀποκαλοῖεν, οὐκ ἄν ποτε τοῦτο ἀπολιπούσας· οὐδ' εἰ πολλαὶ μὲν φωναὶ πανταχόθεν φέροιντο, πολλαὶ δὲ ὀσμαὶ ἀπό τε τῶν καρπῶν καὶ ἀνθῶν ἐμπλέκοιντο· πολὺ δὲ 29) πλῆθος ἀνθρώπων τε καὶ ἄλλων ζώων φαίνοιτο, καὶ ἴχνη, τὰ μὲν ἵππων, τὰ δὲ βοῶν, τὰ δὲ προβάτων, καὶ οὐδὲν οὔτε ὁρᾷ 30) τούτων, οὔτε αἰσθάνεται αὐτῶν οὐδενός, ἀλλὰ ἐκεῖνα παριδοῦσα, ἁπανταχόθεν ἐκλέγει τὸ ἴχνος, κἀκείνῳ ἕπεται, μέχρις ἂν εὕρῃ τε καὶ ἀναστήσῃ τὸν λαγών, καὶ μετὰ ταῦτα κατέχῃ διώκουσα, δι' ὁποίων ἄν ποτε ἴῃ χωρίων, καὶ οὔτε πεδίον, οὔτε ὄρος 31), οὔτε τὰ λίαν τραχέα, οὔτε χαράδρα, ἢ ῥεῦμα ἀποκωλύει αὐτήν, πολλοὺς τινας δρόμους 32) τοῦ λαγὼ θέοντος, καὶ πειρωμένου ἐξαπατᾶν. τὰς δὲ ἀμαθεῖς τε καὶ ἀπαιδεύτους κύνας 33), βραδέως μὲν αἰσθανομένας, ταχὺ δὲ ἀπαγορευούσας, εἰ δέ ποθεν ἀλλαχόθεν προσπέσοι θροῦς, εἴτε ὑλακὴ 34) κυνῶν, εἴτε ἀνθρώπων φθεγξαμένων ὁδοιπόρων, ἢ νομέων, εὐθὺς ἀνακυπτούσας ἐκ τοῦ ἴχνους, κἀκεῖ φερομένας. τούτων δὴ πάντων, ὅπερ ἔφην, τὸ ἔθος αἴτιον. ὁμοίως δὲ καὶ τὴν

29) δὲ] sic dedi. τε Ven. et Mor.

30) ὁρᾷ] annotauit iam Casaubonus permutationem numeri. subauditur in eiusmodi exemplis τις. vna quaedam eiusmodi canicula venatoria nil videt — v. p. 395, 13. et 17. 407, 17. 478, 43. ed. Mor. et Vpton. ad Arriani dissertt. Epicteteas p. 554, 5.

31) ὄρος] sic dedi. ὁδὸς Ven. et Mor.

32) δρόμους] *cursus*. sic codex regius, interpres latinus, Casaubonus, et vir doctus in marg. Venetae meae. τρόμους Ven. et Mor.

33) τὰς δὲ ἀμαθεῖς — κύνας] subaudi οἶδα.

34) aut pro ὑλακὴ leg. est ὑλακτούντων, aut θροῦς est deducendum, et sic leg. εἴτε ὑλακὴ κυνῶν, εἴτε θροῦς ἀνθρώπων.

τὴν ψυχὴν ἐθίζειν ἂν δέοι, μηδέποτε ἀποτρέπεσθαι, μηδὲ ἀναχωρεῖν τοῦ δοκοῦντος εἶναι προσήκοντος ἔργου. εἰ δὲ μή, οὐ ῥᾴδιον περιγενέσθαι, οὐδὲ ἐξεργάσασθαι οὐδὲν ἱκανῶς. ἢ οὐκ ἐν ταῖς ἠρεμίαις[35]) καὶ ἡσυχίαις, οὐκ ἐνταῦθα μάλιστα, ἀνευρήκασιν οἱ ἀνόητοι ἄνθρωποι, ὅπως μηδὲν διανοῶνται τῶν δεόντων, ἕτερα[36]) πολλὰ καὶ ἄτοπα διανοήματα, οἷς ἀγαπῶσι ξυνόντες, τυραννίδας τε καὶ πλούτους καὶ ἄλλ' ἄττα θαυμαστὰ ἀναπλάττοντες αὑτοῖς; οἱ μὲν θησαυρούς τινας ἀναπλάττοντες[37]) χρυσοῦ τε καὶ ἀργύρου, πλῆθος ἐξαίφνης ἀμήχανον ὅσον κτώμενοι. οἱ δὲ βασιλεῖς τε καὶ μονάρχους πόλεών τε καὶ ἐθνῶν ἀποδεικνύντες σφᾶς αὐτούς· ἔπειτα ἤδη τὰ ἑξῆς περὶ τὴν τυραννίδα πράττοντες· τοὺς μέν τινας ἀποκτιννύντες, τοὺς δὲ ἐλαύνοντες, παρθένοις δὲ καὶ μειρακίοις γυναιξὶ πλησιάζοντες, αἷς ἂν ἐθέλωσιν· ἑστιάσεων καὶ εὐωχιῶν τῶν πολυτελεστάτων μεταλαμβάνοντες. οἱ δέ τινες, ἀργύριον ἐκδανείζοντες, ἢ ἄλλας ἐργασίας ἐργαζόμενοι[38]), οἷον ἐγρηγορότες τε καὶ ὁρῶντες ὀνείρατα ποικίλα καὶ παντοδαπά, πλάττοντες αὑτοῖς. ἐνίοτέ γε μὴν ἐκ τῶν ὀνειράτων τούτων ἀποβαίνει καὶ ὕπαρ αὐτοῖς τὰ φαυλότατα καὶ ἀτοπώτατα. τυραννίδες μὲν γὰρ οὐ πάνυ τι ἐκ τῶν τοιού-

των

35) latinifat hic Dio: nonne in folitudinibus (ἐρημίαις malim, quam ἠρεμίαις) et in otiis, nonne in his maxime, inuenerunt homines ftulti artem, nihil cogitandi eorum, quae decebat? fententia eft: *nonne aut folummodo in folitudine et otio, aut certe in his maxime, repererunt.* nemo graecus fic vnquam eft locutus.

36) nefcio, quid fibi velit ἕτερα. aut delendum eft, aut defunt quaedam.

37) fecundum ἀναπλάττοντες deletum malim; praeceffit enim modo verfu 9. idem vocab.

38) ἐργασίας ἐργαζόμενοι οἷον — ἀποβαίνει] fic recte Cafaubonus. Ven. et Mor. omittunt ἐργαζόμενοι, et dant ἀποβαίνειν.

των γίγνονται. οὐ γὰρ ἐθέλει ἡ τυραννὶς ὑπὸ ῥαθύμου τε καὶ τρόπον τινὰ ἀεὶ κοιμωμένης διανοίας θηρεύεσθαι, ἀλλὰ τοὐναντίον, ὑπὸ δριμείας τε καὶ ἀγρύπνου φροντίδος. δαπάναι δὲ καὶ ἔρωτες καὶ τοιαῦται τινὲς διατριβαὶ πολλοῖς ἤδη πολλάκις ἀπήντησαν. οἷον δὴ ἐγώ, οἶμαι, τὸν Ἀλέξανδρον 39), ὡς ἐτύγχανε σχολὴν ἄγων ἐν τῇ Ἴδῃ περὶ τὰ βουκόλια, τοιαύτης ἐννοίας καὶ ἐπιθυμίας αὐτῷ γενομένης, ὡς ἄρα εὔδαιμόν τε καὶ μακάριον τὸ τὴν πασῶν καλλίστην γυναῖκα ἔχειν· καὶ οὔτε βασιλεία τούτου ἄξιον τοῦ χρήματος, οὔτε πλοῦτος, οὔτε κρατεῖν μαχόμενον ἁπάντων ἀνθρώπων. μετὰ ταῦτα ἤδη διανοεῖσθαι 40), τίς δὲ δὴ καὶ παρὰ τίσιν ἡ τοιαύτη γυνή, καὶ πόθεν ἂν αὐτῷ τοιοῦτος ὑπάρξαι γάμος; καὶ δὴ τὰς μὲν ἐν Ἰλίῳ νύμφας καὶ παρθένους, ἅτε τύραννος ὤν, ἠτίμαζε, καὶ οὐκ ᾤετο ἀξίας τυχεῖν 41)· ὁμοίως δὲ καὶ τὰς Λυδῶν τε καὶ Φρυγῶν, τάς τε ἐν Λέσβῳ, καὶ τὰς ἐν τῇ Μυσίᾳ γυναῖκας ὑπερεώρα. πυνθανόμενος δὲ ἐν Σπάρτῃ τινὰ εἶναι, Διὸς λεγομένην θυγατέρα, Μενελάῳ συνοικοῦσαν, ἀνδρὶ βασιλεῖ καὶ βασιλέως ἀδελφῷ τῆς ξυμπάσης Ἑλλάδος, ἣν ἐμνήστευσάν τε καὶ ἔσπευσαν λαβεῖν, πολλὰ ἕδνα καὶ δῶρα διδόντες οἱ πρῶτοί τε καὶ ἄκροι τῶν Ἑλλήνων· καὶ δὴ καὶ ἀδελφῶν ἐλέγετο εἶναι ἀγαθῶν, Πολυδεύκους καὶ Κάστορος, Διὸς υἱῶν γενομένων· ἐπεθύμησεν αὐτῷ ταύτην γενέσθαι τὴν γυναῖκα. ἄλλως μὲν οὖν οὐ πάνυ τοι ἡγεῖτο δυνατόν, εἰ δὲ θεός τις ὑπόσχοιτο καὶ δώῃ, τάχ᾽ ἂν γενέσθαι τὸ τοιοῦτον. καὶ τίνα δὴ θεὸν ἄλλην εἰκὸς τὰς τοιαύτας χαρίζεσθαι χάριτας, ἢ τὴν κρατοῦσάν τε καὶ ἄρχουσαν τῶν περὶ τοὺς γάμους τε καὶ ἔρωτας; οὐκοῦν ἐκείνης μὴ διδούσης, ἀδύνατον ἡγεῖτο τὸν γάμον. πῶς ἂν

οὖν

39) τὸν ἀλέξανδρον cohaeret cum διανοεῖσθαι n. 40.
41) ἀξίας τυχεῖν] scil. ἑαυτοῦ.

οὖν ἐκείνην πείσαι χαρίσασθαι; εἰ τρόπον τινὰ γίγνοιτο αὐτὸς προσφιλὴς τῇ θεῷ; καὶ χάριν τινὰ καὶ δωρεὰν δεδωκώς; ἀλλ᾽ οὔτε χρημάτων αὐτὴν τυγχάνειν δεομένην, ἅτε χρυσῆν οὖσαν καὶ πάντα χρήματα ἁπλῶς κεκτημένην, οὔτε θυσιῶν· πάντας γὰρ αὐτῇ πανταχοῦ θύειν· οὔτε ἄλλῃ τινὶ ὁμιλίᾳ καὶ δεήσει ῥᾳδίως ὑπακοῦσαι ἄν· ἀλλ᾽ εἰ, ὃ μάλιστα ἐπεθύμει, καὶ ὃ πάντων τιμιώτατον νενόμικε, τοῦτο προσθείη τις αὐτῇ, καὶ μαρτυρήσειεν, ὡς ἐστὶ καλλίστη, τάχ᾽ ἂν ἀγαπῆσαι αὐτήν. νικᾶν δὲ καὶ προκρίνεσθαι κατὰ τοῦτο, τίνος ἂν ποτε ἀξιώσειεν, ἢ θεῶν τῶν πρώτων τε καὶ μεγίστων, Ἀθηνᾶς τε καὶ Ἥρας; καὶ ἔτι μᾶλλον, εἰ φαίνοιντο ἐκεῖναι μεγάλα καὶ θαυμαστὰ παρεχόμεναι δῶρα ἕνεκα τῆς νίκης. οὕτω δὴ διελθών τε καὶ ἐξεργασάμενος τὴν αὐτοῦ δόξαν καὶ ἐπίνοιαν, οἷον ψυχῆς ἐν ὕπνῳ φαντασίας, καὶ δόξης[42]) ἐπακολουθούσης, καὶ μακρόν τι καὶ συντεταγμένον ὑφαινούσης ὄναρ, κριτής τε ὑπὸ τοῦ Διὸς γίνεται τῶν θεῶν· καὶ τὰς μὲν αὐτάς τε ὑπερεῖδε καὶ τὰ δῶρα αὐτῶν, τὴν δὲ προέκρινεν, ἐπὶ μισθῷ τε καὶ δώρῳ, τῷ λαβεῖν τὸν γάμον ἐκείνης τῆς γυναικὸς, ὑπὲρ ἧς ἐνεθυμήθη τε καὶ εὔξατο. εἰ μὲν οὖν αὐτὸ τοῦτο βουκόλος καὶ ἰδιώτης ἐτύγχανεν ὤν, οὐδὲν ἂν πρᾶγμα ἀπήντησεν ἐκ τοῦ τοιούτου ὀνείρατος. νῦν δὲ ἐπειδὴ τύραννος καὶ δυνάστης ἦν[43]), καὶ πλούτῳ τε ἰσχύων, καὶ ἄρχων πόλεως τῆς τότε μεγίστης, καὶ τῇ τῶν γονέων πρὸς αὐτὸν εὐνοίᾳ, τὰ λοιπὰ ἤδη[44]) ἔργῳ ἐξειργάσατο· ὡς ἐπὶ τούτοις ἀληθῶς γεγονόσι, ναῦς τε ναυπηγησάμενος καὶ ἑταίρους συν-

αγα-

42) l. φαντασίαις καὶ δόξαις.
43) verba sic videntur collocanda — δυνάστης ἦν, καὶ ἄρχων πόλεως τῆς τότε μεγίστης, καὶ πλούτῳ τε ἰσχύων καὶ τῇ τῶν γονέων.
44) ἤδη] sic vir doctus Venetae meae adscripserat. ἴδη Ven. et Mor.

αγαγὼν, καὶ πλεύσας ἐπί τε τὴν Ἑλλάδα καὶ Σπάρτην, καὶ εἰς τὴν οἰκίαν ἀφικόμενος τὴν Μενελάου καὶ Ἑλένης, καὶ ξενίων τυχὼν, ἀναπείσας καταλιπεῖν αὐτὴν τὸν ἄνδρα καὶ τὴν Ἑλλάδα, ἧκεν ἄγων εἰς Τροίαν, πολλῶν καὶ χαλεπῶν πραγμάτων καὶ συμφορῶν ἀρχὴν [45]). οὕτως αἱ μὲν ἰδιωτικῆς καὶ ἀδυνάτου ψυχῆς ἄνοιαί τε καὶ ἐπιθυμίαι ὑπήνεμοί τε καὶ ἀδρανεῖς, καὶ οὐδὲν ἀπ' αὐτῶν [46]) γίνεται χαλεπόν· ἀλλ' ὥσπερ τὰ τῷ ὄντι ὀνείρατα ἀναστάντων εὐθὺς οἴχεται, καὶ οὐδὲν αὐτῶν, ὥς φασι, τὸν ἥλιον οὐδὲ τὴν ἡμέραν ὑπομένει· παραπλησίως καὶ τὰ τοιαῦτα ἔχει [47]) ἐπιθυμήματά τε καὶ ἐλπίσματα. τὰ [48]) δὲ τῶν μονάρχων, ἢ πλουσίων, ἢ ἄλλην τινὰ ἐχόντων δύναμιν [49]), ἐπὶ πέρας ἀφικνεῖται πολλάκις, φοβερόν τε καὶ χαλεπόν. καὶ ἔστιν ὅμοιον, ὥσπερ ἐμοὶ δοκεῖ, τὸ τοιοῦτον ὑπηνεμίοις [50]) γεννήμασι. φασὶ γὰρ ὠὰ γίνεσθαι οὕτως ἄνευ συνουσίας τε καὶ μίξεως ἄῤῥενος, ἃ καλοῦσιν ὑπηνέμια, ὡς ὑπ' ἀνέμω περιπεσόντι γιγνόμενα. ὅθεν δὴ καὶ Ὅμηρος, ἐμοὶ δοκεῖν, οὐκ ἀδύνατον ἡγησάμε-

Ii 2 σάμε-

45) ἀρχὴν praefero lectioni Venetae ἄρχων, tametsi haec quoque ferri queat.

46) ἀπ' αὐτῶν] sic recte Ven. ἐπ' αὐτῶν Mor.

47) ἔχει] sic dedi. ἔχειν Ven. et Mor.

48) τὰ] scil. ἐπιθυμήματα καὶ ἐλπίσματα; quod vocabulum notabile est ob raritatem.

49) post δύναμιν inserenda sunt verba, quae nescio quo errore ab hac sede sua vera ad n. 51. aberrarunt, vt haec sit loci series: τινὰ ἐχόντων δύναμιν, πολλάκις ἔκ τινος ἐνθυμήματος ψευδοῦς καὶ ἀδυνάτου ἀποβῆναι πρᾶγμα ἀληθὲς, ἐπὶ πέρας ἀφικνεῖται, πολλάκις φοβερόν τε καὶ χαλεπόν. *Visa autem et spes monarcharum, aut locupletium, aut si qui alia aliqua potestate sunt armati, saepe, ex aliquo falso viso, et, quod in rem veram certamque abire nullo pacto queat, tamen perueniunt ad finem, eumque saepe terribilem saeuumque.*

50) f. τοῖς ὑπηνεμίοις.

σάμενος, οὐδὲ ἀπίθανον τοῖς ἀνθρώποις, φανῆναι ἵππων ὑπηνέμιον γένος, τὸν Βοῤῥέαν ἔφη, ἐρασθέντα Τρωϊκῶν τινων ἵππων, ἐμπλῆσαί τε αὐτὰς γονῆς, καὶ γένος ἵππων ἐξ αὐτῶν γενέσθαι[51]). πολλάκις ἔκ τινος ἐνθυμήματος ψευδοῦς καὶ ἀδυνάτου ἀποβῆναι πρᾶγμα ἀληθές. καὶ εἴρηταί δέ μοι πάντα ταῦτα ἀπ' ἐκείνης τῆς ἀρχῆς καὶ ἐκτροπῆς, ὅτι δεῖ τὴν ψυχὴν ἐθίζεσθαι τὰ δέοντα πράττειν καὶ διανοεῖσθαι, πανταχοῦ τε καὶ ἐν ἅπαντι θορύβῳ, καὶ ἐν ἁπάσῃ ἡσυχίᾳ. εἰ δὲ μὴ, τὸ τῆς ἐρημίας τε καὶ ἡσυχίας, οὐδὲν μεῖζον καὶ ἀσφαλέστερον[52]) τοῖς ἀνοήτοις τῶν ἀνθρώπων, πρὸς τὸ μὴ πολλὰ καὶ ἄτοπα διανοεῖσθαί τε καὶ ἁμαρτάνειν.

51) verba haec quo pertineant, modo eſt demonſtratum. καὶ poſt ἀληθὲς delendum eſt.

52) aut poſiti ſunt hi comparatiui οὐδὲν μεῖζον καὶ ἀσφαλέστερον, pro poſitiuis οὐδὲν μέγα καὶ ἀσφαλὲς, ſcil. ὄνειαρ, *non magnum neque certum praeſidium*, aut ſubaudiri debet, *quam fremitus multitudinis.*

ΠΕΡΙ ΚΑΛΛΟΥΣ.

ΛΟΓΟΣ ΚΑ'.

Ὡς ὑψηλὸς ὁ νεανίσκος καὶ ὡραῖος; ἔτι δὲ ἀρχαῖον αὐτοῦ τὸ εἶδος, οἷον ἐγὼ οὐχ ἑώρακα τῶν νῦν· ἀλλ' ἢ τῶν Ὀλυμπιάσιν ἀνακειμένων, τῶν πάνυ παλαιῶν παίδων. αἱ δὲ τῶν ὕστερον εἰκόνες ἀεὶ χείρους καὶ ἀγεννεστέρων φαίνονται, τὸ μέν τι ὑπὸ τῶν δημιουργῶν· τὸ δὲ πλέον καὶ αὐτοὶ τοιοῦτοί εἰσιν. ἦ δεινὸν λέγεις, εἰ, ὥσπερ φυτόν τι[1]), ἢ ζῷον, ἐκλελοίπασι τῷ χρό-

νῳ

1) τι] ſic recte Caſaubonus. τε Ven. et Mor.

νῳ οἱ καλοὶ, οἷον δή φασι τοὺς λέοντας παθεῖν τοὺς ἐν τῇ Εὐρώπῃ. οὐ γάρ ἔτι αὐτῶν εἶναι τὸ γένος· πρότερον δὲ ἦσαν, καὶ περὶ Μακεδονίαν, καὶ ἐν ἄλλοις τόποις. εἰ 2) οὕτως οἴχεται δὴ κάλλος ἐξ ἀνθρώπων. τό γε ἀνδρεῖον, ὦ βέλτιστε, τὸ μέντοι γυναικεῖον ἴσως πλεονάζει. ἀνὴρ δὲ καλὸς, καὶ σπάνιον μὲν καὶ γίνεται νῦν 3), καὶ γινόμενος, τοὺς πλείστους λανθάνει· πολλῷ μᾶλλον, ἢ οἱ καλοὶ ἵπποι τοὺς ὀρεωκόμους. εἰ δ' ἄρα καὶ ἅψαιτο τῶν τοιούτων μεθ' ὕβρεως καὶ πρὸς οὐδὲν ἀγαθόν 4)· ὥστε μοι δοκοῦσι καὶ οἱ γενόμενοι ταχὺ λήγειν καὶ ἀφανίζεσθαι. οὐ γὰρ μόνον ἡ ἀρετὴ ἐπαίνῳ αὔξεται, ἀλλὰ καὶ τὸ κάλλος ὑπὸ τῶν τιμώντων αὐτὸ καὶ σεβομένων. ἀμελούμενον δὲ, καὶ οὐδενὸς εἰς αὐτὸ βλέποντος, ἢ πονηρῶν βλεπόντων, σβέννυται, ὥσπερ τὰ κάτοπτρα. ἆρ' οὖν, ὅπερ Ἀθηναῖοι πολλάκις, καὶ ἡμᾶς χρὴ ἀναρχίαν ἀναγράφειν 5) τὸν παρόντα καιρὸν, ὡς οὐδενὸς ὄντος καλοῦ, ναὶ μὰ Δία, ὡς Πέρσαι γε ἐνόμιζον· Ἑλλήνων δὲ οὐδεὶς, ἢ εἴ τις 6) ἐκ τῶν τριάκοντα.

2) εἰ] Casaubonus vult ἤ, sed εἰ bene habet.

3) sic videtur leg. ἀνὴρ δὲ καλὸς καὶ σπανίως γίνεται νῦν, aut καὶ σπάνιον θέαμα γίνεται νῦν.

4) f. leg. εἰ δ' ἄρα καὶ ἅψαιντο τῶν — ὕβρεως ἅπτονται καὶ πρὸς — *et si quoque aliqui tales formosos contingant* vel *contrectent, contrectant eos per contumeliam et ad nullum bonum finem.*

5) admodum speciosa est Casauboni coniectura ἀναρχίαν κάλλους ἀναγράφειν.

6) f. ἑλλήνων δὲ ἢ οὐδεὶς, ἢ, εἴ τις. *Graecorum vero aut nemo, aut, si quis est, vnus aliquis similis Critiae. An tu Critiam non nosti* — Graeci cum volunt oppido paucos significare, dicant, *aut nemo, aut vnus duoue.* Sententia est haec: negat Dio id, quod is, quicum colloquitur, interrogauerat; nempe scil. anarchiam pulchritudinis esse, si quidem pulchritudo eo sensu accipiatur, quo Persae eam accipiant. Nam si eo sensu accipiatur, quo Graeci, vere quidem Graeci, veteres illi ingenui, eam acceperint, omni-

ἢ οὐκ οἶσθα Κριτίαν τὸν τῶν τριάκοντα, ὅτι κάλλιστον ἔφη εἶδος ἐν τοῖς ἄῤῥεσι τὸ θῆλυ, ἐν δ' αὖ τοῖς θήλεσι τοὐναντίον; οὐκοῦν δικαίως Ἀθηναῖοι νομοθέτην αὐτὸν εἵλοντο, ἐπί γε τῷ μεταγράψαι τοὺς παλαιοὺς νόμους, ὡς [7]) οὐδένα αὐτῶν ἔλιπεν. εἶεν. οἱ δὲ Πέρσαι πῶς ἐνόμιζον; οὐ γὰρ φανερὸν, ὅτε [8]) εὐνούχους ἐποίουν τοὺς καλοὺς, ὅπως αὐτοῖς ὡς κάλλιστοι ὦσι; τοσοῦτον διαφέρειν ᾤοντο πρὸς κάλλος τὸ θῆλυ. σχεδὸν [9]) καὶ πάντες οἱ βάρβαροι, ἧπερ [10]) τὰ ἄλλα ζῶα διὰ τὸ μόνον τὰ ἀφροδίσια ἐννοεῖν; ὡς οὖν λέγεται Δαίδαλος ποιῆσαι, τὸν ταῦρον ἐξαπατῶν, περιθεῖναι [11]) τῷ ξύλῳ δέρμα βοός· κἀκεῖνοι γυναικὸς εἶδος περιτιθέασι τοῖς ἄῤῥεσιν, ἄλλως δὲ οὐκ ἐπίστανται ἐρᾷν. ἴσως δὲ καὶ ἡ τροφὴ αἰτία τοῖς Πέρ-

omnino, ait, anarchiam pulchritudinis esse; h. e. neminem esse neque formosum, neque principem formosum. Formosos, qui tum essent, omnes effoeminatos esse, non moribus modo, sed ipsa quoque forma, ad mentem Persarum, qui extra foemineum habitum negent formosum quicquam esse posse. Viriliter formosum hodie esse neminem; sed veteres et veros Graecos statuere, virum formosum esse non posse, nisi eum, cuius pulchritudo sit mascula. se ab hoc numero Graecorum sic sentientium excludere eos, si qui secus sentiant, et cum Critia faciant.

7) ὡς bene habet. significat *nam, siquidem, quandoquidem, quippe qui.*

8) ὅτε videtur bene habere. *nonne constat?* nonne liquet, quid Persae scilicet de formositate statuerint, cum formosos exsecuerint. ὅτε potest reddi per *cum*, aut accipi pro οἵ γε *quippe qui.*

9) post σχεδὸν addendum est δέ. *propemodum vero omnes quoque barbari.*

10) ἧπερ] sic recte Veneta et Casaubonus. οἵπερ Mor.

11) περιθεῖναι praeferam, quod Mor. dat, an περιτεῖναι, quod Veneta, ambigo. infinitiuus quidem hic tenendus, cum subaudito δηλονότι. *quod Daedalus, taurum decipere studens, fecisse dicitur, vt nempe vaccae ligneae circumtenderet, aut circumponeret pellem vaccae.*

Πέρσαις, τῷ[12]) μέχρι πολλοῦ τρέφεσθαι ὑπό τε γυναικῶν καὶ εὐνούχων τῶν πρεσβυτέρων· παῖδας δὲ μετὰ παίδων καὶ μειράκια μετὰ μειρακίων, μὴ πάνυ συνεῖναι, μηδὲ γυμνοῦσθαι ἐν παλαίστραις καὶ γυμνασίοις. ὅθεν ἐγὼ οἶμαι ξυμβῆναι αὐτοῖς, ταῖς[13]) μητράσι μίγνυσθαι· ὥσπερ οἱ πῶλοι, ἐπειδὰν ἁδρότεροι ὄντες ἀκολουθῶσιν ἔτι ταῖς μητράσιν, ἐπιβαίνειν ζητοῦσι. τὸ μέντοι τῆς τροφῆς καὶ ἐνταῦθα δείκνυσι τὴν ἰσχύν. κάλλιον μὲν γὰρ δὴ πολὺ, ἵππος ὄνου. οἱ δέ γε ὄνοι οὐκ ἐπιθυμοῦσιν ἵππων διὰ τὴν φύσιν, εἰ μὴ ὃς ἂν ᾖ τεθραμμένος ἵππου γάλακτι. ὁμοίως καὶ ἵππος πωλευθεὶς ὑπὸ ὄνου, τὸ αὐτὸ πάσχει. ἐν δὲ τοῖς ἀνθρώποις καὶ ἡ ἐξουσία παράνομόν τί ἐστι. Νέρωνα οὖν[14]) πάντες ἐπιστάμεθα ἐφ᾽ ἡμῶν, ὅτι οὐ μόνον ἐξέτεμε τὸν ἐρώμενον[15]), ἀλλὰ καὶ τὸ ὄνομα αὐτοῦ μετωνόμασε γυναικεῖον, τῆς αὐτοῦ ἐρωμένης καὶ γυναικὸς, ἧς ἐκεῖνος ἐπιθυμήσας, ἔγημεν· ἀναφανδὸν εἴρξας τὴν πρόσθεν, ἐφ᾽ ᾗ τὴν βασιλείαν εἰλήφει. καὶ τί ἦν τὸ ὄνομα τῇ γυναικὶ, ὃ τῷ εὐνούχῳ ἔθετο; τί δέ σοι τοῦτο; πάντως γὰρ οὐ Ῥοδογύνη ἐλέγετο[15b]); ἀλλ᾽ ἐκεῖνός γε καὶ τὰς ἐν τῇ κεφαλῇ τρίχας διεκέκριτο, καὶ παιδίσκαι ἠκολούθουν, ὁπότε βαδίζοι, καὶ ἀμπίσχετο ἐσθῆτα γυναικείαν, καὶ τά τε[16]) ἄλλα, οὕτως ἠναγκάζετο ποιεῖν. τέλος δὲ προυτέθησαν μεγάλαι καὶ[17]) τιμαὶ καὶ χρήματα ἄπειρα τὸ πλῆθος, ὅστις αὐ-

τὸν

12) τῷ] sic recte Casaub. τὸ Ven. et Mor.

13) ante ταῖς videtur addendum esse τὸ.

14) οὖν] malim γοῦν.

15) ἐρώμενον — ἐρωμένης] sic recte Casaubonus. ἐράμενον — ἐραμένης Ven. et Mor.

15b) f. γ᾽ ἐλέγετο.

16) aut καὶ delendum, aut τε.

17) rursus καὶ videtur delendum.

τὸν γυναῖκα ποιήσειεν. οἳ οὖν [18]) καὶ ὑπέσχοντο. τί δαὶ οὐκ ἔμελλον ἐκείνῳ ὑποσχέσθαι τοσαῦτα διδόντι; ἢ οὐκ οἶσθα τὴν δύναμιν τοῦ διδόντος ὅση ἐστίν; ὅπου γε καὶ ὁπόταν βασιλέα ἀποδεῖξαι δέοι, τὸν πλουσιώτατον αἱροῦνται, καὶ παρ' οὗ ἂν ἐλπίσωσιν ὡς πλεῖστον ἀργύριον λήψεσθαι· τὰ δὲ ἄλλα οὐδὲν φροντίζουσιν ὅπως ἂν ᾖ, κἂν μέλλῃ πάντας διατεμεῖν παραλαβὼν τὴν ἀρχὴν, τούς τε ἄλλους ἅπαντας, καὶ αὐτοὺς ἐκείνους τοὺς εἰληφότας τὰ χρήματα· καὶ ἔτι πάντων αὐτοὺς καὶ τῶν ὑπαρχόντων ἀφαιρήσεσθαι. τούτῳ [19]) δὴ μάλιστα περιῆν ὁ Νέρων, καὶ οὐδεὶς ἀντέλεγεν αὐτῷ περὶ οὐδενὸς, ὅ, τι εἴποι· οὐδ' ἀδύνατον ἔφη εἶναι ὃ κελεύσειεν· ὥστε καὶ εἰ πέτεσθαι κελεύοι τινὰ, καὶ τοῦτο ὑπέσχετο αὐτῷ· καὶ συχνὸν χρόνον ἐτρέφετο ἔνδον παρ' αὐτῷ ἐν τοῖς βασιλείοις, ὡς πτησόμενος. μόνος γὰρ δὴ οὐδένα τρόπον ἐφείδετο χρημάτων, οὔτε διδοὺς, οὔτε λαμβάνων. διὰ μόνην μέντοι ταύτην τὴν ὕβριν καὶ ἀπέθανε, τὴν εἰς τὸν εὐνοῦχον. ὀργισθεὶς γὰρ ἐξήνεγκεν αὐτοῦ τὰ βουλεύματα τοῖς περὶ αὐτόν· καὶ οὕτως ἀπέστησαν ἀπ' αὐτοῦ, καὶ ἠνάγκασαν ὅτῳ ποτὲ τρόπῳ ἀπολέσθαι αὐτόν [20]). οὐδέπω γὰρ καὶ νῦν τοῦτό γε δῆλόν ἐστιν· ἐπεὶ τῶν γε ἄλλων ἕνεκεν οὐδὲν ἐκώλυεν αὐτὸν βασιλεύειν τὸν ἅπαντα χρόνον, ὃν γε καὶ νῦν [21]) ἔτι πάντες ἐπιθυμοῦσι ζῆν. οἱ δὲ πλεῖστοι καὶ οἴονται, καὶ [22]) τρόπον τινὰ οὐχ ἅπαξ αὐτοῦ τεθνη-

18) οἳ οὖν] ſic adſcripſit quoque vir doctus ad oram Venetae meae, in qua eſt οἷς οὖν. deeſſe quaedam videntur. Caſaubonus dedit οἱ δ' οὖν. Anglus vult τί οὖν; καὶ ὑπέσχοντο. quod impenſe placet. *quid ergo? etiamne promittebant?* aut ἦ οὖν καὶ ὑπ. *ergone promittebant quoque?*

19) τούτῳ] ſcil. τῷ πλεῖστα διδόναι καὶ τῷ ἐλπίζειν πάντας πλεῖστα παρ' αὐτοῦ λήψεσθαι.

20) f. ἀπολέσαι αὐτὸν. *ſemet ipſe ſuis manibus interimere.*

21) χρόνον, ὅν γε καὶ νῦν] ſic Caſaub. ſed Ven. et Mor. omittunt ὃν.

22) καὶ] malim καίτοι. *tametſi non ſemel ille ſit mortuus, ſed*

τεθνηκότος, ἀλλὰ πολλάκις μετὰ τῶν σφόδρα οἰηθέντων αὐτὸν ζῆν. σὺ μὲν ἀεὶ λόγους ἀνευρίσκεις, ὥστε διασύρειν τὰ τῶν ἀνθρώπων, καὶ νῦν ἐξ οὐδενὸς, ὡς εἰπεῖν, ἐπὶ ταῦτα ἦλθες. ὃ δὲ ἐβουλόμην ἐρέσθαι, οὐκ εἴασας. ἴσως γάρ μου καταφρονεῖς καὶ ἡγῇ με ληρεῖν, ὅτι οὐ περὶ Κύρου καὶ Ἀλκιβιάδου λέγω, ὥσπερ οἱ σοφοὶ ἔτι καὶ νῦν, ἀλλὰ Νέρωνος, καὶ τοιούτων πραγμάτων νεωτέρων τε καὶ ἀδόξων, ὧν 23) μνημονεύω. τούτου δὲ αἴτιον, τὸ μὴ πάνυ φιλεῖν τοὺς τραγῳδοὺς, μηδὲ ζηλοῦν· ἐπεὶ οἶδα 24), ὅτι αἰσχρόν ἐστιν ἐν τραγῳδίᾳ, τοὺς νῦν ὄντας ὀνομάζειν· ἀλλὰ ἀρχαίου τινὸς ἔδει 25) παραδείγματος, καὶ οὐδὲ πάνυ πιστοῦ. οἱ μὲν οὖν ἔμπροσθεν οὐκ ᾐσχύνοντο, τοὺς τότε ὄντας ὀνομάζειν, καὶ λέγοντες καὶ γράφοντες· οἱ δὲ νῦν ἐκείνους ἐξάπαντος ὀνομάζειν ζητοῦσιν. ἥτινι δὲ τῇ σοφίᾳ πράττουσιν αὐτὸ, ἐγώ σοι ἐρῶ, καὶ 26) μὴ πάντα φλυαρεῖν με φῇς· ἀλλ᾽ ἴσως ὅπου 27) δέῃ. πάντως γάρ τινι τῶν βιβλιοπώλων προσέσχηκας; διὰ τί δὴ τοῦτό με ἐρωτᾷς; ὅτι εἰδότες τὰ ἀρχαῖα τῶν βιβλίων σπουδαζόμενα, ὡς ἄμεινον γεγραμμένα, καὶ ἐν κρείττοσι βιβλίοις 28)· οἱ δὲ τὰ φαυλότατα τῶν νῦν καθέντες εἰς σῖτον, ὅπως τό τε χρῶμα 29) ὅμοια γένηται τοῖς παλαιοῖς, καὶ προσδιαφθείροντες, ἀποδίδονται ὡς παλαιά. ἀλλὰ τί ἦν, ὃ πάλαι δὴ ἐρέσθαι σπεύδεις; περὶ τοῦδε τοῦ νεανίσκου, ὅστις τέ

sed quodammodo saepenumero, toties quippe, quoties eorum aliquis moreretur, qui nulli dubitarent, sed certi essent Neronem adhuc viuere. v. Tillemont Histoire des Empereurs T. I. p. 333. Reimar. ad Dion. Cass. p. 1036.

23) ὧν delendum vna cum commate.

24) f. οἶδας, aut οἶσθα *nosti*.

25) ἔδει] f. δεῖ, et καὶ οὐδὲ τούτου πάνυ πιστοῦ.

26) καὶ] malim ἵνα.

27) ὅπου] f. τύπου. *sed videtur res indigere exemplo quodam.*

28) βυβλίοις Casaubonus admonuit scrib. esse.

29) Casaubonus vult τό γε χρῶμα.

ἐστι καὶ οὗτινος υἱός· ὡς ἐγὼ οὐδένα πώποτε ἐξεπλάγην[30]). ἡ μὲν γὰρ ἡλικία παῖδα αὐτὸν ἐνδείκνυσιν ἑκκαίδεκα ἴσως, ἢ ἑπτακαίδεκα ἐτῶν· τὸ δὲ μέγεθος οὐδενὸς ἧττον τῶν ἀνδρῶν. ἡ δὲ αἰδὼς τοσαύτη, ὥστε καὶ τὸν προσιόντα αἰδεῖσθαι εὐθὺς ποιεῖ. καὶ οὐκ ἔστιν ἐπιπλέον εἰς τὸ πρόσωπον αὐτοῦ ὁρᾶν, εἰ μὴ καὶ αὐτὸς ἀποβλέψειεν[31]) ἀπὸ τύχης. οὐδεὶς γὰρ οὕτως ἀναιδὴς καὶ λίθινός[32]) ἐστιν, ὅστις ὑπομενεῖ καὶ ἀντιστήσεται ὁρῶν αὐτὸν, ἀλλ᾽ εὐθὺς ἀνάγκη τραπῆναι καὶ μεταβαλέσθαι τὼ ὀφθαλμώ. τοῦτο δὲ ἐγὼ τὸ πάθος πάνυ θαυμάζω· ὅτι τὸ κάλλος, ἐὰν μετὰ αἰδοῦς ᾖ, καὶ τοὺς ἀναιδεῖς τρέπει τε καὶ ἀναγκάζει αἰδεῖσθαι. ἴσως γὰρ οὐ προσενόησας[33]) τὸ ἐν τοῖς ὕδασι γιγνόμενον. τί δή; ὅτι τοῦ ἡλίου ἐπιλάμψαντος εἰς τὸ κατευθὺ μάλιστα ἀντιλάμπει. καὶ ἴσως ἑώρακας ἐν τοῖς τοίχοις τὸ κινούμενον καὶ περιτρέχον φῶς, οὐκ ὂν ἀληθινὸν, ἀλλ᾽ ἀπὸ τῆς ἐν τοῖς ὕδασιν αὐγῆς τοῦ ἡλίου γεγονὸς πρὸς τὸ μάλιστα κατευθύ. τοιοῦτον οὖν τι καὶ ἀπὸ τῆς ἀληθινῆς αἰδοῦς ἀντιλάμπει τε, καὶ ποιεῖ δοκεῖν αἰδεῖσθαι τοὺς ἐρῶντας[34]). ἔπειτ᾽ εὐθὺς ἐπελθόντες[35])

ἀναι-

30) Idem vult *οὕτως ἐξεπλάγην.* amplector hoc, aut etiam *μᾶλλον ἐξεπλάγην*, ſed praeterea *ὁρῶν* quoque eſt addendum.

31) *ἀποβλέπειν* h. l. eſt, vt bene admonuit Caſaubonus, *alio ſpectare.* v. p. 16, 36. 309, 14. 377, 1. (ed. Mor.) et apud alios ea vi occurrit quoque, vt apud Plutarch. Opuſc. Mor. p. 531, 39. 582, 32.

32) *οὕτως ἀναιδὴς καὶ λίθινος*] ſic recte codex regius. ſed Ven. et Mor. omittunt *καὶ*.

33) f. *προσενενόησας.*

34) *ἐρῶντας*] Caſaubonus mauult *ὁρῶντας.*

35) *ἐπελθόντες* vulgatam ſeruem, an *ἀπελθ.* praeferam, quod olim conieci, dubito: illud eſt, *cum ad rem amatam acceſſerint*, hoc, *cum ab ea diſceſſerint.* vniuerſe illa comparatio radiorum ſolis ex aquis repercuſſorum cum pulchritudine conniuere intuentes cogente, non ſatis eſt effecta, neque perſpicua.

ἀναιδεῖς εἰσιν, ὥς ἔμοιγε 36) καὶ ὁ παιδοτρίβης ἐδόκει, καὶ αὐτὸς οἷον ἐνθουσιῶν τε καὶ ἐκπεπληγμένος. οὐκοῦν ἔτι μᾶλλον θαυμάσεις, ἐπειδὰν πύθῃ, ὅτι οὗτος, τοιοῦτος ὤν, οὐδενὸς υἱός ἐστι. πῶς λέγεις μηδενὸς εἶναι αὐτόν; οὕτως, ὅπως σὺ ἐπύθου, ὅτου ἐστίν. οἶμαι γὰρ ἐρωτᾶν σε, ὅτου υἱός ἐστιν. ἀλλ' ἢ τῶν Σπαρτῶν ἐστιν εἷς. πρέποι μὲν ἂν τῷ μεγέθει αὐτοῦ 37) καὶ τῇ ἀνδρείᾳ, εἴγε ἐπιεικεῖς ἦσαν 38) καὶ φιλάνθρωποι τὰς φύσεις, ὥσπερ ὅδε· ἀλλὰ μὴ παντελῶς σκληροὶ καὶ ἄγριοι, τῆς γῆς τὰ 39) τέκνα· ἐπεί γε τὸ σῶμα οὐ φαύλως εἰκάζεις, Βοιωτίῳ μᾶλλον εἰκάζων αὐτὸ, ἢ Λακωνικῷ τε καὶ Ἀττικῷ. ὅτι μὲν γὰρ Ἑλληνικῶν ἄκρος 40) ἐστὶν, οὐ δεῖ δήπου ἀγνοῆσαι. τί γάρ; εἴη τις ἂν τοῦ γένους διαφορὰ, πρός γε τὸ κάλλος; ἀλλ' οὐκ οἴει, τὸ μέν τι βαρβαρικὸν εἶναι, ὥσπερ εἶδος καὶ κάλλος 41), ἢ οὐδένα

36) verba ὥς ἔμοιγε ad ἐκπεπληγμένος sunt ignoti illius cum Dione colloquentis. vidit Anglus quoque, personas ita esse distinguendas.

37) αὐτοῦ] malim αὐτοῖς. deceret eos, dignus esset, qui cum ipsis, Spartis puta, comparetur.

38) ἦσαν] illi Sparti.

39) τὰ malim abesse — Sparti scil. e Boeotia erant exorti.

40) f. ἑλληνίζων ἄκρος *et sermone et moribus atque ingenio penitissime Graecos referens.*

41) f. ὥσπερ εἶδος, οὕτω καὶ κάλλος. praeterea nihil hic est in personis turbatum; quod esse Casaubono visum fuit. omnia haec Dionis sunt. Finge tibi orationem sic habere: οὐκ οἴει, ὥσπερ ἐστὶ φωνὴ μὲν ἄλλη ἑλληνικὴ, ἄλλη δὲ βαρβαρικὴ, καὶ ἐσθὴς ἑλληνικὴ, καὶ ἄλλη βαρβαρικὴ, καὶ εἶδος τὸ μὲν βαρβαρικὸν, τὸ δὲ ἑλληνικὸν, οὕτω καὶ κάλλος εἶναι τὸ μὲν ἑλληνικὸν, τὸ δὲ βαρβαρικὸν, ἀλλ' ὁμοίως σοι δοκεῖ γενέσθαι καλὸς Ἀχιλεύς τε καὶ Ἕκτωρ. sic plana et perspicua sunt omnia. *vt alia oratio est graeca, alia barbarica, vt alius est graecus vestitus, alius barbaricus, vt denique vultus alius est graecus, alius barbaricus; pari ratione num tu negabis aliam esse pulcbritudinem graecam, aliam barbaricam? existimasne potius, pari modo pulcbrum*

οὐδένα οἴει γίγνεσθαι ἐν τοῖς βαρβάροις καλὸν, τὸ δὲ Ἑλληνικὸν, ὥσπερ καὶ φωνὴν καὶ ἐσθῆτα; ἀλλ' ὁμοίως σοι δοκεῖ γενέσθαι καλὸς Ἀχιλλεύς τε καὶ Ἕκτωρ; οὐ γὰρ μόνον ὡς περὶ ἀνδρείου τοῦ Ἕκτορος 42) ὁ ποιητὴς διέξεισιν, ὅπου γε τὰς ναῦς ἐμπίπρησιν· οὐ γὰρ, οἶμαι, περὶ κάλλους αὐτῷ ἔπρεπεν αὐτοῦ ἔτι 43) μεμνῆσθαι. τελευτήσαντος δὲ καὶ γυμνωθέντος, ἐκπλαγῆναί φησιν αὐτοῦ τὸ κάλλος τοὺς Ἀχαιοὺς ἰδόντας. οὕτω πως λέγεται 44)·

Οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν Ἕκτορος.

οὐ γὰρ, οἶμαι, πρότερον ἦν αὐτοῖς σχολὴ θηήσασθαι αὐτὸν ἀκριβῶς, καὶ τὰ ἄλλα σχεδὸν σαφέστερον ἐπέξεισιν, ὡς 45) περὶ ἄλλου τινὸς τῶν καλλίστων. τήν τε γὰρ κεφαλὴν χαρίεσσαν αὐτοῦ φησιν εἶναι, καὶ τὴν κόμην πάνυ μέλαιναν, καὶ τὸ σῶμα οὐ σκληρόν. περὶ δὲ τοῦ Ἀχιλλέως εἴδους οὐδὲν λέγει καθέκαστον, ἢ 46) τῆς κόμης, ὅτι ξανθὴ ἦν· καὶ περὶ τῆς Εὐφόρβου κόμης, καὶ Πατρόκλου, ὡς μάλιστα ἐν ἀκμῇ τελευ-

pulchrum fuisse Hectorem, atque fuit Achilles; nisi forte negas vllum aliquem in barbaris formosum exsistere.

42) τοῦ Ἕκτορος] sic Veneta et Casaubonus. Mor. omittit Ἕκτορος. mox verba ὅπου γε τὰς ναῦς ἐμπίπρησιν videntur ignoti cum Dione colloquentis esse. *ibi quidem Homerus de Hectore sic verba facit, tanquam de forti viro solummodo, vbi eum facit nauibus ignes iniicientem.* respondet Dio: *nempe nondum decebat ibi mentionem facere de ipsius forma.*

43) ἔτι si bene habet, accipi debet pro ἤδη *iamdum.* malim tamen duo illa vocabula ἔτι μεμνῆσθαι in vnum ἐπιμεμνῆσθαι contrahi, nisi malumus ζῶντος addere, ad hunc modum: αὐτοῦ ζῶντος ἔτι μεμνῆσθαι, quod praefero. *non enim decebat eum*, Homerum puto, *formae eius*, Hectoris puta, *adhuc superstitis, meminisse.*

44) f. οὕτω πως λέγων.

45) ὡς] sententia postulat ἤ. *apertius, quam de vllo alio formosissimorum.*

46) ἢ] malim ἀλλ' ἤ. *sed de coma.*

τελευτησάντων· καὶ περὶ τῶν ἄλλων σμικρόν τι περὶ ἑκάστου καὶ ἀνδρῶν καὶ γυναικῶν τῶν καλλίστων. πλὴν ὅτι γε οὐδεὶς ἂν εἴποι 47), τούσδε ὁμοίως ἀνεῖναι καλούς· οὐδὲ Ἀλέξανδρον, ἢ Εὔφορβον, ἢ Τρωΐλον, ἐοικέναι τε Μενελάῳ 48) καὶ Πατρόκλῳ καὶ Νιρεῖ· οὐδὲ ἐν τοῖς βαρβάροις, Σέσωστριν τὸν Αἰγύπτιον, ἢ Μέμνονα τὸν Αἰθίοπα, ἢ Μινύαν 49), ἢ Εὐρύπυλον, ἢ Πέλοπα.

47) οὐδεὶς ἂν εἴποι] ſic Caſaubonus. *verumtamen nemo facile aſſeveret.* οὐδὲ κἂν εἴποι Ven. et Mor.
48) τε poſtponendum nomini Menelai.
49) Μινύαν] malim Νινύαν. Ninyam, quem Diodorus Siculus 2, 21. mollem otio, voluptatibusque deditum refert, formoſum fuiſſe credibile eſt.

ΠΕΡΙ ΠΟΛΕΜΟΥ ΚΑΙ ΕΙΡΗΝΗΣ [1].

ΛΟΓΟΣ ΚΒ'.

Πολλὰ μὲν καὶ ἄλλα εὕροι τις ἂν, καὶ ξύμπαντα ἀτεχνῶς τὰ ἔργου τινὸς ἐχόμενα καὶ πράξεως, κοινὰ τοῖς φιλοσόφοις καὶ ῥήτορσιν, ὅσοι μὴ ἀγοραῖοι, μηδὲ μίσθαρνοι, πρὸς χρήματα ὁρῶντες μόνον καὶ τὰς ἰδιωτικὰς ἀμφιλογίας· περὶ συμβολαίων, ἢ τινῶν δημοσίᾳ [2]) συμβουλεύειν καὶ νομοθετεῖν ἀξιούμενοι· καθάπερ, οἶμαι, Περικλῆς καὶ Θουκυδίδης Ἀθήνησι, καὶ Θεμιστοκλῆς ἔτι πρότερον, καὶ Κλεισθένης, καὶ Πεισί-

1) argumentum huius fragmenti, ſeu prooemii, bene vidit et indicauit Caſaubonus.
2) f. ἢ τινων τοιούτων ἐργολαβοῦντες, περὶ δὲ τῶν συμφερόντων δημοσίᾳ. Anglus vult τοιούτων τινῶν δημοσίᾳ δὲ συμβ.

Πεισίστρατος, ἕως ἔτι ῥήτωρ καὶ δημαγωγὸς ἠνείχετο καλούμενος. Ἀριστείδην μὲν γὰρ καὶ Λυκοῦργον καὶ Σόλωνα καὶ Ἐπαμινώνδαν, καὶ εἴ τις ἕτερος τοιοῦτος, φιλοσόφους ἐν πολιτείᾳ θετέον, ἢ ῥήτορας, κατὰ τὴν γενναίαν τε καὶ ἀληθῆ ῥητορικήν. λέγω δὲ οἷον, περί τε ἀγωγῆς τῶν νέων συμβουλεύσαντας, καὶ νομοθετοῦντας, ὥσπερ ἐν Λακεδαίμονι Λυκοῦργος· καὶ περὶ τῆς ἐρωτικῆς ὁμιλίας, καὶ περὶ χρημάτων κτήσεως, ὅσην τε καὶ ὅπως δεῖ ποιεῖσθαι, καὶ περὶ γάμου καὶ περὶ κοινωνίας, καὶ περὶ νομίσματος, καὶ τιμῆς καὶ ἀτιμίας, καὶ περὶ οἴκων κατασκευῆς· πότερα χρὴ τετειχισμένην οἰκεῖν πόλιν, ἤ, καθάπερ ὁ θεὸς παρῄνεσε Λακεδαιμονίοις, ἀτείχιστον· καὶ περὶ ἀσκήσεως τῶν πολεμίων [3]), καὶ τάξεως, οὐ μόνον ὁπλιτικῆς, ἀλλὰ καὶ οἵαν Ἐπαμινώνδας εὑρεῖν λέγεται [4]), τοὺς ἐραστὰς μετὰ τῶν ἐρωμένων τάξας, ἵνα σώζοιντο μᾶλλον, καὶ μάρτυρες ὦσιν ἀλλήλοις τῆς ἀρετῆς καὶ τῆς κακίας. καὶ τὸν λόχον τοῦτον, ἱερὸν ἐπονομάσαντα [5]), κρατῆσαι Λακεδαιμονίων τῇ ἐν Λεύκτροις μάχῃ, ξυμπάντων ἐκείνοις ἑπομένων τῶν Ἑλλήνων. τὸ δὲ δὴ κεφάλαιον, καὶ πολλάκις πολλοῖς παρέπιπτε [6]), περί τε εἰρήνης καὶ πολέμου, ὃ νῦν τυγχάνει ζητούμενον. πᾶν δὲ τὸ τοιοῦτον γένος παρὰ τοῖς φιλοσόφοις καλεῖται, περὶ τοῦ προσήκοντος· οἷον εἰ γαμητέον, εἰ πολιτευτέον, εἰ βασιλεῖ [7]) χρηστέον, ἢ δημοκρατίᾳ, ἢ ἄλλῃ τινὶ καταστάσει πολιτείας· ἐν οἷς ἐστὶ καὶ τοῦτο, ἐμοὶ δοκεῖν, εἰ πολεμη-

λεμη-

3) τῶν πολεμίων a genere neutro τὰ πολέμια eſt repetendum; quod idem eſt atque τὰ πολεμικά.

4) v. Max. Tyr. p. 587. or. 24.

5) ἐπονομάσαντα ferri poteſt, et ad Epaminondam referri; conuenit tamen melius ἐπονομασθέντα.

6) malim παρενέπιπτε. *incidit*, *occurrit*, *vſu venit*. nam παραπίπτειν eſt *peccare*, *aberrare*, *labi*.

7) βασιλείᾳ malim.

λεμητέον. οὐ γὰρ μόνον ἁπλῶς οἱ φιλόσοφοι ζητοῦσι περὶ τούτων, ἀλλὰ πηνίκα[8]) καὶ τίσι καὶ πρὸς τίνας, καὶ τίνων συμβάντων, ἢ μὴ συμβάντων, ἕκαστα τούτων πρακτέον. διαφέρει δὲ τοσοῦτον, ὅτι οἵ γε ῥήτορες [9]) ἐπὶ τῶνδε σκοποῦσιν· οἷον εἰ συμφέρει πολεμεῖν Ἀθηναίοις πρὸς Πελοποννησίους, ἢ βοηθεῖν Κερκυραίοις πρὸς Κορινθίους, ἢ Φιλίππῳ συμμαχῆσαι Θηβαίοις ἐπὶ Φωκέας, ἢ Ἀλεξάνδρῳ διαβῆναι εἰς τὴν Ἀσίαν. ἐν γὰρ ταύταις ἁπάσαις ταῖς βουλαῖς οὐχ ἥκιστα ἐμπίπτει καὶ τὸ τοιοῦτον· εἰ δίκαιον τοῖς μὴ προαδικήσασι πολεμεῖν· εἰ συμβέβηκεν ἀδίκημα παρὰ τούτων, οἷς διανοοῦνται πολεμεῖν, πηλίκον[10]) τι τοῦτο συμβεβηκός. οἱ φιλόσοφοι δὲ πόῤῥωθεν τὰ πράγματα ὁρῶσιν, ἐπ' αὐτῶν[11]) ἐξετάζοντες, ὁποιάττα ἐστίν. πολὺ γὰρ κρεῖττον τὸ βεβουλεῦσθαι περὶ ἁπάντων ἐκ πλείονος, καὶ διεγνωκότας, ἐπειδὴ ἥκῃ τινὸς πράγματος καιρὸς, αὐτούς τε εἰδότας ἔχειν χρῆσθαι, καὶ ἑτέροις παραινεῖν· ἀλλὰ μὴ τρόπον τινὰ ἐξαίφνης ληφθέντας ταράττεσθαι καὶ αὐτοσχεδιάζειν περὶ ὧν οὐκ ἴσασιν. οἱ μὲν γὰρ ῥήτορες, ὅταν δέῃ σκοπεῖν περί τινος, οὐδὲν εἰδότες τῶν ἄλλων πλέον, οὐδὲ ἐσκεμμένοι πρότερον, ἅμα τε αὐτοὶ βουλεύονται τρόπον τινὰ, καὶ συμβουλεύουσιν ἑτέροις. οἱ φιλόσοφοι δὲ περὶ τῶν πράξεων προοίδασι, καὶ πάλαι βεβουλευμένοι τυγχάνουσιν· ὥστε ἄν τις αὐτοὺς παρακαλῇ συμβούλους τῶν πόλεων, ἢ τῶν ἐθνῶν, ἢ τῶν βασιλέων, κρεῖττον ἕξουσι καὶ ἀσφαλέστερον ἀποφαίνεσθαι, οὐ τὸ ἐπιὸν αὐτοῖς· οὐδὲ νῦν μὲν ταῦτα, πάλιν δὲ τἀναντία, δι' ὀργὴν, ἢ φιλονεικίαν, ἢ χρήμασι πληγέντες· ὥσπερ ἐπὶ

8) malim ἀλλὰ καὶ πηνίκα. *sed etiam quando.*
9) malim οἱ μὲν ῥήτορες ob sequens δὲ vers. 13.
10) ante πηλίκον videtur aut καὶ aut ἢ deesse.
11) ἐπ' αὐτῶν] sic recte Casaubonus. ἐπ' αὐτὸν Ven. et Mor.

ἐπὶ τρυτάνης, ἔφη τις, οἶμαι, τῶν ῥητόρων αὐτῶν, κατὰ τὸ λῆμμα ἀεὶ ῥέποντες. λέγω δὲ οὐ ψέγων ῥητορικὴν, οὐδὲ ῥήτορας τοὺς ἀγαθούς· ἀλλὰ τοὺς φαύλους καὶ τοὺς προσποιουμένους τὸ πρᾶγμα.

ΟΤΙ ΕΥΔΑΙΜΩΝ Ὁ ΣΟΦΟΣ.

ΛΟΓΟΣ ΚΓʹ.

Πότερον δοκεῖ σοι γεγονέναι ἄνθρωπος εὐδαίμων· εἰ δὲ μὴ, γεγονέναι, ἢ ἔσεσθαι 1), ἢ ἀδύνατον ἡγῇ τὸ τοιοῦτον περὶ ἀνθρώπου, ὥσπερ εἴ τις ἀθάνατον ἄνθρωπον λέγοι εἶναι; ἴσως γὰρ ἂν τὴν αὐτὴν ἔχοις δόξαν Ὁμήρῳ, καὶ ἄλλοις συχνοῖς τῶν ποιητῶν; καὶ πῶς ἀποφαίνεται περὶ τούτου Ὅμηρος; ὅπου πεποίηκε τὸν Δία, λέγοντα αὐτὸν, οὐκ ἄλλον τινὰ τῶν θεῶν, ὡς οὐδέν φησιν ὀϊζυρότερον εἶναι 2) ἀνδρὸς, ἁπάντων τῶν ζώων, Ὅσσα τε γαῖαν ἐπιπνέει τε καὶ ἕρπει. οὐ δοκεῖ σοι τὴν ὀϊζὺν αὐτὴν κακοδαιμονίαν τινὰ λέγειν 3); ἔμοιγε. ἕτερος δὲ ποιητὴς, οὐκ ἰδίᾳ οὕτως, ἀλλὰ κοινῇ πρὸς θέατρον ἀγωνιζόμενος, εἰσηγεῖται· Τὸν φύντα θρηνεῖν εἰς ὅσ᾽ ἔρχεται κακά· Τὸν δ᾽ αὖ θανόντα καὶ πόνων πεπαυμένον, χαίροντας καὶ

συνη-

1) *εἰ δὲ μὴ γεγονέναι, aut si fuisse minus videtur, ἀλλ᾽ ἔσεσθαί γε, saltim futurus esse aliquis videtur? an desperas fieri posse, vt sit aliquis beatus.*

2) l. ἐστι.

3) λέγειν] sic recte Ven. λέγεν Mor. alter poeta a Dione designatus est Euripides; e cuius Cresphonte locus hic est desumtus. id quod Morellus iam annotauit. v. Vpton. ad Arrian. diss. Epictet. p. 601, 12.

συνηδομένους, οἴεται δεῖν ἐκπέμπειν. ἔστι ταῦτα. οὔκουν 4) ὀρθῶς παρῄνεσαν; εἰ γὰρ ἅπαξ ἔδει κλαίειν τοὺς ἀνθρώπους διὰ τὴν ἀτυχίαν, καὶ γενομένους προσήκει θρηνεῖν, τῶν ἐσομένων αὐτοῖς κακῶν ἕνεκεν· καὶ τελευτήσαντας, ὅτι πολλὰ καὶ δεινὰ πεπόνθασι, καὶ πάντας 5), ὅτι εἰσὶν ἐν κακοῖς. ὥστε ὥρα ἂν εἴη κατὰ τὸν ποιητὴν μηδέποτε παύσασθαι ὀδυρομένους, πολὺ μᾶλλον τῶν ἀηδόνων. ἐκεῖναι μὲν γὰρ τοῦ ἦρος λέγονται θρηνεῖν τὸν Ἴτυν· τοὺς δὲ ἀνθρώπους εἰκὸς ἦν θρηνεῖν καὶ θέρους καὶ χειμῶνος. πόσῳ δὲ βέλτιον, τοὺς γενομένους ἐᾶν εὐθὺς ἀπολέσθαι ὑπὸ τῶν κακῶν, ἀλλὰ μὴ σπαργάνοις ἐνειλοῦντας καὶ λούοντας 6) καὶ τιθηνουμένους, τοσαύτην ἐπιμέλειαν ποιεῖσθαι, ὅπως ἄθλιοι ἔσονται; ἐχθρῶν γὰρ, οὐ φίλων, οὐδὲ κηδομένων τὸ τοιοῦτο. καὶ νὴ Δία, αὐτοὺς πρώτους ἀπαλλάττειν τοῦ βίου. κινδυνεύουσι γὰρ κατὰ τὸν λόγον τοῦτον μόνοι φρόνιμοι γενέσθαι οἱ γενόμενοι ἐν Κόλχοις ἐκ τῶν τοῦ δράκοντος ὀδόντων, οὓς ἔσπειρεν Ἰάσων. οὗτοι γὰρ, ὅτε πρῶτον ᾔσθοντο γεγονότες, εὐθὺς ἀλλήλους ἀνῄρουν, ἕως οὐδένα ἔλιπον· βοηθοῦντες ἀλλήλοις δηλονότι, καὶ διὰ φιλίαν

4) aut οὔκουν accentu in antepenultimam retracto, vt Anglus iam admonuit, aut οὐκ οὖν duobus vocabulis. *non ergo* — negantis modo, non interrogantis. ſed et praeterea παρῄνεσεν legi malim; non enim hoc ad Homerum quoque, ſed ad ſolum Euripidem pertinet. Ven. et Mor. dant οὐκοῦν.

5) πάντας] deceptus argutatione nimis ſubtili Caſaubonus mauult ζῶντας, Anglo probante. ſed vulgata bene habet; quae conditionem humanae naturae quamcunque complectitur; modo natos, viuentes, mortuos; quos omnes ait eſſe in malis; alios in malis, quae eos maneant, alios in iis, quae iam nunc tolerent; alios denique miſeros ideo eſſe, quod mala quondam perpeſſi ſint.

6) λούοντας] ſic recte Anglus. *lauantes.* λύοντας Ven. et Mor.

φιλίαν τοῦτο πράττοντες, οὐ δι' ἔχθραν 7). ἀλλὰ τοῦτό γε 8) ὁ ποιητὴς ληρεῖν ἔμοιγε φαίνεται. τὸ δὲ τοῦ Ὁμήρου ταράττει με, ὅτι οὕτω σαφῶς ὑπὲρ τῶν ἀνθρώπων ταύτην ἀπεφήνατο τὴν γνώμην. καὶ τί ἄτοπον εἴρηκεν; οὐ γὰρ ὡς ἅπαντες οἱ ἄνθρωποι ἄθλιοί εἰσι, φησὶν, ἀλλ' ὅτι οὐδέν ἐστι ζῶον ἀνθρώπου ἀθλιώτερον· τοῦ 9) γε ἀθλίου. ὥσπερ, ἀμέλει, καὶ ἡμεῖς φαῖμεν ἄν. ἴσως γάρτοι καὶ μόνος τῶν ἄλλων ὁ ἄνθρωπος κακοδαίμων ἐστὶν, ὥσπερ καὶ εὐδαίμων· ἐπεί τοι καὶ μόνος ἄφρων, ὥσπερ καὶ φρόνιμος. οὔτε γὰρ ἄδικος, οὔτε ἀκόλαστος ἂν εἴη, ἵππος, ἢ σῦς, ἢ λέων· ὥσπερ οὐδὲ ἄμουσος, οὐδὲ ἀγράμματος. ἀλλὰ καλῶς μοι δοκεῖς διωρθῶσθαι 10) τὸ τοῦ Ὁμήρου, καὶ ἀποκρίνασθαι, ὅτι εἰ ἡγοῦμαι ἄνθρωπον εὐδαίμονα εἶναι 11). ἆρα ὁ εὐδαίμων ἀγαθός ἐστιν; ὃς δ' ἀγαθός ἐστι, τοῦτον εὐδαίμονα εἶναι φῂς, τὸν δὲ μοχθηρὸν κακοδαίμονα; ἔγωγε. δαίμονα 12) δὲ ἄλλως ἀγαθὸν λέγεις; πῶς γε; ὥσπερ ἄνθρω-

7) οὐ δι' ἔχθραν] sic quoque Anglus. οὐδ' ἔχθραν Ven. et Mor.
8) malim μέν. poeta hic appellatus est Euripides. *hoc quidem nugatur Euripides.*
9) τοῦ γε] sic Casaubonus. τοῦ δὲ Ven. et Mor.
10) f. διορθώσασθαι.
11) f. καὶ ἀπόκριναί μοι ὅντινα ἡγῶμαι εὐδαίμονα εἶναι. *responde mihi, quemnam debeam* εὐδαίμονα *beatum habere.*
12) videtur sic esse distinguendum: δαίμονα δὲ ἄλλως λέγεις ἀγαθόν; sic interrogat Dio amicum, quicum colloquitur. *Putasne daemonem alio modo bonum dici?* occurrit amicus, dubitans, rectene mentem Dionis ceperit, alia interrogatione: ἢ πῶς γε; *quam quonam tandem modo?* respondet Dio? ὥσπερ ἄνθρωπον, ἔτι δὲ μᾶλλον θεόν. *ego volo scire, num tu putes alio quopiam modo daemonem appellari bonum, quam quo homo appellatur, et multo magis deum?* [hoc est, multo magis volo scire, num putes deum alio quopiam modo bonum appellari, quam quo homo bonus appellatur.] ἢ θεοὺς — *aut, num tu putas deos, si boni*

ἄνθρωπον, ἔτι δὲ μᾶλλον θεὸν, ἢ τοὺς θεοὺς, εἴπερ νομίζεις ἀγαθοὺς εἶναι, οὐ δικαίους νομίζεις, καὶ φρονίμους καὶ σώφρονας, καὶ τὰς ἄλλας ἀρετὰς ἔχοντας, ἀλλὰ ἀδίκους καὶ ἀνοήτους καὶ ἀκολάστους; οὐδαμῶς ἔγωγε. οὐκοῦν καὶ δαίμονα, εἴπερ τινὰ ἀγαθὸν ἡγῇ, δῆλον, ὡς δίκαιον ἡγῇ καὶ χρήσιμον, καὶ φρόνιμον; πῶς γὰρ οὔ; ἢ γὰρ ὃν κακόν τινα νομίζεις, πονηρὸν οἴει τὸν αὐτὸν εἶναι καὶ ἄδικον καὶ ἀνόητον; ἀνάγκη πάντως. τί δαί; οὐ τῶν ἀνθρώπων ἕκαστον κατὰ τὸν αὑτοῦ δαίμονα βιοῦν [13]), ὁποῖος ἂν ᾖ ποτε, ἀλλὰ καθ' ἕτερον; οὐδαμῶς καθ' ἕτερον. οὐκοῦν τὸν τυχόντα ἀγαθοῦ δαίμονος ἡγῇ δικαίως ζῆν, καὶ φρονίμως καὶ σωφρόνως· τοιοῦτον γὰρ ὁμολογεῖς εἶναι τὸν δαίμονα αὐτοῦ; πάνυ γε. τὸν δὲ μοχθηροῦ δαίμονος, πονηρῶς καὶ ἀφρόνως, καὶ ἀνοήτως καὶ ἀκολάστως; φαίνεται ταῦτα συμβαίνειν ἐκ τῶν εἰρημένων. νῦν ἄρα ὅστις ἄνθρωπος, νοῦν ἔχων, ἐστὶ δίκαιος καὶ σώφρων, οὗτος εὐδαίμων ἐστὶν ἀγαθῷ δαίμονι συνών· ὅστις δὲ ἀσελγὴς καὶ ἄφρων καὶ πανοῦργος, ἀνάγκη κακοδαίμονα φάσκειν ἐκεῖνον, κακῷ δαίμονι συνεζευγμένον καὶ λατρεύοντα; ἀληθές [14]). σοφὸν δὲ ἄλλον τινὰ καλεῖς, ἢ τὸν φρόνιμον ἄνθρωπον, καὶ δίκαιον καὶ ὅσιον καὶ ἀνδρεῖον, φαῦλον δὲ τὸν ἄδικον [15]), καὶ ἀνόσιον καὶ δειλόν; φημί. μὴ τοίνυν

boni sint, esse quidem bonos, non autem iustos, neque prudentes, neque continentes, neque aliis quibuscunque virtutibus praeditos? respondet alter: οὐδαμῶς. *ego vero alia omnia censeo.*

13) post βιοῦν subaudiri debet e praemissis vnum horum trium, ἡγῇ, aut νομίζεις, aut οἴει.

14) ἀληθὲς accentu in vltima. *verum ais.* nam alterum, quod accentum habet in prima, interrogat, (vt dant Ven. et Mor.) *itane vero? ain vero?*

15) f. φαῦλον δὲ φῂς τὸν ἄδικον. alias non bene responderet φημί.

ἔτι θαύμαζε τῶν λεγόντων, ὅτι μόνον καὶ πάντα[16]) φασὶ τὸν σοφὸν εὐδαίμονα εἶναι· τῶν δὲ φαύλων οὐδένα, ὅντινα οὐ κακοδαίμονα· ἐπειδή γε καὶ σοὶ ταῦτα δοκεῖ. τὰ μὲν ἄλλα δοκεῖς μοι οὐ παρὰ δόξαν διειλέχθαι· ὅπως δὲ χρὴ δαιμόνιόν τι πονηρὸν ἡγεῖσθαι καὶ ἄδικον καὶ ἀνόητον, οὐκ ἔχω εἰπεῖν. ἄλλως τε οὐ[17]) πρὸς ὑμῶν τῶν φιλοσόφων ἐστὶν, εἴπερ θεῖον τὸ δαιμόνιον ἡγεῖσθε[18]) τοιοῦτον ὑπολαμβάνειν. ἀλλ᾽ ἐγὼ νῦν οὐ κατὰ τὴν ἐμαυτοῦ δόξαν διείλεγμαι τὰ πολλὰ, πλήν γε αὐτὸ τοῦτο, ὅτι μοι δοκεῖ πᾶς καὶ μόνος εὐδαίμων ὁ σοφός· τὰ δὲ ἄλλα κατὰ τὴν τῶν πολλῶν ἀνθρώπων, ὅπως μὴ δοκῶ βιάζεσθαι αὐτούς. ἐπεὶ[19]) φέρε, εἰ ἡγεῖσθε τὸ δαιμόνιον θεῖον καὶ ἀγαθὸν, καὶ μηδενὶ κακοῦ μηδενὸς αἴτιον, πῶς φατὲ γίγνεσθαι κακοδαίμονα ἄνθρωπον; ὁπόταν μὴ προσέχωσι, μηδὲ πείθονται τῷ δαιμονίῳ, ἀγαθῷ ὄντι; ὥσπερ εἰ νομίζεις[20]) τοὺς ἰατροὺς ἅπαντας ἀγα-

16) πάντα hic eſt accuſ. ſing. gen. maſcul. non plur. neutrius. *omnem ſapientem, et ſolum ſapientem eſſe* εὐδαίμονα. apparet etiam e proxime oppoſito οὐδένα τῶν φαύλων ὅντινα οὐ κακοδαίμονα. *neminem non malorum eſſe* κακοδαίμονα. margo Mor. dat παντάπασι.

17) ἄλλως τε οὐ] videtur Dioni ſolitum eſſe hoc ἄλλως τε pro *praeterea* vſurpare. videor mihi iam in aliis locis obſeruaſſe, vbi ſuſpicatus ſum, forſitan falſo, leg. eſſe ἄλλως τε καὶ — quomodo etiam hic naſci queat ſuſpicio leg. eſſe ἄλλως τε καὶ ὅτι οὐ, *cum aliis de cauſis, tum hac inprimis, quod vos philoſophi non ſoleatis* τὸ δαιμόνιον *pro iniuſto et fatuo habere, ſiquidem idem cum* τῷ θείῳ *habetis.*

18) ἡγεῖσθε] ſic interpres et vir doctus in margine Venetae meae. ἡγεῖσθαι Ven. et Mor.

19) ἐπεὶ] continuatur obiectio verſ. 5. coepta, et in verbo ὑπολαμβάνειν a Dione interpellata. cui Dio occurrit in verbis ὁπόταν: ſic enim leg. pro ἢ ὅταν, vt dant Ven. et Mor.

20) Inſequentia βλέπομεν et φαῖμεν poſtulant etiam hic νομίζομεν aut νομίζοιμεν et βλέποιμεν.

ἀγαθοὺς εἶναι, τὰ τῆς τέχνης, καὶ μηδένα αὐτῶν πονηρὸν ἰατρὸν, μηδὲ βλαβερόν· τῶν δὲ καμνόντων κακῶς τινας πράττοντας βλέπομεν καὶ βλαπτομένους ἐν ταῖς νόσοις, δηλονότι τούτους, οὓς [21] ἂν φαῖμεν μὴ ἐθέλειν τὰ προσταττόμενα ποιεῖν· τοὺς δὲ πειθομένους ἀνάγκη καλῶς ἀπαλλάττειν, καὶ τί ἂν γίνεσθαι οὐκ ἂν θαυμάζειν [22]. οὕτως ἔχειν. πότερον οὖν δοκοῦσί σοι ἐγκρατεῖς εἶναι καὶ σώφρονες καὶ νοῦν ἔχοντες, οὗτοι ἀπειθεῖν ἂν [23] τοῖς ἰατροῖς τοῖς ἐμπείροις, καὶ τὰ συμφέροντα προστάττουσιν, ἢ τοὐναντίον [24], ἀνόητοι καὶ ἀκόλαστοι. δῆλον, ὅτι ἀκόλαστοι. τί δαί; τῷ δαίμονι χρηστῷ ὄντι πείθεσθαι, καὶ ζῆν κατ' ἐκεῖνον, πότερον ἡγῇ τῶν σωφρόνων εἶναι καὶ νοῦν ἐχόντων, ἢ τῶν πονηρῶν καὶ ἀνοήτων; τῶν σωφρόνων. τὸ δέ γε μὴ πείθεσθαι, μηδὲ προσέχειν, ἀλλ' ἐναντίως τῷ θείῳ τε καὶ δαιμονίῳ πράττειν, τῶν κακῶν καὶ ἀγνωμόνων; πῶς δ' ἂν ἄλλως λέγοιμεν; εἶναι δὲ τοὺς πειθομένους τῷ δαιμονίῳ, τοιούτῳ ὄντι, εὐδαίμονας· τοὺς δὲ ἀπειθοῦντας κακοδαίμονας; ἀνάγκη. οὐκοῦν κἀνταῦθα συμβαίνει, τὸν μὲν σοφὸν καὶ φρόνιμον εὐδαίμονα εἶναι πάντα· τὸν δὲ φαῦλον, κακοδαίμονα; οὐχ ὡς τοῦ δαιμονίου κακοῦ ὄντος, ἀλλ' ὡς αὐτὸν οὐ προσέχοντα [25] ἐκείνῳ χρηστῷ ὄντι.

21) οὓς videtur delendum.

22) f. καὶ ταυτὶ οὕτω γίγνεσθαι οὐκ ἂν θαυμάζοιμεν. *et haec sic fieri, non admodum miremur.* respondet alter οὕτως ἔχει. *sic est.* pergit Dio πότερον οὖν.

23) f. ὅσοι ἀπειθῶσιν ἄν.

24) post τοὐναντίον addit Mor. οἱ, quo Veneta caret. *si qui medicis peritis et salutaria praecipientibus repugnent, vtrum tibi videntur continentes et sapientes esse, an stulti et intemperantes?* respondet *vtique stulti et intemperantes.*

25) προσέχοντα] προσχόντα Ven. et Mor.

ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ.

ΛΟΓΟΣ ΚΔ΄.

Οἱ πολλοὶ ἄνθρωποι καθόλου μὲν οὐδὲν πεφροντίκασιν, ὁποίους χρὴ εἶναι, οὐδὲ ὅ, τι βέλτιστον ἀνθρώπῳ ἐστὶν, οὗ ἕνεκα χρὴ πάντα τἄλλα πράττειν· ἰδίᾳ δὲ ἐσπουδάκασιν, οἱ μὲν ἱππεύειν, οἱ δὲ στρατηγεῖν, οἱ δὲ περὶ ἀγωνίαν, οἱ δὲ περὶ μουσικὴν, ἄλλοι περὶ γεωργίαν, ἄλλοι δύνασθαι λέγειν [1]). ἥντινα δὲ χρείαν αὐτοῖς ἔχει τούτων ἕκαστον, ἢ τί τὸ ὄφελος ἐξ αὐτοῦ γίγνοιτ᾽ ἂν, οὐκ ἴσασιν, οὐδὲ ζητοῦσιν. τοιγαροῦν ἱππεῖς μὲν ἀγαθοὶ γίγνονται τινὲς, οἳ ἂν φιλοπονῶσιν αὐτοὶ καὶ ἐκμελετῶσι, καὶ παλαῖσαι ἄλλοι ἄλλων ἱκανώτεροι, καὶ πυκτεῦσαι, καὶ δραμεῖν, καὶ τἄλλα ἀγωνίσασθαι, καὶ τοῦ σπόρου μὴ διαμαρτεῖν, καὶ πλέοντες μὴ διαφθεῖραι τὴν ναῦν, καὶ κατὰ μουσικὴν [2]) τινες ἐπίστανται βέλτιον ἑτέρων· ἀγαθὸν δὲ ἄνδρα καὶ φρόνιμον, καὶ αὐτὸ τοῦτο εἰδότα, ὅστις ἐστὶν ὁ χρηστὸς ἀνὴρ καὶ νοῦν ἔχων, οὐδένα τούτων ἐστὶν εὑρεῖν. αὐτίκα [3]), περὶ τὸ λέγειν πάντες ἐσπουδάκασι, καὶ πολλοὶ τῶν ἐλευθέρων καὶ φιλοτίμων εἶναι δοκούντων· οἱ μὲν, ὥστε ἐν δικαστηρίοις ἀγωνίζεσθαι [4]) καὶ πρὸς δῆμον λέγοντες, διὰ δὲ τοῦτο ἰσχύειν πλέον τῶν ἄλλων, καὶ πράττειν ὅ, τι ἂν αὐτοὶ θέλωσιν· οἱ δὲ τῆς δόξης ἕνεκα τῆς ἀπὸ τοῦ πράγματος, ὅπως δεινοὶ νομίζωνται [5]). τινὲς δὲ αὐτῆς φασι τῆς ἐμπειρίας ἐπιθυμεῖν. καὶ τού-

των

1) malim ἄλλοι περὶ τὸ δύνασθαι λέγειν.
2) f. καὶ τὰ κατὰ τὴν μουσικήν. *artem musicam.*
3) αὐτίκα] *exempli causa.*
4) ἀγωνίζεσθαι] sententia postulat εὐδοκιμεῖν, vel tale quid.
5) νομίζωνται] sic Veneta. νομίζονται Mor.

των οἱ μὲν λέγοντες, οἱ δὲ συγγράφοντες μόνον, οὓς ἔφη τις τῶν πρότερον μεθόρια εἶναι τῶν φιλοσόφων καὶ τῶν πολιτικῶν· ὅ, τι δὲ συμφέρει πράττουσιν [6], ἢ πρὸς ὅ, τι ἡ δόξα αὐτοῖς ὠφέλιμος, ἢ τί τῆς ἐμπειρίας ταύτης ὄφελος, οὐ σκοποῦσιν. ἐγὼ δέ φημι, πάντα τἄλλα, δίχα τῆς τοιαύτης ἐπιμελείας καὶ ζητήσεως, ὀλίγου ἄξια εἶναι· τῷ δὲ ἐκεῖνο ἓν νοήσαντι καὶ ξυνέντι, τούτῳ καὶ τὸ λέγειν καὶ τὸ στρατηγεῖν, καὶ ὅ, τι ἂν ἄλλο ποιῇ, ξυμφέρον τε [7]) εἶναι, καὶ ἐπ' ἀγαθῷ γίγνεσθαι· ἐπεὶ τό γε ἐπαινεῖσθαι καθ' ἑαυτὸ ὑπὸ ἀνθρώπων ἀνοήτων, οἷοί [8]) πέρ εἰσιν οἱ πολλοὶ, ἢ τὸ δύνασθαι ἐν τοῖς τοιούτοις, ἢ τὸ ἡδέως ζῆν, οὐδὲν ἂν διαφέροι πρὸς εὐδαιμονίαν, τοῦ ψέγεσθαι, καὶ μηδὲν ἰσχύειν, καὶ ἐπιπόνως ζῆν.

6) f. συμφέρει ταῦτα πράττουσιν.
7) ξυμφέρον τε] sic vir doctus in Ven. mea, sed Ven. et Mor. dant ξυμφέροντα.
8) margo Mor. dat ὅσοι.

ΠΕΡΙ ΤΟΥ ΔΑΙΜΟΝΟΣ.

ΛΟΓΟΣ ΚΕ'.

Φασὶ τοὺς φιλοσόφους λέγειν, ὡς ἄρα εὐδαίμων εἴη μόνος ὁ σοφός. λέγουσι γάρ. ἆρ' οὖν ἀληθῆ σοι δοκοῦσι λέγειν; ἔμοιγε. τί οὖν οὐχὶ κἀμοὶ ἔφρασας τὴν διάνοιαν αὐτῶν; ἐὰν ἐμοὶ σὺ πρῶτον εἴποις, ὅ, τι νομίζεις τὸν δαίμονα εἶναι. ἐγὼ μὲν τὸ κρατοῦν ἑκάστου, καὶ καθ' ὃν ζῇ τῶν ἀνθρώπων ἕκαστος, ὁμοίως μὲν ἐλεύθερος, ὁμοίως δὲ δοῦλος, καὶ πλούσιος καὶ πένης, καὶ βασιλεὺς καὶ ἰδιώτης, καὶ πράττει ὅσα ἂν πράττοι, τοῦτο δὲ ἐν αὐτῷ νομίζεις εἶναι τῷ ἀνθρώ-

πω, τὸ κρατοῦν ἑκάστου, ὃ δαίμονα καλεῖς, ἢ ἔξωθεν ὄν, ἄρχοντα 1) καὶ κύριον τοῦ ἀνθρώπου; ἔξωθεν ἔγωγε. ἆρά γε ἄνθρωπον ἕτερον; ἔστι γάρ που ἄνθρωπος, ὁ μέν τινος κρατῶν 2)· ὁ δὲ πολλῶν, καὶ ἄγων ὅπη τε καὶ ὅπως αὐτὸς βούλεται, ἤτοι πειθοῖ, ἢ βίᾳ, ἢ καὶ ἀμφοτέροις. λέγω δὲ οὐδὲν 3) ἄγνωστον, ἀλλὰ τούς τε δημαγωγοὺς, οἷς πάντα πείθονται αἱ πόλεις. καὶ ὅπως ἂν ἐκεῖνοι ἐξηγῶνται καὶ συμβουλεύωσιν, οὕτω πράττουσιν· ἐάν τε πολεμεῖν συμβουλεύωσιν, ἐάν τε εἰρήνην ἄγειν, ἐάν τε τείχη οἰκοδομεῖσθαι, ἐάν τε τριήρεις κατασκευάζεσθαι, ἐάν τε θυσίας θύειν, ἐάν τε ἐκβάλλειν τινὰς αὐτῶν, ἢ χρήματα ἀφαιρεῖσθαι, ἢ καὶ ἀποσφάττειν. καὶ τοὺς βασιλέας 4) καὶ τοὺς τυράννους, ὁμοίως δὲ καὶ τοὺς δεσπότας τῶν οἰκετῶν, ὅσοι ἀργύριον καταβαλόντες, ἢ ἄλλῳ τῳ τρόπῳ κέκτηνταί τινα· ὡς ἂν εἰ Λυκοῦργόν τε 5), Λακεδαιμονίων δαίμονα καλεῖς 6). ἐκείνου γὰρ κελεύσαντος, ἔτι νῦν μαστιγοῦνται Λακεδαιμόνιοι, καὶ θυραυλοῦσι, καὶ γυμνητεύουσι, καὶ ἄλλα πολλὰ καὶ χαλεπὰ δόξαντα ἂν ἑτέροις ἀνέχονται· καὶ Πεισίστρατον, Ἀθηναίων 7) πρότερον. οἶσθα γὰρ δήπου, ὅτι, Πεισιστράτου προστάττοντος καὶ ἄρχοντος, εἰς μὲν τὴν πόλιν οὐ κατῄεσαν ὁ δῆμος, ἐν

δὲ

1) malim ἄρχον τε.

2) f. ὁ μὲν ἑνός τινος κρατῶν.

3) οὐδὲν] sic recte Ven. *nil ignotum.* animaduertit idem Morellus, sed ed. Mor. dat οὐδὲ.

4) καὶ τοὺς βασιλέας cohaeret cum τούς τε δημαγωγοὺς vers. 7. *oratores designo, regesque atque tyrannos.*

5) τε] huic respondet καὶ vers. antep. *Lycurgumque — et Pisistratum.* Ven. et Mor. dant γε.

6) malim ἐκάλεις. *vt si appelles Lycurgum* δαίμονα *Lacedaemoniorum.* aut καλείης in opt.

7) f. ἀθηναίων τῶν πρότερον *Atheniensium priorum.* qui sic appellantur respectu ad eos habito, qui ὕστερον (p. 521, 5.) fuere aetate Themistoclis.

δὲ τῇ χώρᾳ διατρίβοντες γεωργοὶ ἐγίγνοντο· καὶ τὴν Ἀττικὴν, πρότερον ψιλὴν καὶ ἄδενδρον οὖσαν, ἐλαίαις κατεφύτευσαν, Πεισιστράτου προστάξαντος· καὶ τὰ ἄλλα, ὅπως ἐκεῖνος ἐβούλετο, οὕτως ἔπραττον. ὕστερον δὲ ἴσως, ἄλλους τε φαίη τις ἂν, καὶ Θεμιστοκλέα καὶ Περικλέα γενέσθαι. οὐ γὰρ ἀνήκοος τυγχάνεις δήπου περὶ τοῖν ἀνδροῖν· τὸν 8) μὲν, ὅτι ναυμαχεῖν Ἀθηναίους ἠνάγκασε πεζοὺς πρότερον ὄντας, καὶ τὴν χώραν καὶ τὴν πόλιν προεμένους τοῖς βαρβάροις, καὶ θεῶν ἱερὰ καὶ τάφους προγόνων, ἐν ταῖς ναυσὶ ποιήσασθαι πάντα τὰ σφέτερα πράγματα· καὶ ὕστερον τὸν Πειραιᾶ τειχίσαι, πλειόνων ἢ ἐννενήκοντα σταδίων, καὶ ἄλλα τοιαῦτα προσέταξεν αὐτοῖς, ὧν τὰ μὲν ἐπὶ τοσοῦτον ἔπραττον, ἐφ᾽ ὅσον ἐκεῖνος παρῆν, τὰ δὲ καὶ φυγόντος αὐτοῦ καὶ τελευτήσαντος. καὶ μετὰ ταῦτα ἄλλους τινὰς ἴσως δαίμονας φήσεις γεγονέναι τῶν Ἀθηναίων, οἷον Ἀλκιβιάδην τὸν Κλεινίου καὶ Νικίαν καὶ Κλέωνα 9) καὶ Ὑπέρβολον· τοὺς μέν τινας ἐπιεικεῖς τυχὸν, τοὺς δὲ πάνυ πονηρούς τε καὶ χαλεπούς. ἔτι δὲ Κῦρον, Περσῶν ἀπὸ χρόνου τινὸς 10) δαίμονα γενέσθαι, καὶ 11) βασιλικόν τινα καὶ ἐλευθέριον, ὃς δουλεύοντας αὐτοὺς Μήδοις πρότερον εἰς ἐλευθερίαν ἀφείλετο, καὶ πάντων ἀπέφηνε δεσπότας τῶν κατὰ τὴν Ἀσίαν. ἔτι δὲ Καμβύσην καὶ Δαρεῖον, καὶ τοὺς ἄλλους τοὺς ἐφεξῆς. τὸν μὲν Καμβύσην, τά τε χρήματα αὐτῶν

8) τὸν] malim τοῦ, quia περὶ praecessit, siue serues punctum, vel comma potius, siue tollas. deinde oblitus est Dio de Pericle, quod coeperat, aliquid commemorare.

9) sic recte Veneta. Κλείωνα Mor.

10) ἀπὸ χρόνου τινὸς dubito probumne sit pro ἐπὶ χρόνον τινὰ, *ad tempus aliquod, aliquamdiu*. Reperi tamen, si bene memini, similes alios locos.

11) καὶ aut est delendum, aut leg. καὶ ταῦτα *et id quidem*, aut καὶ τοῦτον *et eum quidem regalem quendam*.

ἀναλίσκοντα, καὶ αὐτοὺς κατατοξεύοντα, καὶ στρατείας προστάσσοντα χαλεπὰς καὶ συνεχεῖς, καὶ μηδέποτε ἐῶντα οἴκοι μένειν· τὸν δὲ Δαρεῖον, χρήματα μὲν ὡς οἷόν τε πολλὰ συναγαγόντα, καὶ τῇ χώρᾳ γενόμενον αἴτιον, ὅπως ἐργασθήσεται, πολέμους δὲ καὶ τοῦτον ἀναγκάζοντα πολεμεῖν, χαλεποὺς καὶ ἐπικινδύνους· καθάπερ, οἶμαι, τὸν πρὸς Σκύθας, καὶ τὸν πρὸς Ἀθηναίους. οὕτω δὲ καὶ τὸν Νουμᾶν μὲν Ῥωμαῖοι τυχὸν ἂν λέγοιεν αὐτῶν δαίμονα, Καρχηδόνιοι δὲ Ἄννωνα καὶ Ἀννίβαν, Μακεδόνες δὲ Ἀλέξανδρον ἢ Φίλιππον, ὃς Μακεδόνας, ταπεινοὺς ὄντας καὶ ἀσθενεῖς [12]), καὶ τοῦ πατρὸς αὐτοῦ παραχωρήσαντος Ὀλυνθίοις τῆς ἀρχῆς, ἰσχυροὺς ἐποίησε καὶ πολεμικοὺς, καὶ μικροῦ δεῖν ἁπάσης Εὐρώπης ἐγκρατεῖς. Ἀλέξανδρος δὲ ὕστερον μετ᾽ ἐκεῖνον εἰς τὴν Ἀσίαν ἐξαγαγὼν, ἅμα μὲν πλουσιωτάτους ἁπάντων ἀνθρώπων ἀπέδειξεν, ἅμα δὲ πενιχροτάτους, καὶ ἅμα μὲν ἰσχυροὺς, ἅμα δὲ ἀσθενεῖς, φυγάδας τε καὶ βασιλέας τοὺς αὐτοὺς, Αἴγυπτον μὲν [13]) καὶ Βαβυλῶνα, καὶ Σοῦσα καὶ Ἐκβάτανα προσθεὶς, Αἰγὰς δὲ, καὶ Πέλλαν, καὶ Δῖον ἀφελόμενος, Καρχηδονίους δὲ Ἄννων μὲν ἀντὶ Τυρίων ἐποίησε Λίβυας, καὶ Λιβύην κατοικεῖν ἀντὶ Φοινίκης, καὶ χρήματα πολλὰ κεκτῆσθαι, καὶ συχνὰ ἐμπόρια καὶ λιμένας καὶ τριήρεις, καὶ πολλῆς μὲν γῆς, πολλῆς δὲ θαλάττης ἄρχειν. Ἀννίβας δὲ πρὸς τῇ Λιβύῃ, καὶ τῆς Ἰταλίας αὐτῆς κρατῆσαι παρέσχεν, ἑπτακαίδεκα ἔτη· αὖθις δὲ αἴτιος ἐγένετο, ἀναστάτους γενέσθαι, καὶ τὴν πόλιν αὐτὴν μεταβαλεῖν [14]) ὑπὸ Ῥωμαίων, πολλοὺς δὲ πρότερον

τῶν

12) post ἀσθενεῖς videtur παραλαβὼν deesse.

13) μὲν] *Aegyptum quidem.* Ven. et Mor. dant δέ.

14) μεταβαλεῖν si bene habet, haec est sententia: *Hannibal in causa fuit, vt Carthaginiensium vrbs a Romanis e sedibus antiquis in aliud longinquius solum transferretur.*

possit

τῶν Ῥωμαίων ἀπολέσας[15]), καὶ μικρὸν ἀποσχὼν αὐτὴν ἑλεῖν τὴν Ῥώμην, οὐ βουληθεὶς δὲ, ὥς φασι, διὰ τοὺς οἴκοι ἀντιστασιώτας. καὶ τοῦτον ἴσως, οὔτε Καρχηδονίοις, οὔτε Ῥωμαίοις, ἀγαθὸν δαίμονα προσήκειν αὐτὸν καλέσαι[16]). Νουμᾶς δὲ τὴν Ῥώμην παραλαβὼν μικρὰν καὶ ἄδοξον, ἔτι δὲ ἐν ἀλλοτρίᾳ χώρᾳ διῳκισμένην[17]), καὶ σύγκλυδας καὶ πονηροὺς ἔχουσαν τοὺς ἐνοικοῦντας, ἔτι δὲ τοῖς προσχώροις πᾶσιν ἐχθροὺς, καὶ πένητας, καὶ ἀγρίους καὶ ἐπικινδύνως ζῶντας, τὴν Ῥωμύλου χαλεπωτάτην γῆν[18]) αὐτοὺς βεβαίως ἔχειν ἐποίησε, καὶ φίλους εἶναι τοῖς περιοίκοις, καὶ νόμους καὶ θεοὺς καὶ πολιτείαν κατεστήσατο, καὶ πάσης αἴτιος ὑπῆρξε τῆς λεγομένης[19]) ὕστερον εὐδαιμονίας. ἔχοιμι δ᾽ ἂν καὶ περὶ τῶν ἄλλων λέγειν πόλεων καὶ γενῶν καὶ ἀνθρώπων τὸν αὐτὸν τρόπον, εὖ τε καὶ κακῶς πραξάντων, διά τινας ἄρχοντας αὐτῶν γενομένους καὶ προστάτας· ἀλλὰ ἱκανῶς οἶμαι τὴν ἐμαυτοῦ διάνοιαν ἐνδεδεῖχθαι. εἰ δὴ τούτους καλεῖς δαίμονας ὡς[20]) τῶν ὑπ᾽ αὐτοῖς καὶ δι᾽ οὓς ἕκαστος βέλτιον ἢ χεῖρον ἔπραξεν, ἡδέως ἂν ἀκούοιμι.

possit quoque ἀποβαλεῖν legi. *vt urbem suam per Romanos amitterent.*

15) Ven. et Mor. dant ἀπωλέσας.

16) f. προσήκει καλέσαι, sine αὐτὸν, nescio quoque, an satius sit καὶ τοῦτον μὲν ἴσως legi.

17) f. ἐν ἀλλοτρίᾳ χώρᾳ νὴ Δί᾽ ᾠκισμένην. *in alieno adeo solo fundatam.* illud νὴ δία est *adeo.* διοικίζειν abhorret a sententia huius loci; est enim, *ciues per loca dissita dispergere.*

18) χαλεπωτάτη γῆ videtur solum esse h. l. quod ab incolis aegerrime teneri et ab inimicorum insultibus defendi queat.

19) malim γενομένης.

20) ὡς et καὶ delenda sunt. *num ergo δαίμονας eorum, qui parent, appelles hos, per quos vnusquisque —*

ΠΕΡΙ

ΠΕΡΙ ΤΟΥ ΒΟΥΛΕΥΕΣΘΑΙ.

ΛΟΓΟΣ ΚΣΤ'. 1).

Πάλαι2) καθήμενος καὶ ὑμῶν ἀκούων, ὅτε πολλαῖς ὥραις διετρίβετε παρά τινι τῶν πολιτικῶν βουλευόμενοι περί τινων πραγμάτων, σκοπῶ παρ' ἐμαυτῷ καὶ ἀναζητῶ, τί ἐστι τοῦτο, ὅ φατε βουλεύεσθαι, ἢ ὅ, τι αὐτὸ δὴ τὸ βουλεύεσθαι; ἆρα γὰρ περὶ τούτου τὶς βουλεύεται τοῦ πράγματος, ὃ οἶδέ τε καὶ ἐπίσταται; οὐ δοκεῖ μοι, περὶ ὧν τις οἶδε, περὶ τούτων βουλεύεσθαι, ἀλλὰ ἤδη εἰδέναι. τί δαί; ἃ οὐκ οἶδεν, οὐδὲ ἃ3) ἐπίσταται, περὶ τούτων4) ὥσπερ διαμαντευόμενος καὶ ἀναζητῶν γνῶναι ἃ οὐκ οἶδεν; οὐ δοκεῖ μοι οὐδὲ οὕτως5) δύνασθαι βουλεύεσθαι περὶ τούτων, περὶ ὧν οὐδεμίαν ἐπιστήμην ἔχει. ἆρ' οὖν, μὴ τοιόνδε τι ᾖ τὸ βουλεύεσθαι, ὥστε τινὰ μὲν εἰδέναι, τινὰ δὲ ἀγνοεῖν, καὶ τοῦτο ᾖ, περὶ οὗ βουλεύονται ἄνθρωποι; ἵνα δὲ μᾶλλον τῷ λόγῳ παρακολουθήσωμεν, δι' εἰκόνος τινὸς ἐπιδείξομεν αὐτό. ὑποτιθέμεθα γάρ, εἰδέναι μὲν ἡμᾶς Χαρικλέα καὶ Χαρίξενον, ὅπου δὲ οἰκοῦσιν, ἀγνοεῖν· στοχάζεσθαι δὲ περὶ τῆς οἰκίας αὐτοῖν. μὴ ἄρα τοῦτο ᾖ τὸ βουλεύεσθαι, ὥστε ἐξ ὧν οἴδαμεν, ἐκ τούτων καὶ περὶ ὧν οὐδέπω ἴσμεν τεκμαίρεσθαι,

1) Fieri queat, vt haec disputatio nata sit e loco p. 275, 40. ed. Mor. vt XXV. quae est de genio, e XXIII. et XXIV. videntur exstitisse.

2) Constructio hic est paulo perturbatior, quae debebat haec esse: πάλαι σκοπῶ παρ' ἐμαυτῷ, καθήμενος, καὶ ἀναζητῶ, τί ἐστι τοῦτο, ὅ φατε βουλεύεσθαι, ἀκούων ὑμῶν, ὅτε —.

3) ἃ posterius videtur delendum.

4) post περὶ τούτων videtur βουλεύεται deesse.

5) malim οὗτος, scil. ὁ διαμαντευόμενος καὶ ἀναζητῶν.

ρεσθαι, καθάπερ οἱ ἀρτιάζοντες; ἴσασι μὲν, ὅτι[6]) ἐν ταῖς χερσὶν οἱ προκαλεσάμενοι αὐτοὺς ἔχουσιν χρῆμα· οὐ μέντοι, ὅτι τοσοῦτον· ἀλλ' ἐνίοτε καὶ ἐπέτυχον εἰπεῖν, καὶ οὕτω δὴ κρατήσαντες ἀπηλλάγησαν. μὴ ἄρα καὶ τὸ βουλεύεσθαι τοιοῦτον ᾖ; ὥστε εἰδέναι μέν τι, τὰ δὲ ἄλλα, ὅσα ποιήσομεν, στοχασάμενοι, ἐνίοτε αὐτομάτως ἐπετύχομεν, καὶ μετ' οὐδεμιᾶς ἐπιστήμης; Φέρε γὰρ, ἴδωμεν, ὁποῖόν ἐστι τὸ πρᾶγμα. τὰ ὄντα, καὶ ἔστι, καὶ ἐγένετο, καὶ ὑφέστηκε· τὰ δὲ μὴ ὄντα, οὔτε ἐστὶ, οὔτε ἐγένετο, οὔτε ὑφέστηκεν. οὐ δεῖ μὲν οὖν περὶ τῶν ἤδη ὄντων[7])· ἔστι γὰρ καὶ οὐδὲν ὄφελος περὶ τῶν γεγονότων καὶ ὑφεστηκότων βουλεύεσθαι· τί γὰρ καὶ βουλευσόμεθα περὶ αὐτῶν, ἵνα μὴ γένηται τὰ γεγονότα; οὐ δύναται μὴ γεγονέναι. ἀλλ' ἵνα μὴ ᾖ τὰ ὄντα; πῶς δυνάμεθα ποιῆσαι μὴ εἶναι οὕτως, ὡς ἐγένετο. ἀλλ' ἵνα μὴ ὑφεστήκοι; πᾶν τὸ ὂν ὑπόστασιν ἔχει. ἀλλὰ περὶ μὲν τῶν ὄντων τί ἄν τις καὶ βουλεύοιτο; περὶ τίνων οὖν βουλευόμεθα; περὶ τῶν μελλόντων, ὡς ὁ λόγος ὑποδείκνυσι· τὰ δὲ μέλλοντα, οὔτε ἐστὶν, οὔτε γέγονεν, οὔτε ὑφέστηκε. περὶ τῶν οὐκ ὄντων οὖν τίς δύναται βουλεύεσθαι καὶ περὶ τῶν οὐχ ὑφεστώτων; τὸ γὰρ μήπω ὄν, οὐδέ ἐστι. περὶ δὲ τοῦ οὐκ ὄντος οὐδεὶς δύναται βουλεύεσθαι. οὐδεὶς ἄρα δύναται βουλεύεσθαι περὶ τῶν μελλόντων. ἡ γὰρ βουλὴ ἐπί τινι ἐστί. τὸ δὲ μέλλον οὐκ ἔστιν. οὐκ ἄρα οὐδὲ τὸ βουλεύεσθαι περὶ τῶν μελλόντων δύναιτ' ἂν εἶναι. τί οὖν; ὁ ἄμουσος καὶ ὁ ἀνεπιστήμων ἁρμονίας, καὶ μέλους καὶ ῥυθμοῦ, καὶ τῆς τούτων τάξεως καὶ κινήσεως, δύναιτ' ἂν καλῶς βουλεύσασθαι περὶ μουσικῆς, καὶ τῶν ἔργων τῶν κατὰ μουσικήν; οὐδαμῶς. τί δαί; ὁ γεωμετρίας ἄπειρος, περὶ σώματος καὶ μήκους καὶ πλάτους

6) ὅτι] sic Ven. *quod.* ὅ, τι Mor.
7) post ὄντων videtur βουλεύεσθαι deesse.

πλάτους καὶ βάθους βουλευόμενος ἂν, καλῶς βουλεύοιτο; οὐδὲ οὗτος. τί δαί; ὁ νεὼς ἄρχειν οὐκ ἐπιστάμενος, περὶ νεὼς ἀρχῆς καὶ ἔργων κυβερνητικῶν ἱκανῶς ἂν βουλευόμενος βουλεύοιτο; οὐδὲ οὗτος. ἆρα ὅστις οὐδὲν ἱκανῶς περὶ οὐδενὸς οὐδὲ πεπαίδευται, οὐδὲ οἶδεν, οὗτος οὐδὲ βουλεύεσθαι [8]) περὶ τούτου ἱκανός ἐστι. χρὴ οὖν ἐπιμελεῖσθαι μάλιστα φρονήσεως καὶ παιδείας, ἵνα ἡμῖν ᾖ ῥᾴδιον περὶ ἁπάντων πραγμάτων βουλεύεσθαι, καὶ εἰδέναι τὸ συνοῖσον ἑκάστῃ βουλῇ, καὶ μὴ διαμαρτάνειν. ἀλλὰ καθάπερ οἱ μουσικοὶ καὶ οἱ γεωμέτραι καὶ οἱ κυβερνῆται περὶ τῶν ἰδίων ἔργων ἀτεχνῶς σκέπτονται, καὶ ἅπαντες οἱ περί τι δεινοί, καὶ συνεῖναι περὶ αὐτῶν εἰσιν [9])· οὕτω καὶ ἡμεῖς περὶ τῶν ἰδίων ἱκανοὶ ὦμεν βουλεύεσθαι καὶ λέγειν. ἄτοπον γάρ, τοὺς μὲν ἀρτιάζοντας σύνεσιν ἐπιδείκνυσθαι, καὶ ταῦτα εἰκάζοντας καὶ μὴ ὁρῶντας τό, περὶ οὗ ἀποφαίνονται· τοὺς δὲ περὶ πραγμάτων βουλευομένους, μήτε ξύνεσιν, μήτε ἐπιστήμην, μήτε ἐμπειρίαν ἐπιδείκνυσθαι, καὶ τούτων ἐνίοτε τῶν μεγίστων ὄντων· περὶ ὁμονοίας καὶ φιλίας οἰκιῶν, καὶ πόλεων, καὶ περὶ εἰρήνης καὶ πολέμου, καὶ περὶ κατοικισμοῦ καὶ περὶ κατοικήσεως [10]), περί τε παίδων, καὶ περὶ γυναικῶν.

8) margo Mor. dat βουλεύσασθαι.
9) f. καὶ συνιέναι περὶ αὐτῶν ἱκανοί εἰσιν.
10) περὶ κατοικισμοῦ καὶ περὶ κατοικήσεως] ſi bene habet hic locus, neque poſterius membrum prioris eſt varians lectio, debent haec duo vocabula κατοικισμὸς et κατοίκησις ita accipi, vt accepit interpres, illud *de coloniarum deductione*, hoc *de iure coloniarum*.

ΔΙΑ-

ΔΙΑΤΡΙΒΗ ΠΕΡΙ ΤΩΝ ΕΝ ΣΥΜΠΟΣΙΩ.

ΛΟΓΟΣ ΚΖ'.

Οἱ ἄνθρωποι γίνονται καταφανεῖς, ὁποίαν ἔχουσι διάνοιαν ἕκαστος, ἐν ταῖς πανηγύρεσιν οὐχ ἧττον, ἢ ἐν τοῖς συμποσίοις· πλὴν ὅτι ποικιλώτερα [1]) τὰ τῶν πανηγύρεων καὶ χρόνου πλείονος. οὐκοῦν εἰς τὰ συμπόσια δήπου οἱ μέν τινες ἀφικνοῦνται, τοῦ πιεῖν ἕνεκεν, καὶ οὐδὲν ἄλλο πράττουσιν· ὥσπερ οἱ διψῶντες τῶν ὁδοιπόρων, ἐπειδὰν [2]) ἔλθωσιν ἐπὶ κρήνην τινὰ, πίνουσιν ἐπικύψαντες. ἀλλὰ ἐκεῖνοι μὲν ἐμπλησθέντες, καὶ τὸ δίψος ἀποσβέσαντες, ἡσυχῇ ἀπαλλάττονται, οὔτε κράξαντες, οὔτε τι εἰπόντες ἄτοπον· οἱ δὲ πολλὰ καὶ δυσχερῆ ἐνίοτε καὶ λέγουσι καὶ δρῶσιν. οὐ γὰρ ὁμοίως ἀποδέχονται τοὺς δεομένους αὐτῶν, αἵ τε Νύμφαι καὶ ὁ Διόνυσος· ἀλλὰ ἅτε διθύραμβος ὢν ὁ Διόνυσος, καὶ ὑπὸ κεραυνοῦ καὶ βροντῆς [3]) γενόμενος, ὥς φασιν οἱ ποιηταὶ, τοὺς ἀμαθέστερον χρωμένους ἀτεχνῶς πυρὸς πίμπλησι [4]), καὶ τῷ ὄντι πολλοὺς αὐτῶν ἐμβροντήτους ἐποίησεν. οὗτοι μὲν οὖν σχεδόν τι μαινόμενοι, πολλὰ καὶ δρῶσιν [5]), ὥσπερ Ὅμηρός φησι τὸν Κένταυρον μεθυσθέντα ἐν τῇ τοῦ Πειριθόου οἰκίᾳ κακὰ ἐργάσασθαι. καὶ ἄλλοι δὲ φύσει ἀδολέσχαι, οἷον ἀκροατῶν τινων, λαβόμενοι τῶν συμποτῶν, ἀναισθήτους καὶ μακροὺς διατίθενται λόγους· οἱ δὲ ᾄδουσι καὶ

1) Ven. et Mor. dant ποικιλώτερον.
2) ἐπειδὰν] sic recte Ven. ἐπειδὴ Mor.
3) ὑπὸ κεραυνῷ καὶ βροντῇ vult Hemsterhusius ad Luciani T. I. p. 355.
4) malim ἐμπίμπλησι.
5) f. πολλὰ καὶ λέγουσι καὶ δρῶσι. v. supra vers. 11. vnde etiam repeti possit πολλὰ καὶ δυσχερῆ δρῶσιν. v. Casaubon. ad h. l.

καὶ ἀπᾴδουσι 6), σφόδρα ἄμουσοι ὄντες, καὶ σχεδόν τι μᾶλλον λυποῦσι τῶν μαχομένων καὶ λοιδορουμένων. ἕτεροι δὲ αὐστηροὶ καὶ σώφρονες εἶναι λέγοντες, ἀποκναίουσιν ἀηδίᾳ, μήτε ποτοῦ τὸ μέτρον 7), μήτε λαλιᾶς κοινωνεῖν ἀξιοῦντες. ὃς δ' ἂν ᾖ πρᾶος ἀνὴρ, καὶ τὸν τρόπον ἱκανῶς ἡρμοσμένος, τῶν τε ἄλλων ῥᾳδίως ὑπομένει τὴν δυσκολίαν, καὶ αὐτὸς 8), ὡς οἷόν τε, ἀμαθῆ χορὸν εἰς τὸ δέον καθιστὰς, ῥυθμῷ τε καὶ μέλει τῷ προσήκοντι, τούς τε οἰκείους λόγους εἰσφέρων, καὶ δεξιότητι καὶ πειθοῖ προσαγόμενος τοὺς παρόντας, ὥστε ἐμμελέστερον καὶ φιλικώτερον ξυνεῖναι ἀλλήλοις. τὰ μὲν δὴ τῶν συμποσίων τοιαῦτα· ἀφικνοῦνται δὲ καὶ πρὸς τὰς πανηγύρεις, οἱ μὲν ἱστορίας ἕνεκεν τῶν τε ἄλλων θεαμάτων καὶ τῶν ἀγώνων. καὶ τούτων ὅσοι σφόδρα ἐσπουδακότες εἰς τὸ πρᾶγμα 9), διατελοῦσιν οὐδὲν ἄλλο πράττοντες ἐξ ἑωθινοῦ· πολλοὶ δὲ ὤνια κομίζοντες παντοδαπὰ, ἀγοραῖος ὄχλος· οἱ δέ τινες ἑαυτῶν ἐπιδειξόμενοι τέχνας καὶ δημιουργίας· ἄλλοι δὲ σοφίαν αὐτῶν τινὰ ἐκφαίνοντες 10), πολλοὶ μὲν ποιήματα ἐπιδεικνύντες τραγῳδίας τε καὶ ἐπῶν, πολλοὶ δὲ καταλογάδην συγγράμματα, τὸν σχολῆς ἕνεκεν ἥκοντα καὶ ῥᾳθυμεῖν βουλόμενον ἐνοχλοῦντες· οὗτοι δὲ μάλιστα

ἐοίκασι

6) malim ἀντᾴδουσι. aliis cantantibus ipsi occentant, certant cantando.

7) τὸ μέτρον hic est aduerbiale, neque cum ποτοῦ cohaeret, id quod e κοινωνεῖν aptum est; sed per se stat, idemque valet, atque ἐν τῷ μέτρῳ, vel ὅσον τὸ μέτρον ἐστὶν, vel ὅσον εἰς τὸ μέτρον ἔρχεται. Vt τὸ μέρος aduerbiascit, *pro parte sua virili*, ita τὸ μέτρον quoque, *pro mensura cuiusque sua rata et conueniente.*

8) post αὐτὸς deest εὐσχημονεῖ, vel tale quid; pendent enim et natant illa participia καθιστὰς, εἰσφέρων, προσαγόμενος.

9) πρᾶγμα] subaudi εἰσί.

10) malim ἐκφανοῦντες, scil. ἀφικνοῦνται e verf. 13.

ἐοίκασι τοῖς μινυρίζουσι καὶ ᾄδουσιν ἐν τοῖς συμποσίοις, ὧν ἐξ ἀνάγκης ἀκούειν ἐστὶ, κἂν μὴ θέλῃ τις. ἐν τούτοις, ὁ δυνάμενος λόγους εἰπεῖν ὠφελίμους καὶ συμφέροντας, καὶ τὴν ὅλην σύνοδον εὐσχημονεστέραν καὶ ἀμείνω παρασχεῖν, οὗτος ὑπὸ 11) τῆς ταραχῆς καὶ τοῦ πλήθους τῶν ἄλλων ἡσυχίαν ἄγει, καὶ τρέπεται καθ' αὑτόν. πεπόνθασι γὰρ δὴ οἱ πολλοὶ πρὸς τοὺς ἐκ φιλοσοφίας λόγους, ὥσπερ, οἶμαι, πρὸς τὰ τῶν ἰατρῶν φάρμακα. οὔτε γάρ τις ἐκείνοις εὐθὺς πρόσεισιν, οὐδὲ ὠνεῖται, πρὶν ἢ περιπεσεῖν φανερῷ νοσήματι καὶ ἀλγῆσαί τι τοῦ σώματος· οὔτε τῶν τοιούτων λόγων ἀκούειν ἐθέλουσιν ὡς τοπολὺ, ὅτῳ ἂν μὴ λυπηρόν τι ξυνενεχθῇ, καὶ τῶν δοκούντων χαλεπῶν. αὐτίκα 12), τὸν εὐτυχοῦντα, (ὁποίαν τινὰ φασὶν οἱ πολλοὶ τὴν εὐτυχίαν, οἷον χρήματα ἐκ δανείων τὰ πολλὰ 13), ἢ χώραν ἱκανὴν κεκτημένον, καὶ αὐτὸν ὑγιαίνοντα, καὶ τέκνων σωζομένων, καὶ γυναικὸς, καί τινα δύναμιν καὶ ἀρχὴν ἔχοντα μεγάλην, ἄνευ πολέμου καὶ στάσεως, καί τινων φανερῶν κινδύνων,) οὐκ ἂν εὕροι τις ῥᾳδίως προσιόντα τοῖς τοιούτοις, οὐδὲ ἀξιοῦντα κοινωνεῖν τῶν ἐκ φιλοσοφίας λόγων. εἰ δέ τῳ συμβῇ πταῖσμα κατὰ τὸν βίον, ἤτοι πένης ἐκ πλουσίων 14) γένοιτο, ἢ ἀσθενὴς καὶ ἀδύνατος ἐκ δυναμένου, ἢ ἄλλην τινὰ ἔχων λύπην· οὗτοι δὲ οἰκειότερόν πως διατίθενται πρὸς τὸ πρᾶγμα, καὶ τρόπον τινὰ ὑπομένουσι τοὺς τῶν φιλοσόφων λόγους, καί πως φασὶ δεῖσθαι παραμυθίας. κἂν ἀπολέσας τύχῃ τινὰς τῶν οἰκείων, ἢ γυναῖκα, ἢ παῖδα, ἢ ἀδελφὸν, ἀξιοῦσιν ἀφικνεῖσθαι

11) ὑπὸ bene habet. *cogitur a tumultu tacere.*
12) αὐτίκα] exempli causa.
13) ἐκ δανείων τὰ πολλὰ bene habet, *facultates habentem ingentes, quarum plurima pars vsuris coaluit*, non patrimonio, non haereditatibus. margo Mor. dat ἐκδανείοντα.
14) f. ἐκ πλουσίου. vt statim ἐκ δυναμένου.

σθαι τὸν φιλόσοφον καὶ παρηγορεῖν· ὥστε τὸ δέον [15] σκοπεῖν, ὅπως μετρίως φέρῃ τις τὰ γιγνόμενα, καὶ δυνήσονται ἀντέχειν τοῖς λοιποῖς [16]· πρότερον δὲ οὔ. ὡς γὰρ [17] καὶ περὶ τὸ σῶμα ἔχουσι σχεδὸν οἱ ἀνόητοι· τὸν μὲν ἄλλον χρόνον οὐδὲν αὐτοῖς μέλει, ὅπως δύνωνται ὑγιαίνειν. ἐὰν ἄρα [18] τις καταλαμβάνῃ κόπος [19] καὶ περὶ τὰς τοῦ ἀέρος μεταβολάς, ἀλλὰ [20] σιτίοις τε καὶ οἴνῳ καὶ ἀφροδισίοις καὶ τῇ ἄλλῃ διαίτῃ, ὡς οἷόν τε ἀκολάστως καὶ ἀδεῶς, χρῶνται, καὶ θεραπεύειν [21] σφᾶς κελεύουσι μεστοὶ ὄντες ἀταξίας πολλῆς καὶ νοσημάτων ἰσχυρῶν, οἵων εἰκὸς τοὺς τοιούτους καταλαμβάνειν, ὅπως δὲ μηθὲν ἰατροῦ δεήσονται, τοῦτο [22] τὴν ἀρχὴν οὐ σκοποῦσιν.

15) malim ὡς τότε δέον. *quasi vero tum demum oporteat circumspicere.*

16) τοῖς λοιποῖς] malim ταῖς λύπαις, aut τοῖς λυπηροῖς. *resistere moeroribus, aut sustinere molestias.*

17) γὰρ ex hoc versu in proxime sequentem deducendum est, vt sit: ὡς καὶ περὶ τὸ σῶμα — τὸν μὲν γὰρ ἄλλον χρόνον.

18) ἐὰν δ' ἄρα] sic Casaubonus. Ven. et Mor. omittunt δ'.

19) κόπος] in Veneta est κόσος, vbi vir doctus adscripsit νόσος. possit quoque de καῦσος cogitari. Sed καὶ aut plane delendum est, aut deest v. c. πυρετός, vel δυσκρασία, vel ῥῖγος, vel tale quid.

20) ἀλλὰ] acute vidit Casaubonus hanc dictionem totam ἀλλὰ σιτίοις ad χρῶνται transponendam esse, et collocandam pone ὑγιαίνειν vers. 6.

21) ante καὶ θεραπεύειν deest προσίασι πρὸς τὸν ἰατρὸν, vel similis sententia, quod etiam Casaubonus iam obseruauit.

22) τοῦτο] sic margo Mor. sed t. Mor. et Ven. dant τῶν.

ΜΕΛΑΓ-

ΜΕΛΑΓΚΟΜΑΣ ΠΡΩΤΟΣ, ΤΗ ΤΑΞΕΙ Β [1].

ΛΟΓΟΣ ΚΗ.

Ἀναβάντες ἀπὸ τοῦ λιμένος, εὐθὺς ἐβαδίζομεν, ὀψόμενοι τοὺς ἀθλητὰς, ὡς ἂν τὴν ὅλην ἐπιδημίαν πεποιημένοι κατὰ θέαν τοῦ ἀγῶνος. ἐπεὶ δὲ πρὸς τῷ γυμνασίῳ ἦμεν, τοὺς μέν τινας ἑωρῶμεν ἐν τῷ δρόμῳ ἔξω τρέχοντας, καὶ κραυγὴ τῶν παρακελευομένων ἦν· τοὺς δὲ καὶ ἄλλως γυμναζομένους. τούτοις μὲν οὖν οὐκ ἐδόκει προσέχειν· ὅπου δὲ πλεῖστον ὄχλον ἴδοιμεν, ἐκεῖ ἐβαδίζομεν. ὁρῶμεν οὖν πάνυ πολλοὺς ἑστηκότας πρὸς τῇ ἐξέδρᾳ τοῦ Ἡρακλέους, καὶ ἑτέρους ἀεὶ προσάγοντας, τοὺς δὲ καὶ ἀπιόντας διὰ τὸ μὴ δύνασθαι ἰδεῖν. τὸ μὲν οὖν πρῶτον ἐπειρώμεθα ὁρᾶν, ὑπερκύπτοντες, καὶ μόλις ἑωρῶμεν τοῦ γυμναζομένου τὴν κεφαλὴν καὶ τὰς χεῖρας ἀνατετακότος. ἔπειτα κατὰ μικρὸν ἐνδοτέρω ἐγενόμεθα. ἦν οὖν νεανίσκος, πάνυ μέγας καὶ καλός. ἔτι δὲ, ὡς εἰκὸς, μεῖζον αὐτοῦ καὶ κάλλιον ὑπὸ τῆς γυμνασίας τὸ σῶμα ἐφαίνετο. πάνυ δὲ λαμπρῶς ἐγυμνάζετο καὶ μετὰ φρονήματος, ὥστε ἀγωνιζομένῳ μᾶλλον ἐῴκει. ἐπεὶ δὲ ἐπαύσατο γυμναζόμενος, καὶ τὸ πλῆθος ἀνεχώρει, κατενοοῦμεν αὐτὸν ἐπιμελέστερον. ἦν δὲ ὅμοιος τοῖς ἀνδριᾶσι τοῖς ἀκριβῶς εἰργασμένοις. εἶχε δὲ καὶ τὸ χρῶμα ὅμοιον χαλκῷ κεκραμένῳ [2]. ἐπεὶ δὲ ἀπηλλάγη, τῶν παρόντων τινὰ ἠρόμε-

1) Cur haec oratio duarum Melancomam praedicantium prima in titulo dicatur *ordine secunda*, et huic postposita, *ordine prima*, causae nil video. de pugile hoc v. Themist. p. 139. ed. Harduini.

2) χαλκῷ κεκραμένῳ] aeri Corinthio, auro mixto, cui aeri similis est color cutis humanae, quae ab exercitationis contentione atque calore irrubuit.

ἠρόμεθα πρεσβύτην, ὅστις εἴη· καὶ ὃς σκυθρωπάσας, οὗτος μέντοι Ἰατροκλῆς, ὁ τοῦ Μελαγκόμα ἀνταγωνιστής· καὶ μόνος ἐκείνῳ οὐκ ἀξιῶν παραχωρεῖν, τὸ γοῦν ἐφ᾽ ἑαυτῷ. οὐδὲν μέντοι πλέον ἐποίει. ἡττᾶτο γὰρ ἀεὶ ἐνίοτε δι᾽ ὅλης τῆς ἡμέρας ἀγωνισάμενος ἤδη μέντοι ἀπειρήκει, ὥστε τὸν τελευταῖον 3) τοῦτον ἀγῶνα τὸν ἐν τῇ Νεαπόλει, οὐδένα ταχύτερον τούτου ἐνίκησεν ἀλλὰ νῦν ὁρᾶτε, ὅσον φρονεῖ, καὶ ἐν ὅσῳ πλήθει γυμνάζεται. οἶμαι δὲ ἔγωγε καὶ ἐπιχαίρειν αὐτὸν 4) ἐκείνῳ. καὶ εἰκὸς μέντοι. οὐ γὰρ μόνον τοῦτον τὸν στέφανον 5), ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἐπίσταται αὐτοῦ ὄντας. ἦ γάρ, ἔφην, τέθνηκεν ὁ Μελαγκόμας; ἐπεὶ τό γε ὄνομα καὶ ἡμεῖς ᾔδειμεν, αὐτὸν οὐδεπώποτε ἰδόντες. οὐ πρὸ πολλοῦ, εἶπεν· ἀλλὰ τρίτη που ἡμέρα ἐστὶν ἀπὸ τῆς ταφῆς. τίνι δέ, εἶπον, τούτου διέφερε, καὶ τῶν ἄλλων δέ, πότερον μεγέθει, ἢ εὐψυχίᾳ; ἐκεῖνος, ἔφη, ὦ βέλτιστε, πάντων ἀνθρώπων, οὐχὶ τῶν ἀνταγωνιστῶν μόνον εὐψυχότατος καὶ μέγιστος ἔφυ, ἔτι δὲ κάλλιστος.

3) ὥστε τὸν τελευταῖον] poſſit ſanum videri, et accipi pro ὥστε κατὰ τὸν τελ. vt Caſaubonus legi volebat. *adeo vt in nouiſſimo illo Neapolitano certamine Melancomas neminem citius vinceret, quam hunc ipſum Iatroclem.* malim tamen aut κατὰ aut παρὰ addi, non modo ſubaudiri.

4) αὐτὸν] Iatroclem. ἐκείνῳ], Melancomae.

5) τοῦτον τὸν στέφανον] non intelligo. non enim video, quam coronam Iatrocles poſt Melancomae mortem, triduo ante defuncti, abſtuliſſet; quo Melancoma ſuperſtite nullam potuerat Iatrocles coronam auferre. Tunc enim, cum Dio eum exercentem ſpectaret, non certabat (ἠγωνίζετο) Iatrocles, ſed ſolummodo exercebat ἐγυμνάζετο, eoque coronam nullam merebat. Inſequentia καὶ τοὺς ἄλλους πάντας plana ſunt. agnoſcit Iatrocles, quas deinceps meriturus ſit coronas, eas ſe omnes vni Melancomae debere, qui omnes eas, ſi ſuperuixiſſet, fuiſſet erepturus; iam vero morte liberam Iatrocli palaeſtram feciſſet.

λιστος. καὶ εἴγε ἰδιώτης ἔμεινε, καὶ μηδὲν ὅλως ἔπραξε, δι' αὐτό που τὸ κάλλος περιβόητος ἂν ἦν· ἐπεὶ καὶ νῦν 6) ἐπέστρεφεν ἅπαντας, ὁπότε ἀπίοι που· καὶ τοὺς οὐκ εἰδότας, ὅστις ἐστί. καίτοι οὔτε ἐσθῆτι ἐκόσμει ἑαυτὸν, οὔτε ἄλλῳ τῳ γιγνώσκεσθαι μᾶλλον ἐπετήδευεν, ἢ λανθάνειν· ἀποδυσαμένου δ' οὐκ ἔστιν ὅστις ἄλλον ἐθεᾶτο, πολλῶν μὲν παίδων, πολλῶν δὲ ἀνδρῶν γυμναζομένων. εἰωθότος δὲ τοῦ κάλλους εἰς τρυφὴν ἄγειν, καὶ τοὺς μετρίως αὐτοῦ μετειληφότας· τοιοῦτος ὢν τὸ εἶδος, ἔτι σωφρονέστερος ἦν, καὶ καταφρονῶν δὲ τοῦ κάλλους, οὐδὲν ἧττον ἐφύλαττεν αὐτὸ, ἐν οὕτω χαλεπῷ ἐπιτηδεύματι. πυγμὴν γοῦν ἀγωνιζόμενος οὕτως ὑγιὴς ἦν, ὥσπερ τῶν δρομέων τις. οὕτω δὲ σφόδρα ἐγεγύμναστο, καὶ τοσοῦτο περιῆν τοῖς πόνοις, ὥστε δυνατὸς ἦν, καὶ δύο ἡμέρας ἑξῆς μένειν ἀνατετακὼς τὰς χεῖρας, καὶ οὐκ ἂν εἶδεν οὐδεὶς ὑφέντα αὐτὸν, ἢ ἀναπαυσάμενον, ὥσπερ εἰώθασι. πρότερον δὲ ἠνάγκαζε τοὺς ἀνταγωνιστὰς ἀπειπεῖν, οὐ μόνον πρὶν αὐτὸς πληγῆναι, ἀλλὰ καὶ πρὶν πλῆξαι ἐκείνους. οὐ γὰρ τὸ παίειν καὶ τὸ τιτρώσκεσθαι, ἀνδρείαν ἐνόμιζεν, ἀλλὰ τοῦτο μὲν εἶναι μὴ δυναμένων πονεῖν καὶ ἀπηλλάχθαι βουλομένων. τὸ δὲ ἀνέχεσθαι τοῦ χρόνου, καὶ μήτε τοῦ βάρους τῶν χειρῶν ἡττᾶσθαι, μήτε τοῦ πνεύματος ἐνδεᾶ γίγνεσθαι, μήτε τῷ καύματι ἄχθεσθαι, τὸ δὲ εἶναι 7) γενναῖον. ὀρθῶς μέντοι, ἔφην, ὑπολαμβάνων. καὶ γὰρ ἐν τῷ πολέμῳ οἱ φαυλότατοι τὰ ὅπλα ῥίπτουσιν, οὐκ εἰδό-

6) καὶ νῦν] pro καὶ τότε *etiam tum* — *quum* (sequitur enim ὁπότε, quod in Var. lect. Ven. est, vel ὅτε, quod in texto Venetae) vel pro καὶ, οὕτως *vel sic quoque*, etiamsi non exercerer, neque certaret, sed solummodo quoquo itaret. In marg. Mor. est ἀνήρ, pro ἂν ἦν.

7) Casaubonus vult τόδε εἶναι. de τόδε non repugno. sed et δὲ seruandum est, et aut τόδε δὲ, aut τοῦτο δὲ εἶναι leg. scil. ἐνόμιζεν aut ᾤετο. v. vers. 21.

εἰδότες 8), ὅτι γυμνοὶ μᾶλλον ἂν τιτρώσκοιντο· καὶ οὕτω μᾶλλον ἡττῶνται τοῦ κόπου, ἢ τῶν τραυμάτων. τοιγάρτοι, εἶπεν, ἀφ' οὗπερ ἤρξατο ἀγωνίζεσθαι Πυθοῖ, πρῶτος μὲν, ὧν ἴσμεν ἀνίκητος 9) διεγένετο, πλείστους καὶ μεγίστους στεφάνους ἀνελόμενος, καὶ ἀνταγωνισταῖς οὔτε φαύλοις, οὔτε ὀλίγοις χρησάμενος· καὶ τὸν πατέρα 10) ἐνδοξότερον 11) ὄντα, τὸν Μελαγκόμαν ἐκεῖνον τὸν ἀπὸ τῆς Καρίας, ἄλλους τε ἀγῶνας καὶ Ὀλυμπιάσι νενικηκότα, οὐδέπω ἀνὴρ ὑπερεβάλλετο. οὐ γὰρ ἐκεῖνος ἄλειπτος. τοιοῦτος μέντοι ὢν, ἀθλίως ἐτελεύτησε, τῶν μὲν πόνων τῆς ἀθλήσεως ἐπὶ πλεῖστον ἐλθών· τῶν δὲ ἐν τῷ βίῳ τερπνῶν οὐδενὸς πειραθείς. οὕτω δὲ σφόδρα φιλότιμος ὑπῆρχεν, ὥστε καὶ, ὅτε ἀπέθνησκεν, Ἀθηνοδώρου τοῦ Παγκρατιαστοῦ, φίλου ὄντος ἀπὸ παιδὸς, ἐπυνθάνετο, πόσαι τινὲς εἶεν ἡμέραι λοιπαὶ τοῦ ἀγῶνος, καὶ ταῦθ' ἅμα λέγων, ἐδάκρυσεν ὁ πρεσβύτης. ἀλλὰ σοὶ μὲν, ἔφην, συγγνώμη ὑπερλυπουμένῳ, διὰ τὸ πάντως προσήκειν τί σοι αὐτοῦ. μὰ τοὺς θεοὺς, εἶπεν, οὐδὲν ἔμοιγε. οὔτε γὰρ ἀπὸ γένους μοι ἦν, οὔτε ἐγύμναζον αὐτόν· ἀλλὰ τῶν παίδων τινὰ τῶν παγκρατιαστῶν. ὁ δὲ ἄνθρωπος τοιοῦτος ἦν, ὥστε πάντας ἐπ' αὐτῷ λυπεῖσθαι τοὺς ἐπισταμένους ἐκεῖνον. οὐκοῦν, ἔφην, ἄθλιον δεῖ καλεῖν αὐτόν· τοὐναντίον γὰρ, εὐδαιμονέστατος ἂν εἴη, καὶ μακα-

8) οὐκ del. est. *tametsi bene sciant.*

9) ἀνίκητος] duplicem Casaubonus emendationem proponit, vtramque egregiam, et tanto dignam ingenio: ἀήττητος, aut ἄλειπτος. poterat nil excogitari exquisitius atque conuenientius. videtur tamen ad literarum vestigia propius accedere ἀνίκητος, quod cum illis idem est ad sententiam. ἄνιππος Ven. et Mor.

10) post καὶ τὸν πατέρα addendum est δὲ aut δ', aut alias delendum μὲν vers. 4.

11) malim ἐνδοξότατον.

μακαριώτατος, εἴπερ οἷος λέγεται ἦν, ᾧ καὶ γένους ὑπῆρξε λαμπροῦ τυχεῖν καὶ κάλλους, ἔτι δὲ ἀνδρείας, καὶ ἰσχύος καὶ σωφροσύνης, ἃ δὴ μέγιστα τῶν ἀγαθῶν ἐστι· τό γε μὴν θαυμαστότατον ἐν ἀνθρώποις ἀήττητον γενέσθαι, οὐ μόνον τῶν ἀνταγωνιστῶν, ἀλλὰ καὶ πόνου καὶ καύματος καὶ γαστρὸς καὶ ἀφροδισίων· δεῖ γὰρ πρῶτον τούτοις ἀήττητον εἶναι, τὸν μέλλοντα ὑπὸ μηδενὸς τῶν ἀνταγωνιστῶν λειφθήσεσθαι [12]). ἡδονὰς δὲ τίς μείζονας ἥσθη, ἢ ὅστις [13]), φιλοτιμότατος ὤν, ἀεὶ ἐνίκα, καὶ θαυμαζόμενος ᾐσθάνετο; καί μοι δοκοῦσι σφόδρα αὐτὸν ἀγαπῆσαι οἱ θεοί, καὶ μάλιστα τῇ τελευτῇ τιμῆσαι, ὡς ἂν μηδενὸς πειρασθείη [14]) τῶν χαλεπῶν. ἀνάγκη γὰρ αὐτῷ ἦν πρεσβαίνοντι, ἀντὶ μὲν καλλίστου, αἰσχροτέρῳ γενέσθαι· ἀντὶ δὲ ἰσχυροτάτου ἀσθενεστέρῳ· ἴσως δὲ καὶ λειφθῆναί [15]) που. ὅστις δὲ τοῖς μεγίστοις ἀγαθοῖς συναπέρχεται, ἄριστα πράξας, οὗτος εὐδαιμονέστατα τελευτᾷ. εὕροι δ᾽ ἂν τις καὶ τῶν παλαιῶν τοὺς θεοφιλεῖς, ὠκυμόρους. τίνας, ἔφη, τούτους λέγεις. τὸν Ἀχιλλέα, εἶπον, καὶ Πάτροκλον, καὶ Ἕκτορα, καὶ Μέμνονα, καὶ Σαρπηδόνα.

12) λειφθήσεσθαι] sic recte Casaubonus. ληφθήσ. Ven. et Mor.

13) Casaub. vult *μείζονας ᾔσθετο; ὅστις.* vix puto eum sic dedisse. nam sententia bona ex iis nulla exsistit. vir tamen doctus in margine Venetae meae paene ad eundem modum correctum ierat, tametsi aliquando melius: *ἥσθετο ἢ ὅς.* sine dubio voluerunt illi *ἥδετο*, non ab *αἰσθάνομαι*, sed ab *ἥδομαι*. ego tamen malim sic legi: *μείζονας ἥσθη*, in aor. 1. pass. ind. aut *ἡσθῇ* in coniunct. aut *ἡσθείη* (in optatiuo) *ἢ ὅστις* *ecquis maiora gaudia percipiat, quam qui* — Ven. et Mor. dant *μείζονας ἢ ἔσθ᾽ ὅστις.*

14) *πειραθείη* sine sigmate est vsitatius.

15) λειφθῆναι] sic recte Casaubonus. ληφθ. Ven. et Mor. pro *που* malim *του*, *vllius alicuius*, quisquis is esset.

ἔτι δὲ καὶ ἄλλους ὀνομάζοντος ἐμοῦ· ταῦτα μὲν, ἔφη, καλῶς εἶπες, εἰς παραμυθίαν ἀνθρώπων, καὶ ἔγωγε ἐβουλόμην σου ἔτι ἀκούειν· ἀλλὰ γὰρ ὥρα γυμνάζειν τὸν παῖδα, καὶ ἀπέρχομαι.

ΜΕΛΑΓΚΟΜΑΣ, ΔΕΥΤΕΡΑΣ, ΤΗ ΤΑΞΕΙ Α.

ΛΟΓΟΣ ΚΘʹ.[1])

Ἀλλ' ἐμοὶ μὲν, ὦ ἄνδρες, οὐδ' ὅτι εἴπω ἔπεισιν, ὑπὸ λύπης ἅμα καὶ ἐκπλήξεως τοῦ αἰφνιδίου πάθους. οὐ γὰρ μόνον διὰ τὴν ἀρχὴν, ἣν ἔχω, μᾶλλον ἑτέρου μοι τῶν πολιτῶν οἰκεῖον τὸ συμβεβηκὸς, ἀλλὰ καὶ ἰδίᾳ μοι φίλος ἦν Μελαγκόμας ὑπὲρ ἅπαντας, ὥσπερ καὶ ὑμῶν ἐπίστανται οἱ πλείους. καὶ ἔμοιγε ἄτοπον ἐφαίνετο τὸ ἐπὶ τοῖς τεθνεῶσιν ἔθος· ὅτι τοῖς ἥκιστα λυπουμένοις μάλιστα προσήκειν δοκεῖ τὸ ἐπ' αὐτοῖς λέγειν. οἱ γὰρ σφοδρότατα ἀνιώμενοι, ἀδύνατοι λέγειν ὑπ' αὐτοῦ τούτου εἰσίν. ἔτι δὲ καὶ ἡλικίας ἐν τούτῳ εἰμὶ, ἐν ᾧ ἡ μὲν τοῦ λόγου δύναμις ἧττον ἅπασιν ὑπάρχει· τὸ δὲ χαίρειν καὶ τὸ λυπεῖσθαι ἰσχυρότατον γίγνεται [2]). ἀλλ' ἐπειδὴ τιμιώτερος μὲν στρατηγοῦ ἔπαινος ἐπὶ [3]) στρατιώτῃ ἀγαθῷ τελευτήσαντι· τιμιώτερος δὲ παντὸς ἄρχοντος, ἢ ἰδιώτου [4]),

κἀμοὶ

1) Haec oratio est superioris copiosior expositio, vel amplificatio.
2) γίγνεται] sic recte Ven. γίγνεσθαι Mor.
3) malim ἔπαινός ἐστι στρατιώτῃ.
4) malim τιμιώτερος δ' ἔπαινος ἄρχοντος, ἢ ἰδιώτου, scil. ἐστὶ πολίτῃ τελευτήσαντι.

κἀμοὶ λεκτέον τῆς ἀρχῆς ἕνεκεν, ὡς ἂν δύνωμαι. πρέποι δ' ἂν τῇ ἐκείνου ἀρετῇ καὶ τῇ ἐμῇ νεότητι, μηδὲν ἄκρον [5]) ἀπαιτεῖν, μηδὲ ἀκριβῆ μᾶλλον, ἢ γενναῖον τὸν ἔπαινον. πρῶτον μὲν οὖν εὐγενείας ἀληθοῦς ἔτυχεν. οὐ γὰρ εἴ τῳ πλουσίων τυχεῖν συνέβη προγόνων, οὐ μὴν οὐδ' εἰ βασιλέων, τὰ δὲ ἄλλα φαύλων, οὐδὲ ἂν εἴη καλῶς γεγονώς· ἀλλ' οἱ φύντες ἐξ ἀγαθῶν, ὥσπερ ὅδε. ὁ γὰρ πατὴρ αὐτοῦ τῶν κατ' αὐτὸν διήνεγκε τοῖς καλλίστοις, εὐψυχίᾳ καὶ ῥώμῃ, δηλοῦσι δὲ αἱ νῖκαι, ἃς ἐνίκησε, καὶ Ὀλυμπιάσι, καὶ ἐν τοῖς ἄλλοις ἀγῶσιν. αὐτὸς δὲ ἔφυ κάλλιστος ἀνθρώπων, οὐ τῶν νῦν μόνον, ἀλλ', ὡς ἔνεστιν εἰκάζειν ἐκ τῆς ὑπερβολῆς, καὶ ἁπάντων ἁπλῶς τῶν ἐξ ἅπαντος τοῦ χρόνου ὠνομασμένων ἐπὶ κάλλει, ὅσοι θνητοὶ ἐγένοντο. οἱ μὲν γὰρ ἄλλοι τῶν νενομισμένων καλῶν, μέρη τινὰ τοῦ σώματος εὐπρεπῆ ἔχοντες, ἔπειτα δὲ [6]) ἔδοξαν καλοί· τῆς ὄψεως ἀεὶ τὰ ἥδιστα βουλομένης ὁρᾶν, τῶν δὲ ἡττόνων ἀμελούσης. οἱ δέ τινες φύσει μὲν εὐειδοῦς σώματος οὐκ ἔτυχον, ὥρα [7]) δὲ αὐτοῖς ἐπῆλθεν, ἡττώμενοι δὲ ὑπὸ τῆς ὥρας οἱ ἐντυγχάνοντες, κάλλος αὐτὴν ὠνόμασαν, ἀνθούσης ἀεὶ τῆς ἀκμῆς ἐν ἅπασι, καὶ ζώοις καὶ φυτοῖς. τοιούτους μὲν οὖν μυρίους ἂν εὕροι τις, τοὺς αὐτούς, ὁτὲ μὲν καλοὺς δοκοῦντας, ὁτὲ δὲ αἰσχρούς, καὶ τοῖς [8]) μὲν σφόδρα ἀρέσκον-

5) In Veneta eſt μηδὲν μακρὸν; vnde efficiam μηδὲν ἄκρον. *conueniat et defuncti virtuti*, [hoc eſt pudori atque modeſtiae, animoque generoſo et excelſo] *meaeque iuuentuti, vos nihil exquiſitum et exaſciatum poſtulare, aut, vt illa nihil perfectum poſtulet, haec nil promittat.* Mor. dat μηδὲν μικρὸν.

6) δὲ malim abeſſe. ἔπειτα eſt *tamen, nihilo minus tamen.*

7) ὥρα videtur h. l. eſſe nitor, vigor, e pomis, floribus, corporibus, bene habitis et ſucci boni plenis eniteſcens. pro ἐπῆλθεν malim ἐπήνθει, *florebat ſuper illis, efflorescebat.*

8) καὶ τοῖς] ſic recte Ven. καὶ τὰς Mor.

ἀρέσκοντας, παρ' ἑτέροις δὲ οὐδενὸς λόγου τυγχάνοντας. ὁλόκληρον δὲ καὶ ἀληθινὸν κάλλος θαυμαστὸν 9), οὔπω ὑπῆρξεν 10) ὥσπερ τῷδε. ἐν ἅπαντι μὲν γὰρ τῷ σώματι ἐκέκτητο αὐτὸ, ἀεὶ δὲ ὁμοίως, καὶ πρὸ ἥβης, καὶ ὕστερον· καὶ οὐκ ἄν ποτε ἐπὶ τοσοῦτον τοῦ χρόνου προῆλθεν, οὐδὲ εἰ πάνυ μακροῦ 11) γήρως ἔτυχεν, ὥστε ἀμαυρῶσαι τὸ εἶδος. τεκμήριον δὲ τῆς ὑπερβολῆς. οὐ γὰρ ἐν ἰδιώταις ἐξεταζόμενος διέφερεν, οὐδὲ ὑπὸ ὀλίγων θεωρούμενος, ὑπὸ τούτων ἐθαυμάζετο· ἀλλὰ μὴν 12) ἀεὶ δήπου ἐν τοῖς ἁπάντων καλλίστοις, ἅμα τοῖς ἀθληταῖς ὤν. οἱ γὰρ μέγιστοι καὶ εὐειδέστατοι καὶ πλείστης ἐπιμελείας τῶν σωμάτων τυγχάνοντες, οἵδε 13) εἰσίν. ὡράθη δὲ μικροῦ δεῖν ὑπὸ πάντων ἀνθρώπων. οὔτε γὰρ πόλις οὐδεμία τῶν ἐνδόξων, οὔτε ἔθνος οὐδὲν, ἔνθα μὴ ἀφίκετο· καὶ παρὰ πᾶσιν ὁμοίως τὴν αὐτὴν εἶχε δόξαν, ὡς οὐδένα ἰδοῦσι καλλίονα. ὁ δὲ ὑπὸ πλείστων μὲν θαυμασθεὶς, ἐν δὲ τοῖς καλλίστοις μόνος 14) ἔχων τὴν ὑπὲρ τοῦ κάλλους φήμην, δῆλον, ὡς θείας τινὸς μορφῆς ἔτυχεν. ἐγὼ οὖν πρῶτον εὐδαιμονίζω τοῦ κάλλους αὐτὸν, ὃ δὴ τῶν ἀνθρωπίνων ἐστὶν ἀγαθῶν ἀριδηλότατον, καὶ ἥδιστον μὲν θεοῖς, ἥδιστον δὲ ἀνθρώποις, ἀλυπότατον 15) δὲ τῷ ἔχοντι καὶ ἐπιγνωσθῆναι ῥᾷστον. τὰ μὲν γὰρ ἄλλα ἀγαθὰ, κἂν

λάθοι

9) aut delendum est θαυμαστὸν, aut leg. καὶ εἰκότως θαυμαστὸν *meritoque suo admirabile.*

10) f. οὔπω τῳ [id est τινὶ] ὑπῆρξε. *nondum cuiquam adfuit.*

11) πάνυ μακροῦ] Ven. et Mor. dant πάντα μακροῦ.

12) f. ἀλλὰ γὰρ ἦν — *sed versabatur semper inter omnium hominum formosissimos, vt facile existimatu est, quippe qui cum athletis versaretur.*

13) οἵδε] *hi.* οἱ δὲ Mor. et Ven.

14) μόνος] sic recte Ven. μόνοις Mor.

15) ἀλυπότατον] sic codex regius. ἀλλ' ὑπότατον Ven. ἀλλ' ὑπέρτατον Mor.

λάθοι τινὶ προσόντα, καὶ ἀνδρεία καὶ φρόνησις, εἰ μὴ τύχοι ἔργου τινὸς ἀποδεικνύντος· τὸ δὲ κάλλος οὐχ οἷόν τε λανθάνειν. ἅμα γὰρ τῷ ἔχοντι φαίνεται· εἴποι δ' ἄν τις, ὅτι καὶ πρότερον. οὕτως 16) ὀξεῖαν αἴσθησιν αὐτοῦ παρέχει. εἰ δὲ τοῖς μὲν ἄλλοις ἀγαθοῖς οἱ πλεῖστοι φθονοῦσι καὶ δυσμενεῖς γίνονται· τὸ δὲ κάλλος τοὺς αἰσθανομένους αὐτοῦ φίλους ποιεῖται, καὶ οὐδένα ἐχθρὸν ἐᾷ γίγνεσθαι. εἰ 17) δέ τις φησὶ κάλλους με ποιεῖσθαι ἐγκώμια, ἀλλ' οὐχὶ τοῦ ἀνδρὸς, οὐκ ἂν ὀρθῶς αἰτιῷτο 18). αὐτίκα γὰρ ἔπαινος ἀνδρὸς ἂν λέγοιτο, ἐπειδὰν 19) τὴν ἀνδρείαν αὐτοῦ ἐπεξίωμεν. ὅπου μὲν γὰρ ἀμφίλογον 20) τὸ εἶναί τινα τοιοῦτον, τότε ἀποδεικνῦναι χρή· ὅπου δὲ γίγνεται, τὴν φύσιν ἐπαινεῖν τοῦ προσόντος ἀγαθοῦ τινί. ὁ γὰρ τοῦδε ἔπαινος ἅμα ἂν εἴη καὶ τοῦ ἔχοντος αὐτό. μάλιστα δ' ἄν τις θαυμάσειε Μελαγκόμαν, ὅτι μορφῇ τοιοῦτος ὤν, τῇ ἀνδρείᾳ διήνεγκεν. δοκεῖ γὰρ ἔμοιγε τῇ ψυχῇ φιλονεικῆσαι πρὸς τὸ σῶμα, καὶ σπουδάσαι, ὅπως ἂν διὰ ταύτην ἐνδοξότερος γένηται. γνοὺς οὖν τῶν πρὸς ἀνδρείαν ἔργων κάλλιστον ἅμα καὶ ἐπιπονώτατον τὴν ἄθλησιν, ἐπὶ ταύτην ἦλθε. τῶν μὲν γὰρ πολεμικῶν, ὅ, τε

καιρὸς

16) οὕτως] ſic recte Caſaub. *tam acrem et celerem.* ὅμως Ven. et Mor.

17) εἰ] l. ἔτι.

18) αἰτιῷτο] In Veneta eſt αἰτιᾶτο, et in Mor. αἰτιᾶται.

19) ἐπειδὰν] ſic recte Ven. ἐπειδὴ Mor.

20) Veneta vno dat vocabulo ἀναμφίλογον, quod damnat vir doctus in illius margine, et diuidi iubet, id quod fecit Mor. haud ſcio, quam recte. vniuerſe locum hunc ſatius eſt intactum praeterire, quem ſanare nequeam. ſententia quidem clara eſt, bene ab interprete expreſſa, quem ſi ſequeris, erit locus ita reformandus: ὅπου μὲν γὰρ ἀμφίλογον — ὅπου δὲ φανερὸν γίγνεται — ſed diſplicet hoc γίγνεται, non ſatis conueniens.

καιρὸς οὐκ ἦν, ἥ τε ἄσκησις ἐλαφροτέρα. φαίην δ' ἂν ἔγωγε; καὶ ταύτης ἥττονα εἶναι. μόνης γὰρ εὐψυχίας ἐπίδειξις ἐν τοῖς πολεμικοῖς, ἡ δὲ ἄθλησις ἅμα μὲν ἀνδρείαν, ἅμα δὲ εὐψυχίαν, ἅμα δὲ ἰσχὺν, ἅμα δὲ σωφροσύνην ἐμποιεῖ. καὶ τοίνυν τῆς ἀθλήσεως εἵλετο οὐ τὸ ῥᾷστον, ἀλλὰ τὸ χαλεπώτατον· πυγμὴν γὰρ ἤσκησε. χαλεπὸν μὲν οὖν καὶ τοῦ ἐλαχίστου ἔργου ἐπ' ἄκρον ἐλθεῖν, μήτοι γε ἐν τῷ μεγίστῳ καὶ δυσχερεστάτῳ πάντας ὑπερβαλέσθαι, ὥσπερ ὅδε. καὶ τὸ μὲν τοὺς στεφάνους αὐτοῦ καθ' ἕκαστον ἐπεξιέναι, καὶ τοὺς ἀγῶνας, ἐν οἷς ἐνίκησε, πρὸς εἰδότας ὑμᾶς, περιττόν· ἄλλως τε καὶ ἑτέρους ἂν εἴποι τις, τῶν αὐτῶν τυχόντας. ὃ δὲ μηδενὶ ὑπῆρξεν, ἐπίστασθε μὲν ὁμοίως· δι' αὐτὸ μέντοι τοῦτο ῥητέον [21]). τοῖς γὰρ μηδὲ εἰδόσιν [22]) οὐδὲ πιστεῦσαι ῥᾴδιον [23]), τοσούτοις ἀνταγωνισταῖς χρησάμενος, καὶ οὕτως ἀγαθοῖς, ὑπ' οὐδενὸς ἡττήθη· αὐτὸς δὲ ἀεὶ πάντας ἐνίκα. καίτοι οὔτε στρατηγὸν εὕροι τις ἂν, ἐν παντὶ τῷ χρόνῳ ἀήττητον, οὔτε ἀριστέα πολέμων, ὃς οὐκ ἤδη ποτὲ καὶ ἔφυγεν ἐκ μάχης. οὐδὲ γὰρ ὅτι ταχέως ἐτελεύτησε, διὰ τοῦτο φαίη τις ἂν αὐτὸν διαγενέσθαι [24]). πολὺ γὰρ πλείστους ἂν [25]) ἀγῶνας ἠγωνίσατο, ἐν δὲ τῇ πείρᾳ τοῦ σφάλλεσθαι [26]), οὐκ

ἐν

21) δι' αὐτὸ — ῥητέον] dubito, quae ſit loci ſententia. num haec: *ob id ipſum, quia nemini alii idem contigit, dicam.* an iſtaec: *ob id ipſum, quia vos noſtis,* quo nempe vos ad alios ignaros rei, de eaque dubitantes, allegare teſtes et ad veſtram conſcientiam prouocare poſſim.

22) f. τοῖς γὰρ οὐχ ἑωρακόσι τὸν ἄνδρα, μηδὲ εἰδόσι. aut alias breuius μηδὲ cum μὴ eſt mutandum.

23) ὅτι] ſic recte Ven. ὅταν Mor.

24) probo Caſauboni αὐτὸν ἀήττητον διαγ.

25) ἂν delendum puto.

26) τοῦ σφάλλεσθαι verum puto, tametſi Caſaubonus τὸ σφ. malit. ſed deeſt aliquid, e. c. τὸ ἀήττητον: vt ſententia haec ſit: *In periculo labendi eſt inuictum, non in diuturni-*

ἐν τῷ μήκει τοῦ χρόνου· ἔτι δὲ καὶ τόδε ἄν τις αὐτοῦ κατεπλάγη, τὸ μήτε παιόμενον αὐτὸν, μήτε παίοντα νικᾶν. τοσοῦτο τῇ ῥώμῃ περιῆν καὶ τῷ 26 b) δύνασθαι πονεῖν. πολλάκις γὰρ δι' ὅλης τῆς ἡμέρας ἠγωνίσατο ἐν τῇ σφοδροτάτῃ ὥρᾳ τοῦ ἔτους. καὶ δυνάμενος θᾶττον ἂν περιγενέσθαι παίων, οὐκ ἐβούλετο· νομίζων τῇ μὲν πληγῇ νικῆσαι, καὶ τοῦ φαυλοτέρου 27) ἔσθ' ὅτε εἶναι τὸν βέλτιστον, εἰ τύχοι· τὴν δὲ ἀληθεστάτην νίκην, ὅταν ἄτρωτον ἀναγκάσῃ τὸν ἀντίπαλον ἀπειπεῖν. οὐ γὰρ τοῦ τραύματος, ἀλλ' ἑαυτοῦ ἡττῆσθαι. καὶ τὸ, ὅλῳ τινὰ τῷ σώματι ἀπειπεῖν, ἀλλὰ μὴ τῷ πληγέντι μέρει, λαμπρόν. τὸν δὲ ἐπειγόμενον, ὡς οἷόν τε τάχιστα νικῆσαι, καὶ παίοντα καὶ συμπλεκόμενον αὐτὸν ἡττῆσθαι τοῦ καύματος καὶ τοῦ χρόνου. εἰ δέ τις οὐ ταύτῃ ὑπολαμβάνει, ἐννοείτω, ὅτι σύες καὶ ἔλαφοι, μέχρι μὲν αὐτοῖς ἡ ἰσχὺς πάρεστιν, οὔτε ἀνθρώποις οὔτε κυσὶν ὁμόσε χωροῦσιν· ὅταν δὲ ἡττηθῇ καὶ κάμῃ, τηνικάδε συμπλέκεται, καὶ μᾶλλον ἐθέλει τιτρώσκεσθαι καὶ ἀποθνήσκειν, ἢ πονεῖν ἔτι διωκόμενα. ὁμοίως δὲ καὶ ἄνδρες ἐν πολέμῳ, καίτοι εἰδότες, ὅτι μᾶλλον ἂν παίοιντο φεύγοντες, ἢ μένοντες, διὰ τὸ μὴ βούλεσθαι πλείω χρόνον κάμνειν, ἀπίασι παραδόντες αὐτοὺς τοῖς ὄπισθεν παίειν. οὕτω τό γε τραυμάτων καταφρονεῖν, οὐκ ἀνδρείας ἐστὶν, ἀλλὰ τοὐναντίον. οἶμαι δὴ ἐν ταυτῷ πάντα εἰρῆσθαι, καὶ περὶ

turnitate temporis. h. e. *si, quo quis in opere vinci poterat, in eo sui experimentum ita dederit, vt cum peritissimis et exercitatissimis eo in opere commissus superatus non sit, certo praedicari potest inuictus, tametsi semel modo id euenerit, aut per breue tempus; temporis enim diuturnitas in iudicanda hac causa, num quis sit inuictus, nec ne, nullius est momenti.*

26 b) τῷ] τὸ margo Mor.
27) malim Φαυλοτάτου.

περὶ ἀνδρείας καὶ περὶ εὐψυχίας, καὶ περὶ ἐγκρατείας καὶ περὶ σωφροσύνης. εἰ μὴ γὰρ ἐγκρατής τε καὶ σώφρων ἦν, οὐκ ἄν, οἶμαι, τοσοῦτο[27b]) τῇ ῥώμῃ ὑπερέσχεν, οὐδὲ εἰ φύσει ἰσχυρότατος ὑπῆρχε. καὶ ἔγωγε οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν, ὅτι καὶ τῶν παλαιῶν Ἡρώων, οὓς ἅπαντες ὑμνοῦσιν, οὐδενὸς ἐλάττονα ἀρετὴν εἶχεν, οὔτε τῶν ἐν Τροίᾳ πολεμησάντων, οὔτε τῶν ὕστερον ἐν τῇ Ἑλλάδι τοὺς βαρβάρους ἀμυναμένων. καὶ εἴ γε τότε ἐγένετο, ἅπερ ἐκεῖνοι, ἔπραξεν ἄν. καὶ καθόλου δὲ ἔγωγε τοῦτο[28]) τῆς ἐν τοῖς πολέμοις ἀρετῆς προκρίνω· ὅτι πρῶτον μὲν οἱ ἐνθάδε[29]) ἄριστοι, ἐκεῖ διαφέροιεν ἄν. ὁ γὰρ ἰσχυρότατος τῷ σώματι, καὶ πλείω χρόνον πονεῖν δυνάμενος, οὗτος ἄν μοι καὶ ἄνευ ὅπλων καὶ[30]) σὺν ὅπλοις κρείττων ἐστίν. ἔπειτα οὐχ ὅμοιον, πρὸς ἰδιώτας ἀγωνίζεσθαι, καὶ τῷ παντὶ φαυλοτέρους, ἢ ἐξ ἁπάσης τῆς οἰκουμένης τοὺς κρατίστους ἔχειν ἀντιπάλους. κἀκεῖ μὲν ὁ ἅπαξ κρατήσας τὸν ἀνταγωνιστὴν ἀπέκτεινεν, ὥστε μὴ αὖθις ἔχειν τὸν αὐτὸν ἀντίπαλον· ἐνθάδε δὲ ἡ νίκη περὶ τῆς ἡμέρας ἐκείνης ἐστίν[31]). ἔπειτα καὶ τοὺς ἡττωμένους ὁμοίως ὁ νικῶν ἀνταγωνιστὰς ἔχει, καὶ τῶν ἄλλων τὸν βουλόμενον. ἔτι ἐνθάδε[32]) μέν, ὁ κρείττων τοῦ ἥττονος περίεστιν· οὐδενὶ γὰρ ἄλλῳ, ἢ τῇ εὐψυχίᾳ καὶ ἰσχύϊ, δεῖ κρα-

τεῖν

27b) margo Mor. dat τοσούτῳ.

28) τοῦτο] apparet aliquid desiderari, e. c. τὸ ἐπιτήδευμα τοῦ βίου, vel γένος τῆς ἀσκήσεως. *hanc professionem vitae, hoc genus exercitationis praefero ego equidem virtuti bellicae.*

29) ἐνθάδε] *hic in palaestra.* ἐκεῖ] *ibi, in bello, in arena Martis.*

30) loco καὶ malim τῶν. *etiam inermis armatos vincit.*

31) ἡ νίκη — ἐκείνης ἐστίν] *vincit in diem. victor est istius solummodo diei, quo vicit, non diutius; proximo enim die ita vinci potest, ut hodie vicit, et ab eodem ipso forsitan, quem hodie vicit.*

32) ἔτι δ' ἐνθάδε.

τεῖν· ἐν δὲ τοῖς πολέμοις ἡ τοῦ σιδήρου δύναμις, πολὺ κρείττων οὖσα τῆς ἀνθρωπίνης φύσεως, οὐκ ἐᾷ τὴν τῶν σωμάτων ἀρετὴν ἐξετάζεσθαι. πολλάκις δὲ πρὸς τῶν χειρόνων γίνεται [33]). ὅσα δὲ αὖ περὶ ἀθλήσεως [34]), καὶ περὶ ἀθλητῶν εἴρηκα, καὶ ἀποδειχθέντος γε, ὅτι ἄριστός ἐστι τῶν ἐν τῷ ἔργῳ. ἴσως δὲ κἀμοὶ καὶ τοῖς παροῦσι προσήκων ὁ λόγος, ὥστε τοῦτον ἄριστον ἀποφαίνειν. ὅτω γὰρ ὑπῆρξε μὲν κάλλος σώματος, ὑπῆρξε δὲ ἀνδρεία καὶ εὐψυχία, ἔτι δὲ σωφροσύνη, καὶ τὸ, ἀήττητον γίνεσθαι, τίνα ἂν τοῦδε τοῦ ἀνδρὸς εὐδαιμονέστερόν τις φήσειεν; καίτοι αὐτῷ τούτῳ παραγενέσθαι χαλεπώτατον [35]) τὴν ἀνδρείαν καὶ σωφροσύνην· κάλλος γὰρ ἀνθρώπους μάλιστα δὴ χαυνοῖ καὶ ἀναπείθει τρυφᾶν· ὡς ἂν δόξης μὲν ἑτέρας οὐ δεομένους, ὅταν τις περιβόητος ᾖ τὸ εἶδος, ἡδίονος δ' οὔσης τῆς ῥᾳθυμίας. εὕροι δ' ἂν τις ἐξ ἀρχῆς ἀναλογιζόμενος τοὺς καλλίστους τῶν πρότερον, τοὺς δὲ πολλοὺς αὐτῶν, οὐδὲ ἀνδρείας

33) πρὸς τῶν χειρ. γίν.] *stat a parte ignauorum et infirmiorum vis ferri.* h. e. secundat eos redditque fortibus superiores.

34) ὅσα δ' αὖ περὶ ἀθλ.] subaudi εἴρηκα. *quaecunque autem rursus de certatione* (pugilatu) *dixi*, *eadem de athleta* (pugile) *ipso quoque dixi*; nam καὶ περὶ ἀθλητοῦ εἴρηκα est legendum. Illud αὖ pertinet ad p. 539, 9. quemadmodum ibi, ait, laudabam pulchritudinem, quo hominem pulchrum ornarem, sic *rursus* hic in laudes fortitudinis excurri, quo virum fortem praedicarem. videtur eadem Casaubono quoque mens fuisse.

35) καίτοι τῷ αὐτῷ ταῦτα παραγεν. χαλεπώτ. mauult Casaubonus. non male, sed praestaret tum sic legi: καίτοι τῷ αὐτῷ πάντα ταῦτα παραγ. χαλεπ. τὸ κάλλος καὶ τὴν ἀνδρείαν — Verum e vestigiis literarum colligo, Dionem sic reliquisse: καίτοι αὖ τῷ τοιούτῳ παραγεν. χαλεπώτ. τὴν ἀνδρ. καὶ σωφρ. *tametsi rursus* (e contrario) *tali adesse fortitudinem et temperantiam, est difficillimum.* τῷ τοιούτῳ ait, *tali*, id est *formoso*.

ἀνδρείας 36) οὐδὲ ἀρετῆς ἔργον ἀποδειξαμένους. ἀλλὰ Γανυμήδης μὲν, διὰ τὸ παῖς ἀφανισθῆναι ἐξ ἀνθρώπων, οὐδὲν ἐδόκει πρᾶξαι λαμπρόν. περὶ δὲ Ἀδώνιδος, ἢ Ἰασίονος 36), ἢ τῶν ὁμοίων, ὅσοι περιττῆς δόξης ἐπὶ τῷ εἴδει ἔτυχον, οὐδὲν ὅτι μὴ περὶ τοῦ κάλλους ἀκούομεν. μόνους δὲ ἂν εἴποι τις ἀνδρείους τῶν ἄγαν καλῶν Θησέα καὶ Ἀχιλλέα 38), καὶ τούτοις οὐ πάνυ ἡ σωφροσύνη ὑπῆρξεν. οὐ γὰρ ἂν αὐτῶν ὁ μὲν Ἑλένην πρὸς βίαν ἥρπασεν, ὁ δ' ἐστασίαζεν 39). Ἱππολύτῳ δὲ σωφροσύνη μὲν ὑπῆρξεν, ἀνδρεία δὲ ἄδηλον εἰ παρῆν. οὐ γὰρ ἀληθὲς τεκμήριον κυνηγεσία. ἀλλ' ὃς δὴ πάντα ἐν ἀνθρώποις ἀγαθὰ ἐκτήσατο, ἄξιος ἂν καὶ τῆς τελευτῆς εὐδαιμονίζεσθαι. εἰ μὲν γὰρ ὁ πλεῖστος ἀνθρώποις χρόνος ἄριστος ἦν, ταύτῃ ἄν τις αὐτὸν ὠλοφύρατο· νῦν δὲ ὀλίγου τοῦ παντὸς ἀνθρώποις βίου δεδομένου, πλείστους ἂν εὕροι τις, οἷς πολὺ ἄμεινον εἶχεν, εἰ θᾶττον ἐτελεύτησαν, τοσαῦται 40) συμφοραὶ καταλαμβάνουσιν. ἔτι δὲ τῶν παλαιῶν τοὺς ἐξοχωτάτους ἀκούομεν 41), οὐδένα αὐτῶν ἐπὶ πολὺ ἐλθόντα τοῦ βίου, Πάτροκλόν τε καὶ Ἀντίλοχον, ἔτι δὲ Σαρπηδόνα καὶ Μέμνονα, καὶ Ἀχιλλέα καὶ Ἱππόλυτον· τούς τε Βοιωτοὺς Ὦτον καὶ Ἐφιάλτην, οὓς μεγίστους καὶ καλλίστους γενέσθαι φησὶν Ὅμηρος μετὰ Ὠρίωνα, αὐ-

τόν

36) f. οὐδὲν ἀνδρείας.

37) Ἰασίονος] sic recte Casaubonus. Ἰάσονος Ven. et Mor.

38) post Ἀχιλλέα deest aut ἀλλά, aut καίτοι, *verum et his*, aut, *quamquam et his*.

39) ἐστασίαζεν] defecit enim Achilles ab Atridis, et Myrmidonas quoque suos ad defectionem permouit.

40) post τοσαῦται recte abest δὲ a Veneta, quod Mor. addit.

41) aut ἀνακόλουθος est haec dictio, ἔτι δὲ τῶν παλαιῶν — ἐλθόντα τοῦ βίου. et forsitan deceat eiusmodi perturbatio Platonem aliquem, aut deest aliquid, e. e. — παλαιῶν σκοποῦντες τοὺς ἐξοχωτάτους, ἀκούομεν —

τόν τε ἐκεῖνον. ἀλλ' οἱ μὲν δι' ἀφροσύνην ἀπώλοντο. τοὺς δὲ ἄλλους, οὓς εἶπον, θεῶν παῖδας καὶ ἀπογόνους εἶπον. οὐκ ἂν οὖν οἱ θεοὶ τοῖς ἑαυτῶν παισὶ, καὶ οὓς μάλιστα ἐφίλουν, ταχεῖαν ἐποίησαν τὴν τελευτὴν, εἰ μὴ ἀγαθὸν τοῖς ἀνθρώποις τοῦτο ἐτίθεντο. ταῦτα οὖν, ὦ ἄνδρες, λογιζομένους ὑμᾶς, ἐκεῖνόν τε ὡς 42) μακάριον νομίζειν χρὴ, καὶ αὐτοὺς μηδὲν ἧττον διὰ τοῦτο 43) ἐφίεσθαι τῶν πόνων καὶ τῆς φιλοτιμίας· ὡς εἴ τινι συμπέσοι τελευτῆσαι ταχύτερον, ἀνόνητος 44) ἐσόμενος τῶν ἀγαθῶν τινός· ὁ γὰρ εὐκλέους 45) δόξης τυχὼν, μεστὸς ἄπεισι τῶν ἀγαθῶν· ἀλλὰ καὶ γυμνάζεσθε προθύμως καὶ πονεῖτε· οἱ μὲν νεώτεροι, νομίζοντες αὐτοῖς ἀπολελεῖφθαι τὴν ἐκείνου χώραν· οἱ δὲ πρεσβύτεροι, τῶν ἰδίων ἔργων ἀξίως, καὶ φρονεῖτε δὲ ἐπ' αὐτοῖς, ὅσον χρὴ ἄνδρας πρὸς ἔπαινον καὶ δόξαν ἀγαθὴν βιοῦντας, καὶ τῆς ἀρετῆς ὄντας ἀσκητάς. τὸν δὲ ἀποιχόμενον μνήμῃ τιμᾶτε, μὴ δάκρυσιν· οὐ γὰρ πρέποι ἂν ἥδε ἡ τιμὴ γενναίοις ὑπὸ γενναίων 46)). οὐδ' ἂν Ὅμηρον ἐπαινέσαιμι, ὅτι φησὶ δευέσθαι τάς τε ψαμάθους καὶ τὰ ὅπλα τοῖς δάκρυσι τῶν Ἀχαιῶν. ἀλλὰ ἐκεῖνος μὲν ποιητικῇ μᾶλλον ἠκολούθησεν ἡδονῇ, θρήνων ὑπερβολὰς ἐπιδειξάμενος, ὑμεῖς δὲ ἐγκρατῶς φέρετε.

42) aut ὡς plane est delendum, aut reliquiae istae sunt ex aliquo aduerbio superstites, vt v. c. πάντως, aut τελέως, aut ἀτεχνῶς.

43) διὰ τοῦτο] quia Melancomas citius vita excesserit, aut quia vnusquisque vestrum sic cogitet: fieri posse, vt ipse quoque cito moriatur, eaque finis sui celeritate sibi bonorum suorum fructus eripiantur.

44) ἀνόνητος] sic recte Ven. ἀνόητος Mor.

45) εὐκλέους] dicitur, ni fallor, perinde εὐκλεὴς et εὔκλεης.

46) οὐ γὰρ ἂν πρέποι — γενναίων idem est, atque si dixisset: οὐ γὰρ ἂν πρέποι γενναίους τιμᾶσθαι οὕτως ὑπὸ γενναίων.

ΧΑΡΙΔΗΜΟΣ.

ΛΟΓΟΣ Λ'.

Ἀκηκόειν μὲν καὶ πρότερον, πρὶν ὑμᾶς[1]) ἰδεῖν, πρὸ ἱκανοῦ περὶ τῆς Χαριδήμου τελευτῆς. εὐθὺς γὰρ ἐπυνθανόμην, ὡς παρέβαλον δευρὶ[2]), περί τε ἄλλων τινῶν, καὶ μάλιστα δὴ περὶ τούτων ἀμφοτέρων[3]), ὅπου τε εἶεν καὶ ὅ, τι πράττοιεν. καί μοι τις ἐνέτυχεν, οὐ πάνυ τι αὐτοὺς ἐπιστάμενος· ἀλλ᾽ ὡς ἤκουσε γὰρ[4]) τὰ ὀνόματα, ἠρώτησεν, εἰ τοὺς Τιμάρχου υἱεῖς λέγω; κἀμοῦ φήσαντος, τούτοιν ἐδήλου, τὸν νεώτερον δὴ λέγων[5], ἐν Μεσήνῃ ἔτι εἶναι μετὰ σοῦ[6]) διὰ πένθος τἀδελφοῦ· τελευτῆσαι γὰρ αὐτοῖν τὸν πρεσβύτερον. φανερὸς[7]) οὖν ἦν, Χαρίδημον ἀπαγγέλλων[7b]) τεθνηκέναι· καὶ τότε μὲν ἐδόκει καὶ[8]) ἀμφιβολία τις εἶναι, καίτοι σαφῶς τἀνθρώπου εἰρηκότος· αὖθις δὲ ἀκριβέστερον ἔγνωμεν. καὶ οἶμαί γε

ἐμαυ-

1) ὑμᾶς] te, Timarche, cum tuis; ſiquidem patrem, non filium, alloquitur.
2) δευρὶ] Athenis videtur haec epiſtola data.
3) τούτων ἀμφοτέρων] de ambobus filiis, quorum alter Charidemus natu maior erat.
4) Eſt idem ac ſi dixiſſet ἀλλὰ γὰρ ὡς ἤκουσε — *verum tamen vt audiuit* —
5) Videtur ſic leg. τὸν νεώτερον (Τίμαρχον δὴ λέγων); nam iuniori fratri Charidemi nomen idem cum patre fuiſſe patet e p. 309, 44. ed. Mor.
6) σοῦ] ſic recte var. lect. Venetae. *tecum.* alloquitur patrem Timarchum, qui videtur athleta fuiſſe, filiosque in eadem arte educaſſe, et ad ludos Olympiacos adduxiſſe, quo factum, vt tum in Meſſenia ageret. textum Ven. et Mor. dant οὗ.
7) margo Mor. dat φανερὸν.
7b) ἀπαγγέλλων] Ven. et Mor. dant ἀπαγγέλων.
8) aut delendum videtur hoc καὶ, aut ei addendum ἔτι.

ἐμαυτὸν οὐ πολύ τι 8b) ἔλαττον ὑμῶν δηχθῆναι· τὸ μὲν γὰρ μᾶλλον φάναι, οὐ θεμιτὸν, οὐδὲ ὅσιον ἡμῖν, εἴ τις ἐκεῖνον μᾶλλον ἐφίλει ὑμῶν, τοῦ τε πατρὸς καὶ ἀδελφοῦ. καίτοι οὐ μέγα ἰσχύειν ἔοικεν ἡ φύσις ἐν τοῖς φαύλοις. οἷόν τι καὶ περὶ τοῦτον τὸν Ὀπούντιον ἀκούω χαρίεντα γεγονέναι 9) καὶ κομψὸν νεανίσκον· ἀποβαλόντα ἡμέτερον κἀκεῖνον ἑταῖρον, ἀλλ᾽ ὅμως ἔλαττον αὐτὸν λυπηθῆναι φασὶν, ἢ εἴ τι ἄλλο τῶν ἐκ τῆς οἰκίας ἀπολωλέκει. ἀλλ᾽ ὑμεῖς γε πάνυ ἐοίκατον ἀχθομένω 10) τῇ συμφορᾷ, καὶ οὐδὲν θαυμαστόν· ἐπεὶ καὶ τῇ πόλει ὑμῶν καὶ τῇ Ἑλλάδι πάσῃ ὠφέλιμος ἦν, τοιοῦτος ἀνὴρ ἐν τῷ βίῳ 11) διαγενόμενος, οἷος δὴ Χαρίδημος τάχα ἔμελλεν ἔσεσθαι. οὐ γὰρ ἔγωγε, ἐκείνου μειρακίου ὄντος, οὐδένα ἔγνων εὐψυχότερον, οὐδὲ ἄμεινον πεφυκότα. εἴ γε ᾔδεις 12), ὅπως διέκειτο πρὸς σὲ, πολλὰ ἂν 13) μᾶλλον ἐνεγκωμίαζες αὐτόν. ἐμοὶ μὲν γὰρ ἐδόκει, κἀμοῦ, τοῦ πατρὸς, οὐ μόνον τῶν ἄλλων ἀνθρώπων, σὲ προτιμᾶν, ὅς γε καὶ ἐν τῇ νόσῳ, κἀπειδὴ πρὸς αὐτῷ σχεδόν τι τῷ θανάτῳ ἦν, καὶ ἡμῶν ἔνδον ὄντων καὶ ἄλλων ξυγγενῶν καὶ πολιτῶν τῶν γνωρίμων, σὲ ὀνομά-

8b) πολὺ ἔτι m. Mor.

9) malim γεγονέναι χαρίεντα, vt haec ſit ſententia: *quale quid etiam circa Opuntium hunc* [id eſt, quem nos omnes bene nouimus] *eueniſſe audio; quippe quem audio, cum amiſiſſet iuuenem* [h. e. filium] *feſtiuum et bellum, qui pariter, atque Charidemus, noſter fuit ſodalis, haud grauius illam tuliſſe iacturam, quam ſi quid aliud rei domeſticae amiſiſſet.*

10) ἀχθομένω dualem eſſe, iam admonuit Caſaubonus. Ven. et Mor. dant ἀχθομένῳ cum iota ſubſcr.

11) poſt βίῳ videtur ἐπὶ πλεῖστον deeſſe. *ſi vitam quam diutiſſime produxiſſet.*

12) εἴ γε ᾔδεις] eſt reſponſio patris Timarchi ad Dionem.

13) πολλὰ μᾶλλον pari modo dictum eſt, atque πολὺ μᾶλλον. malim tamen hoc vt vſitatius.

νομάζετο, παράπαν πάνυ μόλις ἤδη φθεγγόμενος 14), καὶ ἡμᾶς ἐκέλευε λέγειν, ὅταν σοι ἐντύχωμεν, ὅτι σου μεμνημένος ἐτελεύτα. καὶ γὰρ τὸ συνεῖναι 15) αὐτῷ καὶ διαλέγεσθαι ἕως ὑστάτου παρέμεινεν. οὐ μὴν ἀλλὰ καὶ ζῶν οὕτω διέκειτο, ὥστε καὶ τῇ σιωπῇ, καὶ τῷ βαδίσματι, καὶ τοῖς ἄλλοις πᾶσι, σὲ ἐμιμεῖτο, ὡς ἔλεγον οἱ εἰδότες. οὔτοι 16) ταῦτα ἐμιμεῖτο ἐκεῖνος, οὔτε ἐμὲ, οὔτε ἄλλον οὐδένα, ἀλλ' οὕτως ἐπεφύκει. πρότερον δὲ ἴσως ὑμᾶς, ἔτι παῖς ὤν, ἐλάνθανεν· ἔπειτα προϊὼν, ἐκδηλότερος ἐγένετο. πολὺ γὰρ μᾶλλον ἐκείνῳ ἔπρεπεν, ἢ ἄλλῳ τινὶ, τό τε ἀνδρεῖον καὶ τὸ σεμνὸν τοῦ σχήματος. ἀλλὰ μή τι ὑμᾶς ἐλύπει τούτοις, ἢ σκυθρωπότερος ὑμῖν ἐφαίνετο; ἐμοὶ μὲν γὰρ ἐδόκει τοὐναντίον πολλῶν ἱλαρώτερος, καὶ πρὸς τὸ παίζειν ἕτοιμος, ὅσαι ἐλευθέριαι παιδιαὶ, καὶ ἀεί περ μειδιῶν 17) πρὸς τοὺς συνήθεις. γελῶντα δὲ αὐτὸν ἀνέδην οὐ πολλάκις εἶδον. οὐδὲν οὖν ἡμᾶς ἐλύπει. καὶ γὰρ δὴ καὶ ἐπῃνεῖτο ὑπὸ πολλῶν, καὶ μᾶλλον ἐκεῖνον ᾐσχύνοντο οἱ πολῖται, δύο καὶ εἴκοσιν ἐτῶν ὄντα, τοσούτων γὰρ ἐτελεύτησεν, ἢ τοὺς πρεσβυτέρους τε καὶ ἐνδόξους. ἀλλ' εἴ τι ἄλλο 18) ὑμῖν προσέταξεν, ἐπέστειλεν, ἢ διελέχθη τελευτῶν;

14) malim καὶ πολιτῶν, μόνον τῶν γνωρίμων σε ὠνόμαζέ τε παράπαν, — *omnium familiarium vnum et ſolum te appellabat identidem, tametſi aegerrime iam loqueretur.*

15) συνεῖναι] accipe hic pro συνιέναι *ſapere*, ſui compos eſſe, percipere mente ſenſuque.

16) οὔτοι] ſic interpres lat. Caſaub. et vir doctus in Veneta mea. οὗτοι Ven. et Mor.

17) f. ἀεὶ ὥσπερ μειδιῶν.

18) ἀλλ' εἴ τι ἄλλο poteſt pro ſano haberi, vt ſit ellipſis, quaſi ſic dixiſſet: ἀλλ' εἴπατε vel δηλοῦτε, εἴ τι ἄλλο — *verum ſi quid aliud vobis praecepit moriens, ſignificate.* Ego vero nullus dubito Dionem dediſſe ἀλλ' ἤ τι *verum num quid aliud* — verbum προσέταξεν videtur delendum eſſe, vt ſcholium verbi ἐπέστειλεν.

λευτῶν; πολλὰ καὶ δαιμόνια· ὥς γε ἐμοὶ δοκεῖ πατρὶ ὄντι [19]), ὅς γε ἐν τούτῳ τῆς ἡλικίας ἐκ τοῦ βίου μεθιστάμενος, οὐχ ὅπως ὠλοφύρατο αὐτὸν, ἢ λυπουμένῳ ἐῴκει, ἀλλὰ τοὐναντίον ἡμᾶς παρεμυθεῖτο. καὶ τὰ τελευταῖα [20]), τὸν παῖδα καλέσας, ἐκέλευε γράφειν, ὥσπερ ἐνθουσιῶν, παράκλησίν τινα ἡμῖν, ὥστε ὑπενόουν ἐγὼ, μὴ ἄρα ἐξεστηκὼς ἤδη διὰ τὸν θάνατον ταῦτα ποιῇ, πλὴν ὅτι οἱ παρόντες θαυμαστῶς ἐπῄνουν. ἔχεις οὖν τὰ γεγραμμένα; πῶς γὰρ οὔ; κέλευσον εἰπεῖν [21]). ἀλλὰ αἰσχύνομαι, μὴ οὐκ ὀρθῶς ἔχῃ, ὡς ὑπὸ νεωτέρου, καὶ ἐν τοιούτῳ καιρῷ εἰρημένα. καὶ γὰρ ἐκεῖνος ἐδόκει μοι μᾶλλον ἑνὸς σοῦ παρόντος ἂν εὐλαβηθῆναί τι εἰπεῖν, ἢ τῶν ἄλλων ἁπάντων. οὐ πρὸς ἀλλότριον ἀναγνώσῃ, ὦ βέλτιστε, καὶ ἅμα οὐ τὴν ἑρμηνείαν ποθῶ γνῶναι τοσοῦτον, ὅσον τὴν διάνοιαν, ἀφ᾽ ἧς ἔλεγεν, εἰ τῷ ὄντι εὐθύμως καὶ θαῤῥῶν ἀπέθνησκεν. ἀλλ᾽ ἔστι ταῦτα· „τὰ μὲν καθ᾽ ἡμᾶς οὕτω γέγονεν, ὡς ἔδοξε τῷ θεῷ. χρὴ δὲ μηδὲν τῶν ὑπ᾽ ἐκείνου γιγνομένων [22]) χαλεπὸν ἡγεῖσθαι, μηδὲ δυσχερῶς φέρειν· ὡς παραινοῦσιν ἄλλοι τε σοφοὶ, καὶ οὐχ ἥκιστα Ὅμηρος, λέγων, μηδαμῇ ἀπόβλητα εἶναι ἀνθρώποις τὰ θεῶν δῶρα· καλῶς ὀνομάζων δῶρα, τὰ ἔργα τῶν θεῶν, ὡς ἅπαντα ἀγαθὰ ὄντα καὶ ἐπ᾽ ἀγαθῷ γιγνόμενα. ἐγὼ μὲν οὖν οὕτω φρονῶ, καὶ δέχομαι πρᾴως τὴν πεπρωμένην, οὐκ ἐν ἑτέρῳ καιρῷ ταῦτα λέγων, ἀλλὰ παρούσης τε

19) ὥς γε ἐμοὶ δοκεῖ πατρὶ ὄντι] *ut mihi quidem videtur, qui fui pater eius*; nisi amor paternus fascinat. visum idem Anglo quoque fuit. Casaubono conatus h. l. haud prospere successit. Ven. et Mor. dant ὥστε — πάτριόν τι.

20) Ven. et Mor. dant τάτε, sed postrema syllaba ex initio proximae vocis perperam iterata est.

21) f. κέλευσον οὖν εἰπεῖν.

22) μηδέν τῶν ὑπ᾽ ἐκείνου γιγν.] Ven. et Mor. omittunt τῶν.

αὐτῆς καὶ τὴν τελευτὴν ὁρῶν οὕτως ἐγγύθεν. ὑμεῖς δὲ ἐμοὶ πιστεύοντες, (ἐπειδὴ καὶ μᾶλλον ὑμῶν ἐπεμελήθην ἀληθείας,) καθόσον οἷοί τε ἐστὲ, μὴ συγχωρεῖτε τῇ ἀλγηδόνι, ὡς μηδενὸς ἐμοὶ δεινοῦ συμβεβηκότος, μηδὲ εἴ τις ἐπὶ τὸν δυσχερέστατον ἔλθοι τῶν λόγων. λέξω δὲ αὐτὸν ὑμῖν, οὔτε πάνυ τερπνὸν ὄντα, οὔτε χαρίεντα 23)· οὐ γὰρ, οἶμαι, πρὸς χάριν τὴν ἡμετέραν γέγονεν· ἔχοντα δέ τι θαυμαστὸν ἴσως. ὅτι τοῦ τῶν Τιτάνων αἵματος ἐσμὲν ἡμεῖς ἅπαντες οἱ ἄνθρωποι. ὡς οὖν ἐκείνων ἐχθρῶν ὄντων τοῖς θεοῖς καὶ πολεμησάντων, οὐδὲ ἡμεῖς φίλοι ἐσμὲν, ἀλλὰ κολαζόμεθά τε ὑπ' αὐτῶν καὶ ἐπὶ τιμωρίᾳ γεγόναμεν 24) ἐν φρουρᾷ, διὶ ὄντες ἤδη ἱκανῶς, λύεσθαί τε καὶ ἀπαλλάττεσθαι. εἶναι δὲ τὸν μὲν τόπον τοῦτον, ὃν κόσμον ὀνομάζομεν, δεσμωτήριον ὑπὸ τῶν θεῶν κατεσκευασμένον, χαλεπόν τε καὶ δυσάερον· οὐδέποτε τὴν αὐτὴν κρᾶσιν τε καὶ στάσιν τοῦ ἀέρος φυλάττον· ἀλλὰ ποτὲ μὲν ψυχρόν τε καὶ παγερὸν, ἀνέμου τε καὶ πηλοῦ καὶ χιόνος καὶ ὕδατος ἐμπεπλησμένον, ποτὲ δὲ αὖ θερμόν τε καὶ πνιγηρόν· μικρὸν δέ τινα παντελῶς καιρὸν τοῦ ἔτους μετρίως ἔχειν, καταπίπτειν δὲ καὶ πρηστῆρας ἐν αὐτῷ, καὶ τυφῶνας ἐγγίγνεσθαι, καὶ πολλάκις σείεσθαι κάτωθεν ὅλον. ταῦτα δὲ πάντα εἶναι κολάσεις δεινάς. ἐκπλήττεσθαι γὰρ ἑκάστοτε ὑπ' αὐτῶν καὶ φοβεῖσθαι τοὺς ἀνθρώπους, ὁπότε συμβαίνει. πρὸς δὲ τούτοις οὐκ ἀνεχομένους τοῦ ἀέρος τὴν φαυλότητα καὶ τὰς μεταβολὰς, ἕτερα αὖ μηχανᾶσθαι μικρὰ δεσμωτήρια· τὰς δὲ οἰκίας καὶ πόλεις, ξύλα καὶ λίθους συντιθέντας· ὥσπερ εἴ τις ἐν μεγά-

λῃ

23) Ven. et Mor. dant οὔτε πού τερπνὸν ὄντα, οὐδὲ χαρ.
24) f. γεγόναμεν ἐν φρουρᾷ, οὗ δὴ κολασθέντες ἤδη ἱκανῶς [aut οὗ δὴ ποινὰς δέντες ἤδη ἱκανὰς] *in custodiam dati sumus, vbi cum satis suppliciorum tolerauerimus, tum demum nos absolui atque dimitti.*

λη εἱρκτῇ ἑτέρας βραχυτέρας ἐνοικοδομῇ 25)· καὶ τὰ φυόμενα ταῦτα καὶ τὸν ἐκ γῆς ἕνεκα τοῦ παραμένειν ἡμᾶς, γίγνεσθαι καθάπερ δεσμώταις τροφὴν διδομένην ἀηδῆ τε καὶ φαύλην· ἡμᾶς δὲ ἄλλως 26) ἀγαπᾷν, διὰ τὴν ἀνάγκην τε καὶ ἀπορίαν. καὶ γὰρ τοῖς ὑφ' ἡμῶν κολαζομένοις, ἅττ' ἂν παράσχοι τις, ὑπὸ λιμοῦ καὶ συνηθείας ἡδέα φαίνεσθαι. καὶ ταῦτα τὰ σιτία τῇ μὲν ἀληθείᾳ πονηρὰ εἶναι καὶ διεφθορότα, δηλοῦσθαι δὲ τὴν διαφθορὰν, ἐκ τῆς τῶν σωμάτων ἀσθενείας· ἔτι δὲ μηδὲ ἐξ ἑτοίμου πορίζεσθαι, μηδὲ 27) πᾶσιν ἄφθονα ὑπάρχειν, ἀλλὰ μετὰ ἀμηχάνων πόνων καὶ κακῶν. ξυγκεῖσθαι δὲ ἡμᾶς ἐξ αὐτῶν δὴ τῶν βασανιζόντων, ψυχῆς τε καὶ σώματος· τὴν μὲν γὰρ ἐπιθυμίας τε καὶ λύπας καὶ ὀργὰς καὶ φόβους καὶ φροντίδας καὶ μυρία πάθη τοιαῦτα ἔχειν ἐν ἑαυτῇ, καὶ δι' ἡμέρας καὶ νυκτὸς ὑπὸ τούτων ἀεὶ κατατείνεσθαι καὶ στρεβλοῦσθαι. καὶ γὰρ ὅστις ἐπιεικέστερον διάκειται, καθόλου μὲν ἀπήλλακται τούτων οὐδενός. ὥσπερ δὲ 28) θηρία ἔνδον κατακεκλεισμένα ἔχει, μετὰ βίας ὅμως καὶ πειθοῦς τινος ἠναγκασμένα ἠρεμεῖν. εἰ δὲ καὶ σμικρὸν παύσαιτο κατεπᾴδων καὶ προσέχων, αὐτίκα δὴ μάλα κινούμενα. τὸ δὲ σῶμα, ἰλίγγους 29) τε καὶ σπασμοὺς καὶ ἐπιληψίας, καὶ τἄλλα νοσήματα, ὅσα οὐδὲ τῷ λόγῳ δυνατὸν διελθεῖν, ὡς ἂν αἵματος καὶ πνεύματος μεστόν· ἔτι δὲ

25) ἐνοικοδομῇ] sic, aut ἐνοικοδομείη, leg. est. Ven. et Mor. dant ἐνοικοδομεῖ.

26) ἄλλως] malim ὅμως *nihilominus tamen.* si ἅμως sic nude vsurparetur, vt in illa dictione ἅμως γέ πη vsurpatur, hoc praeferrem.

27) ἔτι δὲ μηδὲ ἐξ ἑτοίμου πορίζεσθαι μηδὲ πᾶσιν] sic Veneta et Casaubonus. Sed Mor. omittit μηδὲ ἐξ ἑτ. πορ. μηδέ.

28) δὲ] sic quoque interpres, τε Ven. et Mor.

29) ἰλίγγους] scil. ἔχειν ἐν ἑαυτῷ.

ἐκ σαρκῶν τε καὶ νεύρων καὶ ὀςέων συγκείμενον, ἐκ μαλακῶν τε καὶ σκληρῶν, καὶ ὑγρῶν καὶ ξηρῶν 30), ἐκ τῶν ἐναντιωτάτων. τά τε σιτία, ὥσπερ εἶπον, μοχθηρὰ ὄντα, καὶ τὸν ἀέρα ἀνώμαλον προσπίπτοντα, τὰς μὲν ἐπιτείνειν τῶν νόσων, τὰς δὲ ἀνακινεῖν, οὐ 31) δοκούσας μὲν εἶναι πρότερον, ἐνούσας δὲ ἐν τῇ φύσει τῶν σωμάτων. καὶ ταῦτα μὲν ἔνδον ἐγκεῖσθαι τὰ κακὰ ἐν ἡμῖν αὐτοῖς, ἑτέρας δὲ ἔξωθεν κολάσεις 32), εἴ τις αὐτὰς παραβάλλοι ταῖς ἐκ τῆς φύσεως. ἡ γὰρ πυρός τε καὶ σιδήρου φύσις, καὶ πληγῶν δὲ καὶ τῶν ἄλλων, ὀξὺ καὶ ταχὺ ἀπαλλάττει τῆς αἰσθήσεως, εἴ τις καὶ σμικρὸν ὑπερβάλλοι. ἐν δὲ ταῖς νόσοις ἐνίοτε παρατείνουσι καὶ πάνυ πολὺν χρόνον. τοιαῖσδε μὲν δὴ καὶ τοσαῖσδε βασάνοις ξυνεχομένους τοὺς ἀνθρώπους ἐν τῇδε τῇ φρουρᾷ καὶ τῷδε τῷ δεσμωτηρίῳ, μένειν τὸν τεταγμένον ἕκαςος 33) χρόνον, καὶ μὴ πρὶν ἀπιέναι τοὺς πολλούς,

πρὶν

30) post ξηρῶν videtur deesse καὶ ξυνελόντι εἰπεῖν *et vt omnia paucis complectar.*

31) οὐ] *non.* sic recte interpres lat. οὑ Ven. et οὗ Mor.

32) κολάσεις] sic etiam correxit vir doctus in Veneta mea, quod ibi est vitiosum κολάσας. sed idem addit εἶναι κουφοτέρας. Consentit Casaubonus locum sic integrans: ἐλαφροτέρας μέντοι, admonens ita se cum interprete legere. mihi videtur ita restituendus esse locus: κολάσεις, οὐδὲν δὲ [vel οὐδὲν μέντοι] κουφοτέρας, [vel ἐλαφροτέρας, vel μετριωτέρας, vel ἐλάττους, vel tale quid] περικεῖσθαι vel ἐπικεῖσθαι. *alia tormenta extrinsecus circumfusa esse*, vel *imminere, nil minora* — Sententia haec est: *vulnera corpori a ferro et igni illata videantur quidem tormentis a natura corpori ingenitis ideo esse leniora, quia cito transeunt. saepe tamen fit in morbis, vt cruciatus a ferro et igni medicorum creati longum in tempus extrahantur, et corpus veluti distendant, quare nihilo leuiores hi cruciatus arte facti sunt illis naturalibus.*

33) aut ἕκαςον leg. aut ἑκάςοις, aut, quod malim, ἑκάςους: nisi malumus illud ἕκαςος aut post πρὶν ἄν, aut post ποιησάμενος collocare.

πρὶν ἂν ἐξ αὐτοῦ ποιησάμενος ἄλλον ἀνθ' ἑαυτοῦ καταλίπῃ διάδοχον τῆς κολάσεως· οἱ μὲν ἕνα, οἱ δὲ καὶ πλείους. μένειν δὲ οὐχ ἑκόντας, ἀλλὰ μιᾷ πάντας ἁλύσει δεδέσθαι, τά τε σώματα καὶ τὰς ψυχάς. καθάπερ ἐφ' ἡμῶν [34]) ἰδεῖν ἐστιν ἐν ἁλύσει μιᾷ δεδεμένους πολλοὺς ἐφεξῆς· τοὺς μὲν αὐτῶν σμικροὺς, τοὺς δὲ μεγάλους, καὶ τοὺς μὲν αἰσχροὺς, τοὺς δ' εὐπρεπεῖς. οὐδὲν δὲ ἧττον ἅπαντας ἐπίσης ἐν τῇ αὐτῇ ἀνάγκῃ ἔχεσθαι. ὁμοίως δὲ καὶ ταῖς τύχαις τε καὶ δόξαις καὶ τιμαῖς ἀλλήλων ὑπερέχειν, ὥσπερ τοῖς σώμασιν. εἶναι γὰρ τοὺς μὲν βασιλέας, τοὺς δὲ ἰδιώτας, καὶ τοὺς μὲν πλουσίους, τοὺς δὲ ἀπόρους. καὶ οὐδέν γε παρὰ τοῦτο ἔλαττον κακοπαθεῖν καὶ συνέχεσθαι τῷ αὐτῷ δεσμῷ τοὺς εὐδαίμονας καλουμένους, τῶν πενήτων τε καὶ ἀδόξων, ἀλλὰ μᾶλλον τούτων ἐκείνους. ἰσχνοτέροις γὰρ οὖσιν αὐτοῖς κεχαλᾶσθαι τὸν δεσμὸν, καὶ λαγαρώτερον ἑκάστῳ περικεῖσθαι· τοῖς δὲ βασιλεῦσι καὶ τυράννοις, οἷα δὴ πεφυσημένοις τῇ ψυχῇ καὶ σφόδρα εὐεκτοῦσι, μᾶλλον ἐγκεῖσθαι καὶ θλίβειν· ὥσπερ ἐν τοῖς [35]) τὰ σώματα δεδεμένοις, τοὺς παχεῖς τε καὶ ὀγκώδεις τῶν λεπτῶν τε καὶ ἀτρόφων μᾶλλον ὁ δεσμὸς πιέζει, τινὰς μέντοι, καὶ λίαν ὀλίγους, πάρεσίν τινα ἔχειν ἐκ τοῦ θεοῦ· καὶ δεδέσθαι μὲν, ἐλαφρῶς δὲ πάνυ, δι' ἐπιείκειαν· ὑπὲρ ὧν αὖθις λέξομεν. πρότερον δὲ εἰπεῖν ἄξιον, ὡς ἐγώ ποτε ἤκουσα ἀνδρὸς ἀγύρτου, παῖς ὤν, ὁποίαν τινὰ ἔφασκεν εἶναι τὴν ἅλυσιν, οὔτε που ταῖσδε ὁμοίαν, ἐκ σιδήρου [36]) τε καὶ χαλκοῦ πεποιημένην, πολὺ μέντοι κραταιοτέραν· τὸ δὲ σχῆμα καὶ τὴν πλοκὴν, παραπλησίαν. ὥσπερ γὰρ

34) ἐφ' ἡμῶν] *penes nos, inter nos homines.*

35) ὥσπερ ἐν τοῖς] sic recte Ven. sed Mor. omittit ἐν.

36) malim οὔτ' ἐκ σιδήρου, propter praemissum οὔτε, quod aliud insequens οὔτε desiderat.

αἵδε εἰσὶν ἐκ κρίκων τινῶν κεχαλκευμέναι, δι' ἀλλήλων διαβεβλημένων· καὶ τοῦτο ἀπ' ἀρχῆς μέχρι τέλους· οὕτω δὴ κἀκείνην ἔχειν, ᾗ δὴ ἔφαμεν τοὺς ἀνθρώπους ὑπὸ τῶν θεῶν δεδέσθαι. συνηρτῆσθαι δὲ αὐτὴν ἅπασαν ἐξ ἡδονῆς τε καὶ λύπης, καὶ ταῦτα ἐξ ἀλλήλων ἀεὶ πεπλέχθαι, τό τε ἡδὺ καὶ λυπηρὸν, καὶ τῷ ἑτέρῳ τὸ ἕτερον ἐξ ἀνάγκης ἀεὶ ἀκολουθεῖν, ὥσπερ, οἶμαι, τοὺς κρίκους τῆς ἁλύσεως· ἕπεσθαι δὲ ταῖς μὲν μεγάλαις ἡδοναῖς μεγάλας λύπας, ταῖς δὲ σμικραῖς σμικροτέρας, καὶ τήν γε μεγίστην ἡδονὴν ἐπὶ τέλους εἶναι, τὸν θάνατον. διὰ τοῦτο καὶ λύπην πρὸ αὐτοῦ συμβαίνειν μεγίστην. δῆλον γὰρ, ὡς οὐκ ἔστιν ἀνθρώπῳ μείζων ταύτης τῆς λύπης καὶ ὀδύνης, τῆς ἀγούσης ἐπὶ τὸν θάνατον. ἔλεγε δὲ καὶ κατ' ἄνδρα ἕτερα εἶναι δεσμὰ, τοῖς μὲν ἐλάττω, τοῖς δὲ μείζω περικείμενα, ὥσπερ πέδας· καλεῖσθαι [37]) δὲ ὑφ' ἡμῶν αὐτὰς Ἐλπίδας. ὥσπερ οὖν τὰς πέδας κατωτάτω [38]) τοῦ σώματος εἶναι, καὶ περὶ τοῖς ἐσχάτοις μέρεσιν· οὕτω καὶ τὰς ἐλπίδας κατωτάτω εἶναι καὶ περὶ τὸ τελευταῖον μέρος τοῦ βίου, καὶ μάλιστα δὴ κρατεῖν τοὺς ἀνθρώπους, καὶ ἀναγκάζειν πάντα πάσχοντας ὑπομένειν. τοῖς μὲν οὖν ἀνοήτοις τε καὶ ἠλιθίοις ὑπερόγκους τε εἶναι τὰς πέδας ταύτας, καὶ σφόδρα παχείας, τοῖς δὲ κομψοτέροις κεχαλάσθαί τε καὶ λεπτὰς περικεῖσθαι. καὶ γάρ τοι προσείκαζε καὶ ῥίνῃ τινὶ [39]), πάνυ ἀνδρικῶς ἑπόμενος τῇ εἰκόνι· τοῦτο δὲ, ἔφη, μόνους εὑρίσκειν τοὺς κομψούς τε καὶ δριμεῖς. ἀποκεκρύφθαι γὰρ αὐτὸ πάνυ ἀκριβῶς· ὥσπερ εἴ τις

ἐν

37) καλεῖσθαι] sic recte Ven. καλεῖσθε Mor.
38) Mor. dat κατωτάτου.
39) καὶ γάρ τοι — ῥίνῃ τινὶ] videtur hic aliquid deesse, e. c. καὶ γάρ τοι ἔχειν αὐτοὺς ἐργαλεῖόν τι. [aut χρῆσθαι ἐργαλείῳ] ὃ προσείκαζε ῥίνῃ τινί. *esse enim penes eos aliquod instrumentum, quod ille limae comparabat.*

ἐν δεσμωτηρίῳ ῥίνην ἀποκρύψειεν, ὅπως μηδεὶς τῶν δεσμωτῶν λάβοι, ἔπειτα λύσειεν ἑαυτόν. τοὺς οὖν φιλοτίμους καὶ φιλοπόνους, μόλις μὲν, ὅμως δὲ εὑρίσκειν. καλεῖσθαι δὲ αὐτὸ ὑπ' αὐτῶν Λόγον. ἐπειδὴ οὖν τάχιστα εὕρωσι, χρῆσθαί τε, καὶ ῥινᾶν τὰ δεσμὰ, καὶ ποιεῖν τῆς ἀλύσεως τὸ καθ' αὑτοὺς, ὡς οἷόν τε, ἰσχνότατον καὶ ἀσθενέστατον· μέχρις, ἂν ᾖ δυνατὸν, κατεργάσωνται τάς τε ἡδονὰς καὶ τὰς λύπας. βραδὺ δὲ τοῦτο γίνεται. μόλις γὰρ αὐτῶν ὁ λόγος, ἅτε στερεῶν ὄντων καὶ ἀδαμαντίνων, καθικνεῖται, καὶ κατὰ μικρὸν ἀπεσθίει, παντελῶς δὲ οὐκ ἂν δύναιτο δαπανῆσαι καὶ διελεῖν. ὅτῳ δ' ἂν ἐγγένηται τοῦτο τὸ φάρμακον, καὶ φιλοπόνως αὐτῷ χρήσηται δι' ἡμέρας καὶ νυκτὸς, ἐφ' ὅσον οἷόν τ' ἐστὶν, εὐχερῶς ἤδη τὴν φρουρὰν φέρει, καὶ περιέρχεται παρὰ τοὺς ἄλλους ὥσπερ λελυμένος, καὶ τοῦ χρεὼ ἐπιστάντος, ῥᾳδίως ἄπεισιν, ὡς ἂν οὐκέτι βίᾳ κρατούμενος, οὐδὲ σφιγγόμενος. ἐκ τούτων ἐνίοτε οἱ θεοὶ τινὰς καὶ παρέδρους ἑαυτοῖς ποιοῦνται δι' ἀρετὴν καὶ σοφίαν, καθόλου τῆς τιμωρίας ἀπαλλάξαντες. ταῦτα [40] μέν τις εἶπεν ἀνὴρ δυσάρεστος, ὡς ἐγὼ δοκῶ, καὶ πολλὰ λελυπημένος κατὰ τὸν βίον, ὀψὲ παιδείας ἀληθοῦς ᾐσθημένος, οὐ μὴν ἀληθῆ γε, οὐδὲ πρέποντα θεοῖς. ἕτερος δὲ βελτίων ἐστὶ τοῦδε λόγος, ὃν πολὺ ἂν εἴποιμι προθυμότερον. ἤκουσα δὲ αὐτὸν ἀνθρώπου γεωργοῦ, ἐν ἀγροίκῳ τινὶ ῥυθμῷ καὶ μέλει· πλὴν τοῦτο μὲν ἴσως οὐδὲν ἡμᾶς δεῖ μιμεῖσθαι, τὴν δὲ διάνοιαν αὐτὴν ἀπομνησθῆναι πειρασόμεθα. ἔλεγε δὲ ὑμνῶν τόν τε Δία καὶ τοὺς ἄλλους θεοὺς, ὡς ἀγαθοί τε εἰσὶ καὶ φιλοῖεν ἡμᾶς,

40) ταῦτα] significat totam illam fabulam, de orbe terrarum, ingenti illo carcere, in quem detrusus homo sit, a p. 550, 9. huc vsque continuatam; cuius fabulae auctorem vere appellat hominem tristem, morosum, querulum.

ἡμᾶς, ἅτε δὴ ξυγγενεῖς ὄντας [41]) αὐτῶν. ἀπὸ γὰρ τῶν θεῶν, ἔφη, τὸ τῶν ἀνθρώπων εἶναι γένος· οὐκ ἀπὸ Τιτάνων, οὐδ' ἀπὸ Γιγάντων. ὅτε γὰρ τὰ σύμπαντα ἔσχον [42]), ὥσπερ ἀποικίαν τινὰ αὐτῶν, ἐν τῇ γῇ ἐρήμῳ κατοικίσαι τοὺς ἀνθρώπους, ἐφ' ἧττοσι τιμαῖς καὶ ὄλβῳ, δικαίοις δὲ καὶ νόμοις τοῖς αὐτοῖς· ὥσπερ αἱ μεγάλαι πόλεις καὶ εὐδαίμονες τὰς μικρὰς κατοικίζουσι (καί μοι ἐδόκει λέγειν, οὐ προστιθεὶς αὐτὸς τὰ ὀνόματα, οἷον Ἀθηναῖοι Κυθνίους, ἢ Σεριφίους, ἢ Λακεδαιμόνιοι Κυθηρίους τὸ παλαιόν, ἐπὶ νόμοις τοῖς αὐτοῖς ᾤκισαν·) καὶ μιμήματά γε παρ' ἑκάστοις τούτοις ἰδεῖν ἐστι τῶν ἐθῶν [43]), καὶ τῆς πολιτείας, ἣν οἱ κτίσαντες ἔχουσιν. ἀσθενῆ δὲ πάντα καὶ χείρονα· τὴν μέντοι διαφορότητα οὐκ ἴσην εἶναι. τοὺς μὲν γὰρ ἅτε ἀνθρώπους ἀνθρώπων διαφέρειν, τὴν δὲ τῶν θεῶν ὑπεροχὴν πρὸς ἡμᾶς ἄπειρόν τινα εἶναι. μέχρι μὲν οὖν ἔτυχε νεοκατάστατος ὢν ὁ βίος, τοὺς θεοὺς αὐτούς τε παραγίγνεσθαι, καὶ πέμπειν ὥσπερ ἁρμοστὰς παρ' αὐτῶν, ἄρχοντας [44]) τοὺς ἐπιμελησομένους· οἷον Ἡρακλέα τε καὶ Διόνυσον

καὶ

41) Ven. et M. dant ἐόντας. Ionismus a Dione alienus, quare ὄντας praetuli. forte illud ε transferendum est ad proximum αὐτῶν, vt sit ὄντας ἑαυτῶν.

42) ἔσχον] id est κατέσχον *obtinebant* regno et imperio.

43) τῶν ἐθῶν] sic recte Anglus, et statim post οἱ κτίσαντες. posterius etiam interpretem non fugerat. sed superesse videtur adhuc mendum in τούτοις. estne graecum παρ' ἑκάστοις τούτοις? putem equidem παρ' ἑκάστοις τούτων. *apud horum singulos quosque.* τῶν θεῶν — οἰκτίσαντες Ven. et Mor.

44) malim ἢ ἄρχοντας. Vt supra vers. 9 et 10. Athenienses et Lacedaemonios exempli ergo proposuerat, sic eorundem magistratus, in colonias et alia ditionis Atticae Spartanaeque oppida mitti solitos, etiam hic exempli causa affert; notum enim est, eiusmodi praetores in prouincias missos, a Spartanis Harmostas, ab Atheniensibus Archontas fuisse vsurpatos.

καὶ Περσέα, καὶ τοὺς ἄλλους, οὓς ἀκούομεν 45) θεῶν παῖδας, τοὺς δὲ ἐκγόνους, γενέσθαι παρ' ἡμῖν· ἔπειτα ὕστερον ἐᾶσαι δι' αὐτῶν οἰκεῖν, ὅπως ἂν δυνώμεθα. καὶ τότε δὴ τὰ ἁμαρτήματα καὶ τὰς ἀδικίας ξυμβαίνειν. ᾖδε δὲ καὶ ἑτέραν ᾠδήν· ὡς ὁ μὲν κόσμος οἶκός ἐστι πάνυ καλός τε καὶ θεῖος, ὑπὸ θεῶν τε κατεσκευασμένος 46),. ὥσπερ 47) ὑπὸ τῶν εὐδαιμόνων τε καὶ πλουσίων καλουμένων ἀνδρῶν οἴκους τινὰς ὁρῶμεν κατεσκευασμένους, σταθμοῖς καὶ κίοσι καὶ χρυσῷ καὶ γραφαῖς τὴν ὀροφὴν καὶ τείχη καὶ θύραν εἰργασμένας 48)· ὁμοίως γεγονέναι τὸν κόσμον εἰς ὑποδοχήν τε καὶ εὐφροσύνην ἀνθρώπων, εὐειδῆ καὶ ποικίλον, ἄστροις τε καὶ ἡλίῳ, καὶ σελήνῃ, καὶ γῇ, καὶ θαλάττῃ, καὶ φυτοῖς, ἃ δὴ τοῦ θεῶν πλούτου καὶ τέχνης τῆς ἐκείνων ἐστί. παραγίνεσθαι δὲ τοὺς ἀνθρώπους εἰς αὐτὸν ἑορτάσοντας, ὑπὸ τοῦ βασιλέως τῶν θεῶν κεκλημένους ἐπ' εὐωχίαν τινά τε 49) καὶ θοίνην λαμπράν, ἁπάντων ἀπολαύσοντας τῶν ἀγαθῶν. κατακεῖσθαι δὲ ἄλλους ἀλλαχῇ, καθάπερ ἐν δείπνῳ· τοὺς μὲν ἀμείνονος χώρας, τοὺς δὲ φαυλοτέρας τυ-

χόν-

45) aut post ἀκούομεν, aut post θεῶν, deesse videtur τοὺς μέν. *alios liberos, alios nepotes deorum.*

46) malim ἅτε ὑπὸ θεῶν κατεσκ.

47) post ὥσπερ videtur γὰρ deesse.

48) Casaubonus corrigit εἰργασμένους, quod referendum sit ad οἴκους. recte id quidem, verum haud satis est; plura enim h. l. in mendo cubare videntur. forte sic locum constituas: γραφαῖς εἰς τὴν ὀροφὴν καὶ τοὺς τοίχους καὶ τὰς θύρας εἰργασμένους. *picturis exornatas, aliis lacunaribus, aliis parietibus, aliis ianuis illitis.* aut sic saltim: ὀροφήν, καὶ τοίχους καὶ θύρας εἰργ. videtur enim Dio in more habuisse, vt, primo substantiuo cum articulum apposuisset, satis id haberet, caeteris eum detraheret. exemplum habes p. 558, 11. τούς τε λειμῶνας, καὶ πεδία (non καὶ τὰ πεδία) καὶ νάπας καὶ ἀκτάς.

49) Venetae deest τινά. ego vero malim τε expungi.

χόντας· εἶναι δὲ πάντα ὅμοια τοῖς παρ' ἡμῖν γιγνομένοις ἐν ταῖς ὑποδοχαῖς· πλὴν ὡς μικροῖς καὶ ἀγεννέσι θεῖα καὶ μεγάλα εἰκάσαι. φῶς τε γὰρ παρ' 50) ἡμῖν παρέχειν τοὺς θεοὺς διττὸν, διὰ λαμπτήρων τινῶν· τοτὲ μὲν πλεῖον, τοτὲ δὲ ἔλαττον, τὸ μὲν νυκτὸς, τὸ δὲ ἡμέρας. καὶ παρακεῖσθαι δὴ τραπέζας, πάντων μεστὰς, σίτου τε καὶ ὀπώρας, τῆς μὲν αὐτομάτου, τῆς δὲ εἰργασμένης· ἔτι δὲ καὶ κρεῶν, τῶν μὲν ἡμέρων, τῶν δὲ ἀγρίων, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐκ θαλάττης. εἶναι δὲ τὰς τραπέζας, ἔφη, πάνυ ἀγροίκως λέγων, τούς τε λειμῶνας καὶ πεδία καὶ νάπας καὶ ἀκτὰς, ἐν οἷς τὰ μὲν φύεσθαι, τὰ δὲ νέμεσθαι, τὰ δὲ θηρᾶσθαι. ἄλλα δὲ ἄλλοις πλείονα παρεῖναι, πρὸς αἷς ἂν ἕκαστοι τραπέζαις κατακλιθῶσι. τοὺς μὲν γὰρ πρὸς θαλάττῃ τυχεῖν 51), τοὺς δὲ πρὸς πεδίοις, τοὺς δὲ πρὸς ὄρεσι. διακονεῖσθαι δὲ τὰς Ὥρας, οἷα δὴ νεωτάτας οὔσας τῶν θεῶν, εὖ μὲν ἀμπεχομένας, καλὰς δὲ ἰδεῖν· οὔτι που χρυσῷ κεκοσμημένας, ἀλλὰ παντοίων ἀνθῶν στεφάνοις. διανέμειν δὲ καὶ τῶν ἀνθῶν αὐτῶν, καὶ τἆλλα ἐπιμελεῖσθαι τῆς ἑστιάσεως· τὰ μὲν παρατιθείσας, τὰ δὲ αἱρούσας κατὰ καιρόν. γίνεσθαι δὲ χοροὺς 52), καὶ τὴν ἄλλην εὐπάθειαν ἅπασαν. τὸν μέντοι πόνον 53) τοῦτον, ὃν ἔχειν δοκοῦμεν,

50) παρ' dele.

51) τυχεῖν] scil. κατακεκλιμένους.

52) malim γίνεσθαι δὲ καὶ χορούς.

53) πόνον] dudum ante id videram, et in meo opusculo Dioneo publice significaueram ita mihi videri legendum esse, quam in mentem venit, id quod nuper modo factum est, vt inspicerem varietatem lectionis Venetae, vbi claris literis πόνον exaratum reperi. Quam varietatem si inspicere curassent interpres Naogeorgus atque Casaubonus, poterant turpem lapsum euitare. Sententia loci haec est: *Laborem, quem ex agro colendo, et conserendo, capturaque ferarum et piscium capere videamur, haud maiorem*

κοῦμεν, γεωργίαις τε καὶ θήραις καὶ φυτείαις, εἶναι τοσοῦτον, ὅσον τοῖς κατακειμένοις, τὸ ἐπορέξασθαί τινος, καὶ τῇ χειρὶ λαβεῖν. τοῦ δὲ 54), ἔφη, ἄλλον ἀλλαχῇ κατακεῖσθαι, τούτου καὶ ἡ κρᾶσις τῶν ἀέρων αἰτία. τοὺς γὰρ πρώτους καὶ τοὺς ὑστάτους μᾶλλον τῶν ἄλλων εἶναι, τοὺς μὲν ἐν ψύχει, τοὺς δὲ ἐν ἀλέᾳ· τοὺς μὲν ἐγγὺς τοῦ φωτὸς ὄντας, τοὺς δὲ πόῤῥω. τῇ οὖν εὐφροσύνῃ καὶ τῇ εὐωχίᾳ χρῆσθαι οὐχ ἅπαντας ὁμοίως, ἀλλ' ἕκαστον κατὰ τὴν αὑτοῦ φύσιν. τοὺς μὲν γὰρ ἀσώτους καὶ ἀκρατεῖς οὔτε ὁρᾶν οὐδὲν, οὐδὲ ἀκούειν οὐδενὸς, ἀλλὰ ἐγκεκυφότας ἐσθίειν, ὥσπερ ἐν συφεῷ ὗς, ἔπειτα νυστάζειν. τινὰς δὲ αὐτῶν μὴ ἀρκεῖσθαι τοῖς παροῦσιν, ἀλλὰ ἐπὶ τὰ πορρωτέρω διατείνειν τὰς χεῖρας· οἷον, μεσογείους ὄντας, ἰχθύων ὀρέγεσθαι καὶ πράγματα ἔχειν· ἄλλους δὲ ἀπλήστους τε καὶ ἀθλίους ὄντας, φοβουμένους, μή ποτε αὐτοῖς ἐλλείπῃ, πρὸς αὑτοὺς συνάγειν καὶ σωρεύειν οὓς 55) ἂν δύνωνται. καὶ μετὰ ταῦτα, ὅταν αὐτοὺς ἀπιέναι δέῃ, πορεύεσθαι μηδενὸς μετασχόντας, ἀλλὰ πάνυ ἐνδεεῖς, καὶ καταλείπειν δὲ ταῦτα ἑτέροις· οὐ γὰρ εἶναι φέρεσθαι μεθ'

iorem esse, quam iste est conuiuarum labor, si manus ad dapes appositas extendant. textum Ven. et Mor. dant τόπον.

54) Ven. et Mor. dant ὧδε, Casaubonus vult ὅδε; quod idem reperio etiam a viro docto in margine Venetae meae annotatum; nescio, illincne mutuo sumtum, an de proprio. quicquid id est, haud intelligo, certeque scio alienum esse, et Dionem dedisse τοῦ δὲ — *quod autem, sic pergebat ille senex, alius alibi accumbat, huius rei causa est, praeter alia, etiam in aurarum temperatura.*

55) οὓς] Casaubonus et Anglus malunt ὅσ' aut ὅσα, non male; sed quis fidem nobis praestet, nihil hic deesse. quidsi σωροὺς desit, vel θησαυροὺς, quo illud οὓς referatur. vir doctus in margine Venetae meae ἃ annotauerat, *quaecunque.*

μεθ' ἑαυτῶν 56). τούτους μὲν οὖν καταγελᾶσθαί τε καὶ ἀσχημονεῖν. ἑτέρους δὲ πεττεύειν, τοὺς δὲ ἀστραγάλοις παίζειν· εἶναι δὲ τοὺς πεττοὺς τε καὶ ἀστραγάλους, οὐχ οἵους ἡμεῖς ὀνομάζομεν, ἀλλὰ τοὺς μὲν χρυσοῦς, τοὺς δὲ ἀργυροῦς, ὃ δὴ νόμισμα καλοῦμεν ἡμεῖς, ὑπὲρ οὗ διαφέρεσθαι καὶ ζητεῖν ἕκαστον πλεονεκτεῖν. πλεῖστον δὴ 57) θόρυβον καὶ ἀκοσμίαν τούτους παρέχειν τοὺς δὴ κυβεύοντας, καὶ δοκεῖν τῶν συμποτῶν ἀηδεστάτους. ἐνίοτε δὲ καὶ μάχεσθαι καὶ εἰς χεῖρας ἰέναι, καὶ τιτρώσκειν ἀλλήλους. μάλιστα δὲ τοὺς μεθυσκομένους ταῦτα δρᾶν. μεθύσκεσθαι δὲ οὐκ ἀπὸ οἴνου, καθάπερ τοὺς παρ' αὐτοῖς 58), ἀλλ' ὑφ' ἡδονῆς. τοῦτο γὰρ ἐν τῇ κοινῇ ἑστιάσει τὸ πόμα παρέχειν τοὺς θεοὺς, ὥστε ἐξελέγχεσθαι τὸν ἑκάστου τρόπον. δύο δὲ οἰνοχόους ἐφεστάναι, τὸν μὲν ἄῤῥενα, τὴν δὲ θήλειαν· ὀνομάζεσθαι δὲ αὐτοῖν τὸν μὲν Νοῦν, τὴν δὲ Ἀκράτειαν. τοὺς μὲν οὖν φρονίμους τὸν ἄῤῥενα οἰνοχόον ἔχειν, καὶ παρ' ἐκείνου μόνον τούτους 59) δέχεσθαι, σπανίως τε καὶ σμικραῖς κύλιξι, καὶ πάνυ ἀσφαλῶς κεκραμένον. κεῖσθαι γὰρ ἕνα κρατῆρα, τόν γε τῆς Σωφροσύνης 60). ἑστάναι γὰρ πολλοὺς ἐν τῷ μέσῳ καὶ διαφέροντας τῇ γεύσει, ὥσπερ οἴνων πολλῶν· εἶναι δὲ αὐτοὺς ἀργυροῦς τε καὶ χρυσοῦς.

56) malim καὶ καταλ. πάντα ταῦτα ἑτ. οὐ γὰρ οἵους τε εἶναι φέρ. — *relinquere haec omnia aliis; neque enim posse secum auferre.*

57) aut plane delendum est δή, aut cum δὲ copulandum, vt sit πλεῖστον δὲ δή.

58) τοὺς παρ' αὐτοῖς] *apud se*, h. e. apud homines, quales essent illi, inter quos viueret ille senex, cui in acceptis refertur illa fabula.

59) τούτους] τοὺς φρονίμους puta.

60) post σωφροσύνης videtur aliquid de voluptate deesse, e. c. τὰ δὲ τῆς ἡδονῆς ἄλλως ἔχειν. *de voluptate autem aliter habere.* ἑστάναι γὰρ αὐτῇ πολλοὺς ἐν τῷ μέσῳ *eius enim crateras prostare multos.*

σοῦς. ἔτι δὲ καὶ ζῶα 61) ἔξωθεν κύκλῳ ἔχειν, καὶ ἕλικάς τινας καὶ τορείας. τὸν δὲ τῆς Σωφροσύνης, λεῖόν 62) τε καὶ οὐ μέγαν, καὶ, ὡς ἂν εἰκάσαι τις ὁρῶν, χαλκοῦν. δεῖ οὖν ἐκεῖθεν πολλαπλάσιον 63) λαμβάνοντας καὶ ξυγκεραννύντας σμικρόν τι τῆς ἡδονῆς πίνειν. οἷς μὲν οὖν ἐστιν ὁ Νοῦς οἰνοχόος, οὗτος οἰνοχοεῖ φοβούμενος καὶ προσέχων, μή πη, τῆς κράσεως ἁμαρτών, σφήλῃ τὸν δαιτυμόνα καὶ καταβάλλῃ 64). τὴν δὲ Ἀκράτειαν τοῖς μὲν πλείστοις ἄκρατον τὴν ἡδονὴν ἐγχεῖν, μηδὲ σμικρὸν σωφροσύνης παραμιγνύουσαν· τοῖς δὲ ὀλίγον τι παντελῶς, λόγου ἕνεκεν. τοῦτο δὲ εὐθὺς ἐξίτηλον γίγνεσθαι, καὶ μηδαμοῦ φαίνεσθαι. τοὺς δὲ πίνοντας μὴ διαλείπειν, ἀλλ' ἐπισπέρχειν 65) τε αὐτὴν καὶ κελεύειν θᾶττον ἰέναι παρ' αὐτούς, καὶ προαρπάζειν ἕκαστον. τὴν δὲ ἐπείγεσθαι καὶ περιτρέχειν ἀσθμαίνουσαν καὶ ῥεομένην ἱδρῶτι. τοὺς μὲν οὖν ἐκείνης ἑστιάτορας ὀρχεῖσθαί 66) τε καὶ κυλίεσθαι προσπίπτοντας ἐν τῷ μέσῳ, καὶ μάχεσθαι καὶ βοᾶν, οἷα δὴ ποιοῦσιν οἱ μεθυσθέντες ὑπὸ οἴνου· πλὴν οὗτοι 67) μὲν ἐπ' ὀλίγον καὶ μετρίως· μικρὸν γὰρ ἐξαρκεῖ 68) καταδαρθεῖν·

61) ζῶα] v. Theocrit. Idyll. I.

62) λεῖον] *laeuem*, *glabrum*, non aſperum ſignis exſtantibus.

63) πολλαπλάσιον] ſcil. μέρος. portionem temperantiae, quae portionem voluptatis permultis partibus excedat.

64) f. καταβάλῃ propter proximum σφήλῃ, aut alias etiam σφάλλῃ legendum erit.

65) ἐπισπέρχειν] iubere τὴν ἀκράτειαν, intemperantiam, citius ire, et poculum ſibi quam ocyſſime afferre.

66) In Ven. eſt ὀργεῖσθαι vitioſe; vnde natum interpretis *iraſci*.

67) οὗτοι] *hi*, qui a vino, quale vites ferunt, temulenti fiunt. ſubaudi *haec faciunt*.

68) ἐξαρκεῖ] ſic vir doctus in margine Venetae meae. *ſufficit* ad recipiendam ſobrietatem et ſanitatem mentis. v. p. 562, 7. ὠφελεῖ. Ven. et Mor. dant ἐξαρκῇ.

θεῖν 69) · ἔπειτα ἄμεινον ἑαυτῶν ἔχουσιν, ἅτε ἐλαφρᾶς οὔσης τῆς μέθης. οἱ δὲ ὑπὸ τῆς ἡδονῆς καρωθέντες, ὡς ἂν ὑπὸ ἰσχυροτέρου πόματος κατεχόμενοι, δι᾽ ὅλου τοῦ βίου ταῦτα ποιοῦσι, καὶ οὐκ ἔστιν ἀπαλλαγῆναι ζῶσιν, εἰ μή γε ἀποθάνωσιν. οὔτε γὰρ ὕπνος ἐστὶ τῶν οὕτω μεθυσκομένων, καὶ μόνος αὐτοὺς ὠφελεῖ. πολλοὶ δὲ 70) καὶ ἐξεμοῦσιν ὑπὸ πλησμονῆς· γίνεται δὲ μετὰ σπαραγμοῦ τε καὶ λύπης τῆς ἐσχάτης, τὸ τὴν ἡδονὴν ἐκβάλλειν. ὅστις δ᾽ ἂν ἰσχύσῃ, κουφίζεται καὶ ῥᾷον διάγει 71) τὸ λοιπόν. σπανίως δὲ τοῦτο συμβαίνει, τὸ ἐθέλειν ἐξεμεῖν. ἀλλὰ πολὺ μᾶλλον πίνειν ἐθέλουσιν· οὐδὲ γὰρ παύονται τοῦ δίψους, ἀλλ᾽ ἀεὶ σφοδρότερον ἔχουσιν. οἱ μὲν οὖν τοιοῦτοι εἰσὶ 72), καὶ καταισχύνουσι καὶ ὑβρίζουσι τὴν χάριν τῶν θεῶν. οἱ δὲ μέτριοί τε καὶ ἐπιεικεῖς τῇ μὲν ἡδονῇ πράως χρῶνται καὶ διὰ χρόνου, φοβούμενοι. ὥσπερ δὲ ἄνθρωπος ἐλεύθερος, κληθεὶς ὑπό τινων τῶν κρειττόνων, βασιλέως, ἢ δυνάστου, τοῦ μὲν ἐσθίειν καὶ πίνειν ἀμελεῖ, πλὴν ὅσον ἀναγκαῖον, προσέχει δὲ τοῖς ἔνδον καὶ τούτοις τέρπεται· κἀκεῖνοι 73) μέθης μὲν καὶ πεττῶν καὶ ἀστραγάλων ἀμελοῦσιν, ὁρῶσι δὲ τἄνδον ὅπως ἔχῃ 74), καὶ τόν τε ἀνδρῶνα, ἐν ᾧ κατάκεινται, θαυμάζουσί τε καὶ ζητοῦσιν, ὅπως γέγονε, καὶ τὰ ἐν αὐτῷ πάντα, ὥσπερ γραφάς τινας εὐειδεῖς καὶ καλάς, κατανοοῦσι, καὶ

τὴν

69) καταδαρθεῖν] sic recte Ven. καθαδαρθεῖν Mor.

70) δὲ] δὴ Mor.

71) διάγει] sic recte Ven. διάγῃ Mor.

72) οἱ μὲν — εἰσί] potest ferri, et accipi, quomodo interpres accepit. *hi quidem sunt huiusmodi.* ego tamen potius suspicor deesse ὑβρισταί, vel tale quid. *hi quidem, cuiusmodi dixi, sunt insolentes et contumeliosi atque ingrati.*

73) κἀκεῖνοι] scil. οἱ ἐπιεικεῖς καὶ μέτριοι.

74) malim ἔχει.

τὴν ἄλλην οἰκοδομίαν 75) τε καὶ τάξιν, καὶ τὰς ὥρας, ὡς εὖ τε καὶ ἐπισταμένως ἅπαντα πράττουσι, καὶ προσέχουσιν αὐτοῖς, καὶ μόνοι δὴ τοῦ κάλλους αἰσθάνονται. μέλει δ' αὐτοῖς, ὅπως μὴ δοκῶσιν ὡς τυφλοί τε καὶ κωφοὶ μετειληφέναι τούτων, ἀλλὰ καὶ ἀπαλλαγέντες ἔχωσί τι εἰπεῖν περὶ αὐτῶν, εἴ τις πυνθάνοιτο, ἅ τε εἶδον, ἅ τε ἔγνωσαν. καὶ ταῦτα φροντίζοντες καὶ μετὰ νοῦ τῆς ἡδονῆς ἐμμελῶς μετέχοντες διάγουσιν, εἷς ἑνὶ διαλεγόμενοι, καὶ κατὰ δύο καὶ τρεῖς, ὅμοιοι 76). ἐνίοτε δὲ μεγάλης κραυγῆς γενομένης καὶ θορύβου παρὰ τῶν μεθυόντων, κἀκεῖσε ἀπέβλεψαν. ἔπειτα εὐθὺς πάλιν πρὸς ἑαυτοὺς ἐγένοντο 77). καὶ ὅπη δ' ἂν 78) ἀπιέναι δέῃ, οἱ μὲν ἄσωτοι καὶ ἀκρατεῖς ὑπὸ τῶν ἀκολουθέντων ἕλκονται, καὶ σύρονται μετὰ πόνων τε καὶ νοσημάτων κεκραγότες καὶ οἰμώζοντες, οὐδὲν εἰδότες, οὔτε ὅπη παρῆλθον, οὔτε ὅπως εἱστιάθησαν· κἂν πάνυ τις αὐτῶν πολὺν μείνῃ χρόνον. οἱ δὲ 79) ὀρθοί τε καὶ ἀσφαλῶς τοῖς ἑαυτῶν ποσὶν ἀπίασιν, προσαγορεύσαντες τοὺς φίλους, φαιδροί τε καὶ γεγηθότες, ὡς οὐδὲν ἀσχημονήσαντες. ταῦτα οὖν ὁ θεὸς ἐπισκοπῶν καὶ πάντα ὁρῶν, ὡς ἐν ἰδίῳ οἴκῳ, ὅπως ἕκαστος εἱστιᾶτο, τοὺς βελτίστους ἀεὶ παρ' αὐτὸν καλεῖ, κἄν τῷ 80) σφόδρα ἀρεσθεὶς τύχῃ, μένειν αὐτοῦ κελεύει, καὶ συμπότην καὶ ἑταῖρον ἐποιήσατο, καὶ τοῦ νέκταρος ἤδη οὗτος εὐωχεῖται. τοῦτο δὲ ἔοικε μὲν τῷ τῆς

75) malim οἰκονομίαν.
76) ὅμοιοι bene habet. *similes inter se animis et moribus.*
77) πρὸς ἑαυτοὺς ἐγ.] *ad sese suasque res rursus redeunt.* vsurpatur quidem in hac sententia frequentius datiuus; neque tamen ideo accusatiuum damnauerim.
78) aut καὶ ὁπηνίκ' ἂν leg. aut, quod malim, καὶ ἐπειδὰν.
79) οἱ δὲ] *isti vero alteri*, temperantes puta et sapientes.
80) τῷ] imo vero τῳ enclitice. *si quopiam eorum prae ceteris delectetur.*

σωφροσύνης πόματι· διαυγέστερον δέ ἐστιν ἐκείνου πολὺ καὶ καθαρώτερον, ὡς ἄν, οἶμαι, θείας ἂν καὶ ἀληθοῦς σωφροσύνης“ [81]). παπαὶ, ὦ Χαρίδημε, οἷος ὢν ἡμῖν τέθνηκας, ὡς πολὺ τῶν κατὰ σαυτὸν ἀνθρώπων ὑπερέξειν ἔμελλες· οἵαν δὲ καὶ τῷ πατρὶ καὶ τοῖς πολίταις ἐπίδειξιν σαυτοῦ παρέσχες· μὰ Δί’ οὐ λόγων, ἀλλὰ μεγάλης καὶ ἀληθινῆς ἀνδρείας. ἐγὼ μὲν οὐκ ἔχω, ὅπως παραμυθήσομαι ὑμᾶς τοιούτου στερηθέντας, μὴ βαρέως φέρειν. οὐδὲ γὰρ ἐμαυτὸν οἷός τε εἰμὶ ἱκανῶς [82]) παραμυθήσασθαι ἐν τῷ παρόντι. σὺ δὲ, ὦ Τίμαρχε, μόνος δύνασαι τὸν πατέρα τοῦτον κουφίζειν, καὶ θεραπεύειν αὐτοῦ τὴν ἀτυχίαν, ἐὰν μέλῃ [83]) σοὶ, μὴ πολὺ ἐκείνου καταδεεστέρῳ φαίνεσθαι. καὶ γὰρ ἄτοπον, εἰ τὴν μὲν οὐσίαν αὐτοῦ, τὴν μὲν ἤδη παρείληφας, τοσαύτην οὖσαν, τὴν δὲ αὖθις λήψῃ, τοῦδε [84]) ἀποθανόντος, τὴν δὲ σωφροσύνην καὶ τὸ θάρσος καὶ τὸ τῶν καλλίστων ἐρασθῆναι ἀφήσεις, ὡς κατὰ ταῦτα, οὐδὲν ἐκείνῳ προσήκων.

81) σωφροσύνης] in hac voce desinit oratio Charidemi, quam totam a capite ad calcem ab oratione reliqua Dionis distinxit editio Veneta signis his „ versui cuique praefigendis.

82) ἱκανῶς] sic Veneta. ἱκανὸς Mor.

83) μέλῃ] Mor. dat μέλλῃ.

84) τοῦδε] scil. τοῦ σοῦ πατρός.

ῬΟΔΙΑΚΟΣ.

ΛΟΓΟΣ ΛΑ'.[1])

Εἰκὸς μὲν, ὦ ἄνδρες Ῥόδιοι, τοὺς πολλοὺς ὑμῶν, ἐμὲ νομίζειν ὑπὲρ ἰδίου τινὸς πράγματος ἐντευξόμενον ὑμῖν, ἀφῖχθαι· ὥστε, ἐπειδὴ αἴσθησθε τῶν ὑμετέρων τι κοινῶν ἐγχειροῦντα ἐπανορθοῦν, δυσχερανεῖτε ἴσως· εἰ μήτε πολίτης ὢν, μήτε κληθεὶς ὑφ' ὑμῶν, ἔπειτα ἀξιῶ συμβουλεύειν, καὶ ταῦτα ὑπὲρ οὐδενὸς, ὧν σκεψόμενοι συνεληλύθατε. ἐγὼ δὲ ἂν μὲν ὑμῖν ἀκούσασι, μηδὲν τῶν δεόντων, ἢ περί τινος τῶν μὴ πάνυ ἀναγκαίων φανῶ λέγων, δικαίως ἂν ἀμφότερα φημὶ δόξειν, ἅμα εὐήθης καὶ περίεργος· ἐὰν δ' [2]) ὡς οἷόν τε, καὶ περὶ μεγίστου πράγματος, καὶ τούτου σφόδρα [3]) φαύλως ἔχοντος, ὥστε δημοσίᾳ τὴν πόλιν ἀπ' αὐτοῦ διαβεβλῆσθαι, καὶ πάντας ὑμᾶς, ἐπὶ πᾶσι τοῖς ἄλλοις εὐδοκιμοῦντας, καθ' ἓν τοῦτο δόξης οὐ προσηκούσης τυγχάνειν· εἰκότως ἄν μοι χάριν ἔχοιτε, καὶ νομίζοιτε εὔνουν ἑαυτοῖς. δῆλον γὰρ, ὡς, εἰ μὴ πάνυ τις ὑμᾶς [4]) ἀγαπᾷ, τοῖς γε ἄλλοις [5]) οὐθὲν μέλει δήπου, τῶν ὑμῖν τινα φερόντων αἰσχύ-

1) ad argumentum huius orationis expediet locos insignes, vnum Diodori Siculi T. II. p. 474. alterum Ciceronis Verrina II. inspicere (p. 65, 66, ed. Ern.), vnde constabit, Rhodios, quorum sordes Dio hac oratione perstringit, maioribus fuisse dissimiles. Orestae statuam D. Augusti nomine inscriptam memorat Pausanias p. 148.

2) ἐὰν δ'] scil. φανῶ λέγειν, quod tacite est repetendum.

3) malim καὶ τούτου οὕτω σφόδρα.

4) ὑμᾶς] sic recte Casaubonus. ἡμᾶς Ven. et Mor.

5) τοῖς γε ἄλλοις bene habet, et recte est a Casaubono expositum, notante interpretis errorem, qui expressit in latinis τῶν γε ἄλλων, quod in margine meae Venetae a viro docto, forte ab ipso Naogeorgo, adscriptum reperio.

νην, ἢ βλάβην. οὐκοῦν ἄτοπον, εἰ[6] *μὲν ἀργύριόν τις ὑμῖν ἐχαρίζετο ἀφ' ἑαυτοῦ, ξένος, ἢ μέτοικος, τοῦτον μὲν οὐκ ἂν ἡγοῖσθε περίεργον, ὅτι, μηδὲν προσήκειν δοκῶν, ἐφιλοτιμεῖτο, μηδ' ὑμῶν ἀπαιτούντων· συμβουλεύοντος δέ τι τῶν χρησίμων, δυσχερέστερον ἀκούσεσθε*[7]*· ὃς ἂν μὴ τύχῃ κληθεὶς, ἢ μὴ πολίτης ὑπάρχῃ. καίτοι χρημάτων μὲν οὐδ' ὑμεῖς σφόδρα ἴσως ἐν τῷ παρόντι δεῖσθε, καὶ μυρίους ἔστιν εὑρεῖν, οἷς μᾶλλον ὠφελοῦσι τῶν ὄντων συνέφερε· γνώμης δὲ ἀγαθῆς, οὐκ ἔστιν οὐδεὶς, ὁ μὴ δεόμενος, ἐν παντὶ καιρῷ καὶ πρὸς ἅπαντα τὸν βίον, οὐδ' ὁ κάλλιστα πράττειν δοκῶν. εἰ μὲν οὖν περί τινος τῶν προκειμένων*[8] *ἔλεγον, οὐθὲν ὑπ' ἐμοῦ τηλικοῦτον*[9] *ὠφελεῖσθε*[10]*· εἰκὸς γὰρ ἦν καὶ καθ' αὐτοὺς ὑμᾶς τὸ δέον*[11] *σκοποῦντάς γε ἅπαξ· ἐπεὶ δὲ, ὑπὲρ οὗ μηδὲ ζητεῖτε τὴν ἀρχὴν, ὅπως ποτὲ ἔξει*[12]*, τοῦτό φημι δείξειν*[13] *αἴ-*

σχιστα

6) *εἰ* —] debebat hoc *εἰ* ex ordinaria et consueta dicendi ratione bis esse positum ad hunc modum: *ἄτοπον, εἰ τοῦτον μὲν οὐκ ἂν ἡγοῖσθε περίεργον, εἴ τις* [id est *ὅστις*] *ὑμῖν ἀργύριον ἐχαρίζετο.* Sed sic solent in eiusmodi exemplis graeci, quod ad Lysiam et Demosthenem pluribus demonstratum dedi.

7) malim *ἀκούσαισθε.* post quod vocabulum est *τούτου* subaudiendum, ob sequens *ὅς.* ineptias scholiastae, culus longum, non locum, sed logum, hic affert Morellus, ipsemet mirans et improbans loquacitatem obscuram, haud intelligo.

8) *προκείμενα* hic sunt res, de quibus deliberatur, positae in medio, quaerendi ergo.

9) *οὐθὲν — τηλικοῦτον*] *nil tantum*, h. e. non adeo magnopere, vt operae pretium referat.

10) malim *ὠφελοῖσθε.* praeterea velim *ἂν* addi. *οὐθὲν ἂν ὑπ' ἐμοῦ* — *non valde multum, quod vos iuuet, a mea suasione proficiatis.*

11) post *τὸ δέον* recte vidit Casaubonus addendum esse *εὑρήσειν*, vel simile quid.

12) *ἔξει*] malim *ἔχει.*

13) *φημὶ δείξειν*] *ago et prae me fero, me planum esse facturum, id fieri turpiter.*

σχιστα γιγνόμενον· πῶς οὐκ ἂν εἴην παντελῶς ὑμῖν χρήσιμον πρᾶγμα πεποιηκὼς, ἐὰν ἄρα μὴ φανῶ ψευδόμενος· νομίζω δ' ἔγωγε, πάντας μὲν προσήκειν ἀποδέχεσθαι τῶν δι' εὔνοιαν ὁτιοῦν λεγόντων, καὶ μηδένα ὀχληρὸν ποιεῖσθαι τῶν τοιούτων· μάλιστα δὲ ὑμᾶς, ἄνδρες Ῥόδιοι. δῆλον γὰρ, ὅτι τούτου χάριν σύνιτε βουλευόμενοι καθ' ἡμέραν (καὶ οὐ, καθάπερ ἄλλοι, δυσκόλως καὶ διὰ χρόνου, καὶ τῶν ἐλευθέρων τινὲς εἶναι δοκούντων,) ὅπως ὑμῖν ᾖ σχολὴ περὶ πάντων ἀκούειν, καὶ μηδὲν ἀνεξέταστον παραλίπητε. ταυτὶ μὲν οὖν ἀναγκαῖον προειπεῖν [13b]), ὥστε τὴν ἀρχὴν ὑμᾶς ἐπὶ τοῦ πράγματος γενέσθαι· νυνὶ δὲ ἐπ' αὐτὸ βαδιοῦμαι· τοσοῦτον ὑπειπὼν, ὅτι ποι προσήκειν δοκεῖ, πάντα μὲν [14]) πράττειν δικαίως καὶ καλῶς κατὰ τὸν βίον· ἄλλως τε τοὺς [15]) δημοσίᾳ ποιοῦντας ὁτιοῦν· οὐ μόνον ἐπειδὴ τὰ κοινὰ ὑπάρχει φανερώτερα, ὧν ἂν ἕκαστος ἰδίᾳ πράττῃ μὴ δέον, ἀλλὰ καὶ δι' ἐκεῖνο, ὅτι τὰ μὲν τῶν ἰδιωτῶν ἁμαρτήματα οὐκ εὐθὺς ἀποφαίνει [16]) τὴν πόλιν φαύλην, ἐκ δὲ τῶν δημοσίᾳ γιγνομένων οὐχ ὃν προσήκει τρόπον, ἀνάγκη δοκεῖν καὶ τοὺς καθ' ἕνα μοχθηρούς. ὁποῖοι γὰρ ἂν ὦσιν οἱ πλείους ἐν δημοκρατίᾳ, τοιοῦτο φαίνεται καὶ τὸ κοινὸν ἦθος· τὰ γὰρ τούτοις ἀρέσκοντα ἰσχύει δήπουθεν, οὐχ ἕτερα. μάλιστα δ' ἂν φαίην ἔγωγε, τοῖς καλλίστοις καὶ σεμνοτάτοις οἰκεῖον εἶναι χρῆσθαι προσέχοντας· παρ' οἷς γὰρ τὰ τοιαῦτα ἀμελεῖται, καὶ κακίαν [17]) τινὰ ἐμφανιεῖ τῆς πόλεως, τῶν τε ἄλλων οὐδὲν οἷόν τε ἐπι-

13b) margo Mor. dat προσειπεῖν.
14) πάντα μὲν] respondet his vers. 4. a fin. μάλιστα δὲ φαίην.
15) malim ἄλλως τε καὶ τοὺς.
16) ἀποφαίνει] sic recte Veneta. ἀποφαίνειν Mor.
17) καὶ κακίαν — τῶν τε ἄλλων] insolentius dictum, nescio, an more quopiam Dioni proprio. nam alii sic solent: κακίαν τε — καὶ τῶν ἄλλων.

ἐπιτηδείως πράττεσθαι. καὶ μὴν ὅτι γε, τῶν πρὸς τοὺς θεοὺς ἐξῃρημένων, ἃ δεῖ μέγιστα ἡγεῖσθαι [18]), τῶν λοιπῶν οὐδέν ἐστι κάλλιον, ἢ δικαιότερον, ἢ τιμᾶν τοὺς ἀγαθοὺς ἄνδρας, καὶ τῶν εὖ ποιησάντων μεμνῆσθαι, νομίζω μηδὲ λόγου δεῖσθαι· καίτοι καὶ τὸ συμφέρον ἐν τούτῳ οὐχ ἥκιστα τὶς ἂν ἴδοι. τοὺς γὰρ σπουδαίους ὄντας περὶ τοὺς εὐεργέτας, καὶ τοῖς ἠγαπηκόσι δικαίως χρωμένους, πάντες ἡγοῦνται χάριτος ἀξίους· καὶ βούλοιτ᾽ ἂν ἕκαστος ὠφελεῖν κατὰ τὴν ἑαυτοῦ δύναμιν ἑκάστους [19]), καὶ πολλοὺς ἔχειν τοὺς εὐνοοῦντας καὶ συμπράττοντας, ὅταν ᾖ καιρὸς, καὶ πόλις πᾶσα καὶ ἰδιώτης [20]) ἀσφαλέστερον διάγει. ταῦτα τοίνυν ἡγεῖσθε, ἄνδρες Ῥόδιοι, πάνυ φαύλως παρ᾽ ὑμῖν ἔχοντα, καὶ τῆς πόλεως οὐκ ἀξίως. τὰ περὶ τοὺς εὐεργέτας λέγω καὶ τὰς τιμὰς τῶν ἀγαθῶν ἀνδρῶν· οὐκ ἀρχῆθεν ὑμῶν οὕτω τῷ πράγματι χρωμένων. πόθεν; τοὐναντίον γὰρ ὥσπερ ἄλλο τι τῶν ὑμετέρων διαφερόντως ἄν τις [21]) ἀποδέξαιτο καὶ θαυμάσειεν. οὕτω μοι δοκεῖτε καὶ τιμῆς [22]) μάλιστα προνοῆσαι· γνοίη δ᾽ ἄν τις εἰς τὸ τῶν εἰκόνων πλῆθος ἀπιδών. μοχθηροῦ δὲ ἄλλως κατεσχηκότος ἔθους ἔκ τινος χρόνου, καὶ μήτε τιμωμένου λοιπὸν

παρ᾽

18) ἃ δεῖ μ. ἡγεῖσθαι] sic recte Casaubonus; quod cum natura rei postulat, tum Veneta quodammodo confirmat, in qua δῆ est exaratum, cum circumflexo. Mor. dat δὴ, et interpres expressit ἡγεῖσθε, quod a viro docto in margine Venetae meae annotatum reperio.

19) ἑκάστους] imo vero αὐτοὺς, τοὺς τοιούτους puta, *eos, qui pietate aduersus sui studiosos vtuntur.*

20) post ἰδιώτης videtur οὕτως excidisse.

21) post τις videtur καὶ τοῦτο desiderari. *vt alia multa vestrorum institutorum atque morum, sic hoc inprimis laudet quis approbetque studium vestrum erga eos, si qui bene de vobis meriti fuerint.*

22) malim καὶ τῆς τούτων [vel τοιούτων] τιμῆς, scil. τῶν ὑμᾶς εὐεργετησάντων.

παρ' ὑμῖν μηδενὸς, εἰ βούλεσθε τἀληθὲς εἰδέναι· τῶν τε προτέρων καὶ γενναίων ἀνδρῶν καὶ περὶ τὴν πόλιν προθύμων, οὐκ ἰδιωτῶν μόνων 23), ἀλλὰ καὶ βασιλέων καί τινων δήμων ὑβριζομένων καὶ τὰς τιμὰς ἀποστερουμένων. ὅταν γὰρ ψηφίσησθε ἀνδριάντα τινί· ῥᾳδίως δὲ ὑμῖν ἔπεισι τοῦτο νῦν ὡς ἂν ἄφθονον ὑπάρχον· ἐκεῖνο μὲν οὐκ ἂν αἰτιασαίμην, τὸ χρόνον τινὰ καὶ διατριβὴν προσεῖναι. τοὐναντίον γὰρ εὐθὺς ἕστηκεν ὃν ἂν εἴποιτε, μᾶλλον δὲ καὶ πρότερον, ἢ ψηφίσασθαι· συμβαίνει δὲ πρᾶγμα ἀτοπώτατον. ὁ γὰρ στρατηγὸς, ὃς ἂν αὐτῷ φανῇ 24) τῶν ἀνακειμένων τούτων ἀνδριάντων, ἀποδείκνυσιν· εἶτα τῆς μὲν πρότερον οὔσης ἐπιγραφῆς ἀναιρεθείσης, ἑτέρου δὲ ὀνόματος ἐγχαραχθέντος, πέρας ἔχει τὸ τῆς τιμῆς, καὶ λοιπὸν τέτευχε τῆς εἰκόνος ὁ δόξας ὑμῖν ἄξιος· πάνυ ῥᾳδίως, οἶμαι, καὶ λυσιτελῶς οὑτωσὶ 25) σκοπουμένοις, ὥστε θαυμαστὴν εἶναι τὴν εὐπορίαν, καὶ τὸ πρᾶγμα εὐχῆς ἄξιον, εἰ μόνοις ὑμῖν ἐστιν, ὃν ἂν βούλοισθε, ἱστάναι χαλκοῦν, δίχα ἀναλώματος, καὶ μηδεμίαν δραχμὴν μήτε ὑμῶν καταβαλλόντων, μήτε τῶν τιμωμένων. τίς γὰρ οὐκ ἂν οὕτως ἀγασθείη τῆς σοφίας τὴν πόλιν; ἀλλ' οἶμαι πολλὰ τῶν ἐν τῷ βίῳ γιγνομένων, καὶ μετὰ πόνου πλείονος καὶ δαπάνης οὐ σμικρᾶς, ἔστι προῖκα καὶ πάνυ ῥᾳδίως ποιεῖν, εἴ τις ἀμελεῖ τοῦ προσήκοντος, καὶ τοῦ πράττειν ἀληθῶς. οἷον εὐθὺς τὰς θυσίας, ἃς ἑκάστοτε τελοῦμεν τοῖς θεοῖς, ἔστι μὴ θύσαντας, φάσκειν τεθυκέναι μόνον, ἂν δοκῇ, στεφανωσαμένους καὶ τῷ βωμῷ προσελθόντας, καὶ τῶν οὐδῶν θιγγάνοντας 26), καὶ

23) malim μόνον.

24) φανῇ] subaudi ex proximo ἀποδεικνύναι.

25) οὑτωσὶ] *sic simpliciter, nude, solum emolumentum pecuniarum, nihil autem aliud quicquam spectantibus, ita crasse et pinguiter.*

26) τῶν οὐδῶν θιγγάνοντας] bene habet. *solummodo limina*

καὶ τἆλλα ποιοῦντας, ὡς ἐφ' ἱερουργίας. τί δ'; οὐχὶ ταὐτὸ 27) ἱερεῖον ἅπασιν ἐν κύκλῳ τοῖς ἀγάλμασι περιπροσάγοντας 28), τῷ τοῦ Διός, τῷ τοῦ Ἡλίου, τῷ τῆς Ἀθηνᾶς, καὶ πανταχῇ κατασπείσαντας, πᾶσιν οἴεσθαι 29) τεθυκέναι τοῖς θεοῖς οὐ ῥᾴδιον; τίς δ' ὁ κωλύσων 30); ἐὰν δὲ δὴ βωμὸν ἢ ναὸν νῦν τινος ἱδρύσασθαι θελήσωμεν (καὶ γάρ, εἰ πάντων εἰσὶ παρ' ὑμῖν τῶν θεῶν, οὐκ ἀδύνατον οἴομαι καὶ κρείττω κατασκευάσαι τοῦ πρότερον 31), καὶ διὰ πλειόνων τιμᾶν προελέσθαι τὸν αὐτόν) ἆρ' οὐχ ἕτοιμον ἐξοικίσαι τινὰ τῶν ἄλλων θεῶν, ἢ μετενεγκεῖν τῶν ἤδη καθιερωμένων; ἢ καὶ τὴν ἐπιγραφὴν ἀλλάξαι μόνον, ὃ νῦν ποιοῦμεν; καίτοι τὸν μὲν Ἀπόλλω καὶ τὸν Ἥλιον, καὶ τὸν Διόνυσον, ἔνιοί φασιν εἶναι τὸν αὐτόν, καὶ ὑμεῖς οὕτω νομίζετε· πολλοὶ δὲ καὶ ἁπλῶς τοὺς θεοὺς πάντας εἰς μίαν τινὰ ἰσχὺν καὶ δύναμιν συνά-

na deorum manibus contingamus. quod aequiualebat oſculo impreſſo et ſolenne erat. Templa intrantes limina manibus demiſſis contrectando oſculabantur; item ſi qui curias et palatia regum ingrederentur. v. Polyb. p. 1279, 19. quare Valeſii οὐλῶν haud probo, cuius Emendat. p. 57. vide.

27) poſt ταὐτὸ videtur ἔξεστι deſiderari.

28) περιπροσάγοντας] videtur bonum eſſe atque tenendum, tametſi Caſauboni πέριξ προσάγ. ſpecie veri non exigua blandiatur.

29) οἴεσθαι] ſic recte Veneta, quod aptum eſt ex οὐ ῥᾴδιον. hoc οὐ quodammodo redundat, poſt οὐχὶ verſ. 1. cuius eſt iteratio, neceſſaria poſt tot ambages interiectas. Conſtructio haec eſt: οὐχὶ ῥᾴδιον οἴεσθαι τεθυκέναι τοῖς πᾶσι θεοῖς, περιπροσάγοντας ταὐτὸ ἱερεῖον. *nonne facile eſt exiſtimare, vos diis omnibus ſacrificaſſe, ſi per omnia circum templa eandem victimam ad ſimulacra deorum omnia adducatis?* Mor. dat οἴεσθε.

30) Veneta dat κωλύων.

31) malim κρείττους κατασκ. τῶν πρότερον. non enim de vno tantum templo, ſed de pluribus loquitur.

συνάγουσιν· ὥστε μηδὲν διαφέρειν, τὸ τοῦτον, ἢ ἐκεῖνον τιμᾶν. ἐπὶ δὲ τῶν ἀνθρώπων οὐδέν ἐστι τοιοῦτον· ἀλλ' ὁ διδοὺς τὰ τοῦδε ἑτέρῳ, τοῦτον ἀφήρηται τῶν αὐτοῦ 32). νὴ Δία, ἀλλ' οὐχ ὅμοιον τὸ παραβαίνειν τὰ πρὸς τοὺς θεούς, ἢ τὰ πρὸς τοὺς ἀνθρώπους; οὐδ' ἐγώ φημι. παραβαίνειν δὲ ὅμως ἐστὶν ἕκαστα πρὸς τούτους 33), ὅταν τις αὐτοῖς μὴ ὑγιῶς προσφέρηται, μηδὲ 34) τοὺς μὲν εἰληφότας ἐῶν ἔχειν ἅ γε δικαίως ἔλαβον, τοῖς δὲ αἰτίοις 35) δόξασι τῶν αὐτῶν, ὅ φησιν 36), ὄντως διδούς· ἀλλὰ τοὺς μὲν ἀποστερῶν τῆς δωρεᾶς, τοὺς δὲ ὥσπερ ἐνεδρεύων καὶ παραλογιζόμενος. ἡ μὲν οὖν φύσις τοῦ πράγματος ὁμοία, καὶ τὸ ποιεῖν ὁτιοῦν μετὰ ἀπάτης καὶ φενακισμοῦ, καὶ

32) τῶν αὐτοῦ] *priuaret eum suis.* nam ἑαυτοῦ, quod V. et M. dant, possit per errorem ad res *eripientis* referri; sed redit ad res eius, cui eripiuntur.

33) malim παραβαίνειν δὲ ὁμοίως ἐστὶν ἑκάστοτε τὰ πρὸς τούτους, scil. δίκαια. *verumtamen perinde fieri potest, vt iura his* (hominibus puta) *debita violentur interdum, vel identidem,* atque iura deorum violantur scilicet. Haud procul a vero abfuit Casaubonus, et facem nobis praetulit; verumtamen ipsum assecutus h. l. non est, tametsi suam emendationem pro certissima venditet.

34) post μηδὲ videtur δικαίως deesse. *facile quis iura hominibus debita violet, si nempe non bona fide, neque aequitati conuenienter eos tractet, id quod facit is, qui cum eos, qui bonum aliquod nacti sunt, finit illud bonum, quod bono titulo nacti erant, retinere, tum iis, qui sibi videantur eodem bonore digni esse, ea, quae dare ait, reapse dat.*

35) imo vero ἀξίοις.

36) Φησιν] sic recte Casaubonus propter ἐῶν et διδούς: nam de vno loquitur. in Φησὶν subauditur δοῦναι e proximo διδούς. Ven. et Mor. dant Φασιν. sed in caeteris Casaub. haud accedo; nam loci sententiam non perspexit, quam modo latinis verbis exposui. ἐῶν idem est ac si dixisset ἐν τῷ ἐᾶν, et sic quoque διδοὺς idem est atque ἐν τῷ διδόναι. *sinendo — dando.* vt δοῦναι ad Φησὶν addatur, opus nil esse arbitror, tametsi subaudiendum sit.

καὶ τῆς ἐσχάτης μικρολογίας, ταυτό. διαφέρει δ', ὅτι τὰ μὲν περὶ τοὺς θεοὺς γιγνόμενα μὴ δεόντως, ἀσεβήματα καλεῖται· τὰ δὲ πρὸς ἀλλήλους τοῖς ἀνθρώποις, ἀδικήματα. τούτων τὴν μὲν ἀσέβειαν ἔξω μὴ προσεῖναι τῷ νῦν ἐξεταζομένῳ πράγματι· τὸ λοιπὸν δὲ, εἰ μὴ δοκεῖ φυλακῆς ὑμῖν ἄξιον, ἀφείσθω 37). καίτοι καὶ τὴν ἀσέβειαν εὕροι τις ἂν ἴσως τῷ τοιούτῳ προσοῦσαν· (λέγω δὲ οὐ περὶ ὑμῶν, οὐδὲ περὶ τῆς πόλεως· οὔτε γὰρ ὑμῖν ποτε ἔδοξεν, οὔτε δημοσίᾳ γέγονεν, ἀλλ' αὐτὸ σκοπῶ κατ' ἰδίαν τὸ πρᾶγμα·) τὰ περὶ 38) τοὺς κατοιχομένους γινόμενα οὐκ ὀρθῶς, ἀσεβήματα κέκληται, καὶ τῆς προσηγορίας ταύτης τυγχάνει παρὰ τοῖς νόμοις, εἰς οὓς ἂν ποτε ᾖ. τὸ δ' εἰς ἄνδρας ἀγαθοὺς, καὶ τῆς πόλεως εὐεργέτας 39) ὑβρίζειν, καὶ τὰς τιμὰς αὐτῶν καταλύειν, καὶ τὴν μνήμην ἀναιρεῖν, ἐγὼ μὲν οὐχ ὁρῶ πῶς ἂν ἄλλως ὀνομάζοιτο· ἐπεὶ καὶ τοὺς ζῶντας εὐεργέτας οἱ ἀδικοῦντες, οὐκ ἂν εὐλόγως εἶεν ἀπηλλαγμένοι τοῦδε τοῦ ὀνείδους. οἱ γοῦν περὶ τοὺς γονεῖς ἐξ-

αμαρ-

37) τὸ λοιπὸν — ἀφείσθω] videtur haec ſententia eſſe, (loci quidem ratio et conſtructio eam poſtulat): *in poſterum autem quid euenturum ſit, niſi caueatis, neque probibeatis, quominus hoc malum latius ſerpat, a me nunc tacetor; parcam id dicere.* Hoc admiſſo, deerit τί συμβήσεται, aut poſt τὸ λοιπὸν δὲ, aut poſt ἄξιον.

38) τὰ γὰρ περὶ, lectionem marg. Mor. tametſi neque in Veneta, neque in Morelli animaduerſionibus reperi, probam tamen puto; cohaerent enim haec cum illis ſuperioribus. *quamquam neſcio, an vel impietatem quoque ſis adhaereſcentem huic negotio reperturus; nam quae defunctos erga manes fiunt improbe, ea appellantur* ἀσεβήματα *facinora impietatis plena.*

39) εὐεργέτας] ſubaudi ποτὲ γεγενημένους, νῦν δὲ κατοιχομένους. agitur enim hic non de ſuperſtitibus, ſed de defunctis. id quod cum e praemiſſis, tum e verſ. antep. patet, vbi illis benefactoribus *οἱ ζῶντες ſuperſtites* opponuntur.

ἁμαρτάνοντες, ὅτι τῆς πρώτης καὶ μεγίστης ὑπῆρξαν εὐεργεσίας εἰς ἡμᾶς, εἰκότως ἀσεβεῖν δοκοῦσιν. καὶ τὸ μὲν τῶν θεῶν ἴστε δήπουθεν, ὅτι, κἂν σπείσῃ τις αὐτοῖς, κἂν θυμιάσῃ μόνον, κἂν προσάψηται [40]), μεθ' ἧς μέντοι προσήκει διανοίας, οὐθὲν ἔλαττον [41]) πεποίηκεν· οὐδὲ γὰρ δεῖται τῶν τοιούτων οὐθενὸς ἴσως ὁ θεὸς [42]), οἷον ἀγαλμάτων, ἢ θυσιῶν· ἄλλως δὲ οὐ μάτην γίνεται ταῦτα· τὴν προθυμίαν ἡμῶν καὶ τὴν διάθεσιν ἐμφαινόντων πρὸς αὐτούς. οἱ δὲ ἄνθρωποι δέονται καὶ στεφάνου καὶ εἰκόνος καὶ προεδρίας, καὶ τοῦ μνημονεύεσθαι. καὶ πολλοὶ καὶ διὰ ταῦτα ἤδη τεθνήκασιν, ὅπως ἀνδριάντος τύχωσι, καὶ κηρύγματος, ἢ τιμῆς ἑτέρας, καὶ τοῖς αὖθις καταλίπωσι δόξαν τινὰ ἐπιεικῆ καὶ μνήμην ἑαυτῶν. εἰ γοῦν τις ὑμῶν πύθοιτο, ἁπάντων τῶν ὑπὲρ τοιούτων ἀνῃρημένων, καὶ [43]) μηδεμιᾶς εἰς ὕστερον μνήμης ἀπολειπομένης, μηδὲ ἐπαίνου τῶν εὖ πραχθέντων, εἰ [44]) καὶ πολλοστὸν ἡγεῖσθε μέρος ἂν γεγονέναι τῶν θαυμαζομένων παρὰ πᾶσιν ἀνδρῶν, ἢ τῶν ἐν πολέμῳ ποτὲ προθύμως ἠγωνισμένων, ἢ τῶν τυράννους καθῃρηκότων, ἢ τῶν ἑαυτοὺς, ἢ τέκνα προεμένων [45]), ἕνεκα κοινῆς σωτηρίας, ἢ τῶν πόνους μεγάλους πο-

νησάν-

40) προσάψηται] solebant veteres deorum simulacra ita venerari, vt eorum genas, barbas, manus, genua amplecterentur.

41) οὐθὲν ἔλαττον] subaudi τοῦ δέοντος, aut potius τῶν λαμπρότατα θυομένων.

42) v. Max. Tyr. p. 81.

43) καὶ delendum videtur.

44) εἰ] sic recte Casaub. εἰς Ven. et Mor. in sigmate videtur καὶ latere; quod per siglam solet exarari similem literae ς. vt sit εἰ καὶ πολλοστὸν ἡγεῖσθε μέρος (etiam de ἡγεῖσθε occupauit Casaubonus admonere. Ven. et Mor. dant ἡγεῖσθαι.) *videaturne vobis virorum clarorum pars vel quantumuis parua exstitura fuisse.*

45) προεμένων] sic recte Ven. *qui obtulerunt et patriae saluti velut immolarunt sese liberosue.* προῃρημένων Mor.

νησάντων[46]) ὑπὲρ τῆς ἀρετῆς; ὥσπερ Ἡρακλέα φασὶ, καὶ Θησέα, καὶ τοὺς ἄλλους ἡμιθέους τε καὶ Ἥρωας· οὐκ ἂν οὐθένα εἰπεῖν οἴομαι. τὸ γὰρ προκαλούμενον ἕκαστον καὶ κινδύνων καταφρονεῖν, καὶ πόνους ὑπομένειν, καὶ τὸν μεθ' ἡδονῆς καὶ ῥαθυμίας ὑπερορᾶν βίον, οὐκ ἂν ἄλλο τις εὕροι, παρά γε τοῖς πλείοσι. τοῦτό ἐστι τὸ ποιοῦν ἐν ταῖς μάχαις τοὺς ἀγαθοὺς ἄνδρας ἔμπροσθεν εὑρίσκεσθαι τετρωμένους, καὶ μὴ μεταστραφέντας οἴχεσθαι· πολλάκις ἑτοίμου τῆς σωτηρίας ἀποκειμένης. διὰ τοῦτό φησιν ὁ ποιητὴς τὸν Ἀχιλλέα μὴ θελῆσαι γηράσαντα ἀποθανεῖν οἴκοι· καὶ τὸν Ἕκτορα μόνον στῆναι πρὸ τῆς πόλεως, εἰ δέοι, πᾶσι μαχούμενον. τοῦτ' ἦν ποιῆσαν Λακεδαιμονίων τινὰς ἐν τοῖς στενοῖς ἀντιτάξασθαι πρὸς τοσαύτας Περσῶν μυριάδας. τοῦτο ἐποίησε τοὺς ὑμετέρους προγόνους ἅπασαν γῆν καὶ θάλασσαν ἐκπλῆσαι τροπαίων· καὶ τῆς λοιπῆς Ἑλλάδος τρόπον τινὰ ἐσβεσμένης, μόνους ἐφ' αὐτοὺς[47]) διαφυλάξαι τὸ κοινὸν ἀξίωμα τῶν Ἑλλήνων, εἰς τὸν νῦν παρόντα χρόνον. ὅθεν εἰκότως μοι δοκεῖτε μείζονα[48]) ἁπάντων ἐκείνων φρονεῖν. οἱ μὲν γὰρ, ἐν ἀρχῇ τὰ πρὸς τοὺς βαρβάρους εὐτυχήσαντες, καὶ λαμπροὶ φανέντες, τὰ λοιπὰ ἐξήμαρτον· φθόνου μᾶλλον, καὶ ἀνοίας, καὶ φιλονεικίας, ἤπερ ἀρετῆς, ἐπίδειξιν ποιούμενοι, μέχρι μηδενὸς ἔξωθεν ἐνοχλοῦντος, αὐτοὶ παρείθησαν, καὶ πάντα ἤδη τὸν βουλόμενον εἶναι δεσπότην, ἐκάλουν. ὑμεῖς δὲ, τοσούτους πολέμους κατωρθωκότες, ἅπαντας[49]) οὐχ ἧττον καλῶς ἀνείλεσθε,

46) πονησάντων] sic recte interpres lat. Casaub. et vir doctus in Venetae meae margine. ποιησάντων Ven. et Mor.

47) aut ἐφ' αὐτοῖς est leg. aut ἀφ' αὐτῶν. in Ven. quidem est ἀφ' αὐτοὺς.

48) malim μεῖζον.

49) ἅπαντας] sic Ven. et Casaub. *non minus decore suscepistis illa bella.* ἅπαντα Mor.

45. λεσθε, ἢ γενναίως ἐπολεμήσατε. πλὴν ἐκεῖνό γε δῆλόν ἐστιν, ὅτι μήτε ὑμεῖς, μήτε ἄλλοι τινὲς, οἵ [50] δοκοῦσιν Ἑλλήνων, ἢ βαρβάρων, μεγάλοι γενέσθαι, δι' ἄλλο τι προῆλθον εἰς δόξαν, καὶ δύναμιν, ἢ τῶν κατὰ μέρος φιλοτιμιῶν [51] τυχόντες, καὶ περὶ πλείονος τοῦ ζῆν ἡγουμένων [52] τὴν ὕστερον εὐφημίαν. ἡ γὰρ στήλη [53] καὶ τὸ ἐπίγραμμα, καὶ τὸ χαλκοῦν ἑστάναι, μέγα δοκεῖ τοῖς γενναίοις ἀνδράσι· καὶ μισθὸς οὗτος ἄξιος τῆς ἀρετῆς, τὸ μὴ μετὰ τοῦ σώματος ἀνῃρῆσθαι τὸ ὄνομα, μηδ' εἰς ἴσον καταστῆναι τοῖς μὴ γενομένοις, ἀλλὰ ἴχνος τι λιπέσθαι καὶ σημεῖον, ὡς ἂν εἴποι τις, τῆς ἀνδραγαθίας. τοὺς ἀγωνιστὰς τούτους ὁρᾶτε, ὅσα πάσχουσι γυμναζόμενοι, δαπανῶντες [54]· τὸ τελευταῖον ἀποθνήσκειν αἱρούμενοι πολ-

50) οἳ non damno, malim tamen ὅσοι.

51) φιλοτιμιῶν] imo vero φιλοτίμων. nisi nacti essent ciues alios ex aliis gloriae studiosos, e quorum praeclare gestis rebus viritim collecta gloria publica nationis coaluit.

52) ἡγουμένων] sic var. lect. Venetae recte; redit enim ad φιλοτίμων. t. Ven. et Mor. dant ἡγούμενοι.

53) στήλη] sic recte Casaub. στολὴ Ven. στολὴ Mor.

54) δαπανῶντες bene habet, de quo olim dubitabam. athletae enim saepe e regionibus longe dissitis, ex Asia, ex Italia, et aliunde ad Olympiam confluentes, necesse habebant, praeter itineris longinqui impensas in itu atque reditu, quamdiu apud Olympiam essent, aere suo victitare: menses autem fere tres ibi agebant; prius enim, quam ad ipsum certamen veniretur, per aliquot menses, quadraginta minimum dies, exercebantur, et specimen sui dabant, vnde constaret iudicibus certaminis, essentne digni, nec ne, qui ad certamen admitterentur. notus ille Theocriti locus est, quo Molon dicitur, ad Olympiam migrans, gregem ouium secum duxisse, vnde scil. victitaret. praeterea quanti fuerint faciendi sumtus illis, qui equis certarent, neminem fugit. Credibile quoque est, haud parum fuisse praeconibus et poetis, qui victorum laudes carminibus celebrarent, a victoribus dependendum,

πολλάκις ἐν αὐτοῖς τοῖς ἄθλοις. τί οὖν, εἴ τις ἀνέλοι τὸν στέφανον, οὗ χάριν φιλοτιμοῦνται, καὶ τὴν ἐπιγραφὴν [55] τὴν ἐσομένην Ὀλυμπιάσιν, ἢ Πυθοῖ, τῆς νίκης, ἆρ' οἴεσθε μίαν ἡμέραν αὐτοὺς ἀνέξεσθαι τὸν ἥλιον μόνον, οὐχ ὅπως τὰ ἄλλα, ὅσα τῷ πράγματι πρόσεστιν ἀηδῆ καὶ χαλεπά; τί δαί; ἂν γένηται δῆλον αὐτοῖς, ὅτι τὴν εἰκόνα, ἣν ἂν στήσωσιν, ἕτερος αὐτοῦ ποιήσεται, τὸ μὲν τοῦ θέντος ὄνομα ἀνελών, αὐτὸν δὲ ἐπιγράψας. ἔτι δὲ θεασόμενον [56] ἡγεῖσθε ἐλθεῖν ἄν τινα ἐκεῖσε, οὐχ ὅπως ἀγωνιούμενον; ὅθεν, οἶμαι [57], καὶ βασιλεῖς ἐπιδικάζονται [58] τῆς τοιαύτης μαρτυρίας. ἅπασι γάρ ἐστιν περὶ πολλοῦ τὰ τῆς ἀρετῆς σύμβολα· καὶ οὐδεὶς αἱρεῖται τῶν πολλῶν, ὅ, τι ἂν οἴηται καλὸν εἶναι, μόνον αὐτῷ [59]) πεπρᾶχθαι, μηδένα δὲ εἰδέναι. πρὸς τοῦ Διὸς, ἆρα ἀγνοεῖτε, τοῦτο τὸ ἔργον οὐκ ἐκείνους [60] μόνους ἀτίμους ποιεῖν, ἀλλὰ καὶ τὴν πόλιν ἔρημον τῶν εὐνοησόντων καὶ προθυμησομένων ὑπὲρ αὐτῆς; μηδὲ γὰρ ἐκεῖνο εἰσέλθῃ μηδένα ὑμῶν, ὅτι, εἴπερ ἄρα μίαν τιμὴν καταλύσετε, τὴν τῶν εἰκόνων, αἱ λοιπαὶ

dum, quorum nonnulli chorum, a quo decantandus esset hymnus cum tripudio, epulis exceperunt; id quod ex hymnis Pindari constat.

55) τὴν ἐπιγραφὴν] titulum statuae vel cippo illi inscribendum, quo memoria victoriae cuiusque ad posteros transmitteretur.

56) θεασόμενον] sic recte interpres et Casaubonus. θεασάμενον Ven. et Mor. sed ἔτι δὲ bene habet.

57) οἶμαι est latinum *nimirum*. h. e. id quod est consentaneum, id quod facile est existimatu, id quod fieri necesse est, neque est, cur quisquam miretur. ὅθεν est *quo factum est*.

58) ἐπιδικ. τῆς τοιαύτ. μαρτ.] de hoc testimonio et praeconio inter se contendunt, vtri iure conueniat, h. e. illud appetunt et ambiunt.

59) αὐτῷ] *sibi*, h. e. *a se*. αὐτὸ Mor.

60) ἐκείνους] *illos*, quibus tituli eripiuntur.

λοιπαὶ δὴ εἰσὶν ἀναφαίρετοι. πρῶτον μὲν γὰρ οἱ τὴν μεγίστην ἀναιροῦντες, καὶ ἧς μάλιστα ἕκαστος ἐπιθυμεῖ τυγχάνειν, ὁμολογοῦσι δήπουθεν ἐκ τοῦ πλείονος μέρους τὴν πόλιν βλάπτειν· εἴ γε φασὶ βλαβερὸν εἶναι τὸ πάσας αὐτὰς καταλύεσθαι. πρὸς τοῦτο 61) δὲ κἀκεῖνό ἐστιν, ὅτι, παρ' οἷς ἂν ἕν τι κινηθῇ, παρ' ἐκείνοις κεκίνηται πάντα ὁμοίως, καὶ τῶν παραπλησίων βέβαιον οὐθέν 62) ἐστιν. οἱ γὰρ τὴν αἰτίαν παραβάντες, δι' ἣν οὐκ ἂν ἐδόκει τὶ συμβῆναι, καὶ ταύτην παρ' οὐδὲν ἡγησάμενοι, πάντα λελύκασιν, ἃ τὴν αὐτὴν εἶχε πρόφασιν τοῦ μένειν βέβαια. οἷον εἴ τις μίαν λύσαι τῶν τιμωριῶν ἡντιναοῦν, οὐδὲ τῶν ἄλλων οὐδεμίαν ἰσχυρὰν καταλέλοιπεν. εἰ δέ τις τὴν μεγίστην ἀνέλοι, φυγὴν, ἢ θάνατον· τά γε ἐλάττω τῶν ἐπιτιμίων λοιπὸν ἀνάγκη μηδὲ γεγράφθαι δοκεῖν. ὥσπερ οὖν οἱ παραχαράττοντες τὸ νόμισμα, κἂν μέρος λυμήνωνται, τὸ σύμπαν διεφθαρκέναι δοκοῦσιν, ὑπαίτιον ποιήσαντες· ὁμοίως οἱ τῶν τιμῶν τινας, ἢ τῶν τιμωριῶν 63) ἀναιροῦντες, ὅλον τὸ πρᾶγμα καταλύουσι, καὶ τοῦ μηδενὸς ἄξιον δεικνύουσι. καὶ μὴν εἴ τίς με ἔροιτο τοῦτο, μεγίστην ὡς οἷόν τε ἑκατέρων βλάβην φερόντων, τοῦ τε τὰς τιμὰς ἀπίστως ἔχειν, καὶ τοῦ τὰς τιμωρίας ἀσθενῶς 64), εἰ μὴ δυνατὸν ἀμφότε-

ρα

61) imo vero πρὸς τούτῳ. *praeterea, accedit quod* —

62) οὐχ ἓν post οὐθὲν deleui, vt vitiosa iteratio praecedentis οὐθέν. in Veneta est οὐκ ἓν ἐστι. voluitne οὐκ ἔνεστι dare? sed sic scribendum esset οὐθὲν μένειν ἔνεστι.

63) verba ἢ τῶν τιμωριῶν delenda puto, vt vitiosam lectionem variantem vocabuli τιμῶν.

64) malim τὸ περὶ τὰς τιμὰς ἀπίστως καὶ τοῦ περὶ τὰς τιμωρίας ἀσθενῶς, nulla alia de causa, quam quod sequitur τὸ περὶ τὰς τιμωρίας: hoc enim haud aliud est, ac si dixisses εἴποιμι ἂν, ὅτι ἐπιεικεστέρων κρίνω ἀνθρώπων τὸ ἔχειν ἀσθενῶς περὶ τὰς τιμ.

ρα εὐλαβηθῆναι, πότερον αὐτῶν 65) ἐπιεικεστέρων κρίνω καὶ μετριωτέρων ἀνθρώπων; οὐκ ἂν διστάσας τὸ περὶ τὰς τιμωρίας εἴποιμι· εἴ γε τοῦτο μέν ἐστιν ἀνενεγκεῖν εἰς φιλανθρωπίαν, εἰς ἔλεον, εἰς ἄλλα τοιαῦτα, ἅπερ ἐστὶν οἰκεῖα τοῖς χρηστοῖς· τὸ δὲ τῶν ἀρίστων ἀνδρῶν ἐπιλανθάνεσθαι, καὶ τὰ τῆς ἀρετῆς ἆθλα ἀποστερεῖν, οὐκ ἔνι τυγχάνειν οὐδεμιᾶς εὐπρεπῶς 66) προφάσεως· ἀλλ' ἀχαριστία, φθόνος, μικρολογία 67), ἅπασι τοῖς αἰσχίστοις ἀνάγκη προσήκειν. ἔτι δὲ οἱ μὲν τοὺς ὄντας πονηροὺς ἧττον κατείργουσι, τὰς κολάσεις ἀνιέντες· οἱ δὲ αὐτοὶ τὰ μέγιστα ἐξαμαρτάνουσι περὶ τοὺς εὐεργέτας. τοσούτῳ δὲ τοῦτο ἐκείνου κάκιον, ὅσῳ 68) τὸ αὐτὸν 69) ἀδικεῖν, τοῦ μὴ σφόδρα κωλύειν ἕτερον. οὐ τοίνυν οὐδὲ ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι μὴ τοῦτο ὑπάρχει μέγιστον τῶν δεδομένων τισί· δίχα γὰρ τοῦ πᾶσιν εἶναι φανερὸν 70), ἑαυτοῖς ἐναντία ἐροῦσιν οἱ λέγοντες. φασὶ γὰρ ἀνάγκην εἶναι, πολλοὺς ἐν τῷ παρόντι τιμᾶν τῶν ἡγουμένων, οἷς ἅπασιν εἰκόνας εἰ δεήσει κατασκευάζεσθαι, μεγάλην τινὰ ἔσεσθαι τὴν δαπάνην, ὡς τάς γε ἄλλως

65) πότερον αὐτῶν] id est putemne hominum esse commodiorum, τὸ ἔχειν ἀπίστως περὶ τὰς τιμὰς infidos esse in honorum atque ornamentorum collatione, ἢ ἀσθενῶς ἔχειν περὶ τὰς τιμωρίας, molles et remissos esse in poenis repetendis, vnde etiam veritas superioris emendationis magis confirmatur.

66) l. εὐπρεποῦς.

67) l. ἀλλ' ἀχαριστίᾳ, φθόνῳ, μικρολογίᾳ. *sed necesse est ad vitium animi immemoris atque ingrati, ad invidentiam, ad sordes animi humilis et minuta consectantis, ad turpissima quaeque denique, referri, iisque affine esse.*

68) ὅσῳ] scil. κάκιόν ἐστι.

69) αὐτὸν] sic recte Casaubonus. quanto peius est, temet ipsum iniurias exercere, quam aliorum iniurias non severissime reprimere. Mor. et Ven. dant αὐτό.

70) εἶναι φανερὸν] subaudi ὅτι τοῦτο ὑπάρχει μέγιστον τῶν τινι δεδομένων.

λας τιμὰς οὐκ οὔσας κατ' αὐτούς· οὐδὲ ἀποδεξομένων 71) αὐτῶν, ὡς πολὺ ἐλάττους. τὸ μὲν δὴ τῆς δαπάνης οἷόν ἐστιν, ὄψεσθε μετὰ μικρόν· τὸ δὲ μεγίστην εἶναι τῶν τιμῶν, ἣν ἀφαιροῦνται τοὺς εἰληφότας πρότερον, ἐκ τούτων ὡμολόγηται· καὶ μὴν ἀτόπου γε ὄντος τοῦ τινὰ παρεῖναι τῶν ἀξίων τιμῆς, καὶ μηδεμίαν παρασχεῖν ἀμοιβὴν τῆς εὐεργεσίας, ὡς πάντων 72) μάλιστα ἀνάγκη τούτοις ὁμολογεῖν, οἳ καὶ τὸ μετριώτερον τιμῆσαί τινα τῆς ἀξίας δεινὸν οἴονται, τὸ καὶ 73) τιμήσαντας, ἔπειτα οὐδὲν αἰτιωμένους ἀφαιρεῖσθαι τὰ δοθέντα, πῶς οὐχ ὑπερβολὴν ἀδικίας ἔχει; τὸ μὲν γάρ, ἀχαριστεῖν ἐστι τοῖς εὐεργέταις, τὸ δέ, ὑβρίζειν εἰς αὐτούς· καὶ τὸ μέν ἐστιν μὴ τιμᾶν τοὺς ἀγαθοὺς ἄνδρας, τὸ δέ, ἀτιμάζειν. οἱ μὲν γάρ, ἃ δοκοῦσι τοῖς ἐπιεικέσιν ὀφείλειν, οὐ παρέχουσιν· οἱ δέ, ἃ σύνηθές ἐστι γίγνεσθαι κατὰ τῶν ἄκρως πονηρῶν, ταῦτα πράττουσι κατ' αὐτῶν. εἰ γοῦν τις τῶν ποτε νομισθέντων μετρίων, αὖθις ἀνήκεστον ἁμάρτοι τι καὶ χαλεπόν, οἷον εἰ προδοσίαν βουλεύσειεν, ἢ 74) τυραννίδα, τῶν τοιούτων ἔθος ἐστὶ τὰς τιμὰς ἀναιρεῖσθαι· κἂν ἐπιγραφῆς τινος πρότερον ὦσι τετυχηκότες. εἶτ' οὐκ αἰσχρὸν τῶν αὐτῶν ἀξιοῦν ὑμᾶς τοὺς ὁμολογουμένους ἀρίστους, ὧν τοὺς ἀσεβεῖς καὶ τοὺς ἀνοσίους τυγχάνειν

71) ἀποδεξομένων] ſic recte Caſaubonus, quatenus futurum hic requiritur, (Ven. dat ἀποδεξομένον, cum accentu in penultima, ſed ο in fine] malim tamen, vt in eadem conſtructione maneat oratio, ἀποδεξομένους αὐτούς: praeceſſit enim accuſ. οὔσας pro genit. οὐσῶν. Mor. dat ἀποδεξαμένων.

72) aut παντὸς cum Anglo eſt leg. aut πάντων, *omnium rerum maxime, ante alia omnia.* Ven. et Mor. dant πάντας.

73) aut prodit καὶ defectum, aut, quod malim, plane delendum eſt.

74) ἢ] ſic interpres lat. et vir doctus in marg. Venetae meae. Ven. et Mor. dant εἰ.

οἱ νόμοι κελεύουσιν, οἷς οὐδὲ ταφῆς μέτεστιν; ὥστε μοι δοκοῦσιν, ὅσην παρ' ἑτέροις ἔχουσι τοῦ τιμᾶσθαι πάντες ἐπιθυμίαν, τοσαύτην, ἢ καὶ πλείονα, παρ' ὑμῖν ἕξειν, ὅπως μηδέποτε τεύξωνται τῶν τοιούτων μηδενός· ὅσῳ τὴν ὕβριν ἕκαστος καὶ τὸ προπηλακισθῆναι μεῖζον ἡγεῖται κακὸν, ἢ τὴν τιμὴν ἀγαθὸν νενόμικεν. εἰ γοῦν τινα καλοῖτε εἰς προεδρείαν, ἢ πολίτην ἀναγράφοιτε, μέλλοντες ὕστερον ἀναστήσειν, ἢ τὴν πολιτείαν ἀφελέσθαι, πολλὰ ἂν ἱκετεύσειεν ὑμᾶς ἐᾶν[75]) αὐτόν. τοὺς γοῦν τυράννους[76]), ἢ τοὺς βασιλέας, ὧν αὖθις οἱ βιαίως ἄρχοντες καὶ παρανόμως τὰς εἰκόνας ἀνεῖλον, καὶ τὰ ὀνόματα ἠφάνισαν· (ὅπερ οἶμαι καὶ ἐφ' ὑμῖν συμβέβηκε·) διατεινάμενος εἴποιμ' ἂν[77]), εἰ προῄδεισαν τοῦτο ἐσόμενον, μήτ' ἂν εἰκόνας ἑαυτῶν ἐᾶσαι τινὰ[78]) στῆσαι, μήτε ὀνόματα ἐγγράψαι. καίτοι τοῦτο, ὃ μόνον ἐκείνους ἀδικουμένους καὶ δεινὰ πάσχοντας, ἀλ-

λὰ

75) ἐᾶν] sic recte Casaubonus. ἐὰν Mor. verba ἱκετεύσειεν ὑμᾶς ἐᾶν absunt a Veneta.

76) bene habet hic locus, et nimis violenter eum tractat Casaubonus, quem bene sanum debuerat intactum relinquere. Sententia haec est: *fuere tyranni statuis cohonestati. habitus est idem honor principibus adeo iis, quos constat legitime adeptos esse principatum, eumque laudabiliter gessisse. Sed amborum statuas sustulere, qui post eos regnarunt, illorum quidem merito, horum autem iniuria. id quod factum est ab iis successoribus, si qui per vim inuasissent principatum, et legibus inuitis tenerent.* Exempla huius rei recentia nota sunt nemini non. Vitellius e. c. Galbae statuas euertit atque Othonis. Hi ergo seu tyranni, seu principes legitimi, si praescissent sibi euenturum hoc genus seu meritae contumeliae, seu immeritae iniuriae, aio, contendoque quantum possum maxima asseueratione, eos non fuisse passuros, vt sibi a quoquam statuae erigerentur.

77) εἴποιμ' ἂν] sic recte Ven. Mor. omittt ἂν.

78) Ven. et Mor. dant τινας. adhaesit ς e proximo στῆσαι.

λὰ καὶ τὴν πρόφασιν δείκνυσι κενὴν, δι᾽ ἣν ἴσως ὑμᾶς τινὲς ἀξιώσουσι τοῦτο ποιεῖν, μᾶλλον δὲ κατὰ τοῦ πράγματος οὖσαν. εἰ γὰρ ἀναγκαῖον ἅμα καὶ συμφέρον φήσουσιν εἶναι τὸ ἑτέρους τιμᾶν, πῶς οὐχ ὑπεναντίον ἐστὶ τούτῳ [79]) τοὺς πρότερον οὕτω τετιμημένους ὑβρίζειν; ὃ γὰρ τῶν πρότερόν τις οὐκ ἂν εἵλετο λαβεῖν, εἰδὼς τοῦτο ἐσόμενον· πῶς εἰκός ἐστι τῶν νῦν τινα ἡδέως λαμβάνειν, ὁρῶντα τὸ γιγνόμενον; ὥστ᾽, εἰ μὴ καὶ δι᾽ ἐκείνους γε τοὺς θᾶττον [80]) εὐεργέτας, ἀλλὰ τούτους γε, οὓς νῦν τιμῶμεν, εἰκὸς ἦν φυλάξασθαι τὸ πρᾶγμα. πάντες μὲν γὰρ ὑπόπτως ἔχουσι πρὸς τὰ ὑπὸ τούτων διδόμενα, οὓς ἴσασι, τῶν πρότερόν τινα ἐπαινεθέντων, καὶ δοξάντων φίλων, οὕτως ἀμελοῦντας· μάλιστα δὲ οἱ τῶν αὐτῶν τυγχάνοντες, ὧν τοὺς εἰληφότας ὁρῶσιν ἀπεστερημένους. εἰ δὲ δὴ καὶ, ὅπως αὐτοὶ λάβωσι, τοῦτο γίγνοιτο [81]), μᾶλλον δὲ ὅπως δοκῶσιν εἰληφέναι, παντελῶς ἤδη τὸ πρᾶγμα εἰρωνείαν καὶ χλεύην νομίζουσι [82]). πολὺ οὖν [83]) βέλτιον ἦν λέγειν τοῖς βουλομένοις ποιῆσαι μικρὰ φροντίζειν ὑμᾶς τῶν τάχιον τετιμημένων, ὅτι μηκέτι μηδεμία χρεία τοῦ τιμᾶν τινά ἐστι· ἢ τοὐναντίον οὐ τὴν μεγίστην φασὶν εἶναι τῇ πόλει χρείαν καὶ πρὸς πλείονας νῦν ἢ πρότερον, τοῦτο διαβάλ-

79) τούτῳ] ſic interpres recte. τοῦτο Ven. et Mor.
80) τοὺς θᾶττον] *qui paulo ante, qui nuper nos ornarunt.* bene ſententiam huius dictionis declarauit Caſaubonus.
81) obſcura mihi eſt huius verſus ſententia.
82) malim νομίσουσι.
83) οὖν] ſic recte interpres, Anglus, et vir doctus in marg. Venetae meae. ὁ Ven. et Mor. natus hic error eſt ex eo, quod librarii graeci ſolent οὖν ea ſigla exarare, quae refert ο cum appenſa caudicula, quam aut praeteruidit, aut non intellexit, quid deſignaret, quisquis Dionem operis Turriſani excudendum dedit. de reliquo nihil eſt aut vitii, aut obſcuritatis, tametſi Caſaubonus hic difficilem ſe monſtrat et praeter rem meticuloſum.

λειν 84); καίτοι μὰ τὸν Δία καὶ τοὺς θεοὺς, οὐδ' 85) εἰ τὴν ἀνωτάτην χάριν ὑμῖν ἕξειν ἔμελλον, οἱ δοκοῦντες νῦν τῶν εἰκόνων τυγχάνειν, καὶ σφόδρα ἐπαινέσειν τὸν δῆμον, οὐδ' οὕτως ἐχρῆν αὐτὸ γίνεσθαι. τὸ γὰρ μόνον ζητεῖν, ἐξ ὧν ἄν τις ἀρέσαι τινὰ ποιήσας, ἢ 86) προσαγάγοιτο. εἰ δ' ἄλλον, ὃν οὐ προσῆκεν, ἀδικήσει τοῦτο ποιῶν, ἢ καθόλου τι μὴ δέον πράξει 87) μὴ σκοπεῖν, οὔτε, μὰ τοὺς θεοὺς, ἐλευθέρων ἐστὶν ἀνθρώπων, οὔτε μετρίων τὸ ἦθος. οὐδεὶς γὰρ οὐδὲ τῶν πάνυ πονηρῶν προαιρεῖται τὶ φαῦλον, ὃ μὴ συμφέρειν ἑαυτῷ νομίζει πρὸς τὸ παρόν. ἀλλ' ἐστὶν αὐτὸ τοῦτο ἡ μοχθηρία, τοῦ κέρδους 88) ἕνεκα καὶ τῆς χρείας, μηδενὸς αἰσχροῦ, μηδὲ ἀδίκου πράγματος, ἐπιστρέφεσθαι, μηδὲ φροντίζειν, ποῖον τὸ γιγνόμενον, ἀλλὰ μόνον, εἰ λυσιτελές. οὐκοῦν ὁ τὸν μὲν παρόντα θεραπεύων, ὀλιγωρῶν δὲ τοῦ θᾶττον φίλου· καὶ τῆς μὲν γεγενημένης χρείας ἐπιλελησμένος, τὴν δ' ἐλπιζομένην ὠφέλειαν περὶ πλείστου ποιούμενος, ἆρ' οὐκ ἴστε, ἥστινος τυγχάνει προσηγορίας; οὐ κόλαξ ὁ τοιοῦτος ὀνομάζεται παρὰ πᾶσιν; οὐκ ἀγενὴς, οὐκ ἄπιστος δοκεῖ; νῦν τοίνυν οὐδὲ τοῦτο περιγίνεται τῇ

πόλει

84) διαβάλλειν] sic Anglus recte. *satius est plane negare quemquam esse honorandum, quam in inuidiam id adducere, quod aiunt summe opus esse ciuitati, et nunc quidem multo pluribus praestandum, quam olim fuisset.* διαβάλλει Ven. et Mor.

85) οὐδ'] sic recte Casaubonus. *ne si quidem.* (Ven. et Mor. dant δ')

86) ἢ] sic dedi; nam ἀρέσαι est optatiuus. *nam iis solummodo rebus studere, per quas quis alicui placeat, aut eum sibi conciliet.* Ven. et Mor. dant μή.

87) πράξει] sic recte Casaubonus. παρέξει Ven. et Mor.

88) τοῦ κέρδους] non improbo; sed eo seruato necesse est etiam articulum τῆς ad χρείας addi. (qui a Mor. abest) quod ni fit, satius erit τὸ κέρδους legi, vt τὸ ad ἐπιστρέφεσθαι referatur.

πόλει τὸ θεραπεύεσθαι τινὰς ὑπὸ αὐτῆς καὶ μεγάλου τινὸς οἴεσθαι τυγχάνειν, ὧν ἂν τὰ ὀνόματα ἐπιγράφητε[89]. τοὐναντίον γὰρ δυσχεραίνουσιν καὶ μέμφονται παρ' αὐτοῖς· εἰ καὶ σιωπῶσιν ἄλλως, προσκρούειν οὐ θέλοντες. ἢ[90]) νόμισμα μὲν εἴ τῳ χαρίζεσθε[91]) κίβδηλον, οὐθεὶς ἂν ἑκὼν λάβοι· μᾶλλον δὲ ὕβριν ἡγοῖτο, ἢ δωρεὰν, τὸ γιγνόμενον· τιμὴν δὲ καὶ κίβδηλον, καὶ μηδὲν ἔχουσαν ὑγιὲς, νομίζετε δέχεσθαι τοὺς νῦν ἔχοντας[92]); ἀλλ' ἐὰν μὲν οἰκέτην τις ἀλλότριον ἢ σκεῦος ἀποδῶται[93]) ψευσάμενος, ὡς ἑαυτοῦ, σφόδρα ἕκαστος ἀγανακτεῖ τῶν ἠπατημένων· καὶ θαυμάζοιμ' ἂν, εἰ μὴ θανάτῳ ἐζημιοῦτε τοῦτον ὑμεῖς· εἰ δ' ἀλλοτρίαν τις εἰκόνα καὶ μηδὲν αὐτῷ προσήκουσαν ἐξαπατηθεὶς λάβοι παρὰ τῶν μὴ κυρίων· (ὃ γὰρ ἂν ἄλλῳ δῷ τις τούτου[94]) κύριος οὐκ ἔστιν ἑτέρῳ διδόναι·) χάριν αὐτὸν οἴεσθε τοῖς παρακρουσαμένοις ἔχειν; τίνος[95]); δέομαι δὲ, ἂν οἱ λόγοι φαίνωνται πικρότεροι, μηθὲν ἐμοὶ δυσχεραίνειν. οὐδὲ γὰρ ὑμᾶς φημὶ τοῦτο ποιεῖν, τρόπον δέ τινα ἀκούσης[96]) τῆς πόλεως αὐτὸ γίγνεσθαι.

89) melius meo iudicio dat Veneta ἐπιγράφηται.
90) ἢ] sic recte Ven. Casaub. et Anglus. ἂν. Mor. εἰ.
91) χαρίζεσθε] sic recte Casaubonus, nisi melius sit χαρίζοισθε, aut χαρίσαισθε. Ven. et Mor. dant χαρίζεσθαι.
92) Mor. dat τοὺς ἑκόντας. Casaubonus vult αὐτοὺς ἑκόντας, in Ven. est τοὺς ἔχοντας, vnde effeci τοὺς νῦν ἔχοντας.
93) ἀποδῶται] sic recte Casaubonus, *vendat.* ἀποδῶτε Ven. ἀποδῷ τι Mor.
94) malim τοιοῦτο, *κύριος οὐκ ἔστιν — nam quod quis alteri dat eiusmodi* (h. e. iuris quod sit alieni), *penes eum non est id dare.*
95) τινος (vti Mor. dat) abest a Veneta, non male. potest tamen ferri, si Casauboni modum interpungendi admittas; hunc scilicet: ἔχειν; τίνος; *cuiusnam?*
96) ἀκούσης est ab interprete, qui recte reddidit *inuita ciuitate.* nam in Ven. vitiose est ἀκούσας.

τὸ δὲ[97] πρᾶγμα εἰ τοιοῦτόν ἐστιν, ὥστε πάναισχρον δοκεῖν ἐξεταζόμενον· τοσούτῳ προθυμότερον ὑμᾶς ἀκούειν δεῖ τοῦ λέγοντος, ὥστε ἀπηλλάχθαι τὸ λοιπὸν τῆς αἰσχύνης[98]. οὐδὲ γὰρ τὰ ἐν τοῖς σώμασι δυσχερῆ χωρὶς ὀδύνης ἐστὶν ἰάσασθαι. πολλάκις δὲ αὐτὸ τοῦτο σημεῖον ὑπάρχει τοῦ σφόδρα ἐπείγειν τὴν θεραπείαν, τὸ σφόδρα ἀλγεῖν τὸ θεραπευόμενον. ὃ τοίνυν ἀρχόμενος εἶπον, οὐδ' ἂν νῦν ὀκνήσαιμι εἰπεῖν, ὅτι πανταχοῦ μὲν οἰκεῖόν ἐστιν φαίνεσθαι τοὺς ἀγαθοὺς ἄνδρας ὑγιεῖς[99], καὶ μηδὲν παλίμβολον ἔχοντας, μηδὲ δυσχερές· ἀλλὰ πλεῖστον ἀπάτης καὶ πονηρίας ἀπηλλαγμένους. λέγω δὲ τοὺς ὑμῖν ὁμοίους, μάλιστα δὲ οἶμαι, περὶ τὸ τιμᾶν καὶ τὰς δωρεάς. τὸ γὰρ αἰσχύνην[100] τινὰ προσάπτειν τοῖς καλοῖς, καὶ τὸ ἀδίκως ποιεῖν τὸ πάντων δικαιότατον, οὐδ' αἰσθανομένων ἐστὶν ἀνθρώπων τῆς ἑκάστου φύσεως. ὥσπερ οὖν οἱ παρανομοῦντες εἰς τὰ ἱερὰ, τῶν εἰς ἄλλ' ὁτιοῦν ἁμαρτανόντων χείρους εἰσίν· οὕτως οἱ περὶ ταῦτα[1] ἄδικοι καὶ πονηροὶ φαινόμενοι. τί γάρ ἐστιν ἱερώτερον τιμῆς, ἢ χάριτος; οὐκ ἴστε, ὅτι καὶ θεὰς νομίζουσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων τὰς χάριτας; ἐὰν οὖν τὰ ἀγάλματα αὐτῶν περικόπτῃ τις, ἢ τοὺς βωμοὺς ἀνατρέπῃ, τοῦτον ἡγεῖσθε ἀσεβεῖν· ἐὰν δὲ αὐτὸ λυμήνηται[2] καὶ διαφθείρῃ τὸ πρᾶγμα,

97) τὸ δὲ] sic recte margo Mor. *quod si autem causa haec sic habet.* τότε Ven. et t. Mor.

98) post αἰσχύνης videtur deesse καὶ εἰ μετ' ὀδύνης. *etiam si cum dolore id fiat.* aegre enim ferebant Rhodii a Dione sibi fraudem et cupiditatem obiectari.

99) ὑγιεῖς] linguae graecae ratio postulabat ὄντας addi; sed Dio solet hoc participium omittere.

100) αἰσχύνην] sic recte Anglus. αἰσχύνειν Ven. et Mor. rebus honestis et praeclaris turpitudinem quandam et dedecus affigere.

1) περὶ ταῦτα] scil. τὸ τιμᾶν τινας καὶ περὶ τὰς δωρεάς.

2) λυμήνηται] sic recte interpres. λυμήνετε Ven. et Mor.

πρᾶγμα, ἀφ' οὗ καὶ τὰς θεὰς ὠνομάσθαι συμβέβηκεν, μὴ ὃν δεῖ 3) τρόπον χαριζόμενος, ἀλλ' ἀγεννῶς καὶ ἀνελευθέρως, καὶ μετὰ τέχνης τοῖς εὐεργέταις ἀχαριστῶν 4), αὐτὸν φρονεῖν φήσομεν, καὶ τῶν ἄλλων εἶναι συνετώτερον; ἀλλὰ τοὺς μὲν καπήλους, τοὺς ἐν τοῖς μέτροις κακουργοῦντας, οἷς ὁ βίος ἐστὶν αὐτόθεν, ἀπὸ αἰσχροκερδείας, μισεῖτε καὶ κολάζετε· τὴν δὲ πόλιν, εἰ δόξει περὶ τοὺς ἐπαίνους τῶν ἀγαθῶν ἀνδρῶν πανουργεῖν, καὶ τὰς δωρεὰς καπηλεύειν, οὐκ αἰσχύνεσθε, παλίμβολα καὶ παλίμπρατα ποιοῦσαν τὰ σεμνά; καὶ οὐδὲ ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι μηδὲ τοῖς καπήλοις μηδεὶς ἔτι ῥᾳδίως πρόσεισιν, παρ' οἷς ἂν πονηρὰ ᾖ τὰ μέτρα; καὶ μὴν ὅτι φύσει τὸ πρᾶγμα τοιοῦτόν ἐστιν, οὐχ ὁ λόγος 5) αὐτὸ ἐξονειδίζει, θεάσασθε οὕτως; εἰ γάρ τις πύθοιτο ὑμῶν, πότερα βούλεσθε τοὺς τιμωμένους ὑφ' ὑμῶν, οἷς οἴεσθε διδόναι τὰς εἰκόνας, ἐπίστασθαι 6) τἀληθὲς καὶ τὸ γιγνόμενον οἷόν ἐστιν, ἢ λανθάνειν αὐτούς· οὐκ ἄδηλόν ἐστιν, ὃ 7) ἂν εἴποιτε εὖ φρονοῦντες. τί γὰρ ἐκώλυεν εὐθὺς ἐν τῷ ψηφίσματι γράφειν, ὥσπερ τἄλλα καὶ τοῦτο; εἶναι δὲ τὴν εἰκόνα 8) αὐτοῖς μίαν τῶν ἀνακειμένων, ἢ τὴν τοῦ δεῖνος, εἰ κἀκείνους ἐβούλεσθε 9) γιγνώσκειν; ἀλλ' οὐδέποτε, οἶμαι,

3) δεῖ] ſic recte Anglus. δὴ Ven. et Mor.

4) ἀχαριστῶν] ſic recte Caſaubonus. ἀχαρίστως Ven. et Mor.

5) οὐχ ὁ λόγος] ſubaudi *μόνον. neque ſolummodo id ratio et meditatio increpet*, ſeu dictitet turpe atque odioſum eſſe.

6) ἐπίστασθαι] ſic recte Ven. quod interpres quoque reddidit. ἐπίστασθε Mor.

7) ὃ] Veneta dat ὄν. forte voluit ὅ, τι.

8) Sententia eſt: *ſtatuam, quae hoc decreto illi vel illi Romano decernatur, vnam eſſe debere ex illis vetuſtis dudum conſecratis*; aut *recens honorando conſecrandam eſſe ſtatuam huius vel illius veteris herois, expreſſo cum eius nomine.*

9) κἀκείνους ἐβούλεσθε] ſic recte Caſaubonus. *ſi illos, Romanos*

μαι, τοῦτο ἐγγράψετε[10]). οὐκοῦν ὅτι μὲν τὰ γιγνόμενα ὀρθῶς, καὶ μηθὲν ἔχοντα ἄτοπον, οὐδεὶς περιστέλλει, δῆλόν ἐστιν. ὅτι δὲ ἥκιστ' ἂν τις φυλάξαιτο τοὺς εὖ πάσχοντας εἰδέναι, τίνα[11]) τρόπον τῆς χάριτος τυγχάνουσιν, καὶ τῶν γιγνομένων περὶ τὴν τιμὴν ὁτιοῦν, εἴ γέ τις ἁπλῶς αὐτὸ πράττει καὶ δικαίως, ἔτι μοι δοκεῖ τοῦ πρώτου φανερώτερον· ὥστε ἀνάγκη τὸ συμβαῖνον εἶναι πανταχῇ φαῦλον, καὶ μηδενὶ, μηδὲ ἰδιώτῃ, πρέπον. ὁ γὰρ ἐν αὐτοῖς, οἷς τινας εὖ ποιεῖ, παθὼν πρότερον, ἢ νὴ Δία κατάρχων καὶ προκαλούμενος εἰς φιλίαν[12]), παρακρουόμενος, καὶ φενακίζων, τί ἂν οὗτος ἄλλως[13]) ποιήσειεν; ἐπίστασθε[14]) τοίνυν, ὅτι μηδένα λανθάνει τὸ γιγνόμενον, ἀλλ' ἔστι διαβόητον, καὶ τῶν παρὰ πᾶσι θρυλλουμένων, οὐ μόνον ἐπειδὴ λίαν κατακόρως καὶ ἀναιδῆν[15]) αὐτῷ κέχρηνταί τινες, ἀλλ' ὅτι καὶ παρ' ὑμῖν πράττεται. τὸ γὰρ ἀξίωμα τῆς πόλεως καὶ τὸ μέγεθος οὐθὲν ἄγνωστον ἐᾷ τῶν ἐν αὐτῇ· καὶ τὸ σεμνότερον ὑμᾶς ἁπάντων ἐν τοῖς ἄλλοις ἑαυτοὺς ἄγειν· ἔτι δὲ, οἶμαι, τὸ πράττειν ἄριστα τῶν Ἑλλήνων φθόνον κινεῖ καὶ ζηλοτυπίαν, ὥστε πολλοὺς εἶναι τοὺς

manos puta, quibus statuas decernitis, non ignorare vultis, cuiusnam veteris herois statuam quisque pro sua accipiat. κἀκείνου σε βούλεσθε Ven. et Mor.

10) ἐγγράψετε] aut sic leg. aut ἐγράφετε, aut ἐγγράψετε, aut ἐγγράψατε, aut τοῦτό γε γράψετε, vel γράψατε. nam ἐγράψετε, quod Ven. et Mor. dant, plane nihil est.

11) τίνα] sic recte Ven. *quonam modo.* τινὰ Mor.

12) φιλίαν] sic recte Casaubonus. φιλίας Ven. et Mor.

13) ἄλλως] Casaubonus vult καλῶς. recte vero, sed non satis id est. malim ἄλλο καλῶς. *quidnam aliud recte et honeste ille faciat.* aut τί ἂν οὗτος ἄλλους ποιήσειεν; *quid ille aliis faciat?* quae in alios exempla statuat?

14) ἐπίστασθε h. l. est imperatiuus, *scitote*, velim vos haud ignorare.

15) ἀναιδῆν] Dauis. ad Max. Tyr. p. 604. vult ἀνέδην.

τοὺς ἐξετάζοντας, ἐάν τι δοκεῖτε ἁμαρτάνειν. οὐκοῦν οἱ μὲν ὅπως, ὅ,τι πράττουσιν, ἀγνοεῖσθαι[16]) μᾶλλον ἐθέλοντες, κακίας τοῦτο σημεῖον ἐκφέρουσιν· οἱ[17]) δ' ἃ μηδεὶς ἀκούει λανθάνειν[18]) νομίζοντες, εὐηθείας· οἷς ἀμφοτέροις οὐκ ἂν ἕλοισθε ἔνοχον εἶναι τὴν πόλιν. νὴ Δία, ἀλλὰ δαπανήσομεν, εἰ μὴ τοῖς οὖσιν χρησόμεθα; καὶ πόσων δεήσει χρημάτων, ἐὰν πᾶσιν κατασκευάζωμεν ἀνδριάντας, ὅσοις ψηφιζόμεθα; καὶ πόσῳ[19]) κρεῖττον ἐλάττοσι διδόναι τὴν δωρεὰν, ἢ πλείους, ἐξαπατᾶν μέλλοντάς τε[20]) ὑπὸ πλειόνων καταγινώσκεσθαι, καὶ μισεῖσθαι, σαφῶς εἰδότων, ὃ ποιεῖτε; καὶ γὰρ εἰ μὲν οὐ σφόδρα ἐπιεικεῖς εἰσιν, οὓς[21]) ὁπωσδήποτε ἱστᾶτε νῦν, ὃ[22]) μηδαμῇ φρονοῦντες εἴποτ' ἂν, ὁρᾶτε τὸ γιγνόμενον· διὰ

16) Caſaubonus ita corrigit: ὅπως πράττουσιν, ὅ,' τι πράττουσιν, ἀγνοεῖσθαι — *qui ſtudent in occulto manere quicquid agunt.* ſententia non mala; videtur tamen potius ſic leg. eſſe: ὅπως ὅ, τι πράττουσιν ἀγνοῆται, aut plane omittendum eſſe ὅπως. id quod malim. μᾶλλον hic eſt vſurpatum pro σφόδρα, vt ſaepe. aut cum interprete ſubaudiri debet ἢ γινώσκεσθαι.

17) οἱ] ſic Caſaubonus et Anglus. paret enim ex interpretatione Caſauboni, eum exaraſſe οἱ, non εἰ, tametſi hoc operae Pariſinae per errorem exhibuerunt. Ven. et Mor. dant εἰ.

18) Caſaubonus corrigit ἃ μηδεὶς ἀγνοεῖ λανθ. item Anglus, et ſic ferme interpres, qui ſic reddidit, ac ſi legiſſet ἃ μηδείς ἐστιν ὅστις οὐκ ἀκούει λανθ. bona ſententia, ſed videtur tamen vulgata bene habere, et haec eſſe ſententia: *tardi ſunt, ſi qui exiſtimant, ea ſua dedecora omnibus latere, quae nemo audeat ſibi aperte, in faciem, quod aiunt, exprobrare.*

19) πόσῳ] Ven. et margo Mor. dant πόσα, ſed t. Mor. πόσου.

20) τε] malim γε.

21) εἰσιν οὓς] ſic Ven. et Anglus. εἰσὶ τοὺς Mor.

22) ὃ] ſcil. eos, quos ſtatuis cohoneſtetis, omnes maiorem in modum honeſtos proboſque eſſe.

διὰ γὰρ τοὺς φαύλους ἀδικεῖτε 23) τοὺς χρηστούς. ὅτι γὰρ ὑμῶν οἱ πρόγονοι μὴ ἐθαύμαζον εἰκῇ, μηδὲ ἀνάξιόν τινα, ἐγὼ διαβεβαιωσαίμην ἄν. εἰ δὲ ἀγαθοὺς τιμᾶτε, τούς γε 24) τοιούτους εἰκὸς ἄχθεσθαι τῷ πράγματι. τίς γὰρ ἂν μέτριος ἄνθρωπος βούλοιτο, ἕτερον κακῶς πάσχειν, καὶ τῶν δικαίως δεδομένων ἀποστερεῖσθαι δι᾿ αὐτόν; ἢ πῶς οὐκ ἂν ὀργίζοιτο ἐπὶ τούτῳ γινομένῳ μᾶλλον, ἤπερ εἰδείη χάριν 25); ἢ γυναῖκα μὲν οὐδεὶς ἂν ὑπομένειε, χρηστὸς ὤν, διὰ μοιχείαν 26) λαβεῖν 27), ὅτι τὸν πρότερον ἔχοντα ἠδίκησε· μᾶλλον δὲ οὐδ᾿ ἂν ὅλως λάβῃ τις ἡδέως τοῦ παρὰ ἀνδρὸς ἑτέρου. καίτοι πολλάκις γίνεται τοῦτο οὐ πονηρᾶς αἰτίας 28). τιμὴν δέ, ἣν οὐκ ἔστι δικαίως ἀπ᾿ ἄλλου λαβεῖν, οὐδὲ χωρὶς ὕβρεως τῆς εἰς ἐκεῖνον, ἀγαπᾷν τινὰ οἴεσθε; καὶ ταῦτα μηδ᾿ αὐτὸν ἐλπίζοντα, ὡς οὐθὲε ἂν πάθοι τοιοῦτον; ἀλλ᾿ ἀνδράποδον μὲν τίς ὠνούμενος, εἴ ποτε ἀπέδρα, σκοπεῖ, (καὶ εἰ μὴ παρέμενε τῷ πρώτῳ δεσπότῃ·) 29) δωρεὰν δὲ καὶ χάριν, ἣν ἄπιστον ἡγεῖται, καὶ σαφῶς οἶδεν μηδὲν ἔχουσαν βέβαιον, ἑκὼν ἂν πρόσοιτο; Ῥωμαῖοι γὰρ

23) ἀδικεῖτε] ſic interpres et Caſaubonus. ἀδικῆσαι Ven. et Mor.

24) τούς γε] ſic recte Caſaub. τούς τε Ven. et Mor.

25) εἰδείη χάριν] ſic recte Caſaub. Anglus et interpres. εἴδει ἢ χάριν Ven. εἰδείη ἢ χάριν Mor.

26) poſt διὰ μοιχείαν videtur ἐκβληθεῖσαν deeſſe, vel ſimile quod vocabulum; niſi malumus legere διὰ μοιχείας.

27) poſt λαβεῖν deeſſe videtur εἰδὼς *bene gnarus*, *tametſi ſciat*.

28) Caſaubonus vult οὐκ ἀπὸ πονηρᾶς αἰτίας. ſimile quid interpres quoque voluit. poſſit etiam ſic legi: οὐ πονηρᾶς δι᾿ αἰτίας.

29) καὶ εἰ μὴ — δεσπότῃ] niſi haec ſunt ſcholium verbi ἀπέδρα, ideoque delenda, ſunt certe per copiam vel redundantiam quandam dicta; nihil enim plus dicunt, quam ἀπέδρα.

γάρ εἰσιν οἱ πλείους αὐτῶν, καὶ τίς ἂν τούτων ἅψαιτο; οἱ δέ γε παρεστῶτες αὐτοῖς Μακεδόνες, οἱ δὲ Λακεδαιμόνιοι [30], καὶ διὰ τί τούτων ἁπτόμεθα, καίτοι τοὺς μὲν πρότερον κειμένους, πάντας ἢ τούς γε πλείστους δι' εὐεργεσίαν φήσετε [31] τεθῆναι· τῶν δὲ νῦν τιμωμένων πολλοὺς δι' ἰσχὺν θεραπεύεσθαι. τὸ μὲν δὴ ποτέρους αὐτῶν δικαιότερόν ἐστιν ποιεῖσθαι περὶ πλείονος, ἐάσω. τὸ δὲ εἰ μὴ πᾶσι τὰ δοθέντα δικαίως ὑπάρξει, ποτέρους μᾶλλον εἰκὸς ἐπ' ἀδήλῳ λαμβάνειν, οὐδ' αὐτοὺς τούτους λανθάνει [32]. πάντες γὰρ οἴδασιν, ὅσῳ βεβαιότερόν ἐστιν εὐεργεσία δυνάμεως. ἰσχὺν μὲν γὰρ οὐκ ἔστιν, ἥντινα οὐκ ἀναιρεῖ χρόνος, εὐεργεσίαν δὲ οὐδεμίαν. ἵν' οὖν ὑπερβολὴν ἐκείνην [33] ἀφῇ τις, ἀληθῆ τρόπον τινὰ οὖσαν, τὸ πρὸς τὴν πόλιν

30) Ven. dat οἱ δ' εἰ λακεδ. malim οἱ δέ γε λακεδ.

31) malim φήσαιτε.

32) λανθάνει] sic recte Casaub. Sententia haec est: *Fac duobus proponi conditionem accipiendi honoris, sed cum incerta spe perpetuo seruandi, alteri, cui honor conferatur vltro per beneuolentiam, alteri, cui necessario et per vim atque propter potentiam eius. Iam vter horum libentius honorem accipiet? Vltro liquet, ne ipsi quidem illi duo, quibus eiusmodi conditio proponatur, ignorent, vtrum par sit libentius honorem oblatum acceptare. qui beneuolentia meruit, maiori iure et maiori cum fiducia perpetuitatis accipiet; contra, qui metu potentiae extorsit, inuitus.* Ven. et Mor. dant λανθάνειν.

33) ὑπερβολὴν ἐκείνην] *illud maius.* appellat sic τὸ ἀηδέστερον ἔχειν πρὸς τὴν πόλιν τοὺς οὕτω τιμᾶσθαι ζητοῦντας. minus est τὸ μηδεμίαν χάριν ἔχειν. Est itaque haec sententia: *Etiamsi praeteream silentio, locoque suo et in dubio relinquam illud, quod cum altero, mox dicendo, si comparetur, maius est, scil. eos, qui sic honorari studeant, animo esse aduersus ciuitatem subaegro et subinfesto, sibique factam contumeliam existimare, suique ad contemtum rem referre; hoc quidem, quod minus illo est, aio certo nosse, eos nullam vobis habere gratiam.*

πόλιν ἀηδέστερον ἔχειν, τοσούτῳ 34) τιμᾶσθαι ζητοῦντας· καὶ τὸ συμβαῖνον εἰς ὕβριν λαμβάνειν καὶ καταφρόνησιν ἑαυτῶν· ἀλλὰ τοῦτό γε εἰδέναι φημὶ βεβαίως, ὅτι μηδὲ χάριν ἡμῖν μηδεμίαν οἴδασιν, μηδ' οἴονται τυγχάνειν μηδενὸς, τὸ γινόμενον εἰδότες, καὶ τὴν ῥᾳδιουργίαν τὴν ἐν αὐτῷ. πρὸς τοῦ Διὸς 35), εἴθ' ἃ καὶ τούτων δεχομένων, οὐκ εἰκὸς ἦν ἀφαιρεῖσθαι τοὺς (μὲν) 36) πρόσθεν εἰληφότας, ταῦτα ἀφαιρούμεθα τοὺς ἔχοντας, οὐδὲ ἑτέροις διδόντες. καὶ μὴν, εἴ γε, ἐν οἷς ἡ πόλις δοκεῖ τινὸς δεῖσθαι, τὴν δαπάνην μόνον ὀψόμεθα, καὶ τὸ πῶς ἂν εὐχερέστατα γένηται, μηθὲν ἄλλο ἐξετάζοντες· τί 37) κωλύει μὴ μόνον ταύτην ὑπάρχειν, ἣν 38) ἑτοίμην τὴν δωρεὰν, ἀλλὰ κἂν ἄλλο τι θέλητε χαρίσασθαι τινὶ, γῆν, ἀργύριον, οἰκίαν τοὺς ἔχοντας ἀφαιρουμένους 39); ἢ τί δεῖ πόρους ζητεῖν, καὶ τὰ κοινὰ ἀναλίσκειν, ὅταν ᾖ καιρὸς, ἢ τεῖχος ἐπισκευάζειν, ἢ ναῦς· ἀλλὰ μὴ τὰ τοῦ δεῖνος λαβεῖν, ἢ τὰ τῶν πολιτῶν τινος, ἢ τῶν ἐνοικούντων παρ' ὑμῖν; ἀλλὰ νὴ Δία βοήσονται, καὶ δεινὰ φήσουσιν πάσχειν; οὐκ οὖν ἐξέσται δήπουθεν μὴ προσέχειν αὐτοῖς; καὶ γὰρ εἰ νῦν εἰσιν, ἐφ' οὓς ἂν ἔλθοιεν, ὑμῶν ταῦτα ποιούντων, πρότερόν γε οὐκ ἦν ἕτερος οὐδεὶς τοῦ δήμου κυριώτερος.

ἀρ'

34) imo vero τοὺς οὕτω.

35) πρὸς τοῦ Διὸς] cum hoc verbo nouum ingreditur argumentum, paullo illud quidem abhorrentius, verum tamen; quod quo magis persuadeat, asseueratione illa quasi munit.

36) aut plane delendum est μὲν, aut leg. τοὺς ἐν τῷ πρ.

37) τί] sic recte Casaub. *quid impedit.* ἢ Ven. et Mor.

38) ἣν] aut plane delendum videtur, aut cum πάνυ mutandum. margo Mor. dat ὡς.

39) ἀφαιρουμένους] aptus est hic accusatiuus ex illo, quod e praemissis tacite repetendum est, τί κωλύει τοῦτο χαρίζεσθαι ὑμᾶς ἀφαιρουμένους. *quid impedit, quo minus id donetis, posteaquam id eripueritis possessoribus?*

ἆρ' οὖν οἱ τότε ὄντες οὕτω προσεφέροντο τοῖς κατὰ μέρος; πόθεν; εἰ τοῦτο πάντων ἡγοῦντο χαλεπώτατον, καὶ τοῖς θεοῖς ἐπεύχοντο μηδέποτε συμβῆναι τοιοῦτον καιρὸν, ἐν ᾧ δεήσει κατ' ἄνδρα ἕκαστον ἀπὸ τῶν ἰδίων εἰσενεγκεῖν; καίτοι τοῦτο σπανίως ποτὲ παρ' ὑμῖν γενέσθαι φασὶν, οὐδὲ ἐν ἅπασι τοῖς πολέμοις, ἀλλ' εἴ ποτε[40]) ἐσχάτως ἡ πόλις ἐκινδύνευσεν. ἴσως οὖν ἐρεῖ τις, ὡς οἵ γε ἀνδριάντες τῆς πόλεως εἰσίν. καὶ γὰρ ἡ χώρα τῆς πόλεως, ἀλλ' οὐθὲν ἧττον τῶν κεκτημένων ἕκαστος κύριός ἐστι τῶν ἑαυτοῦ. καὶ κοινῇ μὲν ἐὰν πυνθάνηταί τις, τίνος ἐστὶν ἡ νῆσος; ἢ τίνος ἡ Καρία; φήσουσι, Ῥοδίων. ἐὰν δὲ ἄλλως ἐρωτᾷς, τουτὶ τὸ χωρίον[41]), ἢ τὸν ἀγρόν; δῆλον, ὅτι πεύσῃ τοῦ δεσπότου τὸ ὄνομα. καὶ τὰς εἰκόνας ἁπλῶς μὲν πάσας Ῥοδίων εἶναι λέγουσιν, ἰδίᾳ δὲ ἑκάστην τοῦ δεῖνος, ἢ τοῦ δεῖνος, ᾧ ἄν ποτε ᾖ δεδομένη. καίτοι τὰ μὲν χωρία καὶ τὰς οἰκίας, καὶ τἄλλα κτήματα, οὐκ ἂν εἰδείης, ὧν ἐστὶν, εἰ μὴ πυθόμενος· ἡ δὲ εἰκὼν ἐπιγέγραπται, καὶ οὐ μόνον τὸ ὄνομα, ἀλλὰ καὶ τὸν χαρακτῆρα σώζει τοῦ λαβόντος, ὥστ' εὐθὺς εἶναι προσελθόντα εἰδέναι, τίνος ἐστίν. λέγω δὲ ἐφ' ὧν ἔτι μένει τἀληθές. καὶ μὴν τό γε ἐν κοινῷ κεῖσθαι, γελοιότατόν ἐστιν, εἴ τις ἄρα σημεῖον ἡγεῖται τοῦ μὴ τῶν εἰληφότων αὐτὰς ὑπάρχειν, ἀλλὰ τῆς πόλεως. οὕτω μὲν γὰρ ἐξέσται λέγειν καὶ τὰ ἐν μέσῳ τῆς ἀγορᾶς πιπρασκόμενα τοῦ δήμου· καὶ τὰ πλοῖα δήπουθεν, οὐχὶ τῶν κεκτημένων, ἀλλὰ τῆς πόλεως· ἐπείπερ ἐν τοῖς λιμέσιν ἕστηκεν. ὃ

τοίνυν

40) ἀλλ' εἴ ποτε] sic recte Casaubonus. *sed si quando.* neque multum abest ab hac sententia latina interpretatio, nisi quod obscurior et minus latina est. ἀλλ' ἀεί ποτε Ven. et Mor.

41) τουτὶ τὸ χωρ.] sic recte Casaub. *hoc praedium.* subaudi e praemissis τίνος ἐστὶν *cuiusnam sit?* τοῦτ' ἢ τὸ χωρ. Ven. et Mor.

λειν 84)· καίτοι μὰ τὸν Δία καὶ τοὺς θεοὺς, οὐδ' 85) εἰ τὴν ἀνωτάτην χάριν ὑμῖν ἕξειν ἔμελλον, οἱ δοκοῦντες νῦν τῶν εἰκόνων τυγχάνειν, καὶ σφόδρα ἐπαινέσειν τὸν δῆμον, οὐδ' οὕτως ἐχρῆν αὐτὸ γίνεσθαι· τὸ γὰρ μόνον ζητεῖν, ἐξ ὧν ἄν τις ἀρέσαι τινὰ ποιήσας, ἢ 86) προσαγάγοιτο· εἰ δ' ἄλλον, ὃν οὐ προσῆκεν, ἀδικήσει τοῦτο ποιῶν, ἢ καθόλου τι μὴ δέον πράξει 87) μὴ σκοπεῖν, οὔτε, μὰ τοὺς θεοὺς, ἐλευθέρων ἐστὶν ἀνθρώπων, οὔτε μετρίων τὸ ἦθος. οὐδεὶς γὰρ οὐδὲ τῶν πάνυ πονηρῶν προαιρεῖται τὶ φαῦλον, ὃ μὴ συμφέρειν ἑαυτῷ νομίζει πρὸς τὸ παρόν. ἀλλ' ἐστὶν αὐτὸ τοῦτο ἡ μοχθηρία, τοῦ κέρδους 88) ἕνεκα καὶ τῆς χρείας, μηδενὸς αἰσχροῦ, μηδὲ ἀδίκου πράγματος, ἐπιστρέφεσθαι, μηδὲ φροντίζειν, ποῖον τὸ γιγνόμενον, ἀλλὰ μόνον, εἰ λυσιτελές. οὐκοῦν ὁ τὸν μὲν παρόντα θεραπεύων, ὀλιγωρῶν δὲ τοῦ θᾶττον φίλου· καὶ τῆς μὲν γεγενημένης χρείας ἐπιλελησμένος, τὴν δ' ἐλπιζομένην ὠφέλειαν περὶ πλείστου ποιούμενος, ἆρ' οὐκ ἴστε, ἧστινος τυγχάνει προσηγορίας; οὐ κόλαξ ὁ τοιοῦτος ὀνομάζεται παρὰ πᾶσιν; οὐκ ἀγενὴς, οὐκ ἄπιστος δοκεῖ; νῦν τοίνυν οὐδὲ τοῦτο περιγίνεται τῇ πόλει

84) διαβάλλειν] sic Anglus recte. *satius est plane negare quemquam esse honorandum, quam in inuidiam id adducere, quod aiunt summe opus esse ciuitati, et nunc quidem multo pluribus praestandum, quam olim fuisset.* διαβάλλει Ven. et Mor.

85) οὐδ'] sic recte Casaubonus. *ne si quidem.* (Ven. et Mor. dant δ')

86) ἢ] sic dedi; nam ἀρέσαι est optatiuus. *nam iis solummodo rebus studere, per quas quis alicui placeat, aut eum sibi concilier.* Ven. et Mor. dant μή.

87) πράξει] sic recte Casaubonus. παρέξει Ven. et Mor.

88) τοῦ κέρδους] non improbo; sed eo seruato necesse est etiam articulum τῆς ad χρείας addi. (qui a Mor. abest) quod ni fit, satius erit τὸ κέρδους legi, vt τὸ ad ἐπιστρέφεσθαι referatur.

πόλει τὸ θεραπεύεσθαι τινὰς ὑπὸ αὐτῆς καὶ μεγάλου τινὸς οἴεσθαι τυγχάνειν, ὧν ἂν τὰ ὀνόματα ἐπιγράφητε 89). τοὐναντίον γὰρ δυσχεραίνουσιν καὶ μέμφονται παρ' αὐτοῖς· εἰ καὶ σιωπῶσιν ἄλλως, προσκρούειν οὐ θέλοντες. ἢ 90) νόμισμα μὲν εἴ τῳ χαρίζεσθε 91) κίβδηλον, οὐθεὶς ἂν ἑκὼν λάβοι· μᾶλλον δὲ ὕβριν ἡγοῖτο, ἢ δωρεὰν, τὸ γιγνόμενον· τιμὴν δὲ καὶ κίβδηλον, καὶ μηδὲν ἔχουσαν ὑγιὲς, νομίζετε δέχεσθαι τοὺς νῦν ἔχοντας 92); ἀλλ' ἐὰν μὲν οἰκέτην τις ἀλλότριον ἢ σκεῦος ἀποδῶται 93) ψευσάμενος, ὡς ἑαυτοῦ, σφόδρα ἕκαστος ἀγανακτεῖ τῶν ἠπατημένων· καὶ θαυμάζοιμ' ἂν, εἰ μὴ θανάτῳ ἐζημιοῦτε τοῦτον ὑμεῖς· εἰ δ' ἀλλοτρίαν τις εἰκόνα καὶ μηδὲν αὐτῷ προσήκουσαν ἐξαπατηθεὶς λάβοι παρὰ τῶν μὴ κυρίων· (ὃ γὰρ ἂν ἄλλῳ δῷ τις τούτου 94) κύριος οὐκ ἔστιν ἑτέρῳ διδόναι·) χάριν αὐτὸν οἴεσθε τοῖς παρακρουσαμένοις ἔχειν; τίνος 95); δέομαι δὲ, ἂν οἱ λόγοι φαίνονται πικρότεροι, μηθὲν ἐμοὶ δυσχεραίνειν. οὐδὲ γὰρ ὑμᾶς φημὶ τοῦτο ποιεῖν, τρόπον δέ τινα ἀκούσης 96) τῆς πόλεως αὐτὸ γίγνεσθαι.

Oo 4 τὸ δὲ

89) melius meo iudicio dat Veneta ἐπιγράφηται.

90) ἢ] sic recte Ven. Casaub. et Anglus. ἂν. Mor. εἰ.

91) χαρίζεσθε] sic recte Casaubonus, nisi melius sit χαρίζοισθε, aut χαρίσαισθε. Ven. et Mor. dant χαρίζεσθαι.

92) Mor. dat τοὺς ἑκόντας. Casaubonus vult αὐτοὺς ἑκόντας, in Ven. est τοὺς ἔχοντας, vnde effeci τοὺς νῦν ἔχοντας.

93) ἀποδῶται] sic recte Casaubonus, *vendat*. ἀποδῶτε Ven. ἀποδῷ τι Mor.

94) malim τοιοῦτο, κύριος οὐκ ἔστιν — *nam quod quis alteri dat eiusmodi* (h. e. iuris quod sit alieni), *penes eum non est id dare.*

95) τινος (vti Mor. dat) abest a Veneta, non male. potest tamen ferri, si Casauboni modum interpungendi admittas; hunc scilicet: ἔχειν; τίνος; *cuiasnam?*

96) ἀκούσης est ab interprete, qui recte reddidit *inuita ciuitate*. nam in Ven. vitiose est ἀκούσας.

τὸ δὲ [97]) πρᾶγμα εἰ τοιοῦτόν ἐστιν, ὥστε πάναισχρον δοκεῖν ἐξεταζόμενον· τοσούτῳ προθυμότερον ὑμᾶς ἀκούειν δεῖ τοῦ λέγοντος, ὥστε ἀπηλλάχθαι τὸ λοιπὸν τῆς αἰσχύνης [98]). οὐδὲ γὰρ τὰ ἐν τοῖς σώμασι δυσχερῆ χωρὶς ὀδύνης ἐστὶν ἰάσασθαι. πολλάκις δὲ αὐτὸ τοῦτο σημεῖον ὑπάρχει τοῦ σφόδρα ἐπείγειν τὴν θεραπείαν, τὸ σφόδρα ἀλγεῖν τὸ θεραπευόμενον. ὃ τοίνυν ἀρχόμενος εἶπον, οὐδ' ἂν νῦν ὀκνήσαιμι εἰπεῖν, ὅτι πανταχοῦ μὲν οἰκεῖόν ἐστιν φαίνεσθαι τοὺς ἀγαθοὺς ἄνδρας ὑγιεῖς [99]), καὶ μηδὲν παλίμβολον ἔχοντας, μηδὲ δυσχερές· ἀλλὰ πλεῖστον ἀπάτης καὶ πονηρίας ἀπηλλαγμένους. λέγω δὲ τοὺς ὑμῖν ὁμοίους, μάλιστα δὲ οἶμαι, περὶ τὸ τιμᾶν καὶ τὰς δωρεάς. τὸ γὰρ αἰσχύνην [100]) τινὰ προσάπτειν τοῖς καλοῖς, καὶ τὸ ἀδίκως ποιεῖν τὸ πάντων δικαιότατον, οὐδ' αἰσθανομένων ἐστὶν ἀνθρώπων τῆς ἑκάστου φύσεως. ὥσπερ οὖν οἱ παρανομοῦντες εἰς τὰ ἱερά, τῶν εἰς ἄλλ' ὁτιοῦν ἁμαρτανόντων χείρους εἰσίν· οὕτως οἱ περὶ ταῦτα [1]) ἄδικοι καὶ πονηροὶ φαινόμενοι. τί γάρ ἐστιν ἱερώτερον τιμῆς, ἢ χάριτος; οὐκ ἴστε, ὅτι καὶ θεὰς νομίζουσιν οἱ πλεῖστοι τῶν ἀνθρώπων τὰς χάριτας; ἐὰν οὖν τὰ ἀγάλματα αὐτῶν περικόπτῃ τις, ἢ τοὺς βωμοὺς ἀνατρέπῃ, τοῦτον ἡγεῖσθε ἀσεβεῖν· ἐὰν δὲ αὐτὸ λυμήνηται [2]) καὶ διαφθείρῃ τὸ πρᾶγμα,

97) τὸ δὲ] sic recte margo Mor. *quod si autem causa haec sic habet.* τότε Ven. et t. Mor.

98) post αἰσχύνης videtur deesse καὶ εἰ μετ' ὀδύνης. *etiam si cum dolore id fiat.* aegre enim ferebant Rhodii a Dione sibi fraudem et cupiditatem obiectari.

99) ὑγιεῖς] linguae graecae ratio postulabat ὄντας addi; sed Dio solet hoc participium omittere.

100) αἰσχύνην] sic recte Anglus. αἰσχύνειν Ven. et Mor. rebus honestis et praeclaris turpitudinem quandam et dedecus affigere.

1) περὶ ταῦτα] scil. τὸ τιμᾶν τινας καὶ περὶ τὰς δωρεάς.

2) λυμήνηται] sic recte interpres. λυμήνετε Ven. et Mor.

πρᾶγμα, ἀφ' οὗ καὶ τὰς θεὰς ὠνομάσθαι συμβέβηκεν, μὴ ὃν δεῖ[3]) τρόπον χαριζόμενος, ἀλλ' ἀγεννῶς καὶ ἀνελευθέρως, καὶ μετὰ τέχνης τοῖς εὐεργέταις ἀχαριστῶν[4]), αὐτὸν φρονεῖν φήσομεν, καὶ τῶν ἄλλων εἶναι συνετώτερον; ἀλλὰ τοὺς μὲν καπήλους, τοὺς ἐν τοῖς μέτροις κακουργοῦντας, οἷς ὁ βίος ἐστὶν αὐτόθεν, ἀπὸ αἰσχροκερδείας, μισεῖτε καὶ κολάζετε· τὴν δὲ πόλιν, εἰ δόξει περὶ τοὺς ἐπαίνους τῶν ἀγαθῶν ἀνδρῶν πανουργεῖν, καὶ τὰς δωρεὰς καπηλεύειν, οὐκ αἰσχύνεσθε, παλίμβολα καὶ παλίμπρατα ποιοῦσαν τὰ σεμνά; καὶ οὐδὲ ἐκεῖνο ἐνθυμεῖσθε, ὅτι μηδὲ τοῖς καπήλοις μηδεὶς ἔτι ῥᾳδίως πρόσεισιν, παρ' οἷς ἂν πονηρὰ ᾖ τὰ μέτρα; καὶ μὴν ὅτι φύσει τὸ πρᾶγμα τοιοῦτόν ἐστιν, οὐχ ὁ λόγος[5]) αὐτὸ ἐξονειδίζει, θεάσασθε οὕτως; εἰ γάρ τις πύθοιτο ὑμῶν, πότερα βούλεσθε τοὺς τιμωμένους ὑφ' ὑμῶν, οἷς οἴεσθε διδόναι τὰς εἰκόνας, ἐπίστασθαι[6]) τἀληθὲς καὶ τὸ γιγνόμενον οἷόν ἐστιν, ἢ λανθάνειν αὐτούς· οὐκ ἄδηλόν ἐστιν, ὃ[7]) ἂν εἴποιτε εὖ φρονοῦντες. τί γὰρ ἐκώλυεν εὐθὺς ἐν τῷ ψηφίσματι γράφειν, ὥσπερ τἆλλα καὶ τοῦτο; εἶναι δὲ τὴν εἰκόνα[8]) αὐτοῖς μίαν τῶν ἀνακειμένων, ἢ τὴν τοῦ δεῖνος, εἰ κἀκείνους ἐβούλεσθε[9]) γιγνώσκειν; ἀλλ' οὐδέποτε, οἶμαι,

3) δεῖ] ſic recte Anglus. δὴ Ven. et Mor.
4) ἀχαριστῶν] ſic recte Caſaubonus. ἀχαρίστως Ven. et Mor.
5) οὐχ ὁ λόγος] ſubaudi *μόνον. neque ſolummodo id ratio et meditatio increpet*, ſeu dictitet turpe atque odioſum eſſe.
6) ἐπίστασθαι] ſic recte Ven. quod interpres quoque reddidit. ἐπίστασθε Mor.
7) ὃ] Veneta dat ὄν. forte voluit ὅ, τι.
8) Sententia eſt: *ſtatuam, quae hoc decreto illi vel illi Romano decernatur, vnam eſſe debere ex illis vetuſtis dudum conſecratis*; aut *recens honorando conſecrandam eſſe ſtatuam huius vel illius veteris herois, expreſſo cum eius nomine.*
9) κἀκείνους ἐβούλεσθε] ſic recte Caſaubonus. *ſi illos, Romanos*

μαι, τοῦτο ἐγγράψετε[10]). οὐκοῦν ὅτι μὲν τὰ γιγνόμενα ὀρθῶς, καὶ μηθὲν ἔχοντα ἄτοπον, οὐδεὶς περιστέλλει, δῆλόν ἐστιν. ὅτι δὲ ἥκιστ' ἂν τις φυλάξαιτο τοὺς εὖ πάσχοντας εἰδέναι, τίνα[11]) τρόπον τῆς χάριτος τυγχάνουσιν, καὶ τῶν γιγνομένων περὶ τὴν τιμὴν ὁτιοῦν, εἴ γέ τις ἁπλῶς αὐτὸ πράττει καὶ δικαίως, ἔτι μοι δοκεῖ τοῦ πρώτου φανερώτερον· ὥστε ἀνάγκη τὸ συμβαῖνον εἶναι πανταχῇ φαῦλον, καὶ μηδενὶ, μηδὲ ἰδιώτῃ, πρέπον. ὁ γὰρ ἐν αὐτοῖς, οἷς τινας εὖ ποιεῖ, παθὼν πρότερον, ἢ νὴ Δία κατάρχων καὶ προκαλούμενος εἰς φιλίαν[12]), παρακρουόμενος, καὶ φενακίζων, τί ἂν οὗτος ἄλλως[13]) ποιήσειεν; ἐπίστασθε[14]) τοίνυν, ὅτι μηδένα λανθάνει τὸ γιγνόμενον, ἀλλ' ἔστι διαβόητον, καὶ τῶν παρὰ πᾶσι θρυλλουμένων, οὐ μόνον ἐπειδὴ λίαν κατακόρως καὶ ἀναιδὴν[15]) αὐτῷ κέχρηνταί τινες, ἀλλ' ὅτι καὶ παρ' ὑμῖν πράττεται. τὸ γὰρ ἀξίωμα τῆς πόλεως καὶ τὸ μέγεθος οὐθὲν ἄγνωστον ἐᾷ τῶν ἐν αὐτῇ· καὶ τὸ σεμνότερον ὑμᾶς ἁπάντων ἐν τοῖς ἄλλοις ἑαυτοὺς ἄγειν· ἔτι δὲ, οἶμαι, τὰ πράττειν ἄριστα τῶν Ἑλλήνων φθόνον κινεῖ καὶ ζηλοτυπίαν, ὥστε πολλοὺς εἶναι τοὺς

manos puta, quibus statuas decernitis, non ignorare vultis, cuiusnam veteris herois statuam quisque pro sua accipiat. κἀκείνου σε βούλεσθε Ven. et Mor.

10) ἐγγράψετε] aut sic leg. aut ἐγράφετε, aut ἐγγράψετε, aut ἐγγράψατε, aut τοῦτό γε γράψετε, vel γράψατε. nam ἐγράψετε, quod Ven. et Mor. dant, plane nihil est.

11) τίνα] sic recte Ven. *quonam modo.* τινὰ Mor.

12) φιλίαν] sic recte Casaubonus. φιλίας Ven. et Mor.

13) ἄλλως] Casaubonus vult καλῶς. recte vero, sed non satis id est. malim ἄλλο καλῶς. *quidnam aliud recte et honeste ille faciat.* aut τί ἂν οὗτος ἄλλους ποιήσειεν; *quid ille aliis faciat?* quae in alios exempla statuat?

14) ἐπίστασθε h. l. est imperatiuus, *scitote*, velim vos haud ignorare.

15) ἀναιδὴν] Dauis. ad Max. Tyr. p. 604. vult ἀνέδην.

τοὺς ἐξετάζοντας, ἐάν τι δοκεῖτε ἁμαρτάνειν. οὐκοῦν οἱ μὲν ὅπως, ὅ,τι πράττουσιν, ἀγνοεῖσθαι[16]) μᾶλλον ἐθέλοντες, κακίας τοῦτο σημεῖον ἐκφέρουσιν· οἱ[17]) δ' ἃ μηδεὶς ἀκούει λανθάνειν[18]) νομίζοντες, εὐηθείας· οἷς ἀμφοτέροις οὐκ ἂν ἕλοισθε ἔνοχον εἶναι τὴν πόλιν. νὴ Δία, ἀλλὰ δαπανήσομεν, εἰ μὴ τοῖς οὖσιν χρησόμεθα; καὶ πόσων δεήσει χρημάτων, ἐὰν πᾶσιν κατασκευάζωμεν ἀνδριάντας, ὅσοις ψηφιζόμεθα; καὶ πόσῳ[19]) κρεῖττον ἐλάττοσι διδόναι τὴν δωρεὰν, ἢ πλείους, ἐξαπατᾶν μέλλοντάς τε[20]) ὑπὸ πλειόνων καταγινώσκεσθαι, καὶ μισεῖσθαι, σαφῶς εἰδότων, ὃ ποιεῖτε; καὶ γὰρ εἰ μὲν οὐ σφόδρα ἐπιεικεῖς εἰσὶν, οὓς[21]) ὁπωσδήποτε ἵστατε νῦν, ὃ[22]) μηδαμῆ φρονοῦντες εἴποτ' ἂν, ὁρᾶτε τὸ γιγνόμενον· διὰ

16) Casaubonus ita corrigit: ὅπως πράττουσιν, ὅ,' τι πράττουσιν, ἀγνοεῖσθαι — *qui ſtudent in occulto manere quicquid agunt.* ſententia non mala; videtur tamen potius ſic leg. eſſe: ὅπως ὅ, τι πράττουσιν ἀγνοῆται, aut plane omittendum eſſe ὅπως. id quod malim. μᾶλλον hic eſt vſurpatum pro σφόδρα, vt ſaepe. aut cum interprete ſubaudiri debet ἢ γινώσκεσθαι.

17) οἱ] ſic Caſaubonus et Anglus. paret enim ex interpretatione Caſauboni, eum exaraſſe οἱ, non εἰ, tametſi hoc operae Pariſinae per errorem exhibuerunt. Ven. et Mor. dant εἰ.

18) Caſaubonus corrigit ἃ μηδεὶς ἀγνοεῖ λανθ. item Anglus, et ſic ferme interpres, qui ſic reddidit, ac ſi legiſſet ἃ μηδείς ἐστιν ὅστις οὐκ ἀκούει λανθ. bona ſententia, ſed videtur tamen vulgata bene habere, et haec eſſe ſententia: *tardi ſunt, ſi qui exiſtimant, ea ſua dedecora omnibus latere, quae nemo audeat ſibi aperte, in faciem, quod aiunt, exprobrare.*

19) πόσῳ] Ven. et margo Mor. dant πόσα, ſed t. Mor. πόσου.

20) τε] malim γε.

21) εἰσὶν οὓς] ſic Ven. et Anglus. εἰσὶ τοὺς Mor.

22) ὃ] ſcil. eos, quos ſtatuis cohoneſtetis, omnes maiorem in modum honeſtos probosque eſſe.

διὰ γὰρ τοὺς φαύλους ἀδικεῖτε 23) τοὺς χρηστούς. ὅτι γὰρ ὑμῶν οἱ πρόγονοι μὴ ἐθαύμαζον εἰκῆ, μηδὲ ἀνάξιόν τινα, ἐγὼ διαβεβαιωσαίμην ἄν. εἰ δὲ ἀγαθοὺς τιμᾶτε, τούς γε 24) τοιούτους εἰκὸς ἄχθεσθαι τῷ πράγματι. τίς γὰρ ἂν μέτριος ἄνθρωπος βούλοιτο, ἕτερον κακῶς πάσχειν, καὶ τῶν δικαίως δεδομένων ἀποστερεῖσθαι δι᾽ αὐτόν; ἢ πῶς οὐκ ἂν ὀργίζοιτο ἐπὶ τούτῳ γινομένῳ μᾶλλον, ἤπερ εἰδείη χάριν 25); ἢ γυναῖκα μὲν οὐδεὶς ἂν ὑπομένειε, χρηστὸς ὤν, διὰ μοιχείαν 26) λαβεῖν 27), ὅτι τὸν πρότερον ἔχοντα ἠδίκησε· μᾶλλον δὲ οὐδ᾽ ἂν ὅλως λάβῃ τις ἡδέως τοῦ παρὰ ἀνδρὸς ἑτέρου. καίτοι πολλάκις γίνεται τοῦτο οὐ πονηρᾶς αἰτίας 28). τιμὴν δέ, ἣν οὐκ ἔστι δικαίως ἀπ᾽ ἄλλου λαβεῖν, οὐδὲ χωρὶς ὕβρεως τῆς εἰς ἐκεῖνον, ἀγαπᾶν τινὰ οἴεσθε; καὶ ταῦτα μηδ᾽ αὐτὸν ἐλπίζοντα, ὡς οὐθὲν ἂν πάθοι τοιοῦτον; ἀλλ᾽ ἀνδράποδον μὲν τίς ὠνούμενος, εἴ ποτε ἀπέδρα, σκοπεῖ, (καὶ εἰ μὴ παρέμενε τῷ πρώτῳ δεσπότῃ·) 29) δωρεὰν δὲ καὶ χάριν, ἣν ἄπιστον ἡγεῖται, καὶ σαφῶς οἶδεν μηδὲν ἔχουσαν βέβαιον, ἑκὼν ἂν πρόσοιτο; Ῥωμαῖοι

γὰρ

23) ἀδικεῖτε] ſic interpres et Caſaubonus. ἀδικῆσαι Ven. et Mor.

24) τούς γε] ſic recte Caſaub. τούς τε Ven. et Mor.

25) εἰδείη χάριν] ſic recte Caſaub. Anglus et interpres. εἴδει ἢ χάριν Ven. εἰδείη ἢ χάριν Mor.

26) poſt διὰ μοιχείαν videtur ἐκβληθεῖσαν deeſſe, vel ſimile quod vocabulum; niſi malumus legere διὰ μοιχείας.

27) poſt λαβεῖν deeſſe videtur εἰδώς *bene gnarus*, *tametſi ſciat*.

28) Caſaubonus vult οὐκ ἀπὸ πονηρᾶς αἰτίας. ſimile quid interpres quoque voluit. poſſit etiam ſic legi: οὐ πονηρὰς δι᾽ αἰτίας.

29) καὶ εἰ μὴ — δεσπότῃ] niſi haec ſunt ſcholium verbi ἀπέδρα, ideoque delenda, ſunt certe per copiam vel redundantiam quandam dicta; nihil enim plus dicunt, quam ἀπέδρα.

γάρ εἰσιν οἱ πλείους αὐτῶν, καὶ τίς ἂν τούτων ἅψαιτο; οἱ δέ γε παρεστῶτες αὐτοῖς Μακεδόνες, οἱ δὲ Λακεδαιμόνιοι 30), καὶ διὰ τί τούτων ἀπτόμεθα, καίτοι τοὺς μὲν πρότερον κειμένους, πάντας ἢ τούς γε πλείστους δι' εὐεργεσίαν φήσετε 31) τεθῆναι· τῶν δὲ νῦν τιμωμένων πολλοὺς δι' ἰσχὺν θεραπεύεσθαι. τὸ μὲν δὴ ποτέρους αὐτῶν δικαιότερόν ἐστιν ποιεῖσθαι περὶ πλείονος, ἐάσω. τὸ δὲ εἰ μὴ πᾶσι τὰ δοθέντα δικαίως ὑπάρξει, ποτέρους μᾶλλον εἰκὸς ἐπ' ἀδήλῳ λαμβάνειν, οὐδ' αὐτοὺς τούτους λανθάνει 32). πάντες γὰρ οἴδασιν, ὅσῳ βεβαιότερόν ἐστιν εὐεργεσία δυνάμεως. ἰσχὺν μὲν γὰρ οὐκ ἔστιν, ἥντινα οὐκ ἀναιρεῖ χρόνος, εὐεργεσίαν δὲ οὐδεμίαν. ἵν' οὖν ὑπερβολὴν ἐκείνην 33) ἀφῇ τις, ἀληθῆ τρόπον τινὰ οὖσαν, τὸ πρὸς τὴν πόλιν

30) Ven. dat *οἱ δ' εἰ λακεδ.* malim *οἱ δέ γε λακεδ.*

31) malim *φήσαιτε.*

32) *λανθάνει*] sic recte Casaub. Sententia haec est: *Fac duobus proponi conditionem accipiendi honoris, sed cum incerta spe perpetuo seruandi, alteri, cui honor conferatur vltro per beneuolentiam, alteri, cui necessario et per vim atque propter potentiam eius. Iam vter horum libentius honorem accipiet? Vltro liquet. ne ipsi quidem illi duo, quibus eiusmodi conditio proponatur, ignorent, vtrum par sit libentius honorem oblatum acceptare. qui beneuolentia meruit, maiori iure et maiori cum fiducia perpetuitatis accipiet; contra, qui metu potentiae extorsit, inuitus.* Ven. et Mor. dant *λανθάνειν.*

33) *ὑπερβολὴν ἐκείνην*] *illud maius.* appellat sic *τὸ ἀηδέστερον ἔχειν πρὸς τὴν πόλιν τοὺς οὕτω τιμᾶσθαι ζητοῦντας.* minus est *τὸ μηδεμίαν χάριν ἔχειν.* Est itaque haec sententia: *Etiamsi praeteream silentio, locoque suo et in dubio relinquam illud, quod cum altero, mox dicendo, si comparetur, maius est, scil. eos, qui sic honorari studeant, animo esse aduersus ciuitatem subaegro et subinfesto, sibique factam contumeliam existimare, suique ad contemtum rem referre; hoc quidem, quod minus illo est, aio certo nosse, eos nullam vobis habere gratiam.*

πόλιν ἀηδέστερον ἔχειν, τοσούτῳ [34]) τιμᾶσθαι ζητοῦντας· καὶ τὸ συμβαῖνον εἰς ὕβριν λαμβάνειν καὶ καταφρόνησιν ἑαυτῶν· ἀλλὰ τοῦτό γε εἰδέναι φημὶ βεβαίως, ὅτι μηδὲ χάριν ἡμῖν μηδεμίαν οἴδασιν, μηδ' οἴονται τυγχάνειν μηδενός, τὸ γινόμενον εἰδότες, καὶ τὴν ῥᾳδιουργίαν τὴν ἐν αὐτῷ. πρὸς τοῦ Διὸς [35]), εἶθ' ἃ καὶ τούτων δεχομένων, οὐκ εἰκὸς ἦν ἀφαιρεῖσθαι τοὺς (μὲν) [36]) πρόσθεν εἰληφότας, ταῦτα ἀφαιρούμεθα τοὺς ἔχοντας, οὐδὲ ἑτέροις διδόντες. καὶ μήν, εἴ γε, ἐν οἷς ἡ πόλις δοκεῖ τινὸς δεῖσθαι, τὴν δαπάνην μόνον ὀψόμεθα, καὶ τὸ πῶς ἂν εὐχερέστατα γένηται, μηθὲν ἄλλο ἐξετάζοντες· τί [37]) κωλύει μὴ μόνον ταύτην ὑπάρχειν, ἣν [38]) ἑτοίμην τὴν δωρεάν, ἀλλὰ κἂν ἄλλο τι θέλητε χαρίσασθαι τινί, γῆν, ἀργύριον, οἰκίαν τοὺς ἔχοντας ἀφαιρουμένους [39]); ἢ τί δεῖ πόρους ζητεῖν, καὶ τὰ κοινὰ ἀναλίσκειν, ὅταν ᾖ καιρός, ἢ τεῖχος ἐπισκευάζειν, ἢ ναῦς· ἀλλὰ μὴ τὰ τοῦ δεῖνος λαβεῖν, ἢ τὰ τῶν πολιτῶν τινος, ἢ τῶν ἐνοικούντων παρ' ὑμῖν; ἀλλὰ νὴ Δία βοήσονται, καὶ δεινὰ φήσουσιν πάσχειν; οὐκ οὖν ἐξέσται δήπουθεν μὴ προσέχειν αὐτοῖς; καὶ γὰρ εἰ νῦν εἰσιν, ἐφ' οὓς ἂν ἔλθοιεν, ὑμῶν ταῦτα ποιούντων, πρότερόν γε οὐκ ἦν ἕτερος οὐδεὶς τοῦ δήμου κυριώτερος.

ἀρ'

34) imo vero τοὺς οὕτω.

35) πρὸς τοῦ Διός] cum hoc verbo nouum ingreditur argumentum, paullo illud quidem abhorrentius, verum tamen; quod quo magis persuadeat, asseueratione illa quasi munit.

36) aut plane delendum est μὲν, aut leg. τοὺς ἐν τῷ πρ.

37) τί] sic recte Casaub. *quid impedit.* ἡ Ven. et Mor.

38) ἣν] aut plane delendum videtur, aut cum πάνυ mutandum. margo Mor. dat ὡς.

39) ἀφαιρουμένους] aptus est hic accusatiuus ex illo, quod e praemissis tacite repetendum est, τί κωλύει τοῦτο χαρίζεσθαι ὑμᾶς ἀφαιρουμένους. *quid impedit, quo minus id donetis, posteaquam id eripueritis possessoribus?*

ἆρ' οὖν οἱ τότε ὄντες οὕτω προσεφέροντο τοῖς κατὰ μέρος; πόθεν; εἰ τοῦτο πάντων ἡγοῦντο χαλεπώτατον, καὶ τοῖς θεοῖς ἐπεύχοντο μηδέποτε συμβῆναι τοιοῦτον καιρὸν, ἐν ᾧ δεήσει κατ' ἄνδρα ἕκαστον ἀπὸ τῶν ἰδίων εἰσενεγκεῖν; καίτοι τοῦτο σπανίως ποτὲ παρ' ὑμῖν γενέσθαι φασὶν, οὐδὲ ἐν ἅπασι τοῖς πολέμοις, ἀλλ' εἴ ποτε[40]) ἐσχάτως ἡ πόλις ἐκινδύνευσεν. ἴσως οὖν ἐρεῖ τις, ὡς οἵ γε ἀνδριάντες τῆς πόλεως εἰσίν. καὶ γὰρ ἡ χώρα τῆς πόλεως, ἀλλ' οὐθὲν ἧττον τῶν κεκτημένων ἕκαστος κύριός ἐστι τῶν ἑαυτοῦ. καὶ κοινῇ μὲν ἐὰν πυνθάνηταί τις, τίνος ἐστὶν ἡ νῆσος; ἢ τίνος ἡ Καρία; φήσουσι, Ῥοδίων. ἐὰν δὲ ἄλλως ἐρωτᾷς, τουτὶ τὸ χωρίον[41]), ἢ τὸν ἀγρόν; δῆλον, ὅτι πεύσῃ τοῦ δεσπότου τὸ ὄνομα. καὶ τὰς εἰκόνας ἁπλῶς μὲν πάσας Ῥοδίων εἶναι λέγουσιν, ἰδίᾳ δὲ ἑκάστην τοῦ δεῖνος, ἢ τοῦ δεῖνος, ᾧ ἄν ποτε ᾖ δεδομένη. καίτοι τὰ μὲν χωρία καὶ τὰς οἰκίας καὶ τἄλλα κτήματα, οὐκ ἂν εἰδείης, ὧν ἐστὶν, εἰ μὴ πυθόμενος· ἡ δὲ εἰκὼν ἐπιγέγραπται, καὶ οὐ μόνον τὸ ὄνομα, ἀλλὰ καὶ τὸν χαρακτῆρα σώζει τοῦ λαβόντος, ὥστ' εὐθὺς εἶναι προσελθόντα εἰδέναι, τίνος ἐστίν. λέγω δὲ ἐφ' ὧν ἔτι μένει τἀληθές. καὶ μὴν τό γε ἐν κοινῷ κεῖσθαι, γελοιότατόν ἐστιν, εἴ τις ἄρα σημεῖον ἡγεῖται τοῦ μὴ τῶν εἰληφότων αὐτὰς ὑπάρχειν, ἀλλὰ τῆς πόλεως. οὕτω μὲν γὰρ ἐξέσται λέγειν καὶ τὰ ἐν μέσῳ τῆς ἀγορᾶς πιπρασκόμενα τοῦ δήμου· καὶ τὰ πλοῖα δήπουθεν, οὐχὶ τῶν κεκτημένων, ἀλλὰ τῆς πόλεως· ἐπείπερ ἐν τοῖς λιμέσιν ἕστηκεν. ὁ τοίνυν

40) ἀλλ' εἴ ποτε] sic recte Casaubonus. *sed si quando.* neque multum abest ab hac sententia latina interpretatio, nisi quod obscurior et minus latina est. ἀλλ' ἀεί ποτε Ven. et Mor.

41) τουτὶ τὸ χωρ.] sic recte Casaub. *hoc praedium.* subaudi e praemissis τίνος ἐστὶν *cuiusnam sit?* τοῦτ' ἢ τὸ χωρ. Ven. et Mor.

τοίνυν ἤκουσα τινὸς ὑπὲρ τούτου λέγοντος, ὡς ἰσχυρότατον, οὐκ ἂν ἀποκρυψαίμην, ὅτι δημοσίᾳ τοὺς ἀνδριάντας ἀπεγράψασθε ὑμεῖς 42). τί οὖν τοῦτό ἐστιν; καὶ γὰρ τὴν ἀντικρὺς χώραν, καὶ Κάρπαθον ταύτην, καὶ ἤπειρον, ἑτέρας νήσους 43), καὶ καθόλου πολλά ἐστιν εὑρεῖν, ἃ κοινῇ μὲν ἀπεγράψατο ἡ πόλις, διῄρηται δὲ εἰς τοὺς κατὰ 44) μέρος. ὅλως δὲ οὐκ εἰ μὴ τοῦτον τὸν τρόπον ἕκαστος τὴν εἰκόνα ἔχει τῶν τιμηθέντων, καθάπερ ἂν ἄλλο τι κτησάμενος, διὰ τοῦτο ἂν ἔλαττον αὐτῷ 45) προσήκειν λέγοιτο, ἢ μηδὲν ἀδικεῖσθαι διδόντων ὑμῶν ἑτέρῳ τὴν ἐκείνου. μυρίους γὰρ εὑρήσετε τρόπους, καθ' οὓς ἑκάστου τὶ φαμὲν εἶναι· καὶ πλεῖστον διαφέρονται 46)· οἷον ἱερωσύνην, ἀρχὴν, γάμον, πολιτείαν· ὧν οὔτε ἀποδόσθαι τὶ ἔξεστι τοῖς ἔχουσιν, οὔτε ὅπως ἂν θέλοι 47) χρῆσθαι. κοινὸν δ' οὖν ἐπὶ πᾶσιν ὡρίσθαι δίκαιον, τὸ πάνθ', ὅσα δικαίως τις ἔλαβε, ἄν τε καθάπαξ τύχῃ λαβὼν, ἄν τε εἴς τινα χρόνον, καθάπερ

καθάπερ

42) ἀπεγράψασθε ὑμεῖς] sic interpres reddidit. In Ven. est ἀπεγράψασθαι, sed centies in illa editione σθαι inuenitur pro σθε exaratum. *vos curasse illas statuas in acta referri, illa, in quibus census quasi et peculium reip. perscriptum sit.* ἀπογράψασθαι ὑμᾶς Mor.

43) l. καὶ ἑτέρας νήσους, aut ἑτέρας τε νήσους.

44) κατὰ] sic recte Casaubonus. μετὰ Ven. et Mor.

45) malim αὐτῇ, scil. τῇ εἰκόνι, vt sit constructio haec: ὅλως δὲ, οὐκ ἂν λέγοιτο ὁ κτησάμενος εἰκόνα διὰ τοῦτο ἧττον προσήκειν αὐτῇ, ἢ διὰ τοῦτο ἧττον ἀδικεῖσθαι, διδόντων ὑμῶν αὐτὴν ἑτέρῳ, ὅτι μὴ τοῦτον τὸν τρόπον αὐτὴν ἔχει ὃν τρόπον ἔχει ἄλλος τις ἄλλο τι. *vniuerse affirmandum non est, honoratorum quemque suae statuae ideo minus competere, aut ideo minus laedi a vobis, eam alii tribuentibus, quod is eam alio quopiam modo habeat, quam quo modo alius aliquis aliud quid habet.*

46) imo vero διαφέροντας.

47) θέλοι] potest τις subaudiri. malim tamen θέλοιεν, aut θέλωσι.

θάπερ οἶμαι τὰς ἀρχὰς, βεβαίως ἔχειν, καὶ μηδένα ἀφαιρεῖσθαι· πῶς ἂν δικαιότερόν ἐστιν ὁτιοῦν ἔχειν, ἢ εἴ τις ἀνὴρ ἀγαθὸς γενόμενος καὶ χάριτος ἄξιος, ἀντὶ πολλῶν καὶ καλῶν τύχοι 48) τιμῆς; ἢ παρὰ τίνος κυριωτέρου καὶ μείζονος, ἢ παρὰ τοῦ Ῥοδίων δήμου, καὶ τῆς ὑμετέρας πόλεως· καὶ γὰρ τοῦτο οὐ σμικρόν ἐστι, τὸ μὴ Καλυμνίους εἶναι τοὺς δεδωκότας, ἢ τοὺς κακοβούλους τούτους Καυνίους. ὥσπερ ἐπὶ τῶν ἰδιωτικῶν, ὅσῳ τις ἂν κρείττω καὶ πιστότερον δεικνύει, παρ' οὗ τυγχάνει τι κτησάμενος, τοσούτῳ κρατεῖ, καὶ οὐδεὶς ἂν ἀμφισβητήσειεν αὐτῷ· καίτοι πᾶσα πόλις, ἣν ἂν εἴποι τις, ἑνὸς ἀνδρὸς ἰδιώτου, κἂν ὁ σεμνότατος ᾖ, πιστοτέρα τῷ παντὶ καὶ κρείττων· καὶ τὰ κοινῇ γιγνόμενα τῶν κατ' ἰδίαν πραττομένων ἰσχυρότερα. σκοπεῖτε δὲ, ὅτι πάντες ἡγοῦνται κυριώτερα ταῦτα ἔχειν, ὅσα ἂν δημοσίᾳ συμβάλωσι διὰ τῶν τῆς πόλεως γραμμάτων· καὶ οὐκ ἔνι λυθῆναι τῶν οὕτω διῳκημένων οὐδέν· οὔτ' εἴ τις ὠνήσαιτο παρά του 49) χωρίον, ἢ πλοῖον, ἢ ἀνδράποδον· οὔτ' εἴ τῳ 50) δανείσειεν, οὔτ' ἂν οἰκέτην ἀφῇ τις ἐλεύθερον, οὔτ' ἂν δῷ τινὰ δωρεάν. τί δήποτε συμβέβηκεν, ταῦτ' εἶναι βεβαιότερα 51) τῶν ἄλλων; ὅτι τὴν πόλιν μάρτυρα ἐποιήσατο τοῦ πράγματος. ὁ τοῦτον τὸν τρόπον οἰκονομήσας τι τῶν ἑαυτοῦ. πρὸς τοῦ Διός. εἶθ' ὧν μὲν ἂν τις παρ' ἰδιώτου τύχοι διὰ τῆς πόλεως, οὐκ ἔστιν ὅπως ἀφαιρεθήσεται τούτων. ἃ δὲ

48) καλῶν τύχοι] sic recte Casaubonus. sed Ven. et Mor. omittunt τύχοι.

49) παρά του (enclitice) χωρίον] sic recte Casaub. παρὰ τοῦ χωρίου Ven. et Mor.

50) οὔτ' εἴ τῳ iterum enclitice] *si cui aes mutuum dederit.* Ven. et Mor. dant οὔτ' εἶτα, sed Casaub. vult οὔτ' εἴ τι.

51) βεβαιότερα] sic recte Casaubonus. βεβαιότερον Ven. et Mor.

ἃ δέ τις εἴληφεν οὐ δημοσίᾳ μόνον, ἀλλὰ καὶ τοῦ δήμου δεδωκότος, οὐκ ἔσται βέβαια; καὶ τὸ μὲν ἀπ' ἄλλων γενόμενον τοῦτον τὸν τρόπον οὐ λυθήσεται διὰ τὴν πόλιν; ἃ δ' ἡ πόλις αὐτὴ πεποίηκε, ῥαδίως οὕτως ἀνελεῖ; καὶ ταῦτα οὐχ ὡς ἔδωκεν, ὁμοίως ἀφαιρουμένη κατὰ κοινόν· ἀλλ' ἑνὸς ἀνδρὸς, ἂν τύχῃ στρατηγῶν, ἐξουσίαν ἔχοντος τοῦτο ποιεῖν; καὶ μὴν καὶ γράμματά ἐστιν ἐν κοινῷ περὶ τούτων, ὑπὲρ ὧν ἔφην. τὰ γὰρ ψηφίσματα γέγραπται δήπουθεν τὰ τῶν τιμῶν, καὶ δημοσίᾳ μένει τὸν ἅπαντα χρόνον· τὸ μὲν γὰρ ἀποδοῦναι χάριν οὕτως ἀκριβῶς γίνεται παρ' ὑμῖν· τὸ δ' ἀφελέσθαι τοὺς εἰληφότας, πάνυ ῥαδίως. εἶτα τὸ μὲν οὐχ οἷόν τε[52] γενέσθαι δίχα ψηφίσματος, ἁπάντων ὑμῶν πεισθέντων· τὸ δὲ ἔθει τινὶ συμβαίνει, κἂν ἑνὶ[53]) δόξῃ μόνον. πλὴν, ὅ γε ἔφην, ὅτι δημοσίᾳ ταῦτα ἀναγέγραπται, καὶ οὐ μόνον ἐν τοῖς ψηφίσμασιν, ἀλλὰ καὶ ἐπ' αὐτῶν τῶν εἰκόνων· τό τε ὄνομα τοῦ τιμηθέντος, καὶ τὸ δεδωκέναι τὸν δῆμον· καὶ τούτων πάλιν ἐν τῷ δημοσίῳ κειμένων[54]). ὅτι τοίνυν οὐθέν ἐστιν τὸ τῆς ἀπογραφῆς, οὐδὲ τὸ ἐν κοινῷ κεῖσθαι, πρὸς τὸ μὴ τῶν εἰληφότων εἶναι τοὺς ἀνδριάντας, πάλαι μὲν ἴσως ὑπάρχει δῆλον· ἀλλ' ὥστε[55]) μηδ' ἐπιχειρῆσαι μηδένα ἀντειπεῖν[56]), ἐκεῖνο ὑμῖν ἐρῶ. ἴστε που τοὺς Ἐφεσίους, ὅτι

πολλὰ

52) οἷόν τε] sic recte Casaub. οἷόν τι Ven. et Mor.
53) κἂν ἑνὶ] sic Casaub. καὶ ἑνὶ Ven. et Mor.
54) καὶ τούτων πάλιν ἐν τῷ δημ. κειμ.] videtur hic aliquid deesse. lenissime sic emendes: καὶ τοῦτο πάντων πάλιν — *etiam hoc rursus est aliud quid statuis cum rebus omnibus in publico propositis commune.*
55) ὥστε] videtur leg. esse ᾧ γε.
56) post ἀντειπεῖν videtur οἴομαι, aut νομίζω deesse. Constructio haec est: ἀλλ' ἐκεῖνο ὑμῖν ἐρῶ, ᾧ ἀντειπεῖν ἂν οὐδ' ἐπιχειρῆσαι μηδένα νομίζω. *veruntamen ego ad vos hoc commemorabo, cui ne ausurum quidem esse quemquam obloqui, existimo.*

πολλὰ χρήματα παρ' αὐτοῖς ἔςι, τὰ μὲν ἰδιωτῶν ἀποκείμενα ἐν τῷ νεῷ τῆς Ἀρτέμιδος, οὐκ Ἐφεσίων μόνον, ἀλλὰ καὶ ξένων, καὶ τῶν ὁπόθεν δήποθεν ἀνθρώπων, τὰ δὲ καὶ δήμων, καὶ βασιλέων· τιθέασι[57]) πάντες οἱ τιθέντες ἀσφαλείας χάριν· οὐδενὸς οὐδεπώποτε τολμήσαντος ἀδικῆσαι τὸν τόπον, καίτοι πολέμων ἤδη μυρίων γεγονότων, καὶ πολλάκις ἁλούσης τῆς πόλεως. οὐκοῦν ὡς, ὅτι μὲν[58]) ἐν κοινῷ κεῖται τὰ χρήματα, δῆλόν ἐςιν· ἀλλὰ καὶ δημοσίᾳ[59]), κατὰ τὰς ἀπογραφὰς[60]), ἔθος αὐτὰ τοῖς Ἐφεσίοις ἀπογράφεσθαι. τί οὖν; ἆρά γε καὶ λαμβάνουσιν ἐξ αὐτῶν, ὅταν ᾖ χρεία τις; ἢ δανείζονται γοῦν, ὃ τάχα δόξει μηδὲν εἶναι δεινόν; ἀλλ' οἶμαι πρότερον ἂν περιέλοιεν τὸν κόσμον τῆς θεοῦ, πρὶν ἢ τούτων ἅψασθαι. καίτοι τοὺς Ἐφεσίους οὐκ ἂν εἴποιτε εὐπορωτέρους αὐτῶν[61])· τοὐναντίον γὰρ ὑμεῖς μὲν καὶ πρότερον ἦτε πλουσιώτατοι τῶν Ἑλλήνων, καὶ νῦν ἔτι μᾶλλον ἐςέ· ἐκείνους δὲ πολλοὺς ἔςιν ἰδεῖν καταδεέςερον πράττοντας. μὴ τοίνυν εἰ[62]) ἐκεῖνα μέν ἐςιν ἀνελέσθαι τοῖς θέλουσι, τῆς εἰκόνος δὲ οὐθεὶς

57) ante τιθέασι deesse videntur haec duo verba, ἃ ἐκεῖ, *quae ibi deponunt.*

58) ὅτι μὲν] malim οὐ μόνον. *constat itaque, non solum illas opes apud Ephesios in publico iacere, sed etiam publice.* aliud est ἐν κοινῷ *in loco publico* iacere, aliud δημοσίᾳ *publice*, h. e. cum consensu, voluntate, conscientia, iussu et auctoritate totius populi. ὡς h. l. idem est atque ὅτι.

59) ἀλλὰ καὶ δημοσίᾳ] id est ἀλλὰ καὶ ὡς [vel ὅτι] δημοσίᾳ κεῖται.

60) κατὰ τὰς ἀπογραφὰς] *propter acta* illa, in quae ista referuntur, indices rerum publico consecratarum. tum lego ἃς ἔθος αὐτῶν τοῖς ἐφεσίοις ἀπογράφεσθαι. *quos indices, vel quas tabulas Ephesiis conficere mos est illarum rerum.*

61) αὐτῶν] id est ὑμῶν αὐτῶν. *quam vosmet.* ἑαυτῶν Casaub.

62) εἰ] sic recte Casaub. ἢ Ven. et Mor.

οὕτως ἐστὶν τῆς ἑαυτοῦ κύριος, καὶ[63]) μὴ τὸ πρᾶγμα ἀνόμοιον[64]) ἡγήσησθε· τὸ[65]) γὰρ μὴ πάντ' εὐθὺς τῆς πόλεως εἶναι τὰ ἐν τῷ κοινῷ κείμενα καὶ δημοσίας[66]) ἀπογραφῆς τυχόντα δεῖξαι βουλόμενος, ὃν τούτῳ[67]) κατὰ τοῦτο ἐχρησάμην. τὸ μέντοι μηθένα πρὸς ἄλλο τι τὴν εἰκόνα ἔχειν, ἢ τὸ ἑστάναι παρ' ὑμῖν, ᾧ μόνῳ διαφέρουσιν οὗτοι τῶν ἐκεῖ τὰ χρήματα τιθέντων, ἔτι μᾶλλον ὑπὲρ αὐτῶν ἐστιν. ἃ γὰρ μηδὲ τοῖς λαβοῦσιν ἔξεστιν ἀνελεῖν, ἧπου γε τοῖς δεδωκόσιν ἐξεῖναι προσήκει. καθόλου δὲ ἄλλως ἔγωγε φιλονεικεῖν ἔοικα πρὸς τὸν εἰπόντα δή, ὡς τῆς πόλεως πάντες εἰσὶν οἱ ἀνδριάντες. ἐπὶ[68]) τοῦτό γε οὐθὲν ἐστι σημεῖον, ὡς οὐκ ἔστιν ἄτοπον τὸ γιγνόμενον. τὰ γοῦν ἐν τοῖς ἱεροῖς ἀναθήματα, ἃ κατασκευάσασα ἡ πόλις καὶ[69]) ἐκ τῶν ἰδίων ἀνατέθεικεν, οὐκ ἂν οὐδεὶς ἀμφισβητήσειεν, ὡς οὐ δημόσια ἐστίν. ἆρ' οὖν οὐχὶ δεινόν, εἰ καταχρησόμεθα τούτοις πρὸς ἄλλο τι; νὴ Δία, ταῦτα γάρ ἐστιν ἀναθήματα[70]). αἱ δ' εἰκόνες, τιμαί· κἀκεῖνα δέδοται τοῖς θεοῖς, ταῦτα δὲ τοῖς ἀγαθοῖς ἀνδράσιν· οἵπερ εἰσὶν ἔγγιστα αὐτῶν· καίτοι καὶ θεοφιλεῖς ἅπαντες οἱ χρηστοὶ λέγονται καὶ εἰσίν.

63) καὶ delet Casaub. recte.
64) ἀνόμοιον] sic recte Casaub. ἂν ὅμοιον Ven. et Mor.
65) τὸ] sic Casaub. τὰ Ven. et Mor.
66) τὰ ἐν τῷ κοινῷ κείμενα καὶ δημοσίας] sic recte Ven. sed Mor. omittit τῷ et κείμενα.
67) ὃν τούτῳ] Casaub. vult λόγῳ τούτῳ, tolerabiliter id quidem, attamen vt videatur Dio aliud dedisse, ἂν τούτῳ, καὶ τούτῳ, vel τοιούτῳ.
68) ἐπὶ] imo vero ἐπεὶ *quandoquidem.*
69) καὶ delendum.
70) verba νὴ Δία, ταῦτα γάρ ἐστιν ἀναθ. sunt obiectio, cui occurritur istis αἱ δ' εἰκόνες τί; (sic enim videtur legendum) τιμαί. *atqui*, ait aduersarius, *haec* (in templis deorum dedicata) *sunt donaria*, (eoque sacra et loca non mouenda.) *Recte vero; statuae autem quid sunt? Honores habiti* —

εἰσίν. εἶτα ἡμᾶς μὲν οὐχ ὁ [71]) τῶν κτημάτων τι τῶν ἡμετέρων ἀφαιρούμενος, ἀλλὰ κἂν τοὺς φίλους βλάπτῃ τι τοὺς ἡμετέρους, ἀδικεῖ τῷ παντὶ πλέον· τοὺς δέ γε θεοὺς φήσομεν, ὡς ἔοικε, τῶν φίλων μᾶλλον ὀλιγωρεῖν, ἢ τῶν κτημάτων; ἀλλὰ πάντα [72]) μὲν προσήκει βεβαίως ἔχειν τοὺς κτησαμένους, καὶ ταῦτα ἐν δημοκρατίᾳ, καὶ παρ' ὑμῖν, οἳ μέγιστον φρονεῖτε ἐπὶ τῷ νομίμως καὶ δικαίως διοικεῖν τὰ παρ' ἑαυτοῖς· μάλιστα δὲ οἶμαι τὰς τιμὰς καὶ τὰς χάριτας· οὐ μόνον, ἐπειδὴ τὰ μὲν ἄλλα καὶ φαῦλος ὢν τὶς ἂν ἔχοι· χρήματα, οἰκίας, ἀνδράποδα, χώρας· ταῦτα δὲ μόνοις ὑπάρχει τοῖς ἐπιεικέσιν· ἀλλὰ καὶ δι' ἐκεῖνο, ὅτι ταῦτα μέν ἐστιν κεκτῆσθαι καὶ δι' ἑτέρου τρόπου, κληρονομήσαντα, ἢ πριάμενον· τῶν δὲ τοιούτων διὰ μόνης ἀρετῆς ἐστιν ἡ κτῆσις. καὶ μὴν ὧν γέ τις τὴν τιμὴν κατέβαλε τοῖς κυρίοις, οὐδ' ἀμφισβητεῖ δήπουθεν οὐδεὶς, ὡς οὐ δίκαιόν ἐστιν ἐᾶν ἔχειν αὐτόν· τοσούτῳ μᾶλλον [73]), ὅσωπερ ἂν πλείονα ᾖ δεδωκώς. οὐκοῦν ἅπαντες οὗτοι δεδώκασιν τιμὴν ἕκαστος τῆς εἰκόνος τῆς ἑαυτοῦ· καὶ ταύτην οὐδὲ μετρίαν· οἱ μὲν στρατηγίας λαμπρὰς ὑπὲρ τῆς πόλεως, οἱ δὲ πρεσβείας, οἱ δὲ καὶ τρόπαια ἀπὸ τῶν πολεμίων, οἱ δέ τινες καὶ χρήματα ἴσως, οὐ μὰ Δία χιλίας δραχμὰς, οὐδὲ πεντακοσίας, ὅσων [74]) εἰκόνας ἀναστῆσαι. τί οὖν; οὐχὶ νενόμισται παρά γε τοῖς μὴ παντάπασιν ἀδίκοις τὸν ἀποστερούμενον [75]) τινὸς κτήματος ὃ γοῦν κατέθηκεν κομίζεσθαι παρὰ τῶν εἰληφότων [76]).

71) οὐχ ὁ] id est οὐ μόνον ὁ — *non ille solum, qui nobis rerum nostrarum aliquid eripit.* v. ad p. 47, 16. ed. Mor.
72) malim ἀλλὰ γὰρ πάντα.
73) f. αὐτὸν, καὶ ταῦτα τοσούτῳ μᾶλλον.
74) ad ὅσων facile possit ἐστὶν subaudiri.
75) τὸν ἀποστερ.] sic recte Ven. sed Mor. omittit τόν. totum hunc locum perspicue Casaubonus exposuit.
76) παρὰ τῶν εἰλ.] scil. ὃ κατέθηκε. *ab illis, qui* ab isto *accepissent pretium* emtae rei numeratum.

ἆρ' οὖν ἐθέλοιτ' ἂν ἀποδοῦναι τὰς χάριτας, ἀνθ' ὧν ἐψηφίσασθε ἐκείνοις 77) τοὺς ἀνδριάντας; λυσιτελεῖ γοῦν ὑμῖν ἐκτίνουσιν 78), ἐπειδὴ τὸ λυσιτελὲς οἴονται δεῖν τινὲς ὁρᾶν ἐξάπαντος. ἐὰν οὖν ἢ πόλεμον ᾖ τις κατωρθωκὼς, ὃν εἰ μὴ συνέβη κατορθῶσαι τοῖς τότε 79), ἡμεῖς οἱ νῦν οὐκ ἂν εἴχομεν τὴν πόλιν· ἢ τὴν ἐλευθερίαν ἡμῖν κεκομισμένος· ἢ τῶν οἰκιστῶν ὑπάρχῃ τις· (οὐ γὰρ ἔχομεν σαφῶς εἰπεῖν, τίνες εἰσὶν οἷς συμβέβηκεν, ἢ συμβήσεται, τοῦ πράγματος εἰκῇ γιγνομένου, καὶ μόνον ἔθει τινί·) μὴ δυσχερὲς εἰπεῖν ᾖ 80) τὸ μετὰ ταῦτα, ὅτι καὶ τῆς πόλεως αὐτῆς ἀποστῆναι δεήσει, μὴ βουλομένους 81) γε τὰ δίκαια ποιεῖν; εἰ δὲ δὴ, τίς εἴη τὶ τοιοῦτον δεδωκὼς, ὃ μηδὲ βουληθέντα ἀποδοῦναι δυνατόν; μύριοι δ' εἰσὶν, οἱ τὰς ψυχὰς προειμένοι ἑαυτῶν ὑπὲρ τῆς πόλεως, καὶ τοῦ ζῆν ἐωνημένοι τὴν εἰκόνα καὶ τὴν ἐπιγραφὴν, καθάπερ εἶπον καὶ πρότερον, ἆρ' οὐ δεινὰ πάσχουσιν οὗτοι νῦν 83); οὐδὲ ἐκεῖνό ἐστιν εἰπεῖν; ὅτι οὐχὶ ἡμεῖς ἐσμὲν οἱ ταῦτ' εἰληφότες. πρῶτον μὲν γὰρ ἅπαντα ὀφείλουσι τὰ τῶν προγόνων, οὐχ ἧττον αὐτῶν ἐκείνων 84), εἰς οὓς ἄν ποτε καθήκῃ τὸ γένος. οὐ γὰρ ἀφί-

77) ἐκείνοις] Ven. et Mor. dant ἐκείνους.
78) ἐκτίνουσιν] sic recte interpres. ἐκτείνουσιν Ven. et Mor.
79) τοῖς τότε] *illis, qui tum erant in viuis.* et sic interpres quoque. Ven. et Mor. dant ποτε.
80) ᾖ] in coniunct. *vereor, ne graue auditu et dictu atrox sit, quod consequitur.* Ven. et Mor. dant ἤ.
81) βουλομένους] sic recte Casaub. et paulo post δή. Ven. et Mor. dant βουλομένου et δεῖ.
82) Casaubonus vult προέμενοι, *qui dimiserunt, et vltro abiecerunt,* negans praeteritum passiui huius verbi eodem significatu, quo aor. 2. medii, vsurpari; de quo nonnihil adhuc dubito.
83) Ingeniose, tametsi non necessario, neque vere coniecit Anglus: πάσχουσιν. οὐ τοίνυν οὐδὲ ἐκεῖνο.
84) αὐτῶν ἐκείνων] sc. τῶν εἰληφότων. nil minus, quam illi ipsi, qui pretium statuarum, libertatem, victorias, etc. ferebant.

ἀφίςασθαι φήσετε τῆς διαδοχῆς, εἰ τὰ 86) πάνθ᾽, ὅσα, ἐξ ὧν τότε ἐκείνους τινὲς εὐεργετοῦσιν 87), καὶ προεθυμοῦντο πάσχοντες ἢ δρῶντες ὑπὲρ αὐτῶν 88), συνήθη, χρήσιμα 89) καὶ μεγάλα ὑμῖν ἐςὶν νῦν· ἡ δόξα τῆς πόλεως, τὸ μέγεθος, τὸ χωρὶς μιᾶς αὐτὴν πασῶν τῶν ἄλλων ὑπερέχειν. εἰ τοίνυν, ὅτι μὴ παρ᾽ ὑμῶν εἰλήφασι, διὰ τοῦτο ἔλαττον ἀδικεῖν οἴεσθε, ἢ 90) εἴ τι τῶν ἄλλων ὑπαρχόντων τινὸς ἀφαιρεῖσθε 91), τῶν ἄγαν τὶ φανερῶν ἀγνοεῖτε. πρῶτον μὲν, ὅτι πάντες οἱ τινὰ ἀποςεροῦντες ὁτιοῦν 92), κἀκεῖνον ἀδικοῦσιν οὐχ ἧττον, παρ᾽ οὗ ποτ᾽ ἂν τοῦτο εἰληφὼς τύχῃ· οἷον οἱ τῶν δημοσίων τὶ καταλύοντες οἰκοδομημάτων, ὅ τις 94) τῶν καθ᾽ ἕνα ἐποίησε χαριζόμενος ὑμῖν, μᾶλλον ἂν δείξαιεν τὸν ποιήσαντα ἀδικεῖν τὴν πό-

85) καθήκη τὸ γένος] ſic recte Ven. Caſaub. et Anglus. καθήκητο γένος Mor.

86) εἰ τὰ] Ven. et Mor. dant εἶτα.

87) imo vero εὐεργέτουν in imperf.

88) malim συνήχθη, a verbo συνάγω.

89) χρήσιμα] ſic recte Caſaub. ῥήσιμα Ven. et Mor. Conſtructio haec eſt: *non enim profecto ſucceſſionem veſtram in iura maiorum veſtrorum ideo eiurabitis, quod, quaecunque illi ſuis beneficiis, periculis et laboribus in vos contulerunt, nunc ſunt penes vos magna vobisque ſalutaria.* εἰ τὰ πάντα νῦν ἐςιν ὑμῖν χρήσιμα καὶ μεγάλα, ὅσα συνήχθη ἐκ τούτων, ἃ ἐκεῖνοι εὐεργέτουν καὶ προεθυμοῦντο.

90) ἢ hic loci non eſt *aut*, ſed *quam*. ἔλαττον ἀδικεῖν ἢ — *minora iniuria afficere quam*.

91) malim ἢ εἴ τινα τῶν ἄλλων τῶν ὑπαρχόντων τινὸς ἀφαιρεῖσθε. *quam ſi quem alium alia quapiam re, quae in eius iure atque poteſtate ſit, priuetis.*

92) ὁτιοῦν] ſic recte Caſaub. *quicquid id tandem eſt.* ὅτι οὖν Ven. et Mor.

93) τύχῃ] ſic Caſaub. recte. τύχης Ven. et Mor.

94) ὅ τις] ſic recte Caſaub. ὅτ᾽ εἰς Ven. et Mor.

λιν [95]). οὐκοῦν αὐτὸς λόγος [96]) καὶ ἡ πόλις [97]) ἤ τι τῶν ἰδιωτῶν τινὶ δεδωκυῖα, πρὸς τὸν ἀφαιρούμενον τοῦτον. ἆρ᾽ ὑμεῖς πρὸς ἐκείνοις [98]), ὧν τὰς εἰκόνας ἀνεξήσατε, τὴν πόλιν, οἶμαι, τὴν δεδωκυῖαν ἀδικεῖτε, τουτέστιν ἑαυτούς; ἀλλ᾽ ὁ μὲν εἰς ἄλλον ἁμαρτὼν, ὥστε ἑαυτὸν ὠφελῆσαι, κακίᾳ μόνον ἐστὶν ἔνοχος τοῖς πολλοῖς· ὁ δ᾽ ἑαυτὸν ἀδικῶν ἐν οἷς ἕτερον [99]), τῆς μὲν πονηρίας [100]) ὑπερβολήν τινα ἔδειξεν, ἐκ περιττοῦ δὲ ἀνόητος δοκεῖ. πρὸς τούτῳ δ᾽ ἂν ἴδοι τις καὶ ἕτερον. ὁ μὲν ἀφαιρούμενος κατ᾽ αὐτὸ τὸ πρᾶγμα ἁμαρτάνει, φύσει τι ποιῶν ἄτοπον· ὁ δὲ τῶν ὑφ᾽ ἑαυτοῦ δεδομένων ἐν μέρη τιμῆς καὶ χάριτος τινὰ ἀποστερῶν, οὐ μόνον κοινὸν τοῦτο παραβαίνει, καθ᾽ ὃ προσήκει μηδένα βλάπτειν, ἀλλὰ καὶ χρηστὸν ἄνδρα ἀδικεῖ, καὶ τοῦτον, ὃν ἥκιστα αὐτῷ προσῆκεν. οὐδαμῆ γὰρ ἰδεῖν ἔστι τοῖς φαύλοις τὰς τιμὰς δεδομένας, οὐδὲ ὑφ᾽ ὧν μηδὲν εὖ πεπόνθασιν. ὅσῳ δὴ χεῖρον τὸ τοὺς ἀγαθοὺς ἀφαιρεῖσθαι τιμὰς, ἢ τὸ τοὺς ἄλλους, καὶ τὸ τοὺς εὐεργέτας βλάπτειν τοῦ τὸν τυχόντα ἀδικεῖν, οὐδένα λανθάνει. καὶ τοίνυν καὶ τοὺς Ἐφεσίους; εἴ τις ἀφέλοιτο, πρὸς τὴν θεὸν [1])

κατ᾽

95) Casaubonus vult δόξαιεν τὸν ποιήσαντα ἀδικεῖν, ἢ τὴν πόλιν. sed hoc quidem aduersatur menti Dionis, quae sibi constat, si aut sic legas: μᾶλλον τοῦ ποιήσαντος ἀδικεῖν τὴν πόλιν, aut μᾶλλον τὴν πόλιν, ἢ τὸν ποιήσαντα ἀδικεῖν, aut οὐ μᾶλλον τὸν ποιήσαντα ἀδικεῖν, ἢ τὴν πόλιν.

96) αὐτὸς λόγος defendi posse arbitror. Casaub. vult ὁ αὐτὸς λόγος.

97) καὶ εἰ ἡ πόλις cum Casaubono legas, an κἂν πόλις, perinde est; nam articulus ἡ videtur hinc eiiciendus. ἢ cum ἡ esse mutandum dubium non est.

98) ἐκείνοις] sic recte Casaub. ἐκείνας Ven. et Mor.

99) ἕτερον] scil. ἀδικεῖ.

100) post πονηρίας addi velim καὶ οὗτος.

1) dubitaui diu, sitne πρὸς τῇ θεῷ, *praeterquam quod in deam* (Dianam) *peccet*, an αὐτῶν τὴν θεὸν *si quis eorum*

(Ephe-

κατ' αὐτὸ τοῦτο φαίη τις ἂν ἁμαρτάνειν λαβόντας ἀπ' ἐκείνων τῶν χρημάτων. τοὺς οὕτω προσφερομένους ταῖς εἰκόσιν, οὐ μόνον διὰ τὰ νῦν εἰρημένα δήπουθεν, ὅτι μηδὲν προσήκοντας ἀνθρώπους ἔμελλον ἀδικεῖν, ὧν τοὺς πολλοὺς οὐδὲ ἔγνωσαν, ἀλλὰ καὶ διὰ τὴν ἀπὸ τοῦ πράγματος αἰτίαν 2). τοῖς μὲν γὰρ παρακαταθήκην τινὰ μὴ φυλάξουσιν 3) οὐδεὶς ἂν οὐδὲν ἔτι τῶν ἑαυτοῦ πιστεύσειεν· τοὺς δὲ ὑβρίζοντας εἰς τοὺς εὐεργέτας οὐδεὶς κρίνει 4) χάριτος ἀξίους. ὥσθ' ὁ κίνδυνος ὑμῖν μὲν ἐν τῷ μηκέτ' εὖ πάσχειν ὑπὸ μηδενός· ἐκείνοις δὲ ἐν τῷ μηκέτι φυλάττειν τὰ ἀλλότρια. βούλομαι τοίνυν ὑμέτερόν τι ἔργον εἰπεῖν οὐ πάλαι μὲν γεγονός, εὐδοκιμοῦν δὲ παρὰ πᾶσιν οὐχ ἧττον τῶν πάνυ παλαιῶν 5)· ἵν' εἰδῆτε παραθέντες, εἰ καθόλου τοὺς τοιούτους ἄξιόν ἐστιν τοιοῦτόν τι ποιεῖν. μετὰ γὰρ τὸν συνεχῆ καὶ μακρὸν ἐκεῖνον Ῥωμαίων πόλεμον, ὃν πρὸς ἀλλήλους ἐπολέμησαν, ὅτε ὑμῖν ἀτυχῆσαι συνέβη διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, ἐπειδὴ πέρας εἶχε τὰ δεινά, καὶ πάντες ᾤοντο σεσῶσθαι, καθάπερ ἐν ταῖς μεγάλαις νόσοις πολλάκις

(Ephesiorum puta) *Dianam spoliet*, leg. sed illud est durum, neutrum satisfacit. quare satius habeamus male sanum h. l. tantisper deponere, donec e melioribus libris medicina afferatur. Casaubonus item nil dubitauit mendosum esse. Venit quidem in mentem, num dederit Dio κατὰ ταὐτὸ — τοῖς οὕτω προσφερομένοις ταῖς εἰκόσι. dicat quis Ephesios eodem plane modo peccare, atque Rhodios illos, si quid de pecuniis apud Deam depositis auferant, hos, qui statuas tam indigne habebant. Verum Dio negat amborum simile et par delictum esse. Anglus vult τοὺς δὲ οὕτω προσφ.

2) αἰτίαν] malim ἀηδίαν. *propter incommoda ex hoc negotio exsistentia.*

3) malim φυλάξασιν.

4) κρίνει serues, an κρινεῖ legas, aut κρίνειε, multum interesse non puto.

5) παλαιῶν] sic recte Casaubonus. χαλεπῶν Ven. et Mor.

νὸς εὕροι τις ἂν καὶ ἐν ἄλλῳ χρόνῳ· καὶ Σόλωνα λέγεται παρὰ Ἀθηναίοις ποτὲ ποιῆσαι. δίχα γὰρ τοῦ πολλάκις ἀναγκαίως αὐτὸ συμβαίνειν ἐκ τῆς ἀπορίας τῶν δεδανεισμένων [17])· ἔσθ' ὅτε οὐδὲ ἀδίκως γίνεται διὰ τὸ μέγεθος τῶν τόκων, ὅταν τινὲς πολλάκις ὦσιν ἐν τούτοις τὰ ἀρχαῖα κεκομισμένοι. τὸ δὲ τὰς χάριτας τὰς ἀντὶ τῶν εὐεργεσιῶν ἀποστερεῖσθαι τοὺς εἰληφότας, οὔτε ἀφορμὴν οὐδεμίαν δύναται παρασχεῖν εὔλογον· οὔτε εἰσηγήσατο οὐδεὶς πώποτε, ἀλλὰ μόνου τούτου σχεδὸν ἁπάντων οὐδέποτε καιρὸς γέγονεν. καὶ μὴν δύο ταῦτα ὁμοίως τῆς [18]) μεγάλης φυλακῆς ἐν τοῖς νόμοις ἠξίωται, καὶ ἀρᾶς καὶ ἐπιτιμίων [19]) τῶν ἐσχάτων, ἐάν τις εἰσάγῃ, χρεῶν ἀποκοπαὶ [20]), ἢ ὡς τὴν γῆν ἀναδάσασθαι προσήκει. τούτων τοίνυν τὸ μὲν [21]) παρ' ὑμῖν οὐ γέγονεν· τὸ δὲ λοιπὸν [22]), ὃ μηδόλως ἴσμεν εἴ ποτε [23]) συνέβη, σκέψασθε, παραθέντες τῷ νῦν ἐξεταζομένῳ πράγματι. τῆς μέν γε χώρας ἄνωθεν [24]) διαιρουμένης, τοῦτο ἂν εἴη δεινότατον τὸ ἐξ ἴσου γίνεσθαι τὸν ἔχοντα πρότερον τῷ μὴ κεκτημένῳ· τῆς δὲ εἰκόνος ἑτέρῳ δοθεί-

17) τῶν δεδανεισμένων] Ven. et Mor. dant δεδανισμένων.
18) malim aut τῆς omitti, aut illo seruato, τῆς μεγίστης exarari.
19) ἐπιτιμίων] sic dedi. ἐπιτιμιῶν Ven. et Mor. τὰ ἐπιτίμια sunt *poenae criminibus constitutae*. sed ἡ ἐπιτιμία est *conditio* τοῦ ἐπιτίμου, *ciuis*, *cui iura sua ciuilia supersunt adhuc integra*, *nil imminuta*.
20) ἀποκοπαὶ] possit videri bonum, si referatur ad praemissum δύο ταῦτα — ἠξίωται. sed additum ἢ ὡς προσήκει necessario accusatiuum poscit, quare leg. est ἀποκοπάς.
21) τὸ μέν] scil. tabularum mutatio.
22) τὸ δὲ λοιπὸν] significat nouas leges agrarias.
23) ἴσμεν εἴ ποτε] sic recte Casaub. εἰς μένει ποτε Ven. et Mor.
24) ἄνωθεν] *denuo*, *iterum a principio*, sublata priore agrorum diuisione.

δοθείσης, οὐδαμῶς ἴσος ἐστὶν ὁ ἀφαιρεθεὶς τῷ λαβόντι. ὁ μὲν γὰρ τέτευχεν, εἴπερ ἄρα, τῆς τιμῆς, τῷ δὲ οὐθὲν περίεστι. φέρε τοίνυν, εἴ τις ἔροιτο τὸν στρατηγὸν ὑμῶν ἐφεστῶτα, καὶ κελεύοντα ἐκχαράττειν τὴν ἐπιγραφὴν, ἕτερον 26) δ' ἐγγράφειν, τί ἐστιν τὸ γιγνόμενον; ἢ νὴ Δία πέφηνέ τι 27) δεινὸν εἰργασμένος τὴν πόλιν τοσούτοις ἔτεσιν ὕστερον οὗτος ἀνήρ. πρὸς τοῦ Διὸς, οὐκ ἂν ὑμῖν δοκεῖ 28) διατραπῆναι, καὶ 29) ταῦτα ἐὰν ᾖ μέτριος; ἐγὼ μὲν γὰρ οἶμαι, καὶ τὸν τεχνίτην ἐρυθριάσειν. εἰ δὲ δὴ παῖδες, ἢ συγγενεῖς τινες παρατύχοιεν τἀνδρὸς ἐκείνου, πόσα οἴεσθε ἀφήσειν αὐτοὺς δάκρυα, ἐπειδὰν ἄρξηταί τις ἀφανίζειν τὸ ὄνομα. οὐ μενοῦν 30) ἀλλὰ ἐνστήσονται πάντες 31), εἰς ὑμᾶς παριόντες, εἰς τὸν δῆμον βοῶντες, ἆρ' οὖν, οὐδ' ἂν τοιοῦτο συμβῇ, κωλύσετε, οὐδὲ ἐπιστραφήσεσθε. ἐγὼ μὲν οὐδὲν ἂν τοιοῦτον περὶ ὑμῶν ὑπολάβοιμι, μᾶλλον δὲ καὶ νῦν φημὶ λανθάνειν αὐτὸ γιγνόμενον· ἀλλ' οὐκ ἐάσετε γνόντες·

οὔτε

25) εἴπερ ἄρα] *si modo consecutus est reuera.* negat enim hoc modo honorem aut titulum impetrari.

26) ἕτερον] scil. ἄνθρωπον, vel ὄνομα. malim tamen ἑτέραν, vt ad praemissum ἐπιγραφὴν redeat.

27) πέφηνέ τι] sic recte Anglus. ἀπέφην ἔτι Ven. et Mor. lapsus hic est Casaubonus. πέφηνε idem est atque πέφανται aut ἀπέφηνεν ἑαυτόν. *totne post annis demum constitit, hunc hominem aliquod enorme facinus commisisse?*

28) ὑμῖν δοκεῖ] sic recte Casaub. *nonne vobis videtur eiusmodi futurum vt praetor super eiusmodi interrogatione erubescat, et perplexus conturbetur? vt nesciat, quid respondeat, idque eo magis, si frugi sit.* Ven. et Mor. omittunt δοκεῖ.

29) καὶ] malim κἂν.

30) immerito Anglus οὐμενοῦν ἀλλὰ sollicitat. *quid quod* — vel *parum dico. debebam dicere: ciues omnes consurgent.*

31) ἐνστήσονται πάντες, *instabunt omnes*, strategi puta, εἰς ὑμᾶς παριόντες, *ad vos prodeuntes*, (loquitur enim Dio ad senatum) εἰς τὸν δῆμον βοῶντες, *concionem quoque populi suis clamoribus obtundentes.*

οὔτε γοῦν νῦν γε ἐπίστασθε δήπουθεν τὸ πρᾶγμα ὅλον, ὥστε καθάπαξ κωλῦσαι προσήκει [32]) νὴ Δία. ἀλλ' οὐχ ὅμοιόν ἐστιν [33]), πολλῶν ὄντων, οἷς μηδεὶς προσήκει, καὶ τοῦ πράγματος συμβαίνοντος ἐπ' οὐδενὶ τῶν γνωρίμων. ἐγὼ δ' ὅτι μὲν οὐκ, εἴ τινες ἀγνοοῦσιν προσήκοντας ἑαυτοῖς ἐνίους τούτων, ὅπερ εἰκός, διὰ τοῦτο ἔλαττον ἀδικοῦνται τῶν προγόνων ἀτιμαζομένων, ἀφίημι. χαλεπώτερον δὲ ἄλλως εἶναί μοι δοκεῖ τὸ γιγνόμενον εἰς ἐκείνους, οἷς μηδὲ ἔστιν οἰκεῖος, μηδὲ εἷς [34]) ἔτι. καὶ γὰρ τῶν ζώντων δοκεῖ δεινότερον εἶναι τούτους ἀδικεῖν, οἷς μηδὲ εἷς ἐστιν ὁ βοηθῶν ἔτι [35]). κατά γε τοῦτο λεγέτωσαν μηδὲν εἶναι χαλεπὸν μηδὲ τὸ τοὺς ὀρφανοὺς βλάπτειν τοὺς παντάπασιν ἐρήμους, οἳ μήτε ἑαυτοῖς ἀμύνειν δύνανται, μήτε ἄλλον ἔχουσιν τὸν κηδόμενον. ἀλλὰ ὑμεῖς τοὐναντίον καὶ μᾶλλον ἐπὶ τούτοις ἀγανακτεῖτε, καὶ δημοσίᾳ καθίστασθε ἐπιτρόπους, ὅπως μηδὲν ἀδικῶνται. καθόλου δὲ πάντων ὧν μέλλουσιν ἐρεῖν λόγων,

οὐδενὸς

32) post κωλῦσαι punctum esse figendum, dubio penes me quidem vacat; sed de hoc dubito, sitne προσήκει plane tollendum, an seruandum, et si seruetur, quae sit eius sententia. num haec: *Conueuit vtique*; vt incipiat obiectionem refutandam a verbis ἐγὼ δὲ vers. 5. an leg. sit κωλῦσαι, ᾗ προσήκει, *impedire, qua par est*; vt obiectio a verbis νὴ Δία ordiatur.

33) ἀλλ' οὐχ ὅμοιόν ἐστι] *verum non quadrat exemplum tuum, non conuenit rei praesenti, cum hoc, quo tu vitio nobis vertis, in multis quidem eueniat, quibus nemo superest cognatus, in nemine autem virorum clarorum.* Haec est obiectio, quae oppugnatur istis verbis ἐγὼ δὲ —

34) εἷς] sic leg. cum interprete. εἰς Ven. et Mor.

35) post ἔτι aliquid deest, e. c. ἢ *aut*, quod equidem nunc malim, aut, quod olim in mentem veniebat, εἰ δὲ μὴ — *si minus*, h. e. si existimant, leuius peccari in derelictis, aiant, per me licet, pro isto suo disputandi more — vel id quod ex eorum ratiocinandi modo consequitur.

οὐδενὸς ἔχοντος ἐπιεικὲς οὐδὲν, ὁ τοιοῦτός ἐστιν ἀτοπώτατος, ὡς ἄρα οὐδενὸς ἅπτονται τῶν γνωρίμων ἀνδριάντων, οὐδὲ οὓς ἐπίσταταί τις ὧν εἰσιν· ἀλλὰ ἀσήμοις τισὶν καὶ σφόδρα παλαιοῖς καταχρῶνται. καθάπερ εἴ τις λέγοι μηδένα τῶν ἐπιφανῶν ἀδικεῖν πολιτῶν, ἀλλὰ τοὺς δημοτικοὺς, καὶ οὓς μηδεὶς οἶδεν. καίτοι μὰ τὸν Δία, οὐχ ὅμοιον. ἐν μὲν γὰρ τοῖς ζῶσιν, καὶ δι' εὐγένειαν, καὶ δι' ἀρετὴν ἄλλος ἄλλου φανερώτερός ἐστι· καὶ διὰ πλοῦτον τοῦτο συμβαίνει, καὶ δι' ἑτέρας προφάσεις ἀξιολόγους. ἐπὶ δὲ τῶν εἰκόνων [36]) μὴ τοὐναντίον λέγοι τις ἂν, ὡς εἰσιν αὗται βελτιόνων ἀνδρῶν. οὐ γὰρ δι' ἀγένειαν ἢ κακίαν τινὰ οὐκ ἐπιστάμεθα αὐτοὺς, οἵ γε τῶν αὐτῶν τοῖς λαμπροτάτοις τετεύχασιν· ἀλλὰ διὰ μῆκος χρόνου τοῦτο γέγονεν. ὅσῳ τοίνυν τοὺς πρότερον ἀεὶ τῶν ἐπιγιγνομένων πάντες ἡγοῦνται φύσει κρείττους, καὶ τὸ πάλαι τυχεῖν τινὰς τούτου σπανιώτερον ὑπῆρχε· τοσούτῳ περὶ ἀμείνους ἄνδρας, καὶ μειζόνων ἀγαθῶν αἰτίους ὁμολογοῦσιν ἁμαρτάνειν. ὅτι δ' ἀληθῆ ταῦτα ἀμφότερα, δῆλον. τούς τε γὰρ σφόδρα ἀρχαίους ἡμιθέους ὄντας [37]) ἐπιστάμεθα· καὶ τοὺς μετ' αὐτοὺς οὐ πολὺ ἐκείνων χείρονας· ἔπειτα τοὺς ἐφεξῆς ἐλάττονας ἀεὶ κατὰ τὸν χρόνον· καὶ τέλος τοὺς νῦν ὁποίους ἡμᾶς αὐτοὺς οἴδαμεν. καὶ πρότερον μὲν οὐδὲ τοῖς ἀποθνήσκουσι πᾶσιν ὑπὲρ τῆς πόλεως ἦν ἱστάναι χαλκοῖς· ἀλλ' εἰ μὴ [38]) τις ὑπερφυᾶ καὶ θαυ-

36) post εἰκόνων potest ὁρᾶτε vel δέδοικα subaudiri, quod Anglo quoque visum fuit. nescio tamen, an alterutrum potius sit addendum. *sed in statuis vereor ne quis recte affirmet* — aut alias erit μὴ plane tollendum. possit quoque sic legi: μὴ ἀδίκως τοὐναντίον —

37) ἀρχαίους ἡμιθέους ὄντας] sic recte Ven. et Casaub. sed Mor. omittit ἡμιθέους.

38) aut ἀλλὰ aut μὴ est del. possit quoque μὴ cum δὴ permutari.

θαυμαστὰ πράξεις. νῦν δὲ τοὺς καταπλέοντας τιμῶμεν, οὗπερ[39]) ἄρα τοὺς ὕστερον μᾶλλον καὶ τοὺς ἔγγιστα νῦν[40]) ἀνακειμένους μεταποιητέον; οὐδὲ γὰρ ἐκεῖνο ἀγνοεῖτε δήπουθεν, ὅτι πάντες οἱ νοῦν ἔχοντες τοὺς παλαιοὺς τῶν φίλων μᾶλλον ἀγαπῶσιν, καὶ περὶ πλείονος ποιοῦνται τῶν δι' ὀλίγου γεγονότων· καὶ τούς γε πατρικοὺς τῷ παντὶ πλέον, ἢ τοὺς ὑφ' αὑτῶν ἐγνωσμένους[41]). οἱ μὲν γὰρ τὰ πρὸς τούτους παραβαίνοντες μόνους αὐτοὺς ἀδικοῦσιν· οἱ δὲ τῶν πρὸς ἐκείνους τὶ λύοντες, καὶ τῶν κτησαμένων αὐτοὺς ὀλιγωροῦσι. καθόλου δὲ, ὥσπερ ὅταν τῶν ζώντων τις ἐξετάζηται παρ' ὑμῖν, ὃν ἂν αὐτοὶ σφόδρα[42]) οἴδατε, ἢ παντάπασιν ἀγνοεῖτε, τοῖς ἐπισταμένοις αὐτοὺς[43]) προσέχετε, καὶ τίθεσθε τὴν ψῆφον κατὰ τοὺς μάρτυρας, ἄλλως τε[44]) ἂν ὦσιν οὗτοι μὴ πονηροί· ταυτὸ νῦν[45]) ποιήσετε· ἐπεὶ καὶ περὶ ἀνδρῶν ὁ

λόγος

39) οὗπερ] cum Anglo potius, quam cum Casaubono. h. l. faciam, quorum ille suadet ὥς εἴπερ ἄρα. *quare satius sit, si modo vllas vnquam liceat statuas transmutare, recentiores, quam vetustiores, in alios atque alios conferre.*

40) νῦν suspectum. num τοῖς νῦν. proximos nostris temporibus puta vel hominibus. an est cum ἡμῖν permutandum?

41) ἐγνωσμένους] sic recte Anglus; nam tametsi γνώμη (non γνώσμη) vsurpatur, ab ἔγνωμαι ductum, tamen non hoc, sed ἔγνωσμαι, in vsu est. ἐγνωμένους Ven. et Mor.

42) probo Angli οὐ σφόδρα *non admodum.*

43) αὐτοὺς pro αὐτὸν, quod strictior lex grammatica poscebat, ob praemissum τις. *nunc viuentium aliquis.* Interpres quoque αὐτὸν reddidit: sed bene habet; vim multitudinis in se τις habet. exempla similia ad Demosthenem contuli.

44) ἄλλως τε] sic recte Casaub. *praesertim si testes ipsi non sint homines nequam.* ἀλλ' ὥστε Ven. et Mor.

45) malim addita copula ταὐτὸ καὶ νῦν *id idem etiam nunc facietis*, vel potius *facite.* colligo enim e sequenti μάθετε, etiam hic imperatiuum esse subrogandum, et ποιήσατε leg.

λόγος ἐστὶν, οὓς φασι μηδένα εἰδέναι τῶν ζώντων, παρὰ τῶν ἐγνωκότων αὐτοὺς μάθετε. οἱ τοίνυν τότε ὄντες καὶ σαφέστατα ἐκείνους εἰδότες, εὐεργέτας ἡγοῦντο τῆς πόλεως, καὶ τῶν μεγίστων ἠξίουν· οἷς οὐ θεμιτὸν ὑμᾶς ἀπιστεῖν, ὑμετέροις γε οὖσι προγόνοις, οὐδὲ φῆσαι πονηρούς. οὐ 46) τοίνυν οὐδὲ τοιοῦτον οὐδέν ἐστιν εἰπεῖν, κατὰ 47) πολὺν χρόνον ἐσχήκασι τὰς τιμάς· οὐ γάρ ἐσθ' ὅπως δείξουσι πλείονα ἐκείνους 48) χρόνον τιμωμένους ὑπὸ τῆς πόλεως, ἢ τὴν πόλιν ὑπ' αὐτῶν εὖ πεπονθυῖαν. ὥσπερ οὖν ὁ χρέος πάλαι μὲν ὀφείλων, πάλαι δὲ ἀποδοὺς, οὐθὲν πλέον τι πεποίηκεν, τοῦ νῦν ἀποδιδόντος, ὅτε εἴληφεν 49)· ὁμοίως οὐδ' εἴ τις πάνυ πρὸ πολλοῦ τινὰ ἠμείψατο τότε εὖ παθών. ἄλλως τε εἰ 50) μὲν ἀτέλειαν, ἢ χρήματα, ἢ γῆν, ἢ τοιοῦτόν τι δεδωκότες ἀφαιρεῖσθε 51), μᾶλλον ἂν ἴσως ἠδικοῦντο οἱ μετὰ ταῦτα εἰληφότες. ὁ γὰρ χρόνον τινὰ κατασχὼν τὰ τοιαῦτα, ὠφέληταί τι καὶ προείληφεν. ἐπὶ δὲ τῆς τιμῆς οὐδέν ἐστι τοιοῦτον. οἱ μὲν γάρ εἰσιν εὐπορώτεροι καὶ τὸν ἄλλον χρόνον· ἃ γὰρ ἐκτήσαντο ἀπὸ τούτων ἔχουσιν. τοῖς δὲ τοὐναντίον ἀτιμοτέροις ὑπάρχει γεγονέναι. ὅπου μὲν γὰρ ἐλάττων ἡ ζημία τοῖς πολὺν χρόνον καρπωσαμένοις· ὅπου δὲ ἀτιμία μείζων τοῖς σφόδρα παλαιᾶς τιμῆς ἀφαιρουμένοις. ὅτι τοίνυν οὐδὲ ἀσεβείας ἀπήλλακται τὸ γιγνόμενον, μάλιστα ὃν οὗτοι φασὶ

46) οὐ] quomodo etiam interpres reddidit. οὖ Ven. et Mor.
47) κατὰ] lege ὅτι.
48) ἐκείνους] sic interpres recte. ἐκείνου Ven. et Mor.
49) τοῦ νῦν — εἴληφεν] idem est atque τοῦ νῦν εἰληφότος καὶ νῦν ἀποδιδόντος. quam qui hac aetate reddit aes debitum, quod hac ipsa item aetate mutuum acceperat. Interpres videtur legisse ὅ, τι.
50) εἰ] sic recte Casaub. si. Ven. et Mor. dant οἱ.
51) ἀφαιρεῖσθε] sic recte Casaub. ἀφαιρεῖσθαι Ven. et Mor.

φασὶ τρόπον· κἂν ὑπερβολῆς ἕνεκα δόξω τισὶ λέγειν, οὐχ, ὡς πρότερον εἶπον, ὅτι[52]) πάντα ἁπλῶς ἀσεβήματά ἐστι τὰ περὶ τοὺς τεθνεῶτας γιγνόμενα· ἀλλὰ ὅτι καὶ πάντες ἥρωας νομίζουσι τοὺς σφόδρα παλαιοὺς ἄνδρας, ἐὰν μηθὲν[53]) ἐξαίρετον ἔχωσιν, δι' αὐτὸν, οἶμαι, τὸν χρόνον. τοὺς δὲ δὴ σεμνοὺς οὕτως καὶ τῶν μεγίστων ἠξιωμένους, ὧν ἔνιοι καὶ τὰς[54]) τελετὰς ἐσχήκασιν ἡρώων, τοὺς τοσαῦτα ἔτη κειμένους, ὥστε τὴν μνήμην ἐπιλελοιπέναι· πῶς ἔνι τῆς αὐτῆς τυγχάνειν προσηγορίας[55]), ἧς οἱ τεθνηκότες ἐφ' ἡμῶν, ἢ μικρὸν ἔμπροσθεν, ἄλλως τε[56]) μηδενὸς ἄξιοι φανέντες; καὶ μὴν τά γε εἰς τοὺς ἥρωας ἀσεβήματα, οὐδ' ἂν ἀμφισβητήσειεν οὐδεὶς, ὡς οὐχὶ τὴν αὐτὴν ἔχει τάξιν, ἣν τὰ περὶ τοὺς θεούς. τί οὖν; οὐκ ἀδίκημά ἐστι τὸ τὴν μνήμην ἀναιρεῖν; τὸ τὴν τιμὴν ἀφαιρεῖσθαι; τὸ ἐκκόπτειν τὸ ὄνομα; δεινόν γε καὶ σχέτλιον, ὦ Ζεῦ. ἀλλ' ἐὰν μὲν στέφανόν τις ἀφέλῃ, τὸν μίαν ἴσως ἢ δευτέραν μενοῦντα ἡμέραν, ἢ κηλῖδα τινὰ τῷ χαλκῷ προσβάλῃ, τοῦτον ἡγήσεσθε ἀσεβεῖν· τὸν δὲ ὅλως ἀφανίζοντα καὶ μετατιθέντα καὶ καταλύοντα τὴν δόξαν, οὐδὲν ποιεῖν ἄτοπον; ἀλλ' ἐὰν μὲν δοράτιον ἐξέλῃ τις ἐκ τῆς χειρὸς, ἢ κράνους ἀπορρήξῃ τὸν λόφον, ἢ τὴν ἀσπίδα τοῦ βραχίονος, ἢ χαλινὸν ἵππου, τῷ δημοσίῳ[57]) τοῦ-

τον

52) aut cum ἔτι permutandum erit ὅτι, aut ſi ſeruetur, erit poſt λέγειν addendum ἐρῶ.

53) malim ἐὰν καὶ μηθέν.

54) τὰς malim abeſſe.

55) προσηγορίας] vt appellentur ſimpliciter mortui; videtur tamen ſatius eſſe, vt οὐ τῆς αὐτῆς legatur. qui fieri poteſt, vt eadem careant appellatione, qua caeteri omnes defuncti afficiuntur, quippe qui, ipſo Dione teſte, heroës vſurpantur.

56) malim δέ.

57) τῷ δημοσίῳ] *carnifici*. ſolet ille quidem plerumque δήμιος appellari; verum cum et hoc adiectiuum ſit, cum

quo

τον εὐθὺς παραδώσετε· καὶ τὴν αὐτὴν ὑπομενεῖ τιμωρίαν τοῖς ἱεροσύλοις. ὥσπερ ἀμέλει καὶ πολλοὶ τεθνήκασι διὰ τοιαύτας αἰτίας· καὶ πλέον οὐδὲν λέγουσιν αὐτοῖς, ἢ ὅτι [58]) τῶν ἀνωνύμων τινὰ καὶ σφόδρα παλαιῶν ἐλωβήσαντο εἰκόνα· δημοσίᾳ δὲ ἡ πόλις τῷ παντὶ χείρων καὶ φαυλοτέρα φανεῖται περὶ τοὺς Ἥρωας; καὶ τοίνυν ἐὰν εἴποι τις εἰσελθών, ὅτι πεφώραταί τις ξένος, ἢ καὶ πολίτης, ἢ χεῖρα ἢ δάκτυλον ἀφαιρῶν ἀνδριάντος, βοήσεσθε, καὶ παραχρῆμα ἐπιθεῖναι κελεύσετε ἐπὶ τὸν τροχόν. καίτοι χειρὸς μὲν ἀφαιρεθείσης, ἢ δόρατος, ἢ φιάλης, ἐὰν τύχῃ κρατῶν, ἡ τιμὴ μένει, καὶ τὸ σύμβολον ἔχει τῆς ἀρετῆς ὁ τιμηθεὶς, ὁ δὲ χαλκὸς μόνος ἐλάττων γέγονε· τῆς δὲ ἐπιγραφῆς ἀναιρουμένης, ἀνῄρηται δήπουθεν ἡ μαρτυρία, καὶ τὸ δοκεῖν ἄξιον ἐπαίνου γεγονέναι τὸν ἄνθρωπον. βούλομαι τοίνυν, ὅπερ Ἀθήνησι μὲν οἶδα γιγνόμενον, οἶμαι δὲ κἀνταῦθα γίγνεσθαι, κατὰ νόμον πάνυ καλῶς ἔχοντα, εἰπεῖν πρὸς ὑμᾶς. ἐκεῖ γὰρ ὅταν δημοσίᾳ τινὰ δέῃ τῶν πολιτῶν ἀποθανεῖν ἐπ' ἀδικήματι, πρότερον τὸ ὄνομα αὐτοῦ ἐξαλείφεται. τίνος ἕνεκα; ἑνὸς μὲν, ὅπως μηκέτι δοκῶν πολίτης εἶναι πάσχῃ τι τοιοῦτο, ἀλλ', ὡς δυνατὸν, ἀλλότριος γεγονώς. εἶτ' οἶμαι, καὶ τῆς τιμωρίας αὐτῆς τοῦτο μέρος οὐκ ἐλάχιστον δοκεῖ, τὸ μηδὲ προσηγορίαν ἔτι φαίνεσθαι, τοῦ προελθόντος εἰς τοῦτο κακίας· ἀλλ' ἠφανίσθαι παν-

quo ſubaudiendum ſemper eſt ὑπηρέτης, idque vocabulum poſſit perinde etiam ad δημόσιος ſubaudiri, praetereaque tot occurrant exempla horum vocabulorum vſurpatione inter ſe permutatorum, vt audacia ſit eos omnes locos vitii arguere, vbi δημόσιος legitur pro carnifice, δημίῳ, vſurpatus, malo vulgatae h. l. acquieſcere.

58) lege αὐτοῖς ἦν, ὅτι — *nihil ipſis profuit, obtendere* — vel potius plane tollamus illud ἤ, quod a Ven. abeſt.

λιν 95). ȣκȣν αὐτὸς λόγος 96) καὶ ἡ πόλις 97) ἤ τὶ τῶν ἰδιωτῶν τινὶ δεδωκυῖα, πρὸς τὸν ἀφαιρȣμενον τȣτον. ἆρ᾽ ὑμεῖς πρὸς ἐκείνοις 98), ὧν τὰς εἰκόνας ἀνεςήσατε, τὴν πόλιν, οἶμαι, τὴν δεδωκυῖαν ἀδικεῖτε, τȣτέςιν ἑαυτȣς; ἀλλ᾽ ὁ μὲν εἰς ἄλλον ἁμαρτὼν, ὥστε ἑαυτὸν ὠφελῆσαι, κακίας μόνον ἐςὶν ἔνοχος τοῖς πολλοῖς· ὁ δ᾽ ἑαυτὸν ἀδικῶν ἐν οἷς ἕτερον 99), τῆς μὲν πονηρίας 100) ὑπερβολήν τινα ἔδειξεν, ἐκ περιττȣ δὲ ἀνόητος δοκεῖ. πρὸς τȣτῳ δ᾽ ἂν ἴδοι τις καὶ ἕτερον. ὁ μὲν ἀφαιρȣμενος κατ᾽ αὐτὸ τὸ πρᾶγμα ἁμαρτάνει, φύσει τι ποιῶν ἄτοπον· ὁ δὲ τῶν ὑφ᾽ ἑαυτȣ δεδομένων ἐν μέρει τιμῆς καὶ χάριτός τινα ἀποςερῶν, ȣ μόνον κοινὸν τȣτο παραβαίνει, καθ᾽ ὃ προσήκει μηδένα βλάπτειν, ἀλλὰ καὶ χρηςὸν ἄνδρα ἀδικεῖ, καὶ τȣτον, ὃν ἥκιςα αὐτῷ προσῆκεν. ȣδαμῆ γὰρ ἰδεῖν ἔςι τοῖς φαύλοις τὰς τιμὰς δεδομένας, ȣδὲ ὑφ᾽ ὧν μηδὲν εὖ πεπόνθασιν. ὅσῳ δὴ χεῖρον τὸ τȣς ἀγαθȣς ἀφαιρεῖσθαι τιμὰς, ἢ τὸ τȣς ἄλλȣς, καὶ τὸ τȣς εὐεργέτας βλάπτειν τȣ τὸν τυχόντα ἀδικεῖν, ȣδένα λανθάνει. καὶ τοίνυν καὶ τȣς Ἐφεσίȣς; εἴ τις ἀφέλοιτο, πρὸς τὴν θεὸν 1)

κατ

95) Caſaubonus vult δόξαιεν τὸν ποιήσαντα ἀδικεῖν, ἢ τὴν πόλιν. ſed hoc quidem aduerſatur menti Dionis, quae ſibi conſtat, ſi aut ſic legas: μᾶλλον τȣ ποιήσαντος ἀδικεῖν τὴν πόλιν, aut μᾶλλον τὴν πόλιν, ἢ τὸν ποιήσαντα ἀδικεῖν, aut ȣ μᾶλλον τὸν ποιήσαντα ἀδικεῖν, ἢ τὴν πόλιν.

96) αὐτὸς λόγος defendi poſſe arbitror. Caſaub. vult ὁ αὐτὸς λόγος.

97) καὶ εἰ ἡ πόλις cum Caſaubono legas, an κἂν πόλις, perinde eſt; nam articulus ἡ videtur hinc eiiciendus. ἢ cum ἢ eſſe mutandum dubium non eſt.

98) ἐκείνοις] ſic recte Caſaub. ἐκείνας Ven. et Mor.

99) ἕτερον] ſcil. ἀδικεῖ.

100) poſt πονηρίας addi velim καὶ ȣτος.

1) dubitaui diu, ſitne πρὸς τῇ θεῷ, *praeterquam quod in deam* (Dianam) *peccet*, an αὐτῶν τὴν θεὸν *ſi quis eorum* (Ephe-

κατ' αὐτὸ τοῦτο φαίη τις ἂν ἁμαρτάνειν λαβόντας ἀπ' ἐκείνων τῶν χρημάτων. τοὺς οὕτω προσφερομένους ταῖς εἰκόσιν, οὐ μόνον διὰ τὰ νῦν εἰρημένα δήπουθεν, ὅτι μηδὲν προσήκοντας ἀνθρώπους ἔμελλον ἀδικεῖν, ὧν τοὺς πολλοὺς οὐδὲ ἔγνωσαν, ἀλλὰ καὶ διὰ τὴν ἀπὸ τοῦ πράγματος αἰτίαν [2]). τοῖς μὲν γὰρ παρακαταθήκην τινὰ μὴ φυλάξουσιν [3]) οὐδεὶς ἂν οὐδὲν ἔτι τῶν ἑαυτοῦ πιστεύσειεν· τοὺς δὲ ὑβρίζοντας εἰς τοὺς εὐεργέτας οὐδεὶς κρίνει [4]) χάριτος ἀξίους. ὥσθ' ὁ κίνδυνος ὑμῖν μὲν ἐν τῷ μηκέτ' εὖ πάσχειν ὑπὸ μηδενός· ἐκείνοις δὲ ἐν τῷ μηκέτι φυλάττειν τὰ ἀλλότρια. βούλομαι τοίνυν ὑμέτερόν τι ἔργον εἰπεῖν οὐ πάλαι μὲν γεγονός, εὐδοκιμοῦν δὲ παρὰ πᾶσιν οὐχ ἧττον τῶν πάνυ παλαιῶν [5])· ἵν' εἰδῆτε παραθέντες, εἰ καθόλου τοὺς τοιούτους ἄξιόν ἐστιν τοιοῦτόν τι ποιεῖν. μετὰ γὰρ τὸν συνεχῆ καὶ μακρὸν ἐκεῖνον Ῥωμαίων πόλεμον, ὃν πρὸς ἀλλήλους ἐπολέμησαν, ὅτε ὑμῖν ἀτυχῆσαι συνέβη διὰ τὴν πρὸς τὸν δῆμον εὔνοιαν, ἐπειδὴ πέρας εἶχε τὰ δεινά, καὶ πάντες ᾤοντο σεσῶσθαι, καθάπερ ἐν ταῖς μεγάλαις νόσοις πολλάκις

(Ephesiorum puta) *Dianam spoliet*, leg. sed illud est durum, neutrum satisfacit. quare satius habeamus male sanum h. l. tantisper deponere, donec e melioribus libris medicina afferatur. Casaubonus item nil dubitauit mendosum esse. Venit quidem in mentem, num dederit Dio κατὰ ταὐτὸ — τοῖς οὕτω προσφερομένοις ταῖς εἰκόσι. dicat quis Ephesios eodem plane modo peccare, atque Rhodios illos, si quid de pecuniis apud Deam depositis auferant, hos, qui statuas tam indigne habebant. Verum Dio negat amborum simile et par delictum esse. Anglus vult τὰς δὲ οὕτω προσφ.

2) αἰτίαν] malim ἀηδίαν. *propter incommoda ex hoc negotio exsistentia.*

3) malim φυλάξασιν.

4) κρίνει serues, an κρινεῖ legas, aut κρίνειε, multum interesse non puto.

5) παλαιῶν] sic recte Casaubonus. χαλεπῶν Ven. et Mor.

δεινοῦ τινος ἐδέησεν βοηθήματος, καὶ τότε ἔδοξε τὰ πράγματα ζητεῖν τοιαύτην ἐπανόρθωσιν. ὅθεν πᾶσιν ἐδόθη τοῖς ἔξωθεν χρεῶν ἄφεσις. ἀσμένως δὲ αὐτῶν προσεμένων καὶ τὸ πρᾶγμα δωρεὰν ἡγησαμένων, μόνοι τῶν ἄλλων ὑμεῖς οὐκ ἐδέξασθε· καίτοι τῆς ἁλώσεως ὑμῖν, ὅπερ ἔφην, ἄρτι γεγενημένης, καὶ τῶν πολεμίων ἐν τῇ πόλει τὰς οἰκείας [6]) μόνον εἰακότων· ἀλλ' ὅμως δεινὸν ὑμῖν ἔδοξεν τὸ [7]) ἐν ὁποίῳ δήποτε καιρῷ παραβῆναί τι τῶν δικαίων· καὶ διὰ τὰς συμφορὰς τὰς καταλαβούσας, ἔτι καὶ τὴν πίστιν ἀνελεῖν τὴν παρ' αὐτοῖς. καὶ τἄλλα πάντα Ῥωμαίοις παραχωροῦντες, οὐκ ἠξιώσατε καθ' ἓν τοῦτο [9]) τὸ παραχωρῆσαι, τὸ μηδὲν αἰσχρὸν αἱρεῖσθαι κέρδους ἕνεκα. ὧν γάρ, οἶμαι, τὴν ἐκείνων πόλιν ἑωρᾶτε [10]) μὴ δεηθεῖσαν δι' ἀρετὴν ἅμα καὶ εὐτυχίαν, τούτου τὴν ἡμετέραν ἀπεφήνατε μὴ δεομένην διὰ μόνην τὴν ἀρετήν. οὐ τοίνυν φήσετε ἔλαττον, ὦ ἄνδρες Ῥόδιοι, τὴν χάριν ὀφείλεσθαι τοῖς εὖ πεποιηκόσιν, ἢ τοῖς συμβάλλουσι [11]) τὸ χρέος. εἶτα τὸ μὲν μὴ ἑκόντας ἐκτίνειν [12]) τὰ ὀφειλόμενα, δει-

νὸν

6) τὰς οἰκίας] *domos.* sic recte interpres οἰκείας Ven. et Mor.

7) τὸ] sic quoque interpres. τὸν Ven. et Mor.

8) Sententia postulat καὶ πρὸς ταῖς συμφοραῖς ταῖς καταλαβούσαις. *et superioribus malis hoc addere, vt fidem quoque falleretis.*

9) Anglus vult τοῦτο παραχ. Casaub. hic lapsus est.

10) In Veneta est vitiose εὕρατο. Sententia est: quarum rerum Romam videbatis nil egere, neque eas postulare, simul propter animum excelsum et propter felicitatem [significat pecunias reip. Romanae a prouinciis debitas, quas Augustus iis remisit] earum vos pariter nil egere ostendistis, virtute pariter, atque illi, moti, at non item felicitate vestrarum rerum; infelices enim illae erant.

11) συμβάλλουσι non valde improbo; malim tamen συμβαλοῦσι. *iis, qui pecuniarium contractum fecerint, qui pecuniam mutuam alicui dederint.*

12) ἐκτίνειν] sic recte interpres: ἐκτείνειν Ven. et Mor.

νὸν ὑμῖν ἔδοξεν· τὸ δὲ ἀποδόντας ἀφαιρεῖσθαι, μέτριον. οὐ γὰρ δὴ τὸ μετὰ πάντων ἀσχημονεῖν 13), τοῦ μόνους, αἴσχιον ὑπειλήφατε. καίτοι 14) τοσαύτης μεταβολῆς καθ᾽ ὃν εἴρηκα καιρὸν γενομένης, καὶ περὶ πάντας συγχύσεως, τά τε δοθέντα ὑπῆρχεν βεβαίως ἔχειν τοῖς προειληφόσιν, καὶ οὐδεὶς ἐτόλμησεν εἰσπράττειν τοὺς ἤδη τὶ κεκομισμένους 15). ὑμεῖς δὲ νῦν οὐδὲ ἔφθητε 16) διαλῦσαι, τοῖς εὐεργέταις ἐᾶτε· ἀλλ᾽ οἱ μηδὲ τῶν αὐτῶν μηδὲν ὑπομείναντες τότε τοῖς ἄλλοις, καὶ ταῦτα ἐπταικότες, νῦν εὐτυχοῦντες πράττετε, ὃ μηδὲ ἐκείνων τότε μηδὲ εἷς. καίτοι τὸ μὲν τῶν χρεῶν γεγονὸς

13) non audiendus Valesius Emendat. p. 58. h. l. turbans. plana sunt et perspicua haec. *itane vos*, (cum miratione et indignatione atque fastidio haec loquitur) *qui indignum vobis habueritis, si non vltro nomina vestra dilueretis, pro re commoda habebitis, debita dudum a vobis diluta, rursus vos reposcere? non enim profecto existimatis minus turpiter eum peccare, qui cum multis peccet, quam qui solus.* significat hoc: vos enim non ii estis, qui existimatis, minus esse turpe flagitium, si vos statuas iis, quibus dedissetis semel, rursus eripiatis, id quod vos soli facitis, quam, si aes Romano debitum aerario non dependeretis, in quo habuissetis multos culpae socios.

14) ὑπειλήφατε. καίτοι] sic recte Ven. ὑπειλήφατε καίτοι Mor.

15) κεκομισμένους] κεκοσμημένους Ven. dat, et Mor. κεκομησμένους.

16) οὐδ᾽ ἂν ἔφθητε] sic recte Casaubonus. Ven. et Mor. omittunt ἂ. *vos verone illa quidem debita, quae iam dudum vestris benefactoribus exsoluistis, relinquitis* [aut sinitis ipsos ea retinere] *sed, iidem vos, qui olim non sustineretis, quamuis grauissime afflicti, eandem cum aliis ignominiam subire* [conturbatarum tabularum puta] *nunc audetis, in summa rerum vestrarum prosperitate, ea admittere flagitia, quae nemo alius eorum, qui olim erant, admisit.* [vt statuas scil. iis rursus adimatis, quibus eas semel consecrastis.]

νὸς εὕροι τις ἂν καὶ ἐν ἄλλῳ χρόνῳ· καὶ Σόλωνα λέγεται παρὰ Ἀθηναίοις ποτὲ ποιῆσαι. δίχα γὰρ τοῦ πολλάκις ἀναγκαίως αὐτὸ συμβαίνειν ἐκ τῆς ἀπορίας τῶν δεδανεισμένων [17]· ἔσθ' ὅτε οὐδὲ ἀδίκως γίνεται διὰ τὸ μέγεθος τῶν τόκων, ὅταν τινὲς πολλάκις ὦσιν ἐν τούτοις τὰ ἀρχαῖα κεκομισμένοι. τὸ δὲ τὰς χάριτας τὰς ἀντὶ τῶν εὐεργεσιῶν ἀποστερεῖσθαι τοὺς εἰληφότας, οὔτε ἀφορμὴν οὐδεμίαν δύναται παρασχεῖν εὔλογον· οὔτε εἰσηγήσατο οὐδεὶς πώποτε, ἀλλὰ μόνου τούτου σχεδὸν ἁπάντων οὐδέποτε καιρὸς γέγονεν. καὶ μὴν δύο ταῦτα ὁμοίως τῆς [18] μεγάλης φυλακῆς ἐν τοῖς νόμοις ἠξίωται, καὶ ἀρᾶς καὶ ἐπιτιμίων [19] τῶν ἐσχάτων, ἐάν τις εἰσάγῃ, χρεῶν ἀποκοπαὶ [20], ἢ ὡς τὴν γῆν ἀναδάσασθαι προσήκει. τούτων τοίνυν τὸ μὲν [21] παρ' ὑμῖν οὐ γέγονεν· τὸ δὲ λοιπὸν [22], ὃ μηδόλως ἴσμεν εἴ ποτε [23] συνέβη, σκέψασθε, παραθέντες τῷ νῦν ἐξεταζομένῳ πράγματι. τῆς μέν γε χώρας ἄνωθεν [24] διαιρουμένης, τοῦτο ἂν εἴη δεινότατον τὸ ἐξίσου γίνεσθαι τὸν ἔχοντα πρότερον τῷ μὴ κεκτημένῳ· τῆς δὲ εἰκόνος ἑτέρῳ δοθεί-

17) τῶν δεδανεισμένων] Ven. et Mor. dant δεδανισμένων.

18) malim aut τῆς omitti, aut illo ſeruato, τῆς μεγίστης exarari.

19) ἐπιτιμίων] ſic dedi. ἐπιτιμιῶν Ven. et Mor. τὰ ἐπιτίμια ſunt *poenae criminibus conſtitutae.* ſed ἡ ἐπιτιμία eſt *conditio* τοῦ ἐπιτίμου, *ciuis, cui iura ſua ciuilia ſuperſunt adhuc integra, nil imminuta.*

20) ἀποκοπαὶ] poſſit videri bonum, ſi referatur ad praemiſſum δύο ταῦτα — ἠξίωται. ſed additum ἢ ὡς προσήκει neceſſario accuſatiuum poſcit, quare leg. eſt ἀποκοπάς.

21) τὸ μέν] ſcil. tabularum mutatio.

22) τὸ δὲ λοιπὸν] ſignificat nouas leges agrarias.

23) ἴσμεν εἴ ποτε] ſic recte Caſaub. εἰς μένει ποτε Ven. et Mor.

24) ἄνωθεν] *denuo, iterum a principio,* ſublata priore agrorum diuiſione.

δοθείσης, οὐδαμῶς ἴσος ἐστὶν ὁ ἀφαιρεθεὶς τῷ λαβόντι. ὁ μὲν γὰρ τέτευχεν, εἴπερ ἄρα, τῆς τιμῆς, τῷ δὲ οὐθὲν περίεστι. φέρε τοίνυν, εἴ τις ἔροιτο τὸν στρατηγὸν ὑμῶν ἐφεστῶτα, καὶ κελεύοντα ἐκχαράττειν τὴν ἐπιγραφὴν, ἕτερον 26) δ' ἐγγράφειν, τί ἐστιν τὸ γιγνόμενον; ἢ νὴ Δία πέφηνέ τι 27) δεινὸν εἰργασμένος τὴν πόλιν τοσούτοις ἔτεσιν ὕστερον οὗτος ἀνήρ. πρὸς τοῦ Διός, οὐκ ἂν ὑμῖν δοκεῖ 28) διατραπῆναι, καὶ 29) ταῦτα ἐὰν ᾖ μέτριος; ἐγὼ μὲν γὰρ οἶμαι, καὶ τὸν τεχνίτην ἐρυθριάσειν. εἰ δὲ δὴ παῖδες, ἢ συγγενεῖς τινες παρατύχοιεν τἀνδρὸς ἐκείνου, πόσα οἴεσθε ἀφήσειν αὐτοὺς δάκρυα, ἐπειδὰν ἄρξηταί τις ἀφανίζειν τὸ ὄνομα. οὐ μενοῦν 30) ἀλλὰ ἐνστήσονται πάντες 31), εἰς ὑμᾶς παριόντες, εἰς τὸν δῆμον βοῶντες, ἄρ' οὖν, οὐδ' ἂν τοιοῦτο συμβῇ, κωλύσετε, οὐδὲ ἐπιστραφήσεσθε. ἐγὼ μὲν οὐδὲν ἂν τοιοῦτον περὶ ὑμῶν ὑπολάβοιμι, μᾶλλον δὲ καὶ νῦν φημὶ λανθάνειν αὐτὸ γιγνόμενον· ἀλλ' οὐκ ἐάσετε γνόντες·

οὔτε

25) εἴπερ ἄρα] *si modo consecutus est reuera.* negat enim hoc modo honorem aut titulum impetrari.

26) ἕτερον] scil. ἄνθρωπον, vel ὄνομα. malim tamen ἑτέραν, vt ad praemissum ἐπιγραφὴν redeat.

27) πέφηνέ τι] sic recte Anglus. ἀπέφην ἔτι Ven. et Mor. lapsus hic est Casaubonus. πέφηνε idem est atque πέφανται aut ἀπέφηνεν ἑαυτόν. *totne post annis demum constitit, hunc hominem aliquod enorme facinus commisisse?*

28) ὑμῖν δοκεῖ] sic recte Casaub. *nonne vobis videtur eiusmodi futurum vt praetor super eiusmodi interrogatione erubescat, et perplexus conturbetur? vt nesciat, quid respondeat, idque eo magis, si frugi sit.* Ven. et Mor. omittunt δοκεῖ.

29) καὶ] malim κἂν.

30) immerito Anglus οὐ μενοῦν ἀλλὰ sollicitat. *quid quod* — vel *parum dico. debebam dicere: ciues omnes consurgent.*

31) ἐνστήσονται πάντες, *instabunt omnes*, strategi puta, εἰς ὑμᾶς παριόντες, *ad vos prodeuntes*, (loquitur enim Dio ad senatum) εἰς τὸν δῆμον βοῶντες, *concionem quoque populi suis clamoribus obtundentes.*

οὔτε γοῦν νῦν γε ἐπίστασθε δήπουθεν τὸ πρᾶγμα ὅλον, ὥστε καθάπαξ κωλῦσαι προσήκει[32]) νὴ Δία. ἀλλ᾽ οὐχ ὅμοιόν ἐστιν[33]), πολλῶν ὄντων, οἷς μηδεὶς προσήκει, καὶ τοῦ πράγματος συμβαίνοντος ἐπ᾽ οὐδενὶ τῶν γνωρίμων. ἐγὼ δ᾽ ὅτι μὲν οὐκ, εἴ τινες ἀγνοοῦσιν προσήκοντας ἑαυτοῖς ἐνίους τούτων, ὅπερ εἰκός, διὰ τοῦτο ἔλαττον ἀδικοῦνται τῶν προγόνων ἀτιμαζομένων, ἀφίημι. χαλεπώτερον δὲ ἄλλως εἶναί μοι δοκεῖ τὸ γιγνόμενον εἰς ἐκείνους, οἷς μηδὲ ἐστὶν οἰκεῖος, μηδὲ εἷς[34]) ἔτι. καὶ γὰρ τῶν ζώντων δοκεῖ δεινότερον εἶναι τούτους ἀδικεῖν, οἷς μηδὲ εἷς ἐστὶν ὁ βοηθῶν ἔτι[35]). κατά γε τοῦτο λεγέτωσαν μηδὲν εἶναι χαλεπὸν μηδὲ τὸ τοὺς ὀρφανοὺς βλάπτειν τοὺς παντάπασιν ἐρήμους, οἳ μήτε ἑαυτοῖς ἀμύνειν δύνανται, μήτε ἄλλον ἔχουσιν τὸν κηδόμενον. ἀλλὰ ὑμεῖς τοὐναντίον καὶ μᾶλλον ἐπὶ τούτοις ἀγανακτεῖτε, καὶ δημοσίᾳ καθίστασθε ἐπιτρόπους, ὅπως μηδὲν ἀδικῶνται. καθόλου δὲ πάντων ὧν μέλλουσιν ἐρεῖν λόγων, οὐδενὸς

32) post κωλῦσαι punctum esse figendum, dubio penes me quidem vacat; sed de hoc dubito, sitne προσήκει plane tollendum, an seruandum, et si seruetur, quae sit eius sententia. num haec: *Conueuit vtique*; vt incipiat obiectionem refutandam a verbis ἐγὼ δὲ vers. 5. an leg. sit κωλῦσαι, ᾗ προσήκει, *impedire, qua par est*; vt obiectio a verbis νὴ Δία ordiatur.

33) ἀλλ᾽ οὐχ ὅμοιόν ἐστι] *verum non quadrat exemplum tuum, non conuenit rei praesenti, cum hoc, quo tu vitio nobis vertis, in multis quidem eueniat, quibus nemo superest cognatus, in nemine autem virorum clarorum.* Haec est obiectio, quae oppugnatur istis verbis ἐγὼ δὲ —

34) εἷς] sic leg. cum interprete. εἰς Ven. et Mor.

35) post ἔτι aliquid deest, e. c. ἢ *aut*, quod equidem nunc malim, aut, quod olim in mentem veniebat, εἰ δὲ μὴ — *si minus*, h. e. si existimant, leuius peccari in derelictis, aiant, per me licet, pro isto suo disputandi more — vel id quod ex eorum ratiocinandi modo consequitur.

οὐδενὸς ἔχοντος ἐπιεικὲς οὐδὲν, ὁ τοιοῦτός ἐστιν ἀτοπώτατος, ὡς ἄρα οὐδενὸς ἅπτονται τῶν γνωρίμων ἀνδριάντων· οὐδὲ οὓς ἐπίσταταί τις ὧν εἰσιν· ἀλλὰ ἀσήμοις τισὶν καὶ σφόδρα παλαιοῖς καταχρῶνται. καθάπερ εἴ τις λέγοι μηδένα τῶν ἐπιφανῶν ἀδικεῖν πολιτῶν, ἀλλὰ τοὺς δημοτικοὺς, καὶ οὓς μηδεὶς οἶδεν. καίτοι μὰ τὸν Δία, οὐχ ὅμοιον. ἐν μὲν γὰρ τοῖς ζῶσιν, καὶ δι' εὐγένειαν, καὶ δι' ἀρετὴν ἄλλος ἄλλου φανερώτερός ἐστι· καὶ διὰ πλοῦτον τοῦτο συμβαίνει, καὶ δι' ἑτέρας προφάσεις ἀξιολόγους. ἐπὶ δὲ τῶν εἰκόνων[36]) μὴ τοὐναντίον λέγοι τις ἂν, ὡς εἰσιν αὗται βελτιόνων ἀνδρῶν. οὐ γὰρ δι' ἀγένειαν ἢ κακίαν τινὰ οὐκ ἐπιστάμεθα αὐτοὺς, οἵ γε τῶν αὐτῶν τοῖς λαμπροτάτοις τετεύχασιν· ἀλλὰ διὰ μῆκος χρόνου τοῦτο γέγονεν. ὅσῳ τοίνυν τοὺς πρότερον ἀεὶ τῶν ἐπιγιγνομένων πάντες ἡγοῦνται φύσει κρείττους, καὶ τὸ πάλαι τυχεῖν τινὰς τούτου σπανιώτερον ὑπῆρχε· τοσούτῳ περὶ ἀμείνους ἄνδρας, καὶ μειζόνων ἀγαθῶν αἰτίους ὁμολογοῦσιν ἁμαρτάνειν. ὅτι δ' ἀληθῆ ταῦτα ἀμφότερα, δῆλον. τούς τε γὰρ σφόδρα ἀρχαίους ἡμιθέους ὄντας[37]) ἐπιστάμεθα· καὶ τοὺς μετ' αὐτοὺς οὐ πολὺ ἐκείνων χείρονας· ἔπειτα τοὺς ἐφεξῆς ἐλάττονας ἀεὶ κατὰ τὸν χρόνον· καὶ τέλος τοὺς νῦν ὁποίους ἡμᾶς αὐτοὺς οἴδαμεν. καὶ πρότερον μὲν οὐδὲ τοῖς ἀποθνήσκουσι πᾶσιν ὑπὲρ τῆς πόλεως ἦν ἑστάναι χαλκοῖς· ἀλλ' εἰ μή[38]) τις ὑπερφυᾶ καὶ θαυ-

36) poſt εἰκόνων poteſt ὁρᾶτε vel δέδοικα ſubaudiri, quod Anglo quoque viſum fuit. neſcio tamen, an alterutrum potius ſit addendum. *ſed in ſtatuis vereor ne quis recte affirmet* — aut alias erit μὴ plane tollendum. poſſit quoque ſic legi: μὴ ἀδίκως τοὐναντίον —

37) ἀρχαίους ἡμιθέους ὄντας] ſic recte Ven. et Caſaub. ſed Mor. omittit ἡμιθέους.

38) aut ἀλλὰ aut μὴ eſt del. poſſit quoque μὴ cum δὴ permutari.

θαυμαστὰ πράξειε. νῦν δὲ τοὺς καταπλέοντας τιμῶμεν, οὔπερ[39] ἄρα τοὺς ὕστερον μᾶλλον καὶ τοὺς ἔγγιστα νῦν[40] ἀνακειμένους μεταποιητέον; οὐδὲ γὰρ ἐκεῖνο ἀγνοεῖτε δήπουθεν, ὅτι πάντες οἱ νοῦν ἔχοντες τοὺς παλαιοὺς τῶν φίλων μᾶλλον ἀγαπῶσιν, καὶ περὶ πλείονος ποιοῦνται τῶν δι᾽ ὀλίγου γεγονότων· καὶ τούς γε πατρικοὺς τῷ παντὶ πλέον, ἢ τοὺς ὑφ᾽ αὑτῶν ἐγνωσμένους[41]. οἱ μὲν γὰρ τὰ πρὸς τούτους παραβαίνοντες μόνους αὐτοὺς ἀδικοῦσιν· οἱ δὲ τῶν πρὸς ἐκείνους τὶ λύοντες, καὶ τῶν κτησαμένων αὐτοὺς ὀλιγωροῦσι. καθόλου δὲ, ὥσπερ ὅταν τῶν ζώντων τις ἐξετάζηται παρ᾽ ὑμῖν, ὃν ἂν αὐτοὶ σφόδρα[42] οἴδατε, ἢ παντάπασιν ἀγνοεῖτε, τοῖς ἐπισταμένοις αὐτοὺς[43] προσέχετε, καὶ τίθεσθε τὴν ψῆφον κατὰ τοὺς μάρτυρας, ἄλλως τε[44] ἂν ὦσιν οὗτοι μὴ πονηροί· ταυτὸ νῦν[45] ποιήσετε· ἐπεὶ καὶ περὶ ἀνδρῶν ὁ λόγος

39) οὔπερ] cum Anglo potius, quam cum Casaubono. h. l. faciam, quorum ille suadet ὥς εἴπερ ἄρα. *quare satius sit, si modo vllas vnquam liceat statuas transmutare, recentiores, quam vetustiores, in alios atque alios conferre.*

40) νῦν suspectum. num τοῖς νῦν. proximos nostris temporibus puta vel hominibus. an est cum ἡμῖν permutandum?

41) ἐγνωσμένους] sic recte Anglus; nam tametsi γνώμη (non γνώσμη) vsurpatur, ab ἔγνωμαι ductum, tamen non hoc, sed ἔγνωσμαι, in vsu est. ἐγνωμένους Ven. et Mor.

42) probo Angli οὐ σφόδρα *non admodum.*

43) αὐτοὺς pro αὐτὸν, quod strictior lex grammatica poscebat, ob praemissum τις. *nunc viuentium aliquis.* Interpres quoque αὐτὸν reddidit: sed bene habet; vim multitudinis in se τις habet. exempla similia ad Demosthenem contuli.

44) ἄλλως τε] sic recte Casaub. *praesertim si testes ipsi non sint homines nequam.* ἀλλ᾽ ὥστε Ven. et Mor.

45) malim addita copula ταὐτὸ καὶ νῦν *id idem etiam nunc facietis*, vel potius *facite.* colligo enim e sequenti μάθετε, etiam hic imperatiuum esse subrogandum, et ποιήσατε leg.

λόγος ἐστὶν, ὃς φασι μηδένα εἰδέναι τῶν ζώντων, παρὰ τῶν ἐγνωκότων αὐτοὺς μάθετε. οἱ τοίνυν τότε ὄντες καὶ σαφέστατα ἐκείνους εἰδότες, εὐεργέτας ἡγοῦντο τῆς πόλεως, καὶ τῶν μεγίστων ἠξίουν· οἷς οὐ θεμιτὸν ὑμᾶς ἀπιστεῖν, ὑμετέροις γε οὖσι προγόνοις, οὐδὲ φῆσαι πονηρούς. οὐ 46) τοίνυν οὐδὲ τοιοῦτον οὐδέν ἐστιν εἰπεῖν, κατὰ 47) πολὺν χρόνον ἐσχήκασι τὰς τιμάς· οὐ γὰρ ἔσθ᾽ ὅπως δείξουσι πλείονα ἐκείνους 48) χρόνον τιμωμένους ὑπὸ τῆς πόλεως, ἢ τὴν πόλιν ὑπ᾽ αὐτῶν εὖ πεπονθυῖαν. ὥσπερ οὖν ὁ χρέος πάλαι μὲν ὀφείλων, πάλαι δὲ ἀποδούς, οὐθὲν πλέον τι πεποίηκεν, τοῦ νῦν ἀποδιδόντος, ὅτε εἴληφεν 49)· ὁμοίως οὐδ᾽ εἴ τις πάνυ πρὸ πολλοῦ τινὰ ἠμείψατο τότε εὖ παθών. ἄλλως τε εἰ 50) μὲν ἀτέλειαν, ἢ χρήματα, ἢ γῆν, ἢ τοιοῦτόν τι δεδωκότες ἀφαιρεῖσθε 51), μᾶλλον ἂν ἴσως ἠδικοῦντο οἱ μετὰ ταῦτα εἰληφότες. ὁ γὰρ χρόνον τινὰ κατασχὼν τὰ τοιαῦτα, ὠφέληταί τι καὶ προείληφεν. ἐπὶ δὲ τῆς τιμῆς οὐδέν ἐστι τοιοῦτον. οἱ μὲν γάρ εἰσιν εὐπορώτεροι καὶ τὸν ἄλλον χρόνον· ἃ γὰρ ἐκτήσαντο ἀπὸ τούτων ἔχουσιν. τοῖς δὲ τοὐναντίον ἀτιμοτέροις ὑπάρχει γεγονέναι. ὅπου μὲν γὰρ ἐλάττων ἡ ζημία τοῖς πολὺν χρόνον καρπωσαμένοις· ὅπου δὲ ἀτιμία μείζων τοῖς σφόδρα παλαιᾶς τιμῆς ἀφαιρουμένοις. ὅτι τοίνυν οὐδὲ ἀσεβείας ἀπήλλακται τὸ γιγνόμενον, μάλιστα ὃν οὗτοι φασὶ

46) οὐ] quomodo etiam interpres reddidit. οὗ Ven. et Mor.
47) κατὰ] lege ὅτι.
48) ἐκείνους] sic interpres recte. ἐκείνου Ven. et Mor.
49) τοῦ νῦν — εἴληφεν] idem est atque τοῦ νῦν εἰληφότος καὶ νῦν ἀποδιδόντος. quam qui hac aetate reddit aes debitum, quod hac ipsa item aetate mutuum acceperat. Interpres videtur legisse ὅ, τι.
50) εἰ] sic recte Casaub. si. Ven. et Mor. dant οἱ.
51) ἀφαιρεῖσθε] sic recte Casaub. ἀφαιρεῖσθαι Ven. et Mor.

φασὶ τρόπον· κἂν ὑπερβολῆς ἕνεκα δόξω τισὶ λέγειν, οὐχ, ὡς πρότερον εἶπον, ὅτι 52) πάντα ἁπλῶς ἀσεβήματά ἐστι τὰ περὶ τοὺς τεθνεῶτας γιγνόμενα· ἀλλὰ ὅτι καὶ πάντες ἥρωας νομίζουσι τοὺς σφόδρα παλαιοὺς ἄνδρας, ἐὰν μηθὲν 53) ἐξαίρετον ἔχωσιν, δι' αὐτὸν, οἶμαι, τὸν χρόνον. τοὺς δὲ δὴ σεμνοὺς οὕτως καὶ τῶν μεγίστων ἠξιωμένους, ὧν ἔνιοι καὶ τὰς 54) τελετὰς ἐσχήκασιν ἡρώων, τοὺς τοσαῦτα ἔτη κειμένους, ὥστε τὴν μνήμην ἐπιλελοιπέναι· πῶς ἔνι τῆς αὐτῆς τυγχάνειν προσηγορίας 55), ἧς οἱ τεθνηκότες ἐφ' ἡμῶν, ἢ μικρὸν ἔμπροσθεν, ἄλλως τε 56) μηδενὸς ἄξιοι φανέντες; καὶ μὴν τά γε εἰς τοὺς ἥρωας ἀσεβήματα, οὐδ' ἂν ἀμφισβητήσειεν οὐδεὶς, ὡς οὐχὶ τὴν αὐτὴν ἔχει τάξιν, ἣν τὰ περὶ τοὺς θεούς. τί οὖν; οὐκ ἀδίκημά ἐστι τὸ τὴν μνήμην ἀναιρεῖν; τὸ τὴν τιμὴν ἀφαιρεῖσθαι; τὸ ἐκκόπτειν τὸ ὄνομα; δεινόν γε καὶ σχέτλιον, ὦ Ζεῦ. ἀλλ' ἐὰν μὲν στέφανόν τις ἀφέλῃ, τὸν μίαν ἴσως ἢ δευτέραν μενοῦντα ἡμέραν, ἢ κηλῖδα τινὰ τῷ χαλκῷ προσβάλῃ, τοῦτον ἡγήσεσθε ἀσεβεῖν· τὸν δὲ ὅλως ἀφανίζοντα καὶ μετατιθέντα καὶ καταλύοντα τὴν δόξαν, οὐδὲν ποιεῖν ἄτοπον; ἀλλ' ἐὰν μὲν δοράτιον ἐξέλῃ τις ἐκ τῆς χειρὸς, ἢ κράνους ἀποῤῥήξῃ τὸν λόφον, ἢ τὴν ἀσπίδα τοῦ βραχίονος, ἢ χαλινὸν ἵππου, τῷ δημοσίῳ 57) τοῦ-

τον

52) aut cum ἔτι permutandum erit ὅτι, aut si seruetur, erit post λέγειν addendum ἐρῶ.
53) malim ἐὰν καὶ μηθέν.
54) τὰς malim abesse.
55) προσηγορίας] vt appellentur simpliciter mortui; videtur tamen satius esse, vt οὐ τῆς αὐτῆς legatur. qui fieri potest, vt eadem careant appellatione, qua caeteri omnes defuncti afficiuntur, quippe qui, ipso Dione teste, heroës vsurpantur.
56) malim δέ.
57) τῷ δημοσίῳ] *carnifici*. solet ille quidem plerumque δήμιος appellari; verum cum et hoc adiectiuum sit, cum

quo

τον εὐθὺς παραδώσετε· καὶ τὴν αὐτὴν ὑπομενεῖ τιμωρίαν τοῖς ἱεροσύλοις. ὥσπερ ἀμέλει καὶ πολλοὶ τεθνήκασι διὰ τοιαύτας αἰτίας· καὶ πλέον οὐδὲν λέγουσιν αὐτοῖς, ἢ ὅτι [58]) τῶν ἀνωνύμων τινὰ καὶ σφόδρα παλαιῶν ἐλωβήσαντο εἰκόνα· δημοσίᾳ δὲ ἡ πόλις τῷ παντὶ χείρων καὶ φαυλοτέρα φανεῖται περὶ τοὺς Ἥρωας; καὶ τοίνυν ἐὰν εἴποι τις εἰσελθὼν, ὅτι πεφώραταί τις ξένος, ἢ καὶ πολίτης, ἢ χεῖρα ἢ δάκτυλον ἀφαιρῶν ἀνδριάντος, βοήσεσθε, καὶ παραχρῆμα ἐπιθεῖναι κελεύσετε ἐπὶ τὸν τροχόν. καίτοι χειρὸς μὲν ἀφαιρεθείσης, ἢ δόρατος, ἢ φιάλης, ἐὰν τύχῃ κρατῶν, ἡ τιμὴ μένει, καὶ τὸ σύμβολον ἔχει τῆς ἀρετῆς ὁ τιμηθεὶς, ὁ δὲ χαλκὸς μόνος ἐλάττων γέγονε· τῆς δὲ ἐπιγραφῆς ἀναιρουμένης, ἀνῄρηται δήπουθεν ἡ μαρτυρία, καὶ τὸ δοκεῖν ἄξιον ἐπαίνου γεγονέναι τὸν ἄνθρωπον. βούλομαι τοίνυν, ὅπερ Ἀθήνησι μὲν οἶδα γιγνόμενον, οἶμαι δὲ κἀνταῦθα γίγνεσθαι, κατὰ νόμον πάνυ καλῶς ἔχοντα, εἰπεῖν πρὸς ὑμᾶς. ἐκεῖ γὰρ ὅταν δημοσίᾳ τινὰ δέῃ τῶν πολιτῶν ἀποθανεῖν ἐπ᾽ ἀδικήματι, πρότερον τὸ ὄνομα αὐτοῦ ἐξαλείφεται. τίνος ἕνεκα; ἑνὸς μὲν, ὅπως μηκέτι δοκῶν πολίτης εἶναι πάσχῃ τι τοιοῦτο, ἀλλ᾽, ὡς δυνατὸν, ἀλλότριος γεγονώς. εἶτ᾽ οἶμαι, καὶ τῆς τιμωρίας αὐτῆς τοῦτο μέρος οὐκ ἐλάχιστον δοκεῖ, τὸ μηδὲ προσηγορίαν ἔτι φαίνεσθαι, τοῦ προελθόντος εἰς τοῦτο κακίας· ἀλλ᾽ ἠφανίσθαι παν-

quo subaudiendum semper est ὑπηρέτης, idque vocabulum possit perinde etiam ad δημόσιος subaudiri, praetereaque tot occurrant exempla horum vocabulorum vsurpatione inter se permutatorum, vt audacia sit eos omnes locos vitii arguere, vbi δημόσιος legitur pro carnifice, δημίῳ, vsurpatus, malo vulgatae h. l. acquiescere.

58) lege αὐτοῖς ἦν, ὅτι — *nihil ipsis profuit, obtendere* — vel potius plane tollamus illud ἤ, quod a Ven. abest.

τελῶς, καθάπερ οἶμαι, τὸ μὴ θάπτεσθαι τοὺς προδότας, ὅπως μηδὲν ᾖ σημεῖον ἀνδρὸς πονηροῦ. φέρε οὖν, ἐὰν εἴποι τις, ἐπὶ τοῖς εὐεργέταις τοῦτο γίνεσθαι παρ' ὑμῖν, ὃ παρὰ πολλοῖς ἔθος ἐστὶν ἐπὶ τοῖς κακούργοις, ἆρ' οὐ σφόδρα ἀλγήσετε; μὴ τοίνυν ἀχθεσθῆτε τῷ νῦν αὐτὸ δοκοῦντι εἰρηκέναι· τοῦ γὰρ μηκέτι, μηδ' ἀεὶ, λέγεσθαι, γένοιτ' ἂν ὑμῖν αἴτιος. καὶ μὴν ἐάν τις ἓν μόνον ἐκχαράξῃ ῥῆμα ἀπὸ στήλης τινὸς, οὐ ἀποκτενεῖτε[59]) αὐτὸν, οὐκέτι ἐξετάσαντες, ὅ, τι ἦν, ἢ περὶ τίνος; καὶ εἰ δή τις ἐλθὼν οὗ τὰ δημόσια ὑμῖν γράμματά ἐστιν, κεραίαν νόμου τινὸς, ἢ ψηφίσματος μίαν μόνην συλλαβὴν ἐξαλείψειεν, οὕτως ἕξετε, ὥσπερ ἂν εἴ τις ἀπὸ τοῦ ἅρματος τὶ καθέλοι; οὐκοῦν ὁ τὴν ἐπιγραφὴν ἀναιρῶν εἰκόνος τινὸς, ἧττόν τι ποιεῖ τοῦ τὴν στήλην ἀποχαράττοντος; καὶ μὴν ὅλον γε ἐξαλείφει τὸ ψήφισμα, καθ' ὃ τὴν τιμὴν ἐκεῖνος ἔλαβε· μᾶλλον δὲ ἄκυρον ποιεῖ γεγραμμένον. ἀλλ' εἴ τις καταδικασθεὶς ὑπὲρ ὅτου δήποτε, καὶ ζημίαν τινὰ λαχὼν[60]), ἢ διαπραξάμενος,

59) οὐ ἀποκτενεῖτε] scio posse defendi, sed satius sit legi: οὐκ ἀποκτ. In Ven. est οὐ κτενεῖτε, quod possit verum videri; nam Dio ab vsu simplicis κτείνω haud abhorret. v. p. 340, 9. ed. Mor. στήλη est quiuis cippus, sed hic est tabula, in qua perscripta sunt nomina vnius, multorumue, e. c. qui publice sunt tumulati, aut alio quo honore affecti, aut sub isto gymnasiarcho gymnasium frequentarunt, cuiusmodi inscriptiones multae apud multos, Gruterum, Reinesium, Muratorium, Corsinum, alios collectores veterum inscriptionum, occurrunt. Potest quoque legem, etiam hic, significare, vt alias saepe significat, aeri saxoue incisam.

60) ζημίαν λαγχάνειν vix puto graecum esse. non reperio tamen, quod aliud vocabulum commodius ei substituatur. hoc mihi videtur probabile, quicquid est de λαχών, post hoc vocabulum deesse εἶτα λαθών. si quis, condemnatus quacunque tandem de causa et mulctatus, nomen suum e tabulis expunxerit, siue clam, nullo teste, siue etiam

μενος, ἐξαλείψειεν ἑαυτὸν, καταλύειν δόξει τὴν πολιτείαν· ὥστε δεινότερον ὑμῖν ἐδόκει, τὸ ζημίας τινὸς ἀπαλλάττειν αὐτὸν, τοῦ τιμῆς ἀποστερεῖν ἄλλον. οὐ τοίνυν οὐδὲ ἐκεῖνό ἐστιν ἀφετέον· ἐπείπερ τοὺς λόγους ὡς ἐπ' ἀσεβήματι ἐποιησάμην. ἐπίστασθε γὰρ σαφῶς, ὅτι ἅπασα μὲν ἡ πόλις ἐστὶν ἱερὰ, τῶν δὲ ἀνδριάντων πολλοὺς ἂν εὕροιτε τῶν ἐν αὐτοῖς τοῖς ἱεροῖς ἑστηκότων, τοῦτο πεπονθότας. καὶ γὰρ ἀρχαιοτάτους συμβέβηκε τούτους εἶναι, καὶ τῶν στρατηγῶν ὃν ἕκαστος ἐθέλει θεραπεύειν [61]), ὡς ὑμῶν τιμώντων, φιλοτιμεῖται τοῦτον ὡς κάλλιστα ἑστάναι. καὶ τί δεῖ λόγων; οἶμαι γὰρ μηθὲν ἄν τι ποιεῖν [62]), οὕτως καὶ τῶν οὕτω κειμένων· εἰ μὴ, καθάπερ ἐγὼ νῦν ἔλεγον, οἱ πλείους εἰσὶ μετωνομασμένοι· τινὲς δ', οἶμαι, καὶ σφόδρα ἐγγὺς παρεστῶτες τοῖς θεοῖς. εἶθ' ὅποι μηδὲ τοὺς κακὸν δράσαντας ἐάνπερ καταφύγωσιν, ἔθος ἐστὶν ἀδικεῖν, τοὺς εὐεργέτας οὐ δεινὸν ἐὰν φαινώμεθα ἀδικοῦντες; καὶ τὴν ἀσυλίαν, ἣν παρέχουσι τοῖς φαύλοις οἱ τοιοῦτοι τόποι, μόνοις, ὡς ἔοικε, τοῖς ἀγαθοῖς οὐ δυνήσονται παρέχειν; ἀλλ' ἐὰν μὲν θυμιατήριόν τις ἀλλάξῃ τῶν ἔνδον κειμένων, ἢ φιάλην, ἱερόσυλος οὐχ ἧττον νομισθήσεται τῶν ἀφαι-

etiam corruptis iudicibus scribisue. nam διαπράττεσθαι est callidis artibus, persuasionibus et collusionibus cum aliis, aliquid perficere.

61) verba sic sunt construenda: καὶ ὃν θεραπεύειν θέλει τῶν στρ. ἕκαστος. *et quem* [Romanum hominem] *honorare maxime vult strategorum vestrorum quisque, illum* —

62) μηθὲν ἄν τι ποιεῖν —] nequit hic locus, nisi e bonis libris, sanari; praestabimus interim, quantum ingenium valet. videtur nobis ad hunc fere modum Dio dedisse: οἶμαι γὰρ μηδένα ἀντειπεῖν, ὅτι καὶ τῶν οὕτω κειμένων, καθάπερ — *existimo enim, id quod modo commemorabam, plerosque etiam sic dedicatorum* [h. e. quorum in templis repositae sunt imagines et statuae] *nomen pro suo aliud esse sortitos.*

ἀφαιρουμένων· ἐὰν δ' εἰκόνα ἀλλάξῃ καὶ τιμήν, οὐθὲν ἄτοπον ποιεῖ; καίτοι καὶ τοὺς ἀνδριάντας οὐχ ἧττον 63) ἀναθήματα εἴποι τις ἂν εἶναι τῶν θεῶν, τοὺς ἐν τοῖς ἱεροῖς. καὶ πολλοὺς ἰδεῖν ἐστιν οὕτως ἐπιγεγραμμένους, οἷον· ὁ δεῖνα ἑαυτὸν ἀνέθηκεν, ἢ τὸν πατέρα, ἢ τὸν υἱόν, ὅτῳ δήποτε τῶν θεῶν. ἐὰν οὖν ἀπὸ τῶν ἄλλων ἀναθημάτων ἀφελών τις τοῦ θέντος τὸ ὄνομα, ἄλλον ἐπιγράψῃ 64) μόνον, τοῦτον οὐκ ἀσεβεῖν φήσομεν; ὁ δέ τοι Ἀπόλλων οὐκ εἴα δήπουθεν ἐκ τοῦ περιβόλου τοὺς νεοττοὺς ἀναιρεῖσθαι τὸν Κυμαῖον, ἱκέτας ἑαυτοῦ λέγων. δι' ὧν τοίνυν πειράσονταί τινες τὸ πρᾶγμα ἀποφαίνειν ἐπιεικέστερον 65), τῷ παντὶ χεῖρον ἀποδείξουσιν. οἷον ὅταν λέγωσι, τοῖς σφόδρα ἀρχαίοις καταχρῆσθαι, καί τινας εἶναι καὶ ἀνεπιγράφους 66). εἰ γὰρ δῷη τις αὐτοῖς τοῦτο οὕτως ἔχειν,

63) οὐχ ἧττον] quam alia proprie sic dicta ἀναθήματα, *donaria.*

64) post ἐπιγράψῃ videtur aliquid deesse; claudicat enim in vulgata ratiocinium, quod sic videtur quodammodo fulciri et confirmari posse: τοῦτον μὲν ἀσεβεῖν φήσομεν, ὃς δ' ἂν [vel εἰ δέ τις] ἀνδριάντα ἀφελὼν τὸ τοῦ θέντος ἢ κτησαμένου ὄνομα, ἄλλον [vel ἄλλο] ἀντεγγράψῃ, μόνον τοῦτον οὐκ ἀσεβεῖν φήσομεν. Apparet, similitudinem vocum ἐπιγράψῃ et ἀντεγγράψῃ, librario, e cuius manu codices nostri Dionei omnes ducti sunt, fraudi fuisse, vt oculus ei a recto tramite aberrans ad inferiorem versum e superiori delaberetur, qui error in libris vetustis est creberrimus. Sententia haec est: *hos quidem appellabimus impios. si quis autem a statua nomen eius, qui posuerit, aut honoris ergo adeptus eam sit, auferat, eiusque loco aliud quod nomen inscribat, cum negabimus impium esse et sacrilegum?*

65) ἐπιεικέστερον] sententia haec est: *quibus argumentis erunt, qui causam hanc reddere probabiliorem studeant, iisdem ipsis argumentis reddent eam tanto peiorem.* sed hoc quidem, vt nunc video, Casaubonus iam praecepit.

66) καὶ ἀνεπιγρ.] sic recte Ven. *et quasdam earum non modo vetustas esse, sed ipsa adeo inscriptione quoque carere.* Mor. omittit καὶ.

ἔχειν, οὐκ ἂν εἴποιμι τὸ πρόχειρον, ὡς ἄρα ἐγὼ νῦν ὑπὲρ τῶν ἐπιγεγραμμένων ποιοῦμαι τὸν λόγον· ἀλλ' οὐδὲ ἐκείνων [67]) φημὶ δεῖν ἅπτεσθαι. σκοπεῖτε γάρ, ἄνδρες Ῥόδιοι, τὴν αἰτίαν, δι' ἣν εἰκὸς τεθῆναί τινας οὕτως. οὐ γὰρ ἐκλαθέσθαι [68]) γε οὐδὲ ὀκνῆσαι τὸν ἱστάντα, εἰκός· οὐδὲ φείσασθαι τῆς εἰς τοῦτο δαπάνης. οὐ γὰρ ἦν οὐδεμία. λοιπὸν οὖν τῶν δύο θάτερον· ἢ τῷ σφόδρα εἶναί τινας μεγάλους καὶ κατ' ἀλήθειαν ἥρωας, οὐκ ᾤοντο δεῖν ἐπιγράφειν, ὡς ἂν ἅπασιν γνωρίμους ὄντας· ἡγούμενοι, διὰ τὴν ὑπερβολὴν τῆς τότε οὔσης δόξης, εἰς ἅπαντα καὶ τὸν αὖθις χρόνον παραμενεῖν [69]) τὸ ὄνομα· ἢ τινῶν ἡμιθέων ἢ καὶ θεῶν ὄντας [70]) ὕστερον ἀγνοηθῆναι διὰ τὸν χρόνον. τοὺς γὰρ θεοὺς ἐπιγράφειν οὐκ ἔστιν ἔθος· ὡς ἔγωγε οὐκ ἀπελπίζω, καὶ τῶν ἄλλων [71]) τινὰς εἶναι τοιούτους. ἐν γοῦν Θήβαις Ἀλκαῖος ἀνάκειταί τις, ὃν Ἡρακλέα φασὶν εἶναι, πρότερον οὕτω καλούμενον· καὶ παρ' Ἀθηναίοις, Ἐλευσινίου μύστου παιδὸς εἰκὼν, οὐκ ἔχουσα ἐπιγραφὴν, κἀκεῖνον εἶναι λέγουσιν Ἡρακλέα. καὶ παρ' ἑτέροις οἶδα πολλοὺς, τοὺς μὲν ἡμιθέων, τοὺς δὲ ἡρώων ἀνδριάντας· οἷον Ἀχιλλέως, Σαρπηδόνος, Θησέως, διὰ τοῦτο [72]) ἀρχῆθεν οὐκ ἐπιγραφέντας. καὶ Μέμνονος ἐν Αἰγύπτῳ κολοσσὸν εἶναι λέγουσιν. ἀλλ' ἐπ' ἐνίων μὲν ἡ δόξα παρέμεινε, καὶ διεφύλαξε τὴν φήμην ὁ χρόνος· οὐ μὴν ἐπὶ

67) οὐδὲ ἐκείνων] puta τῶν ἀνεπιγράφων.
68) ἐκλαθέσθαι] fcil. ἐπιγράφειν τὸ ἑαυτοῦ ὄνομα.
69) παραμενεῖν] fic recte Ven. id quod etiam coniectura Cafaubonus deprehendit, qui etiam τὸ ὄνομα cum τὰ ὀνόματα cenfet mutandum. quod fecus fentio; non videtur neceffarium. παραμένειν Mor.
70) ὄντας] fcil. ἀνδριάντας. quod Cafauboni ergo monendum duxi.
71) τῶν ἄλλων] fcil. ἑλλήνων, aut ἐθνῶν. tametfi planius vtique dixiffet τῶν παρ' ἄλλοις, fcil. ἀνδριάντων.
72) διὰ τοῦτο] quia fcil. funt heroës et per fe noti.

πάντων συνηνέχθη [73]), δι' ἥν δήποτ' οὖν αἰτίαν. οὐκοῦν καὶ παρ' ὑμῖν οὐκ ἀδύνατον εἶναί τινας τοιούτους. οἷον [74]) οὖν ἐστιν Ἡρακλέους, ἢ Τληπολέμου, φέρ' εἰπεῖν [75]), ἢ τῶν Ἡλίου παίδων τινὲς ἀνδριάντα, διδόναι τῷ δεῖνι, χρηστῷ μὲν ἀνδρὶ καὶ τιμῆς ἀξίῳ· πάντες γὰρ ἔστωσαν, οὓς ἡ πόλις θεραπεύει, τοιοῦτοι, καὶ δεῖ γε εὔχεσθαι πάντας εἶναι χρηστούς, μάλιστα τοὺς [76]) ἡγουμένους· ἀλλ' οὐκ ἐκείνοις ὅμοιοι [77]). πόθεν; οὐδ' ἂν αὐτοὶ φήσαιεν ὀλίγον αὐτῶν ἐλάττους ὑπάρχειν, ἀλλὰ κἂν φοβηθεῖεν εἰπεῖν τι τοιοῦτον. ἆρ' ὑμῖν ἐκ τῶν εἰρημένων δοκεῖ, μᾶλλον [78]) ἀπὸ τούτων ἀρχομένους (λέγω δὲ τῶν οὐκ ἐχόντων τὰς ἐπιγραφάς) τὸ πρᾶγμα ἐπὶ πάντας μεταφέρειν· ἢ σφόδρα εἶναι τῶν τοιούτων φειστέον· καίτοι τὸ τῆς ἀγνοίας

73) malim τοῦτο συνηνέχθη. *hoc accidit.*

74) οἷον] sententia haec est: *quale igitur est* τὸ *dare statuam Herculis* — τῷ δεῖνι, *illi vel illi.* h. e. quid vobis videtur de eo, si quis Herculis v. c. statuam det illi, cuius nomen aut nescio, aut nunc nil iuuat commemorare? quantum id esse facinus existimatis.

75) Φέρ' εἰπεῖν aequiualet latino *verbi causa, exempli gratia.*

76) malim μάλιστα δὲ τοὺς ἡγ. *sed inprimis rectores prouinciarum.*

77) ὅμοιοι] scil. εἰσιν. postulat tamen seuerior constructio ὁμοίῳ, vt aptum ex illis superioribus χρηστῷ μὲν ἀνδρὶ καὶ τιμῆς ἀξίῳ.

78) μᾶλλον Casaubonus cum καλὸν mutat, οὐ καλῶς. bene habet vulgata, cuius haec est sententia: *vtrum ergo e superioribus, ex iis, quae adhuc disputaui, censetis aequius, vos ab his initium facere huius perturbationis, et flagitium hoc ab his inscriptione carentibus, ad alias quoque statuas, etiam titulo instructas transferre; an potius ab his antiquissimis vel maxime manus abstinere?* non animaduertit Casaubonus, post μεταφέρειν debere δεῖν subaudiri; id quod est notissimum. solent graeci nudos ponere infinitiuos, quibus adiungere lector mente, et interpres verbis debet δεῖν. μεταφέρειν hic loci non est merum *transferre*, sed *transferre oportere.*

ἀγνοίας καὶ τὸ τῆς ἀρχαιότητος [79]), ὅμοιόν ἐστιν, ὥσπερ ἂν εἴ τις λέγοι, μηδὲ τοὺς τυμβωρυχοῦντας τοὺς σφόδρα παλαιοὺς τάφους μηδὲν ἁμαρτάνειν, ὅτι μηδεὶς αὐτοῖς προσήκει, μηδὲ ἴσμεν, οἵτινές εἰσιν. ὁ μὲν οὖν τάφος οὐκ ἔστι σημεῖον ἀρετῆς, ἀλλ' εὐπορίας, οὐδὲ ἔχομεν εἰπεῖν τοὺς ἐν τοῖς μνήμασι κειμένους, ὡς ἦσαν ἀγαθοί· πλὴν εἰ μή γε δημοσίᾳ τὶς φαίνοιτο τεθαμμένος, ὅπερ, οἶμαι, τρόπον τινὰ τούτοις συμβέβηκεν. ἡ δὲ εἰκὼν δι' ἀνδραγαθίαν δίδοται, καὶ τῷ δόξαι [80]) τινὰ πρότερον γενναῖον [81]). ὅτι γὰρ οὐδεὶς ἐστάθη τούτων ἀλοὺς κλέπτων, οὐδὲ μοιχεύων, οὐκ ἄδηλόν ἐστιν· οὐδέ γε ἐπὶ τοῖς τυχοῦσιν, ἀλλ' ὡς οἷόν τε ἐπὶ τοῖς μεγίστοις. ὅτι τοίνυν καὶ θείας τινὸς δυνάμεως καὶ προνοίας, ὡς ἂν εἴποι τις, οἱ τοιοῦτοι μετέχουσιν, ἐπ' ἀνδριάντος τὶ βούλομαι γεγονὸς εἰπεῖν. Θεαγένης ἦν, Θάσιος, ἀθλητής. οὗτος ἐδόκει ῥώμῃ διενεγκεῖν [82]) τοὺς καθ' ἑαυτόν. καὶ δὴ σὺν ἑτέροις πολλοῖς, καὶ τὸν Ὀλυμπιάσι τρὶς εἰλήφει στέφανον. ὡς δ' ἐπαύσατο, καὶ ἧκεν εἰς τὴν πατρίδα, λοιπὸν, τοῦ σώματος παρακμάσαν-

79) poſt ἀρχαιότητος videtur ὅστις λέγει vel ſimile quid deeſſe. Sententia eſt: qui pro ſe hoc affert, ignorari ſtatuas quorum ſint, et vetuſtas eſſe, nihil aliud is agat, quam ſi quis dicat —

80) καὶ τῷ δόξαι] ſic Ven. et ſic leg. puto, vel καὶ τὸ δόξαι, nam perinde eſt, aut denique καὶ ἐπὶ τῷ δόξαι. v. verſ. 12. vbi οὐδ' ἐπὶ τοῖς τυχοῦσιν ſatis prodit, ἐπὶ hic neceſſarium eſſe. poſſit etiam datiuo hic locus eſſe. Mor. dat καὶ δὴ τῷ δόξαι, et Caſaub. vult καὶ διὰ τὸ δόξαι.

81) poſt γενναῖον videtur εἶναι vel γεγονέναι deſiderari.

82) locum inter alios hunc citat Weſſeling ad Diodor. Sic. T. I. p. 117. quo probet διαφέρειν τινὰ idem eſſe atque διαφ. τινὸς, aliquem ſuperare, alicui praeſtare. De Theagene Thaſio v. Plutarchi praecepta prudentiae ciuilis p. 1452. vbi coronas mille ducentas eum tuliſſe perhibet; quo factum, vt ab oraculo vere μυριάεθλος vocaretur. v. Corſini indic. Olympionicarum.

τος, ἣν ἀνὴρ οὐδενὸς χείρων περὶ τὰ κοινὰ, ἀλλ᾽ ὡς οἷόν τε, ἄριστος. ἐντεῦθεν, ὅπερ εἰκὸς, εἰς ἔχθραν τινὶ προῆλθε τῶν πολιτευομένων. ὁ δὲ ζῶντι μὲν ἐφθόνει μόνον. τελευτήσαντος δὲ, πρᾶγμα πάντων ἀνοητότατον καὶ ἀσεβέστατον ἐποίει. τὸν γὰρ ἀνδριάντα αὐτοῦ, τὸν ἑστῶτα ἐν μέσῃ τῇ πόλει, νύκτωρ ἐμαστίγου. τοιγαροῦν εἴτε ἀπὸ τύχης, εἴτε δαιμονίου τινὸς νεμεσήσαντος αὐτῷ, κινηθεὶς ποτε ἐκ τῆς βάσεως, ἠκολούθησεν ἅμα τῇ μάστιγι, καὶ κτείνει τὸν ἄνδρα. νόμου δὲ ὄντος, καταποντίζειν κρίναντας [83]), ἐάν τι τῶν ἀψύχων ἐμπεσὸν ἀποκτείνῃ τινὰ, οἱ τοῦ τεθνεῶτος προσήκοντες αἱροῦσι [84]) δίκῃ τὸν ἀνδριάντα, καὶ κατεπόντωσαν. λοιμοῦ δὲ συμβάντος, ὥς φασι, χαλεπωτάτου, καὶ τῶν Θασίων οὐδενὶ τρόπῳ λῆξαι δυναμένων τῆς νόσου, καὶ τελευταῖον χρωμένων [85]), τοὺς φυγάδας αὐτοῖς ἀνεῖπε κατάγειν ὁ θεός. ὡς δὲ πλέον οὐδὲν ἦν ἁπάντων ἐληλυθότων, χρωμένοις αὖθις λέγεται τὴν Πυθίαν οὕτως ἀνειπεῖν·

Θεαγένας δ᾽ ἐλάθεσθε ἐνὶ [86]) ψαμάθοισι πεσόντος,
Κεῖθ᾽ ὑμῖν, ὁ πρὶν μυριάεθλος ἀνήρ.

ᾧ καὶ δῆλον, ὅτι καὶ τὸ πρῶτον οὐχὶ τῶν φυγάδων ἕνεκα τοῦτο ἐχρήσθη, καὶ τὸ συμβὰν οὐ δι᾽ ἄλλην τινὰ αἰτίαν [87]) ἐγένετο. καὶ μηδεὶς ἐκεῖνο [88]) ὑπολάβῃ· τί οὖν; ἡμεῖς τοὺς ἀνδριάντας ἀφανίζομεν, ἢ ῥιπτοῦ-

83) κρίναντας] sic recte Anglus. κρίνοντος Ven. et Mor. κρίνοντας Casaub.

84) αἱροῦσι] sic dedi, ab αἱρέω, quod est verbum forense, de eo vsurpatum, qui reum peragit, id est, hoc consequitur, vt is a iudicibus condemnetur. αἴρουσι Ven. et Mor.

85) χρωμένων] scil. τῷ θεῷ.

86) ἐνὶ] sic recte Ven. in. ἐνὶ Mor.

87) δι᾽ ἄλλην τινὰ αἰτ.] subaudi ἢ διὰ τὸν Θεαγένην.

88) ἐκεῖνο] sic recte interpres reddidit. ἐκείνῳ Ven. et Mor.

ῥίπτουμεν; ἀλλ᾽ ἀτιμάζετε ἐκείνους, ὧν εἰσι, καὶ ἀφαιρεῖσθε τοὺς ἔχοντας, ὅπερ καὶ τότε ἔδοξε τῷ θεῷ 89), ἐπεὶ τοῦ χαλκοῦ οὐκ εἰκὸς ἦν φροντίσαι αὐτόν. μὴ τοίνυν τοῦ Θασίου μὲν ἡγεῖσθε ὑβρισθέντος οὕτως ἀγανακτῆσαι τὸ δαιμόνιον, τῶν δὲ παρ᾽ ὑμῖν τετιμημένων μηδένα θεοφιλῆ εἶναι, μηδὲ ἥρωα. οὐ τοίνυν οὐδὲ τοῦτ᾽ ἔστιν εἰπεῖν, ὅπως οὐκ ἂν καὶ πρὸς ἔχθραν ὑπ᾽ ἐνίων τοῦτο γένοιτο, ἐὰν ἄρα τύχῃ τις τῶν στρατηγούντων, μισῶν τινα τῶν πρὸ αὐτοῦ. τὸ γοῦν τοῦ Θεαγένους ἀκηκόατε, ὡς συνέβη διὰ τὸν φθόνον, καὶ τὴν ζηλοτυπίαν, τὴν ἐκ τῆς πολιτείας. καὶ γὰρ εἰ νῦν ἐπὶ μόνοις τοῖς παλαιοῖς αὐτό φασι ποιεῖν, χρόνου γε προϊόντος (ὥσπερ ἐπὶ πάντων ἀεὶ συμβαίνει τῶν φαύλων ἐθῶν) ἀνάγκη καὶ τοῦτ᾽ ἐπὶ πλέον προελθεῖν. οὐδὲ γὰρ οὐδὲ 90) αἰτιάσασθαι οἷόν τε, ἐπ᾽ αὐτῷ 91) γε ὅλου τοῦ πράγματος ὄντος. νὴ Δί᾽ ἀλλὰ κωλύσουσιν οἱ προσήκοντες. ἐὰν οὖν ἀπόντες ἢ ἀγνοήσαντες τύχωσιν, ὅταν γνῶσι, τί ποιήσομεν; ἆρά γε δεήσει τοῦτον ἐκχαράττειν πάλιν, ὃν ἂν φθάνῃ τις ἐπιγράψας; πάνυ τοίνυν ὄντος ἀτόπου τοῦ γιγνομένου, μᾶλλον δὲ ἀσεβοῦς, ἧττον ἂν δεινὸν ἦν, εἰ μὴ διὰ τοιαύτην πρόφασιν συνέβαινε, δι᾽ οἵαν τινές φασιν, ὡς ἀπολογούμενοι περὶ τῆς πόλεως. τὸ γὰρ δι᾽ ἀργύριον πράττειν ὁτιοῦν τῶν ἄλλων αἰσχρῶν, ἅπαντες αἴσχιον ἡγοῦνται τοῦ καθ᾽ ἑτέραν τινὰ αἰτίαν. ὅταν οὖν προβαλλόμενοι τὴν δαπάνην,

καὶ

89) sententia est: *quod idem Apollo quoque in statua Theagenis indicauit, non statuam, sed virum, cuius ea esset, ignominia esse affectum.*

90) malim οὐδέν᾽. *neque enim alius quisquam hac in re potest praeter strategum incusari, cum penes eum, in eius potestate, totum hoc sit negotium.*

91) ἐπ᾽ αὐτῷ] sic recte Casaub. et Anglus. ἐπ᾽ αὐτὸ Ven. et Mor.

καὶ τὸ δεῖν ἀναλίσκειν ἢ [92]) ποιήσασθαι ἑτέρους ἀνδριάντας, ἀξιῶσι παραπέμπειν τὸ πρᾶγμα· δῆλον, ὅτι τὸ ὄνειδος μεῖζον κατασκευάζουσιν, εἰ χρημάτων ἕνεκα δόξουσιν ἀδικεῖν, καὶ ταῦτα πλουτοῦντες, ὡς οὐδένες ἄλλοι τῶν Ἑλλήνων. καίτοι τί δήποτε ἐπὶ μὲν τῶν προγόνων ὑμῶν οὐθὲν ἐγίγνετο τοιοῦτον; οὐκ ἐχόντων αὐτῶν πλείονα, ἢ νῦν ἔχετε ὑμεῖς; ὅτι γὰρ οὔθ' ἡ νῆσος χείρων γέγονε, καὶ τὴν Καρίαν καρποῦσθε, καὶ μέρος τι τῆς Λυκίας, καὶ πόλεις ὑποφόρους κέκτησθε, καὶ χρήματα ἀεὶ πολλὰ ὑπὸ πολλῶν ἀνατίθενται τῷ δήμῳ, καὶ τῶν προτέρων οὐδεὶς ἀφήρηται [93]), μηδένα νομίζετε ἀγνοεῖν. καὶ μὴν οὐδὲ δαπανᾶν φήσετε νῦν μᾶλλον. τότε μὲν γὰρ εἰς πάνθ', ὅσα καὶ νῦν, ἀνηλίσκετο, πανηγύρεις, πομπὰς, ἱερουργίας, εἰς τὰ τείχη, τοῖς δικάζουσι, τῇ βουλῇ. νῦν δὲ [94]) οὐκ ἔστι τὰ μέγιστα τῶν προτέρων. τὰς γὰρ εἰς τὸν πόλεμον δαπάνας, σχεδόν τι συνεχῶς αὐτῶν πολεμούντων, καὶ σπανίως, εἴ ποτε, ἀναπαυομένων, οὐκ ἔστι συμβάλλειν, οἶμαι, τοῖς ἐν εἰρήνῃ γιγνομένοις ἀναλώμασιν. οὐ γὰρ ὅμοιον, ἑκατὸν νεῶν ἢ καὶ πλειόνων στόλον ἀποστεῖλαι, καὶ πάλιν ἑβδομήκοντα καὶ τριάκοντα ἑτέρων, καὶ τοῦτον [95]) ἔσθ' ὅτε μὴ καταλύειν τριῶν ἢ τεττάρων ἐτῶν· οὐδὲ συνεχῶς τριήρεις πλεῖν, οὐ μέχρι Κύπρου καὶ Κιλικίας, ἀλλ' ὁτὲ μὲν εἰς Αἴγυπτον, ὁτὲ δὲ εἰς τὸν Εὔξεινον, τὸ δὲ τελευταῖον ἐν αὐτῷ τῷ Ὠκεανῷ· οὐδὲ

ξένους

92) ἢ aut cum καὶ eſt permutandum, aut totus locus ſic eſt leg. ἀναλίσκειν εἰ ποιήσονται, aut ἀναλίσκειν εἰ δέῃ ποιήσασθαι. *ſi oporteat nouas ſtatuas faciendas curare.*

93) οὐδεὶς ἀφήρηται] ſubaudi τι vel οὐδὲν. *nemo quicquam vobis eripuit.*

94) νῦν δὲ] ſententia eſt: *nunc autem releuati eſtis ab onere illo impendiorum faciendorum, quo maiores veſtri tum premebantur vel grauiſſimo atque moleſtiſſimo*, in bella puta.

95) τοῦτον] ſic recte Ven. Caſaub. et Anglus, ſcil. τὸν στόλον, *hanc tantam claſſem naualem.* Mor. dat τούτων.

ξένους στρατιώτας τρέφειν, τὰ φρούρια καὶ τὴν χώραν φυλάττοντας· καὶ ὃ νῦν ἐφ' ἡμῶν ἰδεῖν ἐστι, μιᾷ καθ' ἕκαστον ἐνιαυτὸν ἢ δυσὶν ἀφράκτοις 96), ἅπαντα ἂν εἰς Κόρινθον. καὶ λέγω ταῦτα, οὐκ ὀνειδίζων, οὐδὲ τῶν προγόνων ὑμᾶς χείρονας ποιῶν. οὐ γὰρ 97) ὅτι μὴ δύνασθε ταυτὰ 98) πράττειν ἐκείνοις, ἀλλ' ὅτι καιρὸς οὐκ ἔστι τῶν τοιούτων, καὶ ἐν εἰρήνῃ διάγετε. δῆλον γὰρ, ὡς ἐκεῖνοι μᾶλλον ἐβούλοντο μὴ κινδυνεύειν, καὶ διὰ τοῦτο ἐπόνουν, ἵνα καταστῇ ποτε τὰ πράγματα, πλὴν ὅτι γε οὐκ ἴσα ὑμῖν 99) ἀνήλισκον. ἵνα γὰρ τἆλλα ἀφῇ τις, τὸ τῶν νεωρίων, τὸ τῶν ὅπλων, τὸ τῶν μηχανημάτων, ἃ 100) νῦν εἶπον, αὐτὸ δήπου τὸ τῶν τειχῶν, οὐκ ἔστιν ὅμοιον, ὡς ἐφ' ὑμῶν ἐπισκευάζεται. καὶ γὰρ ἂν τὰ τῆς ἐπιμελείας θῇ τις μὴ διαφέρειν· ἀλλά τοι σχολῇ γίνεται καὶ κατ' ὀλίγον, καὶ ὁπηνίκα τις βούλεται· τότε δὲ οὐκ ἦν αὐτὰ μὴ ἑστάναι. καὶ νῦν μὲν ὑφ' ὑμῶν δοκιμασθησόμενα, οἰκοδομεῖται 1)· τότε δὲ, ὑπὸ τῶν πολεμίων. εἶεν. οὐ τοίνυν οὐδὲ τοῦτό ἐστιν εἰπεῖν, ὡς πλείονας τιμᾶτε· τὸ γὰρ πλῆθος αὐτὸ δηλοῖ τῶν ἐξ ἐκείνου τοῦ χρόνου κειμένων ἀνδριάντων. χωρὶς δὲ τούτου, τίς ἂν εἴποι πλείους εἶναι τοὺς νῦν φιλοτιμουμένους περὶ τὴν πόλιν; νὴ Δία, ἀνάγκην γὰρ ὑμεῖς ἔχετε τοὺς ἡγεμόνας τιμᾶν ἅπαντας. τί δή; οὐχὶ καὶ Ἀθηναῖοι, καὶ Λακεδαιμόνιοι, καὶ Βυζάντιοι, καὶ Μιτυληναῖοι, τοὺς αὐτοὺς τούτους θεραπεύουσιν; ἀλλ' ὅμως ὅταν

96) ἀφράκτοις] exponit Valesius Emend. p. 59.
97) οὐ γὰρ] subaudi τοῦτο ποιεῖτε, aut τοῦτο γίγνεται.
98) ταυτὰ] sic recte Ven. *paria cum vestris maioribus.* ταῦτα Mor.
99) οὐκ ἴσα ὑμῖν ἀνήλ.] subaudi ἀλλὰ πολλῷ πλείονα.
100) ἃ] malim ὅ. idem enim est, ac si verba sic struxisset: αὐτὸ τὸ τῶν τειχῶν, ὃ νῦν εἶπον. *illa ipsa, de qua modo dicebam,* (v. vers. 15, p. 620.) *moenium reparatio.*
1) exponit h. l. Valesius l. c. nota est probatio publicorum aedificiorum veteribus usitata e Tullii Verrina prima.

ὅταν δόξῃ τινὰ στῆσαι χαλκοῦν, ἴσασι, καὶ τῆς εἰς τοῦτο δαπάνης εὐποροῦσι. καὶ μὴν ἤδη τινὸς ἤκουσα Ῥοδίου λέγοντος, οὐχ ὅμοια τὰ ἐκείνων καὶ τὰ ὑμέτερα. τοῖς μὲν γὰρ μόνον ὑπάρχειν τὴν ἐλευθερίαν [2]) δίχα Ἀθηναίων· καὶ τούτους δὲ μηδὲν μέγα κεκτῆσθαι· τὴν δὲ ὑμετέραν πόλιν ἐπίφθονον εἶναι παρὰ πᾶσιν, ὡς ἄριστα πράττουσαν, διόπερ αὐτῇ πλειόνων δεῖν τῶν εὐνοούντων. ἔτι δὲ μηδένα τῶν Ῥωμαίων διαφέρεσθαι, παρὰ τοῖσδε ἑστάναι· τῆς δέ γε ἐνθάδε τιμῆς οὐκ ἀμελεῖν. ταῦτα δέ ἐστι μὲν ἀληθῆ, μᾶλλον δὲ ὀφείλετε ἀποστῆναι δι' αὐτὰ τοῦ πράγματος. τούς τε γὰρ λόγον ἔχοντας τῆς τιμῆς παρ' ὑμῖν, εἰκός ἐστι μὴ παραπέμπειν, μηδὲ τοῦ πῶς αὐτῆς τυγχάνουσιν ἀμελεῖν [3])· ἀλλ' ἅμα καὶ τὴν διά-

νοιαν

2) Sententia est: Lacedaemoniis, Byzantiis, Mitylenaeis, aliis Graeciae populis fuisse quidem libertatem; sed nil praeterea, quo se magnopere efferrent: solis Atheniensibus et Rhodiis praeter libertatem alia quoque iura esse concessa a Romanis, sed Rhodiis multo maxima et maiora, quam Atheniensibus ipsis; quo fiat, vt Romanorum propraetorum et similium nemo magni faciat apud Athenienses caeterosque supra dictos populos sibi statuam erigi, neque in eo laborare; apud Rhodios autem, vt hunc honorem consequantur, omnes contendere. Casaubonus cum sententiam bene videret, in verbis errauit. locus hic bene habet. διαφέρομαι significat, *iudico mea referre*. v. Aristid. I. p. 448, vlt.

3) verbum ἀμελεῖν ex praec. versu in hunc deduxi et post τυγχάνουσιν collocaui. Sententia est: eos, qui honorum sibi a vobis habitorum non habeant nullam rationem, consentaneum non est negotium hoc animo aequo et supino neque quicquam curante, qua ratione a vobis honorentur, transmittere. In Veneta est ἀμελεῖν, παρατρέχειν, μηδὲ τοῦ — vbi varietas lectionis haec admonet, quae non satis intelligo: ἀμελεῖν, παρατρέχειν irrepserunt pro παραπέμπειν. quae verba quod prodere videntur, si verum sit, vt scil. tam ἀμελεῖν, quam παρατρέχειν, eiiciantur, et eorum loco vnum παραπέμπειν seruetur,

necesse

νοιαν τὴν ὑμετέραν σκοπεῖν. τοὺς τε ἐπίφθονον εἶναι τὴν εὐπορίαν τῆς πόλεως ὁμολογοῦντας, οὐκ εἰκὸς ἦν, ὑπολογίζεσθαι τὸ τῆς δαπάνης. καὶ γάρ τοι τοσούτῳ διὰ τοῦτο πλείους τιμᾶτε τῶν ἄλλων, ὅσῳ πλείονα κἀκείνων κέκτησθε. καὶ μὴν τῶν γε αὐτοκρατόρων καὶ νῦν ποιεῖσθε εἰκόνας, καὶ τῶν ἄλλων δὲ τῶν ἐπ' ἀξιώματος. οὐδὲ γὰρ ὑμᾶς λέληθεν, ὡς οὐδέν ἐστι τὸ τοιοῦτον ἵστασθαι τὸν τρόπον. ἵν' οὖν τινὰς τιμήσητε λοιπὸν, οὕτως αἰσχρὸν καὶ ἀνάξιον ὑμῶν αὐτῶν ἔργον διαπράττεσθε; εἰ μὲν γὰρ ἅπασιν ὁμοίως προσεφέρεσθε, δίχα τῶν αὐτοκρατόρων, οὐκ ἂν οὕτως ἠλέγχεσθε· νῦν δ' εἰσὶν οὓς αὐτοὺς [4]) ἵστατε· ὥστε τοῖς ἄλλοις εἶναι φανερὸν ἐκ τούτων, ὅτι οὐ τιμᾶτε αὐτούς. εἰ δὲ τῶν πολλῶν καὶ τῶν μηδένα ὠφελησάντων εἰσὶν οὗτοι, τίνος χάριν ἀσχημονεῖτε; ἢ τί βουλόμενοι τούτους θεραπεύετε; καὶ ταῦτα ἐνὸν ὑμῖν, ἄλλως ἐπιμελεῖσθαι. καὶ γὰρ ξένια πλείω, καὶ τὸ τῆς ὑποδοχῆς ἐλευθέριον τοῖς πολλοῖς ἱκανὸν, κἂν βελτίων ᾖ τις. ἔτι καὶ ψήφισμα ἤρκεσεν ἁπλοῦν εἰς τὸ Πρυτανεῖον, εἰ εἰς προεδρίαν ἐκλήθη [5]). νυνὶ μὲν γὰρ δοκεῖτε, ὥσπερ οἱ σφόδρα γέμοντες τῶν ναυκλήρων καὶ χειμαζόμενοι, διὰ τοῦτο ἐκβολὴν ποιεῖσθαι

necesse sit, deleto commate p. 622, pen. loco τοῦ sufficere τό. sed adhaereo priori coniecturae nostrae.

4) αὐτοὺς] sic recte Anglus. *quos ipsos statua erecta repraesentatis*, sub ipsorum forma, non sub aliena, cum ementito nomine. Ven. et Mor. dant αὐτοῦ.

5) ᾖ τις. ἔτι καὶ — προεδρίαν ἐκλήθη] mihi videtur locus hic lenissimo modo sic ferme posse sanari: ᾖ τις ἔτι, καὶ ψήφ. ἤρκ. ἁπλοῦν, ᾧ ἂν εἰς πρυτανεῖον ἢ προεδρ. ἐκλ. *si quis adhuc sit benignior et commodior, ei vel unum aliquod decretum suffecerit, quo sit in prytaneum* [ad epulas publicas] *aut ad primum in theatro ordinem inuitatus.* vereor tamen, ne Dio paulo in quibusdam aliter dederit, et nonnulla ne desint. Anglus volebat ᾧ εἰς τὸ πρυτ. vel ἢ εἰς πρ. vel εἰ εἰς —

σθαι τῶν ἀνδριάντων. καίτοι φέρε, εἴ τις ὑμῖν ἔλεγεν, ὡς ἄρα ἀποδόσθαι προσήκει τοὺς πολλοὺς αὐτῶν, ἵνα εὐπορήσητε 6) χρημάτων, οὐκ ἔστιν, ὅπως οὐκ ἀνδράποδον ἡγήσαισθε 7) εἶναι τὸν λέγοντα. νῦν τοίνυν αὐτὸ τοῦτο ποιεῖτε· ὅσου 8) γὰρ ἀνδριὰς γένοιτ' ἄν, τοσοῦτον ἐφ' ἑκάστῳ κερδαίνετε 9)· πλὴν ὅτι γε αὐτοῖς 10) ἀποδίδοσθε· καὶ οὐκ ἐπ' ἐξαγωγῇ, καθάπερ, οἶμαι, τὰ σφόδρα πονηρὰ ἀνδράποδα. καθόλου δὲ εὖ ἴστε, ὅτι μηδέν ἐστι τῶν τοιούτων μέγα, μηδὲ τίμιον, ἄλλως, εἰ μὴ παρὰ τοὺς διδόντας, ἐὰν διδῶσιν 11) ὡς τοιοῦτον. εἰ δὲ τῶν ὄντων ὅ, τι ἂν θέλοι τις, ῥᾳδίως καὶ τῷ τυχόντι παρέχειν 12) ταχὺ δόξει τοῦ μηδενὸς ἄξιον. διὰ τοῦτο σεμνότερόν ἐστι τὸ παρ' ὑμῖν κληθῆναι 13), τῆς παρ' ἑτέροις εἰκόνος. καὶ τὸ μὲν ὑμᾶς καθημένους ἐπαινέσαι, λαμπρόν· ἄλλοι δὲ οὐδὲ κἂν διαρραγῶσι κεκραγότες, οὐ δοκοῦσιν ἱκανῶς τιμᾶν. τὸν Ὀλυμ- 45.

πιάσι

6) εὐπορήσητε] ab εὐπορέω, non ab εὐπορίζω, quod verbum nullum est. Ven. et Mor. dant εὐπορίσητε.

7) ἡγήσαισθε deest Venetae. Morell. dat ἡγήσασθε.

8) ὅσου] sic recte Ven. subaudi ἀργυρίου. et sic quoque Casaubonus emendauit, atque Morellus; sed ed. Mor. dat ὅσον.

9) κερδαίνετε] sic Casaubonus, Morellus et Anglus; quod probo quidem, possit tamen etiam non minus conuenire κερδάναιτε in opt. aor. 1. item κερδάνητε in coni. *compendifaciatis.* κερδανεῖτε Ven. et Mor.

10) γε αὐτοῖς] Casaub. vult γ' ἐν αὐτοῖς. malim γ' ἑαυτοῖς. *vos illas statuas, tanquam mancipia, venditis vobismet ipsis; datis statuam, quae vestra est, et valorem eius in aerarium vestrum refertis, deparcendo tantum sumtus, quantum in nouam statuam faciendum est, ac si pecuniam ex ea vendita redactam fisco vestro intulissetis.*

11) διδῶσιν] sic recte Ven. δίδωσιν Mor.

12) lego παρέχουσι; redit enim hic pluralis ad διδόντας vers. 11.

13) κληθῆναι] *ad conuiuium inuitari.*

πιάσι στέφανον ἵστε δήπουθεν ἐλάϊνον ὄντα, καὶ τοῦτον πολλοὶ προτετιμήκασι τοῦ ζῆν· οὐχὶ τῆς ἐκεῖ φυομένης ἐλαίας ἐχούσης τὶ θαυμαστὸν, ἀλλ᾽ ὅτι μὴ ῥαδίως μηδ᾽ ἐπὶ μικρῷ δίδοται. τοιγαροῦν ἔγγιστα ἐφ᾽ ἡμῶν, ὡς ἐπίστασθε, τῶν αὐτοκρατόρων τις οὕτω σφόδρα ἡττήθη τοῦ πράγματος, καὶ ἐπεθύμησε τῆς ἐκεῖ νίκης, ὥστε καὶ ἀγωνίσασθαι παρ᾽ Ἠλείοις[14]), καὶ τοῦτον ὅρον ἡγήσασθαι τῆς εὐδαιμονίας. εἰ δέ γε πάντας ἐστεφάνουν τοὺς ἐπὶ τὴν θέαν ἀφικνουμένους τῶν ἡγουμένων, τίνα ζῆλον, ἢ ποίαν ἔτι δόξαν ἔσχεν ὁ στέφανος, ἀλλὰ ἐκείνους γε φασὶ μηδὲ τὰς ἐπιστολὰς λύειν, ἃς ἂν γράψωσι[15]) τῶν ἀθλητῶν τινα συνιστάντες, πρὶν ἢ ἀγωνίσηται. καὶ τοῦτο οὐδένα πώποτε αὐτοῖς ἤνεγκε κίνδυνον· ἀλλὰ τοὐναντίον, τιμὴν καὶ ἔπαινον, τῷ δοκεῖν ἀξίους εἶναι βραβεύειν τὸν ἀγῶνα. μὴ γὰρ οἴεσθε Ῥωμαίους εἶναι οὕτω σκαιοὺς καὶ ἀμαθεῖς, ὥστε μηδένα αἱρεῖσθαι τῶν ὑφ᾽ αὐτοῖς ἐλευθέριον εἶναι, μηδὲ καλόν· ἀλλὰ βούλεσθαι μᾶλλον ἀνδραπόδων κρατεῖν. εἶτα Ἠλεῖοι μὲν οὕτως ἀξιοῦσι τὰ ἑαυτῶν, οὐδενὸς Πελοποννησίων, κατά γε τἄλλα, ἀμείνους ὄντες· ὑμεῖς δὲ τοὺς παριόντας δεδοίκατε, κἂν ἕνα τινὰ μὴ στήσητε χαλκοῦν, τὴν ἂν[16]) ἐλευθερίαν οἴεσθε ἀποβάλλειν[17]); ἀλλ᾽ εἴ γε[18]) οὕτως σφόδρα ἐπισφαλής ἐστιν[19]), ὥστε ἐκ τῆς τυχούσης προφάσεως περιαιρεθῆναι, δουλεύειν ὑμῖν τῷ παντὶ βέλτιον ἤδη. καὶ γὰρ τοῖς τὸ σῶμα οὕτως ἐπι-

14) παρ᾽ ἠλείοις] Ven. dat παρ᾽ ἠλίους, et Mor. παρ᾽ ἠλήους.
15) γράψωσι] Romanorum viri principes.
16) ἂν si seruetur, quod Casaubonus expungit, debet ad ἀποβαλεῖν referri. In Veneta est ἐν.
17) malim, quod modo dicebam, ἀποβαλεῖν, et sic Anglus quoque.
18) ἀλλ᾽ εἴ γε] sic recte Casaub. et Anglus. ἀλλ᾽ οἵ γε Ven. ἀλλ᾽ ἤ γε Mor.
19) ἐπισφαλής ἐστιν] vestra libertas puta.

ἐπικινδύνως ἔχουσιν, ὥστε μηκέτ᾽ ἀνενεγκεῖν, τεθνάναι κρεῖττον, ἢ ζῆν. εἰ γὰρ ὑμῖν ἡ μὲν [20]) ἐκ τοσούτου χρόνου πίστις, καὶ πρὸς τὸν δῆμον εὔνοια τὸν [21]) ἐκείνων, καὶ κοινωνία πάσης τύχης, οὐ δύναται βεβαιοῦν τὴν πολιτείαν, οὔτε Μιθριδάτης καθαιρεθεὶς, οὐδ᾽ Ἀντίοχος, οὐδ᾽ ἡ τῆς θαλάττης ἀρχὴ παραδοθεῖσα διὰ πολλῶν κινδύνων καὶ πόνων, οὐδ᾽ οἱ πρὸ τοσούτων ἐτῶν ὅρκοι τῆς φιλίας, οὐδ᾽ αἱ παρ᾽ αὐτὸν τὸν Δία [22]) στῆλαι κείμεναι μέχρι νῦν, οὐδ᾽ ἡ μέχρις Ὠκεανοῦ συγκινδυνεύσασα δύναμις, οὐδ᾽ ἡ τὸ τελευταῖον ὑπὲρ αὐτῶν ἁλοῦσα πόλις· ἀλλ᾽ εἰ μὴ τὸν δεῖνα καὶ τὸν δεῖνα κολακεύσετε ἀγεννῶς, πάντα ταῦτα ἀνατέτραπται, ὡς ἀεὶ προσδοκᾶν τινὰ ὀργὴν, ἢ μῖσος· σφόδρα ὑμῖν φαύλως τὰ πράγματα ἔχει, καὶ ἐπ᾽ οὐδενὸς ἵδρυσθε ἰσχυροῦ. καὶ ἔγωγε φαίην ἂν, εἰ καὶ χαλεπῶς ἀκούσεσθε, κρεῖττον ὑμῶν ἀπαλλάττειν τοὺς ἐν Φρυγίᾳ μέσῃ δουλεύοντας, ἢ τοὺς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ. τὸν γὰρ ἀγνοούμενον καὶ μὴ δοκοῦντα μηδενὸς ἄξιον, ποιεῖν ὁτιοῦν ἔλαττον αἰσχρόν· τὸ δὲ οὕτως ἐπισήμους ὄντας καὶ θαυμαζομένους παρὰ πᾶσιν, ἀνάγκην ἔχειν, ὥσπερ τοὺς ἀγεννεῖς κύνας σαίνειν τὸν παριόντα, δεινόν. φέρε τοίνυν, εἰ δὲ καὶ πάντας δέοι τιμᾶν [24]), ὅπως καὶ τὴν ἐσχάτην ἀπορίαν

20) μὲν huic respondet ἀλλὰ vers. 11. non semper δὲ post μὲν sequitur, sed saepe quoque ἀλλά.

21) post εὔνοια addit Mor. τῶν, quod recte abest a Veneta. δῆμον non ad populum Romanum, qui sic non appellatur, sed ad Rhodium redit. Sententia est: *illorum*, Romanorum, *erga populum vestrum*, Rhodium, *beneuolentia*. dixisset tamen Dio conuenientius τοῦ δήμου εὔνοια πρὸς ἐκείνους, aut certe τὸν ἐκείνων. *vestra erga illorum* δῆμον *beneuolentia*. et sic dedi, et ita Anglus quoque.

22) Δία] Capitolinum puta.

23) ὁτιοῦν] sic recte Casaub. *quicquid tandem id est*. οὖν Ven. et Mor.

24) distinguo et lego sic: τιμᾶν ὁμοίως, καὶ — vel etiam ad

ρίαν θείη τις εἶναι περὶ τὴν πόλιν· πόσῳ κρεῖττον αὐτὸ τὸ ψήφισμα προσπέμψαι 25) τὸ τῆς εἰκόνος, ἵν', ἐὰν βούληται, στήσῃ παρ' ἑαυτοῦ; νὴ Δί', ἀλλ' αἰσχρὸν, εἰ τοσαύτην ὁμολογήσομεν στενοχωρίαν, καὶ Ῥοδίων οὐκ ἄξιον. καὶ τίς οὐκ ἂν εὖ φρονῶν ἕλοιτο πένης δοκεῖν μᾶλλον, ἢ πονηρός; ἢ τὸ νυνὶ γινόμενον, ἧττον ὑμῖν δοκεῖ τινος αἰσχρὸν εἶναι; τὸ τοὺς ἀνδριάντας ὑμῶν δύνασθαί τινα διηγεῖσθαι, καθάπερ τὰς οἰκίας· ὅτι πρότερον μὲν ἦν αὕτη τοῦ δεῖνος, νῦν δὲ τοῦ δεῖνος γέγονεν, ἂν δ' οὗτος τελευτήσῃ, πάλιν ἔσται τοῦ κληρονομήσοντος, ἢ τοῦ πριαμένου; καίτοι τὴν εἰκόνα οὐκ ἔστιν οὐδενὶ δικαίῳ μεταθεῖναι, καθάπερ τὴν οἰκίαν. ἤδη τοίνυν ἤκουσα 26) καὶ τοιοῦτόν τινος ἀποσχεδιάζοντος, ὅτι καὶ παρ' ἑτέροις ἰδεῖν ἐστι τοῦτο γιγνόμενον. πάλιν δὲ ἑτέρου, ὡς καὶ παρ' Ἀθηναίοις πολλὰ 27) πράττεται νῦν, οἷς οὐκ ἀπεικότως ἄν τις ἐπιπλήξειεν, οὐ περὶ τὰ ἄλλα μόνον, ἀλλὰ καὶ περὶ τὰς τιμάς. οἵ γε τὸν δεῖνα μὲν Ὀλύμπιον κεκλήκασιν, οὐδὲ φύσει πολίτην ἑαυτῶν· Φοίνικα δὲ ἄνθρωπον, οὐκ ἀπὸ Τύρου καὶ Σιδῶνος, ἀλλ' ἀπὸ κώμης τινὸς, ἢ τῆς ἠπείρου 28), καὶ ταῦτα πιττούμενον

Rr 2 καὶ

ad hunc modum: δέοι τιμᾶν, ὁπόσῳ καὶ — τοσούτῳ, κρεῖττον. sed praefero prius.

25) προσπέμψαι] *ei puta, quem vultis honorare.*

26) ἤκουσα] sic recte corrigit Valesius Emend. p. 59. nisi malumus, ne vltima syllaba plane pereat, legere ἤκουσά ποτε. Ven. et Mor. dant ἠκούσατε.

27) viderint, quid de coniectura nostra alii statuant, quam olim ad hunc locum proposuimus, quae si non assensum, ingenii forsitan laudem nonnullam consequatur. finio sententiam in verbo ἀθηναίοις. *rursus ex alio audiui, haec eadem Athenis quoque fieri.* occurrit Dio: ἀλλὰ γὰρ παρ' ἀθηναίοις πολλὰ *atqui apud Athenienses quidem multa fiunt hodie.*

28) ἢ τῆς ἠπείρου] ἤπειρον noui partem Graeciae aliquam appellari mari Adriatico finitimam; noui item Asiam minorem sic appellari: sed, fac etiam Phoenicem, h. e. Iudaeum,

καὶ βραχίονας 29), καὶ περιδήματα φοροῦντα· τὸν δεῖνα δὲ τὸν εὐχερῆ λίαν ποιητὴν, ὃς καὶ παρ' ὑμῖν ποτε κἀνθάδε 30) ἐπεδείξατο, οὐ μόνον χαλκοῦν ἑστάκασιν, ἀλλὰ καὶ παρὰ Μενάνδρῳ 31). λέγειν δὲ εἰώθασιν οἱ διασύροντες τὴν πόλιν, καὶ τὸ ἐπίγραμμα τὸ ἐπὶ τῆς Νικάνορος 32) εἰκόνος, ὃς αὐτοῖς καὶ τὴν Σαλαμῖνα ἐωνήσατο. ἐγὼ δ' εἰ μέν τις ἢ τοῖς Ἀθηναίοις ἐπιτιμῶν, λέγει ταῦτα, καὶ δεικνὺς οὐκ ὄντας ἀξίους τοὺς ἐνοικοῦντας τῆς πόλεως, οὐδὲ τῆς δόξης, ἣν οἱ πρότερον γενόμενοι κατέλιπον, ἢ καθόλου τὴν Ἑλλάδα ἐλεῶν εἰς ὃ πέπτωκεν, ὅταν τοιαῦτα πράττωσιν οἱ χρόνον τινὰ δόξαντες αὐτῆς προεστάναι, καλῶς αὐτὸν ἡγοῦμαι λέγειν. εἰ δ' ὅτι 33) προσήκει μηδ' ὑμᾶς μηδὲν μέγα φρονεῖν, μηδ' ἐκείνων κρεῖττον, οὐκ ἔχω τὴν ὑπερβολὴν τῆς ἀναισθησίας εἰπεῖν τοῦ ταῦτα λέγοντος. οὐ γὰρ, ὃν τρόπον τὰ καλῶς παρ' ἑτέροις γινόμενα πᾶσιν ἔθος ἐστὶ λέγειν ζήλου καὶ προτροπῆς ἕνεκεν· ὁμοίως, κἂν φαῦλόν τι πράττηται παρ' ἄλλοις, δεῖ τοῦτο μνημονεύειν, ὥστε μιμεῖ-

daeum, illum, qui origine esset, in Asia minore natum, ergone Asia minor tota minoris fiet, quam Tyrus aut Sidon? deleamus tantisper, donec meliora doceamur, ἢ. *sed e pago quodam Asiae minoris.*

29) transpono copulam. καὶ πιττώμενον τοὺς βραχίονας, *vulsum sub axillis.* Aliter Casaubonus, quem consuli velim.

30) κἀνθάδε] *in hac curia, unde verba nunc ad vos facio.*

31) Μενάνδρῳ] *proxime Menandrum.* Μένανδρον Ven. et Mor.

32) de hoc Nicanore mihi nil constat. de emta ab ipso Salamine, populoque Atheniensi donata, quae commemorat noster, merum mihi est aenigma.

33) εἰ δ' ὅτι] ipse video, illud εἰ δὲ respicere ad superius εἰ μὲν λέγει — idque posse atque debere tacite a lectore repeti. at vel sic tamen deest δεικνῦναι βουλόμενος. *si quis autem haec eo proferat, quo vobis persuadeat, non oportere vos magnos et nobiles spiritus capessere* — aut simile quid.

μιμεῖσθαι· τοὐναντίον δὲ ὑπὲρ τοῦ φυλάξασθαι, καὶ μὴ λαθεῖν εἴς τι τοιοῦτον ἐμπεσόντας. καὶ γὰρ εἰ μὲν ἐπαινῶν τις ἐκείνους ταῦτα ἔλεγε, καὶ μηδὲν χείρονος δόξης [34]) ἀποφαίνων ἐπιτυγχάνοντας, ἦν μὲν ἂν δήπουθεν εὐήθης, μᾶλλον δὲ ἀναιδής· πλὴν κατά γε τὴν ἑαυτοῦ γνώμην παρεῖχέ τινα ἀφορμὴν τοῖς ἁμαρτάνειν βουλομένοις. εἰ δ' ὡς αἰσχρὰ καὶ ὀνείδη πάντες αὐτὰ προφέρουσι, καὶ οὐθεὶς ἂν εἴποι τῶν ἐγκωμιαζόντων τὴν πόλιν τοιοῦτον οὐθέν· ἀλλ' ἤτοι βλασφημῶν τις, ἢ καθαπτόμενος ἄλλως καὶ ἐπιπλήττων· παντελῶς εὐήθης [35])· διὰ τῶν τοιούτων ὑμᾶς προτρέπειν δοκῶν, ὥστε ἀμελεῖν τῶν παρ' αὐτοῖς. καθάπερ εἴ τις [36]) ἀθλητὴν πείθων ἀπειπεῖν καὶ προέσθαι τὸν στέφανον ἀργυρίου, λέγοι πρὸς αὐτόν· οὐχ ὁρᾷς ἐκεῖνον τὸν παραχωρήσαντα [37]) πρὸ σοῦ μαστιγούμενον; ἢ νὴ Δία, εἴ τις τῶν ὑποκριτῶν δεικνὺς τοὺς ἐκεῖ πίπτοντας [38]) καὶ συριττομένους, τοιαῦτα παραμυθοῖτο, ὅπως μηδὲ σὺ προσέξεις, ἀλλ' ὁμοίως ἀγωνιῇ. καὶ νῦν ὑμῖν σχεδὸν ἐκεῖνοι λέγουσιν· οὐχὶ ὁρᾶτε τοὺς Ἀθηναίους ὡς ἀσχη-

34) post δόξης subaudi διὰ ταῦτα. *per* vel *propter istos eorum mores.*

35) malim post εὐήθης addi articulum ὁ.

36) f. καθάπερ ἂν εἴ τις.

37) παραχωρεῖν est desistere, deficere de sua virtute, alteri victoriam, praestantiam concedere. v. p. 349, 33. 383, 43. ed. Mor.

38) imo vero τοὺς ἐκπίπτοντας, vno vocabulo. De verbo scenico et histrionico ἐκπίπτειν, *e scena eiici cum sibilis et cachinnis*, v. Hemsterhus. ad Luciani Nigrin. T. I. p. 48. Polyb. p. 481, 1. admodum facete et eleganter Diodor. Sic. I. p. 725, 3. Demosth. p. 315, 10. Plutarch. Opusc. p. 139, 5. 163. 1456, 9. 1263, vlt. Aristid. II. 403, 10. Aeschines orator p. 32. 42. ἐκπίπτειν τοῦ λόγου *aus dem Concept herauskommen.* Affine verbum ἐκρίπτειν, cum sibilis exigere, Aeschines idem p. 48. 40. ed. H. St. ἐκβάλλειν Demosth. p. 449, 19. ed. R.

μονοῦσιν; ὡς κακῶς ἀκούουσιν, ὡς παραδείγματα πᾶσιν εἰσὶ τῆς ἀγενείας καὶ τῆς ὕβρεως, ἣν ὑβρίζουσιν εἰς τὴν πατρίδα; καίτοι πότερον δή τις αὐτοὺς ἀνταγωνιστὰς ὑμῶν, ὥσπερ ἀξιοῦσιν, ἢ μᾶλλον· ὃ τῷ παντὶ βέλτιον καὶ δικαιότερον· καὶ τούτους καὶ τοὺς Λακεδαιμονίους καὶ πάντας τοὺς ὁμοίους μέρος ὑμέτερον, ἢ ὑμᾶς ἐκείνων; ἀλλ᾽ οὔτε τοὺς ἀνταγωνιστὰς ἁμαρτάνοντας εὔλογόν ἐστι μιμεῖσθαι· τοὐναντίον δὲ τοσοῦτο 39) μᾶλλον κατορθοῦν, ἵνα τῷ παντὶ φαίνησθε προέχοντες αὐτῶν. καὶ μὴ μόνον διὰ τὴν ἐκείνων κακίαν, ἀλλὰ καὶ διὰ τὴν αὐτῶν ἀρετὴν εὐδοκιμῆτε· οὔτε 40) τοὺς οἰκείους καὶ προσήκοντας, ἀλλὰ μάλιστα μὲν κωλύειν 41), κᾶτ᾽ οὖν αὐτούς γε πειρᾶσθαι, τοῖς ἑαυτῶν ἔργοις τὰ ἁμαρτήματα ἐκείνων ἐλάττω ποιεῖν; ἔτι δὲ εἰ 42) μὲν ἐν τοῖς ἄλλοις μηδὲν αὐτῶν διαφέρετε, οὐδὲν ἴσως δεῖ 43) καθ᾽ ἓν τοῦτο φιλοτιμεῖσθαι καὶ σκοπεῖν, ὅπως κρείττους δόξετε. νῦν δὲ οὐδέν ἐστιν, ἐφ᾽ ὅτῳ τῶν ἐκεῖ γιγνομένων οὐκ ἂν αἰσχυνθείη τις. οἷον εὐθὺς τὰ περὶ τοὺς μονομάχους, οὕτω σφόδρα ἐζηλώκασι Κορινθίους, μᾶλλον δὲ ὑπερβεβλήκασι τῇ κακοδαιμονίᾳ κἀκείνους καὶ τοὺς ἄλλους ἅπαντας. ὥστε οἱ Κορίνθιοι μὲν ἔξω τῆς πόλεως θεωροῦσιν ἐν χαράδρᾳ τινὶ πλῆθος μὲν δυναμένῳ 44) δέξασθαι, τόπῳ ῥυπαρῷ δὲ ἄλλως· καὶ

ὅπου

39) malim τοσούτῳ.

40) οὔτε] subaudi εὔλογόν ἐστι μιμεῖσθαι, de quo Morellus iam admonuit.

41) post κωλύειν videtur aliud nihil deesse, praeterquam εἰ δὲ μή, *sin minus*, h. e. *sin minus id fieri poterit.* et sic Casaubonus quoque censuit. pro κᾶτ᾽ exarandum est κατ᾽ [id est κατὰ]. κατ᾽ οὖν αὐτούς γε est per tmesin dictum pro κατὰ γοῦν αὐτούς. Casaub. vult ἀλλ᾽ οὖν —

42) εἰ] sic codex regius et Anglus, et quodammodo Casaub. quoque. Ven. et Mor. dant οὐ.

43) malim διεφέρετε et ἔδει.

44) δυναμένῳ] sic recte Ven. *in valle quadam, seu lacuna,*

vel

ὅπου μηδεὶς ἂν μηδὲ θάψειε μηδένα τῶν ἐλευθέρων· Ἀθηναῖοι δὲ ἐν τῷ θεάτρῳ θεῶνται τὴν καλὴν ταύτην θέαν, ὑπ' αὐτὴν τὴν ἀκρόπολιν, οὗ τὸν Διόνυσον ἐπὶ τὴν ὀρχήστραν 45) διατιθέασιν· ὥστε πολλάκις ἐν αὐτοῖς τινὰς σφάττεσθαι τοῖς θρόνοις, οὗ τὸν ἱεροφάντην καὶ τοὺς ἄλλους ἱερεῖς ἀνάγκη καθίζειν. καὶ τὸν εἰπόντα περὶ τούτου φιλόσοφον 46) καὶ νουθετήσαντα αὐτοὺς οὐκ ἀπεδέξαντο, οὐδὲ ἐπῄνεσαν· ἀλλ' οὕτως ἐδυσχέραναν, ὥστε ἐκεῖνον μὲν ὄντα γένει Ῥωμαίων 47) μηδενὸς ὕστερον, δόξαν δὲ τηλικαύτην ἔχοντα, ἡλίκης οὐδεὶς ἐκ πάνυ 48) πολλῶν τετύχηκεν, ὁμολογούμενον δὲ μόνον μάλιστα 49) μετὰ τοὺς ἀρχαίους ἀκολούθως βεβιωκέναι τοῖς λόγοις· καταλι-

 πεῖν

vel voragine, qui locus est ille satis quidem capax recipiendae magnae hominum multitudini, caeteroquin autem sordidus. Mor. dat δυναμένη.

45) malim ἐπὶ τῆς ὀρχήστρας. Valesius p. 79. Emend. locum hunc sic exponit: *eo in loco, vbi Bacchi simulacrum in orchestra exponunt.* mihi vero dictio τὸν Διόνυσον ἐπὶ τῆς ὀρχήστρας διατιθέασιν hoc videtur significare, *fabulas scenicas super orchestra explicant.* Bacchus, qui est praeses artis histrionicae, hic est vsurpatus pro ipso vniuerso scenico apparatu. διατιθέναι est rem ita in tuos aliorumve priuatos publicosue vsus conuertere, quibus accommodata et consecrata est, eiusque partes atque vtilitates omnes explicare.

46) φιλόσοφον] suspicor Apollonium Tyanensem designari.

47) interpres ῥωμαίων expressit, quod cum Valesio Emend. p. 79. probo: Ven. et Mor. dant ῥωμαῖον. v. Philostrat. Vit. Apoll. Tyan. IV. c. 22. quod totum caput huic loco nostri illustrando perquam est accommodatum.

48) aut ἐκ πάνυ πολλοῦ est leg. (nam in singulari, non item in plurali solet v. χρόνος omitti) aut leg. ἐκ χρόνων πάνυ πολλῶν.

49) μόνον μάλιστα] videntur haec duo sine disiunctione secum constare non posse; quare malim μόνον ἢ μάλιστα, *solum, aut certe inprimis.*

πεῖν τὴν πόλιν, καὶ μᾶλλον ἑλέσθαι διατρίβειν ἀλλαχόσε τῆς Ἑλλάδος. ἀλλ' οὐκ ἂν ὑμεῖς, ἄνδρες Ῥόδιοι, τοιοῦτον οὐθὲν ὑπομείναιτε [50]), παρ' οἷς νόμος ἐστὶ, τὸν δημόσιον [50b]) μηδέποτε εἰσελθεῖν τὴν πόλιν. τίνος οὖν ἕνεκα ὑπεμνήσθην; οὐ μὰ τὸν Δία, λοιδορῆσαι βουλόμενος τοὺς Ἀθηναίους· τοὐναντίον γὰρ πᾶσιν ἐλεεῖν αὐτοὺς ἐπέρχεται [51]) τοῖς μετρίοις· ἀλλ' ὅπως εἰδῆθ', ὅτι τὸ λοιπὸν ὑμῖν [52]) οὐ πρὸς ἐκείνους ἐστὶν ὁ λόγος, ἀλλὰ πρὸς ὑμᾶς αὐτοὺς, καὶ τῶν ἄλλων εἴ τις σωφρονεῖ. καίτοι πάντα, ὅσα ἂν εἴποι τις κατὰ Ἀθηναίων, ἢ κατὰ Λακεδαιμονίων, ἢ καθ' ὧν δήποτε, παρ' οἷς ἀλλά τινα φαύλως ἔχει, καὶ σφόδρα ὀλιγώρως, ἐμοὶ συναγωνιεῖται· τὸ γὰρ τῶν εἰκόνων, οὐκ ἔστι παρ' αὐτοῖς ἰδεῖν οὕτω γιγνόμενον· ὥσθ' ὅ γε μηδὲ παρ' ἐκείνοις ἁμαρτάνεται τοῖς ἐσχάτως [53]) ἀπολωλόσι, πῶς οὐκ ἄν τινα ὑπερβολὴν ἔχοι τῆς ἀτοπίας; ἔτι δὲ μᾶλλον αὐτὰ τὰ περὶ τὰς τιμὰς παρατεθέντα, ἀποδείκνυσι τοῦτο. εἰ γὰρ τὸ τῶν νῦν τινα παραστῆσαι [53b]) τῶν ἀρχαίων τινὶ δοκεῖ δεινόν· πόσῳ δεινότερον, τὸ, οὕτως ἀφελέσθαι

τινὰ

50) ὑπομείναιτε] aut ſic cum interprete, *facile ſuſtineatis*, aut ὑπεμείνατε *ſuſtinuiſtis*. Ven. et Mor. dant ὑπομείνατε.

50b) lectionem vulgatam δημόσιον tuetur Weſſeling ad Diod. Sic. I. p. 624. conf. etiam Ariſtid. II. 44, 5. margo Mor. dat τὸν δήμιον, τὸν δημόκοινον.

51) Ven. et Mor. dant ὑπάρχεται, margo Mor. dat ἐπάρχεται, Anglus ὑπέρχεται. verum vidit Caſaub. corrigens ἐπέρχεται: hoc enim verbum in hac re, non illud, vſurpatur, tametſi ὕπεισι dicitur.

52) ὑμῖν] num ἡμῖν, tametſi agnoſco in vulgata quoque bonum ineſſe ſententiam, hanc nempe: *vos iam nunc oportere, non illos, ſed vosmet ipſos, ſpectare.*

53) ἐσχάτως] ſic recte interpres. ἐσχάτοις Ven. et Mor. latiniſmus eſt τοῖς ἐσχάτως ἀπολωλόσι. *extreme, deſperate perditis.*

53b) margo Mor. dat παραβαλεῖν.

τινὰ ἐκείνων τῆς τιμῆς, ὥστε ἑτέρῳ δοῦναι; καὶ εἰ τὸ ὄνομα ἐπιγράψαι τινὸς ἄλλῳ τῳ 54) πολὺ ἐλάττονι, τηλικαύτην κατάγνωσιν φέρει· τὸ ἐξαλεῖψαι καὶ ἀνελεῖν τὸ τοῦ κρείττονος, ἐὰν οὕτω τύχῃ, ποῖόν τι φαίνεσθαι νομίζετε; καὶ μὴν εἴ τις ὑμᾶς Καυνίοις ἢ Μυνδίοις ὁμοίους εἶναι λέγοι, σφόδρα ὀργιεῖσθε, καὶ βλασφημεῖν αὐτὸν ἡγήσεσθε κατὰ τῆς πόλεως· πῶς ἂν οὖν ἔθ' ὑμῖν ἀπολογίαν τινὰ φέροι, περί τινος τῶν παρ' ὑμῖν, τὸ καὶ παρ' ἐκείνοις αὐτὸ γίγνεσθαι; καθάπερ εἰ καὶ τὰ τείχη τις οἴοιτο δεῖν λῦσαι 55) τὰ παρ' ὑμῖν, ἢ καὶ καταπίπτοντα ἐᾶν, ὅτι καὶ παρ' ἑτέροις πέπτωκε· μᾶλλον δὲ πᾶσι τοῖς ἄλλοις σχεδόν 56). καίτοι τὰ μὲν τείχη, διὰ τὴν εἰρήνην, τὸ δὲ λοιπὸν, οὐκ ἔστι κακίας σημεῖον; τὸ δὲ τοῖς παλαιοῖς τῶν εὐεργετῶν οὕτω προσφέρεσθαι, δι' ἀχαριστίαν γίνεται. φαίην δ' ἂν ἔγωγε παρὰ τούτοις μηδὲ εὐεργέτας ἀδικεῖσθαι. τίς γὰρ παρὰ Καυνίοις γέγονε γενναῖος ἀνήρ; ἢ τίς πώποτε ἐκείνους ἀγαθόν τι πεποίηκεν; οἵ γε δουλεύουσιν οὐχ ὑμῖν μόνοις, ἀλλὰ Ῥωμαίοις, δι' ὑπερβολὴν ἀνοίας καὶ μοχθηρίας, διπλῆν αὐτοῖς τὴν δουλείαν

54) τῳ] encliticum est. τῷ Ven. et Mor.

55) malim καταλῦσαι.

56) σχεδόν. καίτοι τὰ μὲν — κακίας σημεῖον] potest hic locus gemino modo restaurari; altero faciliori, quo etiam Veneta quodammodo ducit, a qua punctum post σχεδὸν abest. corrigamus itaque hac duce: τοῖς ἄλλοις σχεδὸν κεῖται τὰ τείχη, τὸ δὲ λοιπὸν — *imo, vt rectius dicam, caeterorum paene omnium moenia iacent, non tamen ideo sunt improbitatis argumentum.* Aliam viam iniit Casaubonus post εἰρήνην addens καταπίπτοντα ἐᾶν. Est aliquid, sed non satis; nam sic debebat integrari: — εἰρήνην καταπίπτοντα ἐᾶν, αἰσχρὸν μὲν [aut ἐλεεινὸν μὲν], τὸ δὲ λοιπὸν — *quamquam in ista pace atque otio pati moenia dilabi, est id quidem turpe* [aut *miserabile*], *de reliquo tamen non est argumentum vitiosae degenerisque naturae.*

κατασκευάσαντες. ταῦτα δὲ καὶ περὶ ἄλλων τις ἂν εἴποι τῶν ὁμοδόξων. ἐγὼ[57]) δὲ καὶ καθόλου, καίτοι τηλικοῦτον ἐπ' αὐτοῖς φρονοῦντας, ἡλίκον ὑμεῖς δικαίως, οὐ πρὸς ἑτέρους ἀποβλέπειν οἴομαι δεῖν, ἐν οἷς πράττουσιν, ἄλλως[58]) τε τοὺς τοσοῦτον χείρονας· ἀλλὰ πρὸς τὴν ἑαυτῶν δόξαν, καὶ τὸ τῆς πόλεως ἀξίωμα. γελοῖον γὰρ ἂν ἦν, εἰ τῶν ὑμετέρων τις πολιτῶν, Δωριεὺς[59]) ἐκεῖνος, ἢ Λεωνίδας, οὓς τοσαυτάκις φασὶν Ὀλυμπιάσι νικῆσαι, πρὸς ἄλλον τινὰ ὁρῶν ἐγυμνάζετο, καὶ ταῦτά γε, μηδέποτε στεφανωθέντα. τοῖς μέντοι Ἀθηναίοις, ἢ τοῖς Λακεδαιμονίοις, εἰ βούλεσθε ἀντεξετάζεσθαι, συγχωρῶ, τοῖς τότε οὖσιν, ὅτε αὐτοῖς εἰκότως ἄν τις τῶν ὁμοίων ὑμῖν συνεκρίνετο. καὶ γὰρ τὸν ἀθλητὴν τὸν φιλοτιμούμενον ἔτι, καὶ μηδέποτε παραχωροῦντα τῆς ἰσχύος, οὐ τοὺς νοσοῦντας εὔλογόν ἐστι προκαλεῖσθαι, τῶν καθ' αὑτὸν ἐνδόξων, οὐδὲ τοὺς τεθνεῶτας· ἀλλ' εἰ μὲν εἶεν τινὲς ἐῤῥωμένοι, πρὸς ἐκείνους ἀγωνίζεσθαι περὶ τῆς νίκης· εἰ δὲ μὴ, τοιοῦτόν τι πρᾶξαι ζητεῖν, ὃ μηδενὸς αὐτὸν ἀσθενέστερον δείξει τῶν πρότερον· ὁ μὲν οὖν ὑγιὴς οὗτός ἐστι περὶ τῶν τοιούτων λόγος. εἰ δὲ ἄρα παρεῖναί[60]) τι δεῖ, μήτε πρὸς τοὺς τότε, οἳ[61])

ἦσαν

57) malim ἐγὼ δὲ καθόλου πάντας τοὺς τηλικοῦτον ἐφ' ἑαυτοῖς φρ. ἡλ. ὑμεῖς δικαίως, [scil. φρονεῖτε ἐφ' ὑμῖν] *ego vero omnes omnino, qui virtutibus et laudibus suis tantum fidunt atque superbiunt, quantum vos iure meritoque vestro fiditis, existimo oportere, non ad alios, sed ad semet respicere.*

58) ἄλλως] Ven. et Mor. dant ἄλλω.

59) Dorieus floruit Olymp. 87. 88. et 89. Leonidas Olymp. 154, et tribus deinceps proximis. v. Corsini ind. Olympionicarum.

60) παρεῖναι] *remittere de seueritate, rigore, contentione huius disputationis.*

61) οἳ — οἳ] sic recte leg. interpres. *qui.* οἱ — οἱ Ven. et Mor.

ἦσαν κράτιστοι, παραβάλλοντες ἐξετάζετε τὸ πρᾶγμα· μήτε πρὸς τοὺς νῦν, οἳ μηδενὸς τῶν φαυλοτάτων διαφέρουσιν· ἀλλὰ πρὸς τοὺς μέσους αὐτῶν, ἢ καὶ τοὺς ἔτι τούτων ἐλάττονας. παρὰ τοίνυν τοῖς Ἀθηναίοις κατὰ Φίλιππον, μάλιστα δ' ὅτε 62) τῆς ἡγεμονίας παρακεχωρήκασι, τῆς δ' ἐλευθερίας μόνης λοιπὸν ἀντείχοντο 63), Λεπτίνης τις εἰσήνεγκε νόμον, ὡς χρῆν τὰς ἀτελείας ἀφελέσθαι τοὺς ἔχοντας παρὰ τοῦ δήμου· δίχα τῶν ἀφ' Ἁρμοδίου 64) καὶ Ἀριστογείτονος, καὶ μηκέτι τολοιπὸν ἐξεῖναι διδόναι μηδενὶ τὴν δωρεὰν ταύτην. τί οὖν; ἔσθ' ὅπως 65) παρεδέξαντο τὸν νόμον; οὐμενοῦν, ἀλλ' ἑάλω γραφῆς 66). φέρε τοίνυν σύμβαλε 67) τοῦτο τὸ ἔθος ἐκείνῳ τῷ νόμῳ, κἂν μὲν ὑμῖν κατά τι φαίνηται 68), φυλάξατε αὐτὸ, καὶ ποιήσατε ἰσχυρότερον πρὸς τὸ λοιπόν· ὅπερ ἐξ ἀνάγκης γένοιτ' ἂν, εἰ μὴ λυθήσεται νῦν. ἐὰν δὲ πανταχῇ σκοπούμενον,

62) malim κατὰ Φίλιππον μάλιστα, *circa Philippi aetatem ferme*, ὅτε (sine δ') *quum* —

63) ἀντείχοντο. v. ad h. l. orationem Demosthenis contra Leptinem. ἀντήχοντο Ven. et Mor.

64) Ἁρμοδίου] sic etiam interpres. ἁρμουδίου Ven. et Mor.

65) τί οὖν; *quid tum? quid ergo? quid ais? quid euenit?* ἔσθ' ὅπως παρεδ. recte interpres h. l. accepit, sed Ven. et t. Mor. dant τί οὖν ἔσθ' ὅπως, παρεδ.

66) imo vero ἀλλ' ἑάλω παρανόμων γραφῆς. *sed damnata est illa lex et repudiata, caussa ipsi dicta ex titulo* παρανόμων, *seu aliarum legum vetustiorum ab illa noua lege violatarum et euersarum.*

67) malim συμβάλλετε.

68) post φαίνηται deesse videtur προσεοικέναι, vel simile quid. Sententia haec est: *si vobis videbitur hic mos vester legi Leptinis* (*non dicam melior, sed solummodo*) *quadamtenus similis esse, tum seruate illum, et confirmate.* Casaubonus hic lapsus est. Ven. et Mor. dant φαίνητε.

μενον 69), χεῖρον εὑρίσκηται 70), μιμήσασθε τοὺς κατ' ἐκεῖνον τὸν χρόνον Ἀθηναίους, καὶ τὸ μᾶλλον ἄτοπον τοῦ τότε 71) λυθέντος ὑπ' ἐκείνων, καὶ ὑμεῖς νῦν λύσατε. τὸ μὲν οὖν ψευδῆ τὴν πόλιν δεικνύναι, καὶ περὶ τὰς δωρεὰς ἄπιστον, καὶ τὸ τοὺς εὐεργέτας ἀδικεῖν, ἀφαιρουμένην αὐτῶν τὰς ἀμοιβάς, καὶ πάντα τὰ τοιαῦτα, ἐπίσης κοινὰ ἀμφοτέροις πρόσεστιν· ἀλλ' ἐκεῖ μὲν οὐκ ἦν μηδὲν ὠφελῆσαι 72) τοὺς τὴν ἀτέλειαν ἐσχηκότας· ἃ γὰρ ἐκτήσαντο ἐκ τῆς ἀφέσεως 73), εἰς ἅπαντα αὐτοῖς ἔμενε τὸν ἄλλον χρόνον, καὶ ἔμελλον εὐπορώτεροι δι' αὐτὴν ἔσεσθαι. τοῖς δέ γε τῆς εἰκόνος ἀφαιρεθεῖσιν, ἐκ τοῦ τετιμῆσθαι πρότερον, οὐδ' ὁτιοῦν περίεστι, δίχα γε τῆς ὕβρεως καὶ ἀτιμίας. πρὸς τούτῳ δὲ ὁ μὲν τιθεὶς τότε τὸν νόμον ἐστὶν ὧν κατηγόρει τῶν τὴν ἀτέλειαν εἰληφότων, καὶ πονηροὺς ἀπέφαινε τοὺς πλείους, οὐ μόνον οὐκ ἀξίους χάριτος 74)· ὥστε τοῦτ' εἶναι τὸ δεινόν, ὅτι μὴ πᾶσιν ἐγκαλῶν, πάντας ἀπεστέρει τῆς δωρεᾶς. ἐνθάδε δὲ οὐδέν ἐστι τοῖς ἀφελομένοις εἰπεῖν τι κατ' ἐκείνων· οὓς γὰρ μηδ' ἴσασι, φασὶ 75), πῶς αὐτοὺς αἰτιᾶσθαι δυνατόν; ἔτι δὲ ὁ μὲν νόμος ἐξαιρέτους τινὰς

νὰς

69) σκοπούμενοι in nominat. plurali.

70) imo vero εὑρίσκητε. *inueniatis.*

71) τοῦ τότε etiam interpres reddidit. τοῦτό τε Ven. et Mor.

72) lego ὀφλῆσαι, ab ὀφλισκάνειν. *ibi quidem nil erat, quod deberent, non contumeliam, non risum, non damnum, non contemtum ex ea re, si priuarentur immunitate, cuius fructus adhuc percepissent.*

73) ἀφέσεως] appellat hic ἄφεσιν, scil. τῶν τελῶν, quae alias est ἀτέλεια.

74) nil culpo, melius tamen verba sic struxisset: καὶ οὐ μόνον οὐκ ἀξίους χάριτος, ἀλλὰ καὶ πονηροὺς ἀπέφαινε τοὺς πλείους.

75) φασὶ] id est ὡς φασί. scio sic accipi posse; malim tamen ἴσασιν, ὡς αὐτοί φασι, aut ἴσασι, καθάπερ αὐτοί φασι.

νὰς ἐποίει, τοὺς τὰ μέγιστα δοκοῦντας εὐεργετηκέναι τὴν πόλιν, τοὺς ἀφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος· ἐνθάδε δὲ οὐδέν ἐστιν ἐξαίρετον. τῷ γὰρ ἀγράφως τὸ πρᾶγμα γίνεσθαι, καὶ μήτε κατὰ νόμον, μήτε κατὰ ψήφισμα, περὶ οὐδενὸς ὅλως ἀπείρηται· καὶ ἐπὶ παντὶ συμβῆναι δυνατόν ἐστιν, ἐφ' ὅτῳ ποτὲ ἂν δόξῃ τῷ στρατηγῷ. καὶ μὴν ὅ γε νόμος δεινὸν ἐδόκει ποιεῖν, ἀφαιρούμενος τοῦ δήμου τὴν ἐξουσίαν· ὥστε μηδὲ τὸ λοιπὸν ἐξεῖναι ψηφίσασθαι τὴν δωρεὰν ταύτην. καὶ πόσῳ [76]) κρεῖττον τὴν ἀρχὴν κωλῦσαι τι διδόναι τὸν δῆμον, εἰ μὴ συνέφερε τῇ πόλει, καταλιπόντα [77]) τὸ χαρίζεσθαι, τοῦ ἀφαιρεῖσθαι ταῦτα ἐφ' ἑνὶ ποιήσασθαι; αἰσχροῦ γὰρ ὄντος, ὡς οὐδ' ἂν εἷς ἀντείποι, τοῦ ἀφαιρεῖσθαι τοὺς λαβόντας τι· κατὰ μὲν τὸν νόμον τοῦτο [78]) ἅπαξ ἐγίνετο, κατὰ δὲ τὸ ἔθος ἀεὶ συμβαίνει. καὶ μὴν εἰ δοκεῖ δυσχερὲς τὸ ἀφαιρεῖσθαί τινος ἐξουσίας [79]) τὴν πόλιν, καὶ ὑμεῖς ἀφαιρεῖσθε [80]) τὴν ἐξουσίαν, τοῦ [81]) φυλάττειν βέβαια τὰ δοθέντα τοῖς λαβοῦσιν. ὅτῳ γὰρ ἂν ὑμεῖς δῶτε τὴν τιμὴν, οὐκ ἔτ' ἔστ' ἐφ' ὑμῖν τὸ ἐᾶν ἔχειν αὐτήν· ἀλλ' εἷς ἀνὴρ ἀεὶ τούτου κύριος, ὁ στρατηγῶν. καίτοι χεῖρόν ἐστι τὸ, ἔθει μὴ ἐφ' ὑμῖν εἶναι [82]), τοῦ κατὰ νόμον κεκωλυμένου.

76) malim καίτοι πόσῳ.

77) probo Angli ἢ καταλιπόντα, et eiusdem τὸ ἀφαιρεῖσθαι, nisi malumus τὴν ἐξουσίαν τοῦ ἀφαιρεῖσθαι. *quanto erat satius — quam facultatem eiusmodi priuilegia rursus eripiendi vnius viri arbitrio permittere.*

78) τοῦτο] sic recte Ven. τοῦτον Mor.

79) Casaubonus vult τινὸς ἐξουσίαν. de τινὸς assentior: de altero adhuc dubito; possit enim vulgatum ἐξουσίας facile defendi, vt sit gen. sing. Ven. et Mor. dant τινας.

80) ἀφαιρεῖσθε] scil. τὴν πόλιν; nisi malumus legere καὶ ὑμεῖς ὑμᾶς ἀφαιρεῖσθε. *vos vobismet ipsi negatis* vel *eripitis facultatem.*

81) τοῦ φυλάττειν] sic recte Casaub. τὸ φυλ. Ven. et Mor.

82) aut ὂν est leg. pro εἶναι, aut κεκωλῦσθαι pro κεκωλυμένου.

μένου. οἱ μὲν γὰρ οὐκ ἀφῄρηνται τὴν ἐξουσίαν τούτου τρόπον τινὰ, ὃ πράττειν ἑαυτοὺς νόμῳ κεκωλύκασιν· ἀλλ᾽ ἀπέστησαν ἑκόντες διὰ τὸ συμφέρον. ἐπὶ δὲ τοῦ ἔθους, οὐδὲ τοῦτό ἐστιν εἰπεῖν, ὅτι αὐτοὺς περ ἄρα [83]) ἀφῄρηνται τοῦθ᾽ ὑπὲρ οὗ μήτε ἔκριναν, μήτε ἐβουλεύσαντο. καὶ μὴν ἐκεῖ γε παραμυθίαν τινὰ ἔσχον, τὸ τοῦ πράγματος ἴσον καὶ κοινὸν, ἁπάντων ὁμοίως ἀφαιρουμένων τὰς ἀτελείας. παρ᾽ ὑμῖν δὲ ὃς ἂν τύχῃ, τῆς εἰκόνος ἀφῄρηται, καὶ πολλάκις βελτίων. ἔτι δὲ ἐκεῖ μὲν, οὐχ ἵνα ἄλλος λάβῃ, τὸν ἔχοντα ἀφῃρεῖτο ὁ νόμος· παρ᾽ ὑμῖν δὲ τούτου χάριν γίνεται, ὃ τῷ παντὶ λυπηρότερόν ἐστι, τοῦ μόνον ἀποστερεῖσθαι. καὶ μὴν ἐκεῖνό γε οὐδ᾽ ἀγνοεῖτε δήπουθεν, ὅσῳ δοκεῖ χαλεπώτερον τὸ δι᾽ ἄλλον τι πάσχειν, τοῦ δι᾽ αὐτόν. οὐκοῦν ἐκ μὲν τοῦ νόμου συνέβαινεν, ἵνα μή τινες ἔχωσι τὰς ἀτελείας, περὶ ὧν, ὡς ἀναξίων, ἔλεγεν [84]) ἀποδοῦναι τοὺς λοιπούς· ἐκ δὲ τοῦ παρ᾽ ὑμῖν ἔθους, ἵν᾽ ἄλλοι λάβωσι, τοὺς ἔχοντας ἀποστερεῖσθαι γίνεται. τῷ παντὶ δὲ τοῦτο τοῖς πάσχουσι βαρύτερον. εἰ τοίνυν ἐφ᾽ ὧν μάλιστα ἀναγκαῖόν ἐστιν, ἐπὶ τούτων βούλοιτό τις ἰδεῖν, τίνας ἀδικεῖ τοῦτο τὸ ἔθος, καὶ τίνας ἔμελλε λυπήσειν ἐκεῖνος ὁ νόμος, ἀφελὼν [85]) τοὺς μὴ μόνον ἔχοντας ἀτέλειαν, ἀλλὰ καὶ τοὺς [86]) εἰκό-

83) *αὐτοὺς περ ἄρα ἀφῄρ.*] quid *περ* et *ἄρα* hic ſibi velint, non video. ſuſpicor leg. eſſe *αὐτοὺς γέρας ἀφῄρηνται.* *ipſi ſibi decus* [h. e. h. l. *δίκαιον ius*, *praerogatiuam*] *detraxerunt.*

84) *ἔλεγεν*] ſcil. *ὁ νόμος.* *lex praecipiebat reliquis, reddere immunitates.*

85) *ἀφελὼν* non redit ad proximum *νόμος*, ſed ad ſuperius *τις.* *ſi quis conſiderare velit rem, poſtquam e ratione ſemouiſſet* — ſeu *excluſis* —

86) *τοὺς* aut plane eſt delendum, aut certe cum *τῆς* mutandum. ſed prius malim. *τοὺς* ſi hic relinqueretur, eſſet *gaudentes immunitate a gaudentibus ſtatua ſeparaturum*, tanquam duo diuerſa hominum genera. ſed *οἱ ἔχοντες* τὴν

εἰκόνος τετυχηκότας· οὕτω σκοπείτω τοὺς λοιποὺς 87) ἑκατέρων. οὗτοι μὲν γὰρ, τρόπον τινὰ, οὐδὲ ἔπασχον οὐδέν· ὃ γὰρ εἰλήφεισαν ἐν προσθήκης μέρει, τοῦτο ἀπώλλυον, τῆς μείζονος δωρεᾶς αὐτοῖς τηρουμένης. ἐπὶ δὲ τῶν ἄλλων ἴσως ἂν γένοιτο ὁ λόγος· ἀλλ᾽ ἔστι μὲν δῆλον καὶ αὐτόθεν, οἶμαι, τὸ πρᾶγμα. ὅσω γὰρ τὸ τῆς εἰκόνος μεῖζον ἢ 88) τὸ τῆς ἀτελείας, τοσούτῳ κρείττονες οἱ τούτου τετυχηκότες. ἔτι

τὴν ἀτέλειαν, et οἱ εἰκόνος τετυχηκότες sunt eadem hominum classis, seu iidem homines.

87) τοὺς λοιποὺς bene habet. non miror tamen Casaubono id obscurum fuisse visum; locus enim hic est paulo subtilior, quem bene vt capias, aliqua mentis contentione vtendum sit. Sententia haec est: *ablatis et a comparatione exclusis illis Atheniensium, qui simul et immunitate et honore statuae gauisi essent, solos illos inter se comparato, qui reliqui supersunt, scil. Atheniensium illos, qui solam immunitatem, et Rhodiorum, qui statuam; et tum video, vtri horum per harum rerum ereptionem maiorem iniuriam accipiant; vtrum Athenienses immunitate priuati, an Rhodii statua. Nam* οὗτοι *hi quidem, Athenienses puta, simul honore statuae atque immunitatis emolumento gaudentes, tametsi omitterent id, quod minus erat, atque velut appendix honoris, tamen id, quod maius erat, et velut corpus honoris, statuam, retinebant; quapropter eos in hanc rationem venire non decet. Reliquorum autem (Atheniensium puta immunitate, et Rhodiorum statua priuatorum)* λόγος, h. e. *comparatio et inter se collatio forsitan locum habeat atque institui possit. Verum enim vero conclusio ex eiusmodi collatione si suscepta fuerit, exsistens quae sit, tametsi vel vltro, me tacente, patet, (haec nempe, Rhodios statua priuatos maiorem pati iniuriam, quam Athenienses immunitate priuatos; maior enim est honor statuae, quam immunitatis) tamen addam adhuc hoc, vnde vel magis adhuc huius rei veritas elucescat.* — Libuit loci huius paulo difficilioris interpretationem nonnihil liberiorem hic proponere, quo minus in posterum in eo erraretur.

88) ἢ] sic recte Casaub. καὶ Ven. et Mor.

ἔτι[89]) δ' ἂν οὕτως γένοιτό γε ὁ λόγος (ἀλλ' ἔστι μὲν δῆλον καὶ αὐτόθεν, οἶμαι, τὸ πρᾶγμα) φανερώτερος. ἡ μὲν γὰρ ἀτέλεια τοὺς λαβόντας εὐπορωτέρους ποιεῖ, καὶ οὗτοι μάλιστα ἐπιθυμοῦσιν αὐτῆς, οἵτινες ἂν ὦσι περὶ χρήματα ἐσπουδακότες· ἡ δὲ εἰκὼν τὸ σεμνὸν μόνον ἔχει καὶ τὸ τῆς τιμῆς. ὅσῳ δὴ πάντες εἴποιμεν ἂν κρείττους τοὺς προῖκα καὶ δόξης μᾶλλον ἕνεκεν αἱρουμένους εὖ τινας ποιεῖν, τῶν ἐπ' ἀργυρίῳ καὶ διὰ κέρδος· τοσούτῳ φαίην ἂν ἔγωγε, οὐ μόνον ἀμείνους ἀνθρώπους ἀδικεῖν τοῦτο τὸ ἔθος, ἀλλὰ καὶ ὑπὸ βελτιόνων ὑμᾶς κωλύειν εὖ πάσχειν, ἧπερ ἐκείνους[90]) ὁ νόμος[91]). ἀλλ' ἔγωγε ἀπορῶ, τί δήποτε οὐχὶ καὶ νόμον τίθεσθε ἐπὶ τούτῳ, καθ' ὃν[92]) ἔσται τὸ λοιπὸν εἴπερ ὑμῖν ἀρέσκει. νὴ Δί', αἰσχύνην γὰρ οὐ μικρὰν ἔχει νόμος τοιοῦτος ἐν τῇ πόλει κείμενος. εἶτα ὃ γράφειν αἰσχρὸν ἡγεῖσθε, τοῦτο ποιεῖν οὐκ αἰσχρόν ἐστι; καὶ πόσῳ κρεῖττον μὴ χρῆσθαί τισι τῶν φαύλως γεγραμμένων, ἢ ποιεῖν[93]); ἢ ποτέρους ἂν εἴποις βελτίους; τοὺς οὕτως ἔχοντας πρὸς τὰ ἄτοπα, ὥστε ἀπέχεσθαι καὶ δεδομένων, ἢ τοὺς οὐ συγκεχωρημένα πράττοντας; ἀλλ' ἔγωγε φαίην ἂν, ὁμολογου-

89) In Aldina est lacuna hic loci; desunt enim ὅσῳ γὰρ τὸ τῆς εἰκόνος μεῖζον — οἶμαι, τὸ πρᾶγμα. bene quidem fecit Morellus, quod illa e suis codicibus addidit. sed cur e superioribus repetita rursus ingessit? lege, eiectis illis, quae perperam iterata sunt, locum sic: ἔτι δ' ἂν οὕτως γένοιτό γε ὁ λόγος φανερώτερος.

90) ἐκείνους] illos, Athenienses puta. Casaubonus mauult ἐκεῖνος, non male id quidem, non tamen valde necessarium, me quidem iudice.

91) ὁ νόμος] subaudi Leptinis, aut de qua nunc agitur.

92) post καθ' ὃν videtur νόμιμον, vel ἰσχυρὸν, vel tale quid deesse. *qua lege legitimum et validum atque ratum hoc fiet.*

93) f. ἢ φαῦλόν τι μὴ γεγραμμένον ποιεῖν. *quam facere aliquid turpe, lege non imperatum.* Casaubonus vult ἢ μὴ γεγραμμένον ποιεῖν.

λογουμένου τοῦ μηδαμῶς δεῖν μηδὲν ἄδικον πράττειν, μηδὲ ἀπρεπές· παρ' οἷς ἂν νόμῳ γίνεται τὸ τοιοῦτον, ἧττον [94]) ἂν ἔχειν κατηγορίαν, ἢ παρ' οἷς ἂν κατὰ ἔθος. πρῶτον μὲν γὰρ, ὁ νόμος ῥητός [95]) ἐστι, καὶ οὐκ ἄν [96]) ποτε γένοιτο χείρων· οὐ γάρ ἐστιν οὔτε ἀφελεῖν, οὔτε προσθεῖναι τοῖς γεγραμμένοις· τὸ δέ γε ἔθος, ἂν ᾖ φαῦλον, ἀνάγκη καὶ φαυλότερον ἀεὶ γίγνεσθαι, τῷ μὴ κατειλῆφθαι, μηδὲ ὡρίσθαι. λέγω δ' οἷον εὐθὺς [97]) τοῦτο φασὶ τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν συντετριμμένων, καὶ οὐδὲ ἐφεστώτων ἐπὶ [98]) ταῖς βάσεσι· τούτοις γὰρ ἀποχρῆσθαι τοὺς στρατηγοὺς ἐπισκευάζοντας, καὶ τρόπον τινὰ ἐξ ἀρχῆς ποιοῦντας ἑτέρους. εἶθ' ὅπερ λοιπὸν, τοὺς ὑγιεῖς μὲν, οὐκ ἔχοντας δὲ ἐπιγραφὰς, ἐπιγράφεσθαι· καὶ τὸ λοιπὸν, ἤδη καὶ τῶν ἐπιγεγραμμένων τινὰς τῶν σφόδρα παλαιῶν. ἔστω γὰρ, ὃ λέγουσιν, ἀληθές. ὡς [99]) ὕστερον ἀνάγκη μηδεμίαν εἶναι διάκρισιν· καὶ γὰρ ἐπὶ τῶν ἄλλων οὕτως ἔχει, δαπάνης, ἀκοσμίας, τρυφῆς. οὐδέποτε τῶν χειρόνων ἐθῶν οὐθὲν εὑρήσετε ἱστάμενον, οὐδὲ διαμένον, ἕως ἂν παντάπασι κωλυθῇ. διὰ γὰρ τὸ δέχεσθαι πρόσθεσιν ἀεὶ, καὶ τὸ παρὰ μικρὸν [100]) ἀνεξέλεγκτον εἶναι, καὶ μηδενὶ φαίνεσθαι ῥᾳδίως, ὅσῳ τοῦτο ἐκείνου κάκιον, ἐπὶ πᾶν πρόεισιν. ὥσπερ, οἶμαι, καὶ τῶν ἑλκῶν τινα καὶ τῶν νοσημάτων,

94) malim ἧττον' cum apostropho.
95) ῥητός] res rata, constans, verbis comprehensa certae significationis atque definitae.
96) καὶ οὐκ ἂν] sic recte Ven. sed Mor. omittit καὶ.
97) λέγω δ' οἷον εὐθὺς] *vt rem, vel mentem meam, declarem exemplo, non longe, sed ex ipsa media re praesente petito.*
98) ἐπὶ] malim ἔτι.
99) ὡς pro ὥστε. *quo fit, vt necesse sit.*
100) τὸ παρὰ μικρὸν] eo quod paruae illae accessiones, quibus vitium paullatim per minuta incrementa inualescit atque increbrescit, neque facile agnoscuntur, cernuntur, neque compescuntur et reprimuntur.

μάτων, ὅσα ἐξάπαντος αὔξεσθαι φύσιν ἔχει. πρὸς τούτῳ [1]) δὲ, κἀκεῖνό ἐστιν, οἱ μὲν νόμῳ τι πράττοντες τῶν πονηρῶν, οὐχ ὡς τοιοῦτον αὐτὸ πράττουσιν, ἀλλὰ ἐξηπατημένοι· τοὺς δὲ ἔθει φαῦλα ποιοῦντας, ἅπαντες ἂν φαῖεν εἰδότας ἁμαρτάνειν, ἅ γε μηδ' αὐτοῖς ἐπιτήδεια εἶναι γεγράφθαι δοκεῖ. μὴ τοίνυν εἰ πρότερον ἤρξατο καὶ χρόνος πλέων [2]) γέγονε, διὰ τοῦτο ἔλαττον [3]) ὑμῖν νομίζητε προσήκειν αὐτῶν ἀμελεῖν. οὐδὲν γὰρ ἧττον αἰσχύνην ὄφλουσιν οἱ φυλάττοντες τὰ τοιαῦτα, τῶν παραδεξαμένων [3b])· ἀλλὰ τοὐναντίον μᾶλλον. τὸ γὰρ [4]) πρῶτον γινόμενον οὐδὲ λαθεῖν ἀδύνατον τοὺς τότε, καὶ ταῦτα [5]) φυλαττομένων ἔτι τῶν ποιούντων· τὸ δὲ ἐκ πολλῶν συμβαῖνον ἀνάγκη μηδένα ἀγνοεῖν, ἄλλως τε παντελῶς ἀνῃρημένης ὑμῶν [6]) τῆς προφάσεως ταύτης, οἵ γε περὶ αὐτοῦ τούτου κάθησθε [7]) κρίνοντες. ὥσπερ οὖν εἰ καὶ ἄρξασθαί τινες ἔδει τῶν καλῶν ὑμᾶς, οὐκ ἂν ὀκνεῖτε [8]), διὰ τοῦτο ὁμοίως εὐλόγως ἔχει, κἂν λῦσαί τι τῶν φαύλων δέῃ. μὴ τοίνυν ὁ χρόνος ὠφελείτω τὸ ἔθος, εἴπερ ἐστὶ μοχθηρόν· ὡς πάλαι νομίζω πεποιηκέναι φανερόν. οὐ γὰρ εἰ πολὺν χρόνον ἔβλαψεν ὑμᾶς, διὰ τοῦτο οἶμαι προσήκειν αὐτῷ, μηδέ-

1) πρὸς τούτῳ] *praeterea.* πρὸς τοῦτο Ven. et Mor.

2) πλέων] sic recte Ven. tametsi malim πλείων ἐγγέγονε. Mor. dat. πλέον.

3) ἔλαττον] imo vero μᾶλλον.

3b) παραδεδωκότων margo Mor.

4) μᾶλλον. τὸ γὰρ πρ.] sic Casaub. Ven. et Mor. omittunt τὸ γάρ. malim τὸ μὲν γάρ.

5) bene habet vulgata. lapsus hic est Casaubonus, οὐ post ταῦτα intrudens, quod sententiam inuertit. Anglus quoque atrocius ideo in eum inuectus est.

6) malim ἐφ' ὑμῖν *in vobis, apud vos, in hac vestra causa*; et sic Anglus quoque.

7) κάθησθε] Ven. et Mor. dant κάθισθε.

8) malim ὠκνεῖτε. *nil sitis cunctaturi.*

μηδέποτε παύσασθαι βλάπτων 9). οὐδὲ γὰρ ἄνδρα μοχθηρὸν ἐκ πολλοῦ λαβόντες, ἀφήσετε τοῦ χρόνου χάριν, ὃν διῆλθε πονηρὸς ὤν. οὐδέ γε εἴ τις νόσον ἰάσασθαι δύναιτο ἐνοχλοῦσαν πάλαι, φείδοιτ' ἂν 10) ἐξ ἀρχῆς ὑγιαίνειν. οἶμαι δ' ὑμᾶς, εἴ τις θεῶν φανερὸν ποιήσειεν ὑμῖν τὸ μέλλον αὖθις ποτὲ λυπήσειν τὴν πόλιν, πάντως φυλάξεσθαι τοῦτο, τὸ ἐν ὑμῖν γε ὄν 11)· εἶτα τοῦ μὲν ἑτέρους βλάψοντος οὐκ ἀμελήσετε, ἐπειδὴ μετὰ ταῦτά ἐστι 12)· τὸ δὲ ὑμᾶς αὐτοὺς τὰ μέγιστα ἀδικοῦν ἐάσετε, εἰ πρότερον ἤρξατο; τουτὶ μὲν οὖν παντελῶς εὔηθες, εἴ τις οἴεται μηδέποτε δεῖν κωλῦσαι τὸ συνήθως μὲν, ἀτόπως δὲ γινόμενον. ἀξιῶ δ' ὑμᾶς, ἐκεῖνο ἐνθυμηθῆναι μᾶλλον, ὅτι, πολλῶν ὄντων κατὰ τὴν πόλιν, ἐφ' οἷς ἅπασιν εὐλόγως σεμνύνεσθε, πρῶτον μὲν τῶν νόμων, καὶ τῆς εὐταξίας τῆς περὶ τὴν πολιτείαν, ἐφ' οἷς καὶ μάλιστα φιλοτιμεῖσθε· ἔπειτα, οἶμαι, καὶ τῶν τοιούτων, ἱερῶν, θεάτρων, νεωρίων, τειχῶν, λιμένων· ὧν τὰ μὲν 13) πλοῦτον ἐμφαίνει καὶ μεγαλοψυχίαν, καὶ τὸ μέγεθος τῆς πρότερον δυνάμεως· τὰ δὲ καὶ τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν· οὐδενὸς ἧττον ἥδεσθε ἐπὶ τῷ πλήθει τῶν ἀνδριάντων. εἰκότως. οὐ γὰρ μόνον κόσμον φέρει τὸ τοιοῦτον, ὥσπερ ἄλλο τι τῶν ἀναθημάτων, ἀλλὰ καὶ τὴν ἰσχὺν τῆς πόλεως οὐχ ἥκιστα ἐπιδείκνυσι καὶ τὸ ἦθος. οὔτε γὰρ εὖ πάσχουσιν ὑπὸ πολλῶν οἱ τυχόντες, οὔτε θέλουσιν 14),

9) imo vero βλάπτον. redit enim ad ἔθος.

10) φείδοιτ' ἂν] Ven. et Mor dant φείδει τ' ἄν.

11) τοῦτο, τὸ ἐν ὑμῖν γε ὄν. *pro virili quidem vestra.* Ven. et Mor. omittunt τὸ.

12) l. ἔσται.

13) recte emendat Anglus ὧν τὰ μέν. Mor. omittit ὧν, et Ven. dat τὴν μέν.

14) θέλουσιν] scil. οἱ τυχόντες. *neque volunt homines de trivio, neque possunt multos honorare.*

οὔτε ἴσως δύνανται πολλοὺς τιμᾶν. ἔτι δὲ κἀκεῖνό ἐστιν 15). οὐ γὰρ μόνον διὰ τὸ πλείστους εἶναι παρ' ὑμῖν ἀνδριάντας, τοῦτο 16) συμβέβηκεν· ἀλλ', οἶμαι, καὶ διὰ τὸ Ῥωμαίους πολλάκις πανταχόθεν εἰληφότας κατασκευὴν ἱερῶν καὶ βασιλείων, μηδέποτε κινῆσαι τῶν παρ' ὑμῖν μηδέν· ὅπου καὶ Νέρων, τοιαύτην 17) ἐπιθυμίαν καὶ σπουδὴν περὶ τοῦτο 18) ἔχων, ὥστε μηδὲ τῶν ἐξ Ὀλυμπίας ἀποσχέσθαι, μηδὲ τῶν ἐκ Δελφῶν· καίτοι πάντων μάλιστα τιμήσας ταῦτα τὰ 19) ἱερά· ἔτι δὲ τοὺς πλείστους τῶν ἐκ τῆς ἀκροπόλεως Ἀθήνηθεν μετενεγκὼν 20), καὶ τῶν ἐκ Περγάμου 21) πολλούς, αὐτῷ προσήκοντος ἐκείνου τοῦ τεμένους· (περὶ μὲν γὰρ τῶν παρ' ἄλλοις τί δεῖ λέγειν;) τοὺς παρὰ μόνοις ὑμῖν εἴασε· καὶ τοσαύτην ἐπεδείξατο εὔνοιαν καὶ τιμὴν ἅμα πρὸς ὑμᾶς, ὥστε τὴν πόλιν ἅπασαν ἱερωτέραν κρῖναι, τῶν πρώτων ἱερῶν. ἴστε 22) γάρ, ἃ Κράτων ἧκε, μόνον τὴν οἰκου-

μένην

15) ἔτι δὲ κἀκεῖνό ἐστιν] nescio, quid sibi velit hoc ἐστιν. quare malim aut abesse, aut sic legi: ἔτι δὲ κἀκεῖνο τοῦ παντὸς λόγου ἄξιόν ἐστιν *praeterea hoc quoque diligenter a vobis animo agitari par est.* vel et, ἔτι δὲ κἀκεῖνο ὁρᾶτε ὁποῖόν ἐστιν. *praeterea videte, quale hoc sit, quod nunc dicam.*

16) τοῦτο] scil. τὸ ἥδεσθαι ὑμᾶς ἐπὶ τῷ πλήθει τῶν παρ' ὑμῖν ἀνδριάντων. v. p. 643, 5. a fin.

17) τοιαύτην] num τοσαύτην, sed parum refert.

18) τοῦτο] scil. τὸ πλείστους ἀνδριάντας ἔχειν.

19) τὰ] sic quoque interpres reddidit. πάντα Ven. et Mor.

20) μετενεγκὼν] redit ad Νέρων. Ven. et Mor. dant μετενεγκεῖν.

21) velim mihi indicari, qui templum Aesculapii Pergamenum ad Neronem pertinuerit, quo titulo, aut qua cognatione.

22) ἴστε γὰρ —] infeliciter in hoc loco sanando versatus est Casaubonus; felicius Lipsius ad Taciti Annales XV. 45. et Valesius ad Dionem Cassium p. 1034. b. ed. Reimar. et in Emend. p. 59. qui sic emendat: ἴστε γὰρ Ἄκρατον ἐκεῖνον, ὃς τὴν —

μένην σχεδὸν ἅπασαν περιελθὼν τούτου χάριν [23]), καὶ μηδὲ κώμην παρεὶς μηδεμίαν, ὡς κἀνθάδε ἧκε. λυπουμένων δ᾽ ὑμῶν, ὅπερ εἰκὸς, κατὰ θέαν ἔφη παρεῖναι· μηδὲ γὰρ ἔχειν ἐξουσίαν μηδενὸς ἅψασθαι τῶν ἐνθάδε. τοιγαροῦν δίχα τοῦ κοινοῦ τῆς ὄψεως κόσμου, καὶ δόξαν ὑμῖν ἑτέραν [24]) περιποιεῖ τὸ τῶν εἰκόνων πλῆθος. τῆς γὰρ πρὸς τοὺς ἡγεμόνας φιλίας, καὶ τῆς παρ᾽ ἐκείνω [25]) ἐντροπῆς, ἀπόδειξις φαίνεται ταῦτα. εἶτα Ῥωμαῖοι μὲν καὶ Νέρων οὕτω τὰ παρ᾽ ὑμῖν ἐτήρησαν, καὶ σεμνὰ ἔκριναν· ὑμεῖς δὲ οὐ φυλάξετε; καὶ Νέρων μὲν, ὁ τῶν βασιλέων σφοδρότατος, καὶ πλεῖστον αὐτῷ διδοὺς, καὶ πρὸς ἅπασαν ἐξουσίαν [26]) πάντ᾽ ἐλάττω νενομικὼς, οὐδενὸς ἀφείλετο τὴν εἰκόνα τῶν παρὰ μόνοις Ῥοδίοις τιμηθέντων· αὐτοὶ δὲ ὑμεῖς ἀφαιρεῖσθε; καὶ πόσῳ κρεῖττον ἦν κἀνθένδε [27]) ταυτὸν γεγονέναι; παρὰ μὲν γὰρ τοῖς ἄλλοις μένει τὰ τῶν τιμηθέντων ὀνόματα, καὶ τὰς ἐπιγραφὰς οὐδεὶς ἂν ἀπαλείψειεν· ὑμεῖς δ᾽ ὥσπερ τι κακὸν πεπονθότες ὑπ᾽ αὐτῶν, ἐκχαράττετε. καίτοι φαίη τις ἂν, εἰ καὶ παρὰ τῶν βασιλέων ἀνῃροῦντο, μηδὲ οὕτως ἀδικεῖσθαι τοὺς ἄνδρας. οὐ γὰρ ὡς δώσοντες ἑτέροις, ἀλλὰ κόσμου δεόμενοι μετέφερον, ὥστ᾽ οὐδεὶς ἂν αὐτῶν ἀφῄρει τὸ ὄνομα. οὐδ᾽ αὖ χεῖρον ἀπήλλαττον, ἀντὶ Μεγάρων καὶ Ἐπιδαύρου

23) τούτου χάριν] vt omnia templa compilaret, et deorum ſigna vndique auferret.

24) ἑτέραν] ſuſpectum. num παρ᾽ ἑτέροις?

25) παρ᾽ ἐκείνων. *reuerentiae, qua vos illi proſequuntur, imperatores puta Romani, et praefecti reliquique viri Romanorum principes.*

26) ſententia eſt: *tametſi Nero ſumma poteſtate ad infinitam abuteretur licentiam, quae ſibi nihil non arrogaret, nihil non permitteret; tamen vel ſic ſuae dominandi libidini ſatisfactum non exiſtimabat.*

27) malim κἀνθάδε. *etiam hic idem factum eſſe, atque iam nunc dicam apud alios eſſe factum.*

δαύρου καὶ τῆς Ἀνδρίων ἢ Μυκηναίων ἀγορᾶς, ἐν τοῖς Ῥωμαίων ἱεροῖς ἀνακείμενοι. ταῦτα, φῇ τις, βέλτιον 28), ἤ, τό γε καθ' ὑμᾶς, οὕτως αὐτῶν ἠφανίσθαι τὰς τιμάς. οὐδὲν γὰρ ὑπῆρχεν ἁμάρτημα ὑμέτερον, οὐδ' αὐτοὶ τοὺς εὐεργέτας αὐτοὺς 29) ἑαυτῶν ἠδικεῖτε, καὶ τοὺς ἥρωας· ἀλλ', εἴπερ ἄρα, συνηδίκησθε αὐτοῖς. καὶ μὴν εἴ τις ὑμῶν πύθοιτο, εἰ καὶ δόξει γελοιότερον, τί δήποτε οὐθ' ὑμεῖς, οὔτ' ἄλλος οὐδεὶς, πηλίνους ποιεῖσθε τὰς εἰκόνας τῶν κριθέντων ἀξίων εἶναι τῆς δωρεᾶς ταύτης; εὐχερέστερον δήπουθεν ὄν, καὶ μηδεμίαν, ἢ παντελῶς μικρὰν δαπάνην ἔχον; φαίητ' ἂν οἶμαι 30)· οὐ διὰ τὸ μὴ ὑβρίζεσθαι, ἀλλὰ καὶ διὰ τὸ διαμένειν, εἰ δυνατὸν, εἰσαεὶ τὰς τιμὰς τῶν ἀγαθῶν ἀνδρῶν. νῦν τοίνυν ἐπίστασθε, τοὺς ἀνδριάντας ὑμῖν ἅπαντας, κηρίνων ὄντας ἀσθενεστέρους. οὐ γὰρ 31), εἰ τὸν ἥλιον φέρουσι, τοῦτο δεῖ σκοπεῖν. ὑπὸ γὰρ τῆς κολακείας τῆς πρὸς ἑτέρους 32) διαφθείρονται, καὶ τῷ δεῖνι, δι' ἥνδήποτε αἰτίαν, οὐκέτ' εἰσὶν οἱ πρότερον 33). πολὺ δὴ χεί-

ρων

28) βέλτιον] subaudi γεγονέναι. *haec si euenissent, dicat aliquis multo melius atque honestius euenisse, vel fuisse satius ita euenire.*

29) αὐτοὺς] imo vero αὐτοὶ τοὺς ἑαυτῶν.

30) sententia haec est: *responsuri vos ita interroganti haec sitis, vos aeneas, non fictiles, curare faciendas statuas, non eo, quo honorandi ne id ad suam contumeliam referrent; (neque enim posset ad contumeliam cuiusquam referri, si lege cautum esset, vt honorandi quique statua fictili contenti sint.) sed quo permaneant.*

31) οὐ γὰρ] subaudi μόνον. *neque enim* [hoc *solum in statuis ponendis spectari oportet, num solem ferant, neque vt cereae deliquescant; nam vestrae quidem non minus cito pereunt. et quasi deliquescunt, ac si cera factae essent.*

32) πρὸς ἑτέρους] caute et dissimulanter loquitur, inuidiam Romanorum vitans, quos hoc vocabulo perstringit.

33) οὐκέτ' — πρ.] sapit Euripidem. nihil hic videtur deesse, et vana esse Casauboni suspicio. sed ὄντες subauditur.

ρων ἡ τοιαύτη διαφθορά[34]). τότε μὲν γὰρ ἠλέγχετ' ἂν ἡ τῆς ὕλης ἀσθένεια, νυνὶ δὲ ἡ κακία τῆς πόλεως φαίνεσθαι δοκεῖ. τοιγαροῦν ὁμοίως δίδοτε τοὺς ἀνδριάντας, ὥσπερ οἱ[35]) τὰς κόρας ταύτας ὠνούμενοι τοῖς παισίν. καὶ γὰρ ἐκεῖνοι διδόασιν οὕτως, ὥστε λυπεῖσθαι[36]) μετ' ὀλίγον συντριβέντων. ἆρα ἀγνοεῖτε τὴν προσοῦσαν αἰσχύνην τῷ πράγματι; καὶ πόσον γέλωτα ὄφλετε δημοσίᾳ ψευδόμενοι; καὶ ταῦτα φανερῶς οὕτως; ἐν γοῦν τοῖς ψηφίσμασι γράφετε, στῆσαι δεῖν εἰκόνα τοῦ δεῖνος. πῶς, εἴποι τις ἂν ὑμῖν, ἄνδρες Ῥόδιοι, στῆσαι γράφετε τὴν ἑστῶσαν, ἐὰν οὕτω τύχῃ, πρὸ πεντακοσίων ἐτῶν; εἶτα τῶν γυναικῶν τὰς ὑποβαλλομένας παιδία πονηρὰς κρίνετε, καὶ δεινόν τι ποιεῖν ἡγεῖσθε καταψευδομένας· αὐτοὶ δὲ οὐκ αἰσχύνεσθε τοῦτο ποιοῦντες ἐπὶ τῶν εἰκόνων; καὶ τοὺς ἀνδριάντας, ὧν οὐκ εἰσί, τούτων εἶναι λέγοντες, καὶ ταῦτα οὐκ ὄντες ἀνήκοοι τῶν κατὰ τῆς πόλεως σκωμμάτων; φασὶ γοῦν πολλοί, τοὺς Ῥοδίων ἀνδριάντας ὁμοίους εἶναι τοῖς ὑποκριταῖς. ὥσπερ γὰρ ἐκείνων[37]) ἕκαστον ἄλλοτε ἄλλον εἰσεῖναι[38]), καὶ τοὺς ἀνδριάντας ὑμῖν ἄλλοτε ἄλλα λαμβάνειν πρόσωπα, καὶ μικροῦ δεῖν ὑποκρινομένους ἑστάναι. τὸν γὰρ αὐτὸν νῦν μὲν εἶ-

34) sententia est: *statuae sic corruptae et pereuntes, quomodo vestrae pereunt, quibus cupiditas et prauitas vestra cladi est, multo peioribus modis pereunt, quam si quae cereae aut fictiles casu fortuito perirent. Nam si confringerentur ab ictu vehementiori, aut deliquescerent ad solem, nihil aliud mali eueniret, quam vt aperiretur, materiam earum nimis fuisse fragilem atque infirmam.*

35) *οἱ*] Ven. et Mor. dant ἡ, et margo Mor. τὰ παρὰ τῶν κηροπλάθων λέγεται γύψινα πλαττόμενα ἀνδριαντάρια.

36) imo vero ὥστε μηδὲν λυπεῖσθαι, *vt nil crucientur, si pupulae istae paulo post rumpantur.*

37) *ἐκείνων*] Ven. et Mor. dant ἐκεῖνον.

38) usitatius est εἰσιέναι exarari.

ναι Ἕλληνα, νῦν δὲ Ῥωμαῖον· πάλιν δ', ἂν οὕτω τύχῃ, Μακεδόνα [39]), ἢ Πέρσην. καὶ ταῦτ' ἐπ' ἐνίων οὕτως, ὥστε τὸν ἰδόντα εὐθὺς εἰδέναι· καὶ γὰρ ἐσθὴς καὶ ὑπόδεσις, καὶ τοιαῦθ' ἕτερα τὸ ψεῦδος [39b]) ἐλέγχει. καὶ μυρία ἐῶ τῶν γιγνομένων, οἷον, τὸ πολλάκις ἀνδρὸς σφόδρα γέροντος εἰκόνι, νέου τινὸς τὸ ὄνομα ἐπιγράφειν [40])· θαυμαστήν τινα, οἶμαι, δωρεὰν εὑρηκότων ὑμῶν, εἰ μετά γε τῆς τιμῆς καὶ τὴν ἡλικίαν δίδοτε· καὶ πάλιν ἀθλητοῦ τινος ἀνδριάντα ἑστάναι, ὡς ὄντα ἀνθρώπου παντελῶς ἀσθενοῦς καὶ μετρίου τὸ σῶμα. τὸ μὲν γὰρ ἱππεύοντα τὸν δεῖνα ὁρᾶσθαι παρ' ὑμῖν, ἢ πολεμίῳ συνεστῶτα, ἢ στράτευμα ἐκτάσσοντα ἄνθρωπον, οὐδὲ πώποτε τῆς γῆς ἁψάμενον τοῖς αὐτοῦ ποσὶν, καὶ ἀπὸ τῶν ὤμων καταβάντα τῶν φερόντων, οὐθὲν ἴσως ἄτοπον· ἀλλ' ὁ δεῖνά γε ἕστηκε πυκτεύων παρ' ὑμῖν· καὶ λέγω ταῦτα, μὰ τὸν Δία, οὐκ ἀπεχθάνεσθαι βουλόμενος ὑμῖν, οὐδὲ διασύρων τὴν πόλιν· ἀλλ' ὅπως μηδὲν ἀνάξιον ἑαυτῆς, μηδὲ ἀλλότριον τῆς ἄλλης εὐκοσμίας καὶ τῆς πολιτείας φαίνηται ποιοῦσα. καί μοι δοκεῖ τις ἂν εἰκότως προαχθῆναι, διὰ τὴν πρὸς ἅπαντας εὔνοιαν τοὺς Ἕλληνας, οὐ μόνον διὰ τὴν πρὸς ὑμᾶς· εἴ τι ἄρα ἐνθάδε ἔχοιμι καλῶς [41]) εἰπεῖν καὶ μηνῦσαι. πρότερον μὲν γὰρ ἐκ πολλῶν συνειστήκει τὸ κοινὸν ἀξίωμα, καὶ πολλοὶ τῆς [41b]) Ἑλλάδος ἦρξαν· ὑμεῖς, Ἀθηναῖοι, Λακεδαιμόνιοι, Θηβαῖοι, χρόνον τινὰ Κορίνθιοι, τὸ παλαιὸν Ἀργεῖοι. νυνὶ δὲ τὸ μὲν τῶν ἄλλων οὐθέν ἐστιν.

39) *μακεδόνα ἢ πέρσην*] sic lego cum interprete, sed Ven. et Mor. omittunt ἢ.

39b) γρ. ψεῦσμα m. Mor.

40) aut hic est ἐπιγεγράφθαι legendum, aut paulo post ἱστάναι in inf. praes. act. et significatu *collocandi*. sed prius malim.

41) l. ἔχοι μὴ καλῶς. *si quid apud vos haud probe, haud decenter agatur, me id indicare et increpare.*

41b) γρ. τὴν ἑλλάδα ἦρξον margo Mor.

ἐστιν. οἱ μὲν γὰρ αὐτῶν ὅλως ἀνῄρηνται καὶ ἀπολώλασιν· οἱ δὲ ἀσχημονοῦσι, πράττοντες οἷα ἀκούετε, καὶ πάντα τρόπον τὴν παλαιὰν δόξαν ἀφανίζοντες, οἰόμενοι τρυφᾷν, οἱ ἀνόητοι· καὶ κέρδος ἀριθμοῦντες 42) τὸ μηθένα κωλύειν αὐτοὺς ἁμαρτάνοντας. λοιποὶ 43) δὲ ὑμεῖς ἐστὲ, καὶ γὰρ μόνοις ὑμῖν ὑπάρχει, τὸ δοκεῖν ὄντως τινὰς γεγονέναι, καὶ μὴ τελέως καταπεφρονῆσθαι. διὰ μὲν γὰρ τοὺς οὕτω χρωμένους ταῖς ἑαυτῶν πατρίσιν, ὡς ἀληθεύοντες ἔνιοι λέγουσιν 44), οὐθὲν ἐκώλυε πάλαι, Φρυγῶν πάντας ἢ Θρᾳκῶν ἀτιμοτέρους γεγονέναι τοὺς Ἕλληνας. ὥσπερ οὖν οἰκίας ἠρεμωμένης εὐδαίμονος καὶ μεγάλης, ὅταν εἷς ἔτι λοιπὸς ᾖ διάδοχος, ἐν ἐκείνῳ πάντα ἐστὶ, κἂν οὗτος ἁμαρτάνῃ τι καὶ ἀκούῃ κακῶς, τὴν ὅλην δόξαν ἀφανίζει τῆς οἰκίας, καὶ πάντας καταισχύνει τοὺς πρότερον· οὕτω τὰ ὑμέτερα νῦν ἔχει πρὸς τὴν Ἑλλάδα. μὴ γὰρ οἴεσθε πρωτεύειν αὐτῆς, ἄνδρες Ῥόδιοι 45), μὴ οἴεσθε. τῶν γὰρ ζώντων ἔτι καὶ τῶν αἰσθανομένων τιμῆς, ἢ ἀδοξίας, ἔστι πρώτους εἶναι. τὰ δὲ ἐκείνων οἴχεται, καὶ πάντα τρόπον αἰσχρῶς καὶ ἐλεεινῶς διέφθαρται· καὶ οὐδὲ ἐπινοῆσαι λοιπόν ἐστι τὴν ὑπεροχὴν καὶ

42) κέρδος ἀριθμοῦντες] Latinismum sapit ἀριθμεῖν pro ἡγεῖσθαι. v. Or. 46. Arriani dissert. Epictet. p. 316, 17. ed. Cantabrig.

43) λοιποὶ] Ven. et Mor. dant λοιπὸν.

44) verba ὡς ἀληθεύοντες ἔνιοι λέγουσι referenda sunt non ad superiora, sed ad inferiora. Sententia haec est: *Nam per eos quidem, qui sic, (vt dixi) sua quisque patria vtuntur, dudum Graecis licuit, (vt sunt vere dicentes) contemtioribus esse, quam sunt Phryges aut Thraces.*

45) post ἄνδρες ῥόδιοι deesse videtur τοὺς τεθνεῶτας. *nolite existimare, o Rhodii, mortuos Graeciae principatum tenere.* Vulgata sententiam dat, ab oratione Dionis, id quod omnia produnt, alienam, hanc puta: *nolite existimare, vos, Rhodios, Graeciae principes esse.*

τὴν λαμπρότητα τῶν παθῶν 46), εἴς γε τοὺς ἄνδρας ὁρῶντα. ἀλλ' οἱ λίθοι μᾶλλον ἐμφαίνουσι τὴν σεμνότητα καὶ τὸ μέγεθος τῆς Ἑλλάδος, καὶ τὰ ἐρείπια τῶν οἰκοδομημάτων· ἐπεὶ αὐτούς γε τοὺς ἐνοικοῦντας καὶ τοὺς πολιτευομένους οὐκ ἂν εἴποι τις οὐδὲ Μυσῶν ἀπογόνους· ὥστε ἔμοιγε δοκοῦσι, τῶν οὕτως οἰκουμένων, αἱ τελέως ἀνῃρημέναι πόλεις κρεῖττον ἀπαλλάττειν. ὑγιὴς γὰρ ἡ τούτων μνήμη μένει, καὶ τὸ ὄνομα δι' οὐθὲν ὑβρίζεται τῶν πρότερον καλῶν. ὥσπερ, οἶμαι, καὶ τεθνεώτων τῷ παντὶ βέλτιον τὰ σώματα ἀνῃρῆσθαι καὶ μηδένα ὁρᾶν, ἢ φαίνεσθαι σηπόμενα. καὶ ταῦτα μὲν, ἴσως πλείω τῶν εἰκότων, ἐπῆλθέ μοι μνησθέντι τῆς ὅλης καταστάσεως. ἐκεῖνο δ' ὑμῖν ἐβουλόμην ποιῆσαι φανερὸν, ὅτι μόνοι καταλείπεσθε τῶν Ἑλλήνων, οἷς ἂν καὶ παραινέσαι τις, καὶ περὶ ὧν ἐστιν ἔτι λυπηθῆναι, δοκούντων ἁμαρτάνειν. εἰκότως ἂν οὖν πρόσχοιτε αὐτοῖς, καὶ πάντα τὰ τοιαῦτα ἐξετάζοντες ἀκριβέστερον 47) τῶν προγόνων. ἐκείνοις μὲν γὰρ ἐν πολλοῖς ὑπῆρχεν ἑτέροις ἡ τῆς ἀρετῆς ἐπίδειξις· ἐν τῷ προεστάναι τῶν ἄλλων, ἐν τῷ βοηθεῖν τοῖς ἀδικουμένοις, ἐν τῷ συμμάχους κτᾶσθαι, πόλεις οἰκίζειν, νικᾶν πολεμοῦντας· ὑμῖν δὲ τοιοῦτον μὲν οὐθὲν πράττειν ἔνεστι. καταλείπεται δ', οἶμαι, τὸ ἑαυτῶν προεστάναι, καὶ τὴν πόλιν διοικεῖν, καὶ τὸ τιμῆσαί τινα, καὶ κροταλίσαι, μὴ τοῖς πολλοῖς ὁμοίως, καὶ τὸ βουλεύσασθαι, καὶ τὸ τοῖς θεοῖς θῦσαι, καὶ τὸ ἄγειν ἑορτὴν· ἐν οἷς ἅπασιν ἔστι βελτίους τῶν ἄλλων φαίνεσθαι. τοιγάρτοι καὶ τὰ τοιαῦτα ὑμῶν ἐπαίνου τυγχάνει, καὶ γι-

γνώσκε-

46) lege aut τῶν πατέρων, aut τῶν πάλαι, aut τῶν παλαιῶν. videtur horum aliquid etiam interpreti in mente fuisse. Anglus vult τῶν πατρίδων.

47) post ἀκριβέστερον videtur ὅμοιοι εἴητε vel simile quid deesse. *istaque omnia diligenter pensitando fiatis maioribus vestris similes.*

γνώσκεται παρὰ πᾶσιν, οὐχ ὡς μικρά· τὸ βάδισμα, ἡ κουρά, τὸ μηδένα σοβεῖν διὰ τῆς πόλεως, ἀναγκάζεσθαι δὲ διὰ τὴν ὑμετέραν συνήθειαν 48), καὶ τοὺς ἐπιδημοῦντας ξένους καθεστῶτας πορεύεσθαι· καθάπερ, οἶμαι, καὶ τοὺς ἀγροίκους ἰδεῖν ἐστιν, ὅταν εἰς παλαίστραν ἢ γυμνάσιον ἔλθωσιν, ἧττον ἀρρύθμους κινουμένους. ἔτι πρὸς τούτοις, τῆς ἐσθῆτος ὁ τρόπος, ὡς ἄν τινι γελοῖον φανὲν τῆς πορφύρας τὸ μέτρον 49). τὰ φανερώτερα ἤδη, τὸ μεθ' ἡσυχίας θεωρεῖν, ὁ ποππυσμός. ταῦτα πάντα σεμνὴν τὴν πόλιν ποιεῖ· διὰ ταῦτα τῶν ἄλλων διαφέρειν δοκεῖτε· ἐπὶ τούτοις ἅπασι θαυμάζεσθε, ἀγαπᾶσθε· τῶν λιμένων, τῶν τειχῶν, τῶν νεωρίων, μᾶλλον ὑμᾶς κοσμεῖ τὸ ἐν τοῖς ἤθεσιν ἀρχαῖον, καὶ Ἑλληνικόν. τὸ παρ' ὑμῖν μὲν ὅταν τις γένηται, εὐθὺς αὐτὸν ἀποβάντα εἰδέναι, κἂν τύχῃ βάρβαρος ὤν, ὅτι 50) πάρεστιν εἴς τινα πόλιν τῆς Ἀσυρίας, ἢ τῆς Κιλικίας· παρ' ἄλλοις δὲ ἂν μή τις ἀκούσῃ τοῦ τόπου τὸ ὄνομα· φέρε, εἰπεῖν, ὅ τι καλεῖται; Λύκειον, ἢ Ἀκαδημία, μηδὲν διαφέρειν. τίνος οὖν χάριν παυόμενος ἤδη λέγω, καί τι δηλῶσαι βουλόμενος· ὅτι τοσούτῳ μᾶλλον ὑμᾶς φιλοτιμεῖσθαι δεῖ, καὶ μηδὲν παραπέμπειν τῶν γιγνομένων. κἂν οὕτως ἔχητε ἐν ἅπασιν, οἷς πράττετε, ἴσως οὐδὲν δόξετε κακίους εἶναι τῶν προγόνων. τὸ γὰρ ἐν τοιαύτῃ καταστάσει διαφυλάττειν

48) margo Mor. dat ἀσθένειαν. καθεστῶτας non prorſus damno, ſed videtur aduerbium καθεστώτως, *pudice, modeſte*, melius conuenire.

49) num τὸ ἄμετρον? *immodica luxuries purpurae.* ſed non ſatis h. l. intelligo. hoc video, Dionem Rhodios eo nomine laudare, quod puri. et decentis habitus eſſent ſtudioſi.

50) aut poſt ὅτι addendum eſt οὐ, aut leg. ὅτι πάρεστιν εἴς τινα πόλιν τῆς ἑλλάδος, οὐ τῆς ἀσσυρίας. notauit huius loci vitium etiam Caſaubonus.

τειν ἑαυτοὺς, καὶ μένειν ἐπὶ τοῦ τῆς ἀρετῆς σχήματος, θαυμαστὸν ἔμοιγε δοκεῖ. καθάπερ, οἶμαι, καὶ τῶν πλεόντων ἰδεῖν ἐστι, χειμῶνος μὲν ἐπιπεσόντος, ἢ σφοδροῦ τοῦ πνεύματος, μηδὲ [51]) τοὺς ἀσελγεστάτους αὐτῶν αἰσχρόν τι ποιοῦντας, ἀλλὰ πρὸς μόνῳ τῷ πλεῖν ὄντας· ἐν δὲ τῇ γαλήνῃ, καὶ τῶν ναυτῶν καὶ τῶν ἐπιβατῶν ἐπιπολάζουσαν τὴν ὕβριν, κἂν μὴ ὦσιν ἀκόλαστοι· τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ ἐν πολέμοις εἴωθε [52]), καὶ τοὺς φαυλοτέρους ἐγείρειν καὶ κρατεῖν [53])· ἐν τοσαύτῃ δὲ εἰρήνῃ καὶ ῥαθυμίᾳ τῶν ἀρίστων ἀνδρῶν [54]), εἰς μηδεμίαν αἰσχύνην μηδὲ ἀταξίαν ὑπενεχθῆναι.

51) ante μηδὲ videtur deesse μηδένα, referendum ad τῶν πλεόντων, nam alias αὐτῶν redundaret. *neminem nauigantium, ne petulantissimos quidem eorum.*

52) aut ante, aut post εἴωθε deest τὸ δέος *metus*, aut, quod Casaubonus suadet, ὁ κίνδυνος.

53) κρατεῖν] sententia postulat κρατύνειν *confirmare, robur iniicere.* id quod etiam Casaubonus videtur voluisse dare.

54) ἀνδρῶν] subaudi ἔργον, vel ἐπιτήδευμα, vel ἔθος, (vel tale quid) ἐστί. *est hominum frugi, in tanta, quanta nunc vos fruimini, pace ad nullam turpitudinem prolabi.*

ΠΡΟΣ

ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΕΙΣ.

ΛΟΓΟΣ ΛΒ'.

Ἆρά γε βούλοισθ' ἄν, ὦ ἄνδρες, σπουδάσαι χρόνον σμικρὸν καὶ προσέχειν, ἐπειδὴ παίζοντες [1]) ἀεὶ διατελεῖτε, καὶ οὐ προσέχοντες; καὶ παιδιᾶς μὲν καὶ ἡδονῆς καὶ γέλωτος, ὥστ' εἰπεῖν, οὐδέποτε ἀπορεῖτε· καὶ γὰρ αὐτοὶ γελοῖοί ἐστε καὶ ἡδεῖς, καὶ διακόνους πολλοὺς τούτων ἔχετε· σπουδῆς δὲ ὑμῖν τὴν πᾶσαν ἔνδειαν ὁρῶ οὖσαν. καίτοι τινὲς ἐπαινοῦσιν ὑμᾶς, ὡς σοφούς τε καὶ δεινούς, ὅτι τοσαῦται μυριάδες ἀνθρώπων, ἅμα καὶ τὰ δέοντα ἐννοεῖτε, καὶ ταχὺ φθέγγεσθε, ὅ, τι ἂν ἐννοήσητε· ἐγὼ δὲ μᾶλλον ἂν ὑμᾶς ἐπῄνουν, βραδὺ μὲν φθεγγομένους, ἐγκρατῶς δὲ σιγῶντας, ὀρθῶς δὲ διανοουμένους, ὃ καὶ νῦν ποιήσατε· ἵνα κτήσησθε πρὸς ἐκείνῳ τῷ ἐπαίνῳ, καινὸν ἕτερον μείζονα καὶ σεμνότερον· ὅτι τοσοῦτοι ὄντες, λόγων χρησίμων γενομένων, ἅπαντες ἐσιωπήσατε, καὶ πρὸς τούτῳ [2]) ἐδείξατε, ὅτι οὐ μόνον ἐστὲ ἱκανοὶ νοήσαντες εἰπεῖν, ἀλλὰ καὶ ἀκούσαντες νοῆσαι· χοροῦ μὲν γὰρ ἔπαινος, τὸ ἅμα εἰπεῖν· μᾶλλον δὲ οὐδὲ τοῦτο· τί γὰρ [3]), ἂν κοινῇ πάντες ἀποτυγχάνωσι τοῦ μέλους; δήμου δέ, τὸ καλῶς ἀκοῦσαι. νῦν μὲν γὰρ ἁμαρτάνετε τὸ Ἀθηναίων ποτὲ ἁμάρτημα. τοῦ γὰρ Ἀπόλλωνος εἰπόντος, εἰ θέλουσιν ἄνδρας ἀγαθοὺς ἐν τῇ πόλει γενέσθαι, τὸ κάλλιστον ἐμβαλεῖν τοῖς ὠσὶ τῶν παίδων· οἱ δὲ

1) παίζοντες] de Alexandrinorum ingenio v. Dio Caſſ. p. 221, 40.

2) πρὸς τούτῳ non conuenit ſententiae, melius παρὰ τοῦτο *per hoc*, vel ſimplex οὕτως *ſic*.

3) τί γὰρ] ſcil. *fiat*, *quid enim fiat*, vel *quid dicat aliquid*, quid de choro ſtatuat, *ſi choream agitantes omnes a numeris aberrauerint*.

οἱ δὲ τρήσαντες 4) τὸ ἕτερον, χρυσίον ἐνέβαλον, οὐ συνέντες τοῦ θεοῦ. τοῦτο μὲν γὰρ κόραις μᾶλλον ἔπρεπε, καὶ παισὶ Λυδῶν, ἢ Φρυγῶν· Ἑλλήνων δὲ παισὶ, καὶ ταῦτα θεοῦ προστάξαντος, οὐκ ἄλλο ἥρμοζεν, ἢ παιδεία 5) καὶ λόγος, ὧν οἱ τυχόντες εἰκότως ἂν ἄνδρες ἀγαθοὶ γίγνονται, καὶ σωτῆρες τῶν πόλεων. ἐκεῖνοι μὲν οὖν κακῶς ἐχρήσαντο τοῖς ὠσὶ τῶν παίδων, ὑμεῖς δὲ τοῖς αὑτῶν κάκιον. δήμου γάρ ἐστιν ἀκοὴ τὸ θέατρον· εἰς τοῦτο δὲ καλὸν ἢ τίμιον οὐδὲν ὑμῖν, ἢ σπανίως ποτὲ, εἰσέρχεται. κρουμάτων δὲ ἀεὶ μεστόν ἐστι καὶ θορύβου καὶ βωμολοχίας καὶ σκωμμάτων, οὐδὲν ἐοικότων χρυσῷ. διὸ τοῦτο οὖν ὀρθῶς ἔφην, ἀπορεῖν ὑμᾶς σπουδῆς. οὔτε γὰρ αὐτοὶ σπουδαῖοι ἐστὲ, οὔτε οἱ ὑμέτεροι συνήθεις, καὶ πολλάκις εἰς ὑμᾶς εἰσιόντες·

Μῖμοί τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι,
Ἵππων τ' ὠκυπόδων ἐπιβήτορες, οἵ κε τάχιστα
Ἤγειραν μέγαν οἶκον 6) ἀπαιδεύτοισι θεαταῖς,
Νηπιάχοις, ξυνὸν δὲ κακὸν πολέεσσι φέρουσι.

τοῦτο γὰρ ἀεὶ ὁρᾶτε, καὶ περὶ τοιαῦτα ἐστὲ, ἀφ' ὧν νοῦν μὲν, ἢ φρόνησιν, ἢ δικαίαν διάθεσιν, ἢ πρὸς θεοὺς εὐσέβειαν, οὐκ ἔστι κτήσασθαι· ἔριν δὲ ἀμαθῆ, καὶ φιλοτιμίαν ἄμετρον, καὶ κενὴν λύπην, καὶ χαρὰν ἀνόητον, καὶ λοιδορίαν, καὶ δαπάνην. λέγω δὲ ταῦτα οὐκ ἀποτρέπων, οὐδὲ καταλύειν κελεύων

τὰς

4) τρήσαντες] sic recte Casaubonus. *cum perforassent* vel *pertudissent pueris suis aurem alteram.* Ven. et Mor. dant τηρήσαντες.

5) In Ven. est οὐκ ἄλλο. ἥρμοζε δὲ παιδεία. vnde poterat etiam sic refingi: οὐκ. ἀλλ' ἥρμοζε μᾶλλον παιδεία.

6) proxime ad veritatem, et paene ipsam, dat Veneta μέγαν εἰκὸς, vnde confirmatur Casauboni emendatio μέγα νεῖκος. sed ambigebat hic, neque miror, inter hoc et μέγαν οἶτον, quod et ipsum Dione non erat indignum. sed Angli μέγαν ἦχον plane est alienum.

τὰς τοιαύτας ψυχαγωγίας, καὶ ἀπάτας τῆς πόλεως 7)· μαινοίμην γὰρ ἄν· ἀλλ' ἀξιῶν ὑμᾶς, ὥσπερ τούτοις ἑτοίμως καὶ συνετῶς 8) αὑτοὺς παρέχετε· οὕτω καὶ λόγου χρηστοῦ ποτὲ ἀκοῦσαι, καὶ τὴν ἐπὶ τῷ συμφέροντι δέξασθαι παῤῥησίαν· ἐπεὶ καὶ τοὺς Ἀθηναίους, ὧν μικρῷ πρότερον ἐμνήσθην, οὐ πάντας 9) εὑρήσομεν ἁμαρτάνοντας· ἀλλὰ τοῦτό γε ἐκεῖνοι καὶ πάνυ καλῶς ἐποίουν, ὅτι τοῖς ποιηταῖς ἐπέτρεπον, μὴ μόνον τοὺς κατ' ἄνδρα ἐλέγχειν, ἀλλὰ καὶ κοινῇ τὴν πόλιν, ἐς ὅ, τι μὴ καλῶς ἔπραττον. ὥστε σὺν πολλοῖς ἑτέροις καὶ τοιαῦτα ἐν ταῖς κωμῳδίαις λέγεσθαι· Δῆμος πυκνίτης, δύσκολον γερόντιον, ὑπόκωφον, καὶ τί δ' ἔς' Ἀθηναῖος. τὸ πρᾶγμα ἀνώμοτον 10). καὶ ταῦτα ἤκουον ἑορτάζοντες, καὶ δημοκρατούμενοι, καὶ οὐ μόνον τῶν σφετέρων πολιτῶν εἴ τινα ἤθελον πρὸς ὀργὴν ἀπολέσαι 11), τῶν

7) ἀπάτας τῆς πόλεως] *modos, quibus ciuitas otium suum fallit.*

8) συνετῶς] imo vero συνεχῶς.

9) malim πάντα. *non omnibus in rebus.*

10) τί δ' ἔς' — ἀνώμοτον] videtur versus e Menandro esse, cuius emendandi geminam inire licet viam; aut sic: τί δ'; *quid ais.* ἔς' ἀθηναίοις τι πρᾶγμ' ἀπώμοτον. *estne quicquam scelerum omnium, quod Atheniensis eiuret,* h. e. *confirmet iureiurando, se nunquam id esse perpetratum.* Vult leuitatem et improbitatem Atheniensium demonstrare, nullum scelus se indignum existimantium, ad omnia flagitia et periuria paratorum. aut sic: Interrogat aliquis τί δ' ἔς' ἀθήναῖος; *ecquid autem est Atheniensis?* respondet alter: τί; πρᾶγμ' ἀνώμαλον. *tu vis ex me audire, qui sit Atheniensis? dicam: est res inaequalis, modo bonus, modo malus, haud sibi constans, versatilis in vtramque partem.*

11) ἀπολέσαι] *ciuium suorum si quem perdere vellent, eorum puta, qui istaec loquerentur,* h. e. qui eiusmodi probra in se coniicerent, *eius rei facultas penes eos erat.* et expressit interpres quoque idem. Ven. et Mor. dant ἀπολέσθαι.

τῶν ταῦτα λεγόντων, κύριοι καθεστηκότες, ἀλλὰ καὶ τῶν ἄλλων Ἑλλήνων ἄρχοντες· καὶ ἐξὸν αὐτοῖς, εἰ ἐβούλοντο, μηδὲν ἀηδὲς ἀκούειν. ὑμῖν δὲ οὔτε χορός ἐστι τοιοῦτος, οὔτε ποιητής, οὔτε ἄλλος οὐδείς, ὃς ὑμῖν ὀνειδιεῖ μετ' εὐνοίας, καὶ φανερὰ ποιήσει τὰ τῆς πόλεως ἀῤῥωστήματα. τοιγαροῦν ὅταν ποτὲ φαίνηται τὸ πρᾶγμα, προθύμως δέχεσθαι χρή, καὶ τότε νομίζειν ἑορτὴν ἄγειν. ἀλλὰ μὴ βαρύνεσθαι[12]), κἂν ἄρα, δυσωπῆσθε[13]), ἐξειπεῖν, πηνίκα[14]) παύσεται; καὶ πότε εἴσεισι θαυματοποιός, ἢ λῆρος ἢ[15]) τοιοῦτος ἕτερος; ἐκεῖνο[16]) μὲν γάρ, ὅπερ

12) βαρύνεσθαι] ſic recte Caſaubonus. βαρύνεσθε Ven. et Mor.

13) de δυσωπῆσθε adhuc dubito, ſeruandumne ſit, an cum δυσωπεῖσθαι mutandum, quod vtrumque ſententiae conuenit, ſed hoc magis orationis conſtantiae. Sententia haec eſt: *Proinde ſi quis vndeunde exſiſtat vir grauis et ſapiens, qui veſtros vobis morbos demonſtret, eorumque medicinam patefaciat, oportet vos oblatam ex inſperato opem cupide amplecti, vobisque de tanta ſalute congratulari, non autem grauari: aut, ſi tandem etiam*, ſcil. diſciplinae ſeueritate grauemini, *decet vos ſaltim hactenus pudoris eſſe memores, vt vos pudeat planis verbis et clara voce, ſicut ſoletis, exclamare: Quandonam deſinet iſte philoſophaſter garrire?* Ita, ſi δυσωπεῖσθαι praeferimus; ſin autem δυσωπῆσθε ſeruamus, erit reddendum: *velim vos veſtri ita pudere, vt caueatis ſaltim clare hoc proloqui.*

14) πηνίκα] ſic recte Caſaubonus; tametſi enim nullus dubito, a plebe indocta permutata ſaepenumero illa duo vocabula fuiſſe, πηνίκα *quando* et ἡνίκα *cum*, quae velut reſponſio eſt ad illam interrogationem, videtur tamen Dio magis cum doctis terſe atque grammatice loqui, quam ſortes orationis popularis imitari, maluiſſe.

15) ἢ poſterius delendum. *quandonam in medium prodibit circulator, aut nugae neſcio quae aliae huiusmodi.* εἴσεισι, ſcil. εἰς τὸ μέσον, vel εἰς τὸ θέατρον.

16) ἐκεῖνο poteſt ſeruari, et erit tum haec ſententia: *illud enim, quod dixi paulo ante*, ſcil. τὸ παίζειν, *ſemper vobiscum eſt.* poteſt etiam ἐκεῖνα legi. *iſta enim* (ſcil. οἱ θαυματο-

ὅπερ εἶπον, ἀεὶ ὑμῖν πάρεστι· καὶ οὐ δέος, μήποτε ἐπιλίπῃ· τῶν δὲ τοιούτων λόγων, δι' οὓς ἄνθρωποι εὐδαιμονοῦσι καὶ κρείττους καὶ σωφρονέστεροι γίγνονται, καὶ βέλτιον οἰκεῖν δύνανται τὰς πόλεις, οὐ πολλάκις ἀκηκόατε· οὐ βούλομαι γὰρ εἰπεῖν, ἀνήκοοι ἐστέ. καὶ τοῦτο ἴσως οὐ δι' ὑμᾶς· δηλώσετε δέ, ἂν ἀνάσχησθε τήμερον· ἀλλὰ μᾶλλον διὰ τοὺς καλουμένους φιλοσόφους. οἱ μὲν γὰρ αὐτῶν ὅλως εἰς πλῆθος οὐκ ἴασιν, οἱ δὲ θέλουσι [17]) διακινδυνεύειν, ἀπεγνωκότες ἴσως, τὸ βελτίους ἂν ποιῆσαι τοὺς πολλούς· οἱ δ' ἐν τοῖς καλουμένοις ἀκροατηρίοις, φωνὰς ἀσκοῦσιν, ἐνσπόνδους [18]) λαβόντες ἀκροατάς, καὶ χειροήθεις ἑαυτοῖς. τῶν δὲ Κυνικῶν λεγομένων ἐστὶ μὲν ἐν τῇ πόλει πλῆθος οὐκ ὀλίγον· καί, καθάπερ ἄλλου τινὸς πράγματος, καὶ τούτου φορὰ γέγονεν. οὐθὲν [19]) μέντοι γε καὶ ἀγεννὲς ἀνθρώπων, οὐθέν, ὡς εἰπεῖν, ἐπισταμένων, ἀλλὰ χρειῶν [20]) τροφῆς, οὗτοι δὲ

ματοποιοὶ praestigiatores et aretalogi alii hoc de genere) *semper penes vos sunt, vt modo dicebam.*

17) lego ἴασιν, οὐδ' θέλουσιν *nunquam ad plebem prodeunt, neque volunt periclitari.* Pro ἴασιν est in Ven. ἐᾶσιν.

18) ἐνσπόνδους] *auditores sibi pactis et iureiurando obligatos.* nam qui philosopho se committerent, paciscebantur primo mercedem bona fide dependendam, tum studium sectae perpetuum ornandae, tuendae et latius propagandae, eique pacto fidem iureiurando faciebant.

19) οὐθὲν — ἀνθρώπων] locus nonnisi e bonae notae libris, minus corruptis, sanabilis. Interim contenti simus qualicunque a Casaubono allata medicina, quae, vt in malis desperatis, sic satis est tolerabilis. pro οὐθὲν suadet ille νωθρόν, Anglus ἄθλιον. possit quoque de οὐτιδανὸν μέντοι γένος καὶ ἀγεννὲς ἀνθρ. cogitari. Venit quoque in mentem οὐθὲν μέντοι γε καὶ ὠφελοῦσι. *nil tamen prosunt iidem.* γένος εὐτελὲς [vel φαῦλον] καὶ ἀγεννὲς — *natio hominum contemnenda et degener.*

20) oblitus est vlcus hoc attingere Casaubonus. Anglus χρείαν vult, quod minus placet. suspicor aut χρῄζοντων leg.

δὲ ἔν τε τριόδοις, καὶ ςενωποῖς καὶ πυλῶσιν ἱερῶν ἀγείρουσι [21]), καὶ ἀπατῶσι παιδάρια, καὶ ναύτας καὶ τοιοῦτον ὄχλον· σκώμματα καὶ πολλὴν σπερμολογίαν συνείροντες, καὶ τὰς ἀγοραίους ταύτας ἀποκρίσεις. τοιγαροῦν ἀγαθὸν μὲν οὐδὲν ἐργάζονται, κακὸν δ', ὡς οἷόν τε, τὸ μέγιςον· καταγελᾶν ἐθίζοντες τοὺς ἀνοήτους τῶν φιλοσόφων· ὥσπερ ἂν εἰ παῖδά τις ἐθίζει [22]) διδασκάλων καταφρονεῖν, καὶ δέον ἐκκόπτειν τὴν ἀγερωχίαν αὐτῶν, οἱ δ' ἔτι αὔξουσι. τῶν δὲ εἰς ὑμᾶς προϊόντων ὡς πεπαιδευμένων, οἱ μὲν ἐπιδεικτικοὺς λόγους, καὶ [23]) τοὺς ἀμαθεῖς· οἱ δὲ ποιήματα συνθέντες ᾄδουσι [24]), ὡς πάνυ φιλῳδῶν ὑμῶν κατεγνωκότες. αὐτοὶ δ' εἰ μέν εἰσι ποιηταὶ καὶ ῥήτορες, οὐδὲν ἴσως δεινόν· εἰ δ' ὡς φιλόσοφοι ταῦτα πράττουσι, κέρδους ἕνεκεν καὶ δόξης τῆς ἑαυτῶν, οὐ τῆς ὑμετέρας ὠφελείας, καὶ [25]) τοῦτο δ' ἤδη δεινόν. ὅμοιον γάρ, ὥσπερ εἴ τις ἰατρὸς ἐπὶ κάμνοντας ἀνθρώπους εἰσιών, τῆς μὲν σωτηρίας αὐτῶν καὶ τῆς θεραπείας ἀμελήσειε· ςεφάνους δὲ καὶ ἑταί-

ρας

leg. esse, aut χρῆζον, quod posterius si malumus, tum etiam ἐπιςάμενον erit leg.

21) ἀγείρουσι] *mendicantur.* ἀπατῶσι] oblectant nugis.

22) ἐθίζει] bene hoc habere, demonstrat statim insequens αὔξουσι.

23) καὶ] lege πρὸς. num autem adhuc aliud quid hic loci desideretur, e. c. διεξέρχονται, vel tale quid, in medio relinquam. possit quidem locus, illo πρὸς in locum copulae suffecto, sic satis integratus videri; quamquam enim ᾄδουσι vocabulo λόγους non optime conuenit, quotus tamen est quisque, qui nesciat, per sic dictam grammaticis synesin, sententiis duabus, quarum vtraque suum proprium verbum postulet, vnum verbum accommodare, vni tantum sententiae conueniens.

24) ᾄδουσι] sic recte corrigit Valckenarius ad Euripidis Phoenissas p. 468. διδοῦσι Ven. et Mor.

25) aut deest aliquid post καὶ, e. c. θεραπείας, aut delendum id est.

ρας καὶ μύρον αὐτοῖς εἰσφέροι. τινὲς δὲ ὀλίγοι παῤῥησίαν ἀγηόχασι πρὸς ὑμᾶς, καὶ ταύτην ἐνδεῶς, οὐδ' ὡς ἐμπλῆσαι τὰς ἀκοὰς ὑμῶν, οὐδ' ὥστε διατελέσαι λέγοντες· ἀλλὰ ἓν, ἢ δύο, ῥῆμα 26) εἰπόντες, καὶ λοιδορήσαντες μᾶλλον, ἢ διδάξαντες ὑμᾶς, κατὰ σπουδὴν ἀπίασιν· εὐλαβούμενοι, μὴ μεταξὺ θορυβήσητε, καὶ παραπέμψητε 27) αὐτούς· ὥσπερ οἱ χειμῶνος ἀποτολμῶντες εἰς τὴν θάλατταν βραχύν τινα καὶ σύντομον πλοῦν. ἄνδρα δὲ λαβεῖν καθαρῶς καὶ ἀδόλως παῤῥησιαζόμενον, καὶ μήτε δόξης χάριν, μήτ' ἐπ' ἀργυρίῳ προσποιούμενον 28)· ἀλλ' ἐπὶ εὐνοίᾳ καὶ κηδεμονίᾳ τῶν ἄλλων, ἕτοιμον, εἰ δέοι, καὶ καταγελᾶσθαι, καὶ ἀταξίαν πλήθους ἐνεγκεῖν καὶ θόρυβον, οὐ ῥᾴδιον, ἀλλὰ καὶ πάνυ εὐτυχοῦς πόλεως, ἐν τοσαύτῃ σπάνει γενναίων καὶ ἐλευθέρων ἀνδρῶν, ἀφθονίᾳ δὲ κολάκων καὶ γοήτων καὶ σοφιστῶν. ἐγὼ μὲν γὰρ οὐκ ἀπ' ἐμαυτοῦ δοκῶ προελέσθαι τοῦτο 29), ἀλλ' ὑπὸ δαιμονίου τινὸς γνώμης. ὧν γὰρ οἱ θεοὶ προνοοῦσιν, ἐκείνοις παρασκευάζουσι καὶ συμβούλους ἀγαθοὺς αὐτομάτους, καὶ λόγους ἐπιτηδείους καὶ ξυμφέροντας εἰρῆσθαι. καὶ τοῦτο ἥκιστα ὑμᾶς ἀπιστεῖν χρὴ, παρ' οἷς μάλιστα μὲν τιμᾶται τὸ δαιμόνιον· μάλιστα δὲ αὐτὸ δείκνυσι τὴν αὐτοῦ δύναμιν, καὶ μόνον οὐ καθ' ἑκάστην ἡμέραν, διά τε χρησμῶν, καὶ δι' ὀνειράτων. μὴ οὖν οἴεσθε 30)

26) ῥῆμα] Dionem ſic dediſſe non auſim affirmare, videtur potius ῥήματα dediſſe, id quod Caſaubono viſum fuit. Interea ſi quis vulgatam defendere malit, non carebit is exemplis ſimilium conſtructionum.

27) παραπέμψητε] *cum contemtu transmittatis, et iubeatis eos illuc redire, vnde veniſſent.*

28) προσποιούμενον] ſcil. παῤῥησιάζεσθαι.

29) προελέσθαι τοῦτο] ſcil. τὸ παῤῥησιάζεσθαι πρὸς ὑμᾶς. margo Mor. dat προσελ.

30) v. ad hunc locum praeter Caſaubonum, P. Weſſeling ad Diodor. Sic. T. I. 74, 29.

κοιμωμένων μόνον ἐπιμελεῖσθαι τὸν θεὸν, καὶ 31) κατ᾽ ἰδίαν ἑκάστῳ μηνύοντα τὸ συμφέρον, ἐγρηγορότων δὲ ἀμελεῖν· καὶ κοινῇ καὶ ἀθρόοις, μηδὲν ἂν δεῖξαι τῶν χρησίμων. πολλάκις γὰρ ἤδη καὶ ὕπαρ ὤνησε, καὶ μεθ᾽ ἡμέραν ἐναργῶς προεῖπεν. ἴστε δήπου τὰς τοῦ Ἄπιδος 32) φήμας, ἐνθάδε ἐν Μέμφει, πλησίον ὑμῶν· ὅτι παῖδες ἀπαγγέλλοντες 33) παίζουσι, τὸ δοκοῦν τῷ θεῷ, καὶ τοῦτο ἀψευδὲς πέφηνεν. ὁ δὲ ὑμέτερος θεὸς 34), οἶμαι, τελειότερος ὢν, δι᾽ ἀνδρῶν ὑμᾶς καὶ μετὰ σπουδῆς βούλεται ὠφελεῖν, οὐ 35) δι᾽ ὀλίγων ῥημάτων, ἀλλ᾽ ἰσχυρᾷ καὶ πλήρει κληδόνι, καὶ λόγῳ σαφεῖ, διδάσκοντι περὶ τῶν ἀναγκαιοτάτων, ἂν ὑπομένητε μετὰ γνώμης καὶ πειθοῦς. καὶ πρῶτόν γε ἁπάντων, ἵνα, ὅθεν περ ἐχρῆν, ἐγγύθεν ἄρξωμαι, τοῦτο πείσθητε βεβαίως, ὅτι τὰ συμβαίνοντα τοῖς ἀνθρώποις ἐπ᾽ ἀγαθῷ, πάνθ᾽ ὁμοίως ἐστὶ δαιμόνια· κἂν πλέων 36) τις ἐμπείρου τύχῃ κυβερνήτου, κἂν ἔθνος ἢ πόλις χρηστῶν ἡγεμόνων, κἂν ἰατρὸς ἐν καιρῷ παραγένηται τῷ κάμνοντι, καὶ τοῦτον ἡγεῖσθαι χρὴ, βοηθὸν ἥκειν παρὰ θεοῦ· κἂν λόγων τις ἀκούσῃ φρονίμων, ἐκεῖθεν ἐπιπεμφθῆναι. καθόλου γὰρ οὐδὲν εὔδαιμον, οὐδ᾽ ὠφέλιμον, ὃ μὴ κατὰ γνώμην καὶ δύναμιν τῶν θεῶν ἀφικνεῖται πρὸς ἡμᾶς 37)· καὶ ἁπανταχῆ πάντων ἀγαθῶν αὐτοὶ κρατοῦσι, καὶ διανέμουσι δαψιλῶς

τοῖς

31) καὶ abesse malim.
32) Exponunt h. l. Wesseling ad Diodor. Sic. T. I. 686. Hemsterhus. ad Xenoph. Ephes. in Miscell. Amstel. T. VI. p. 341. sqq. Vales. ad Ammian. p. m. 333.
33) ἀπαγγ. παίζ. τὸ δοκοῦν] potest ferri, modo τὸ δοκοῦν an ἀπαγγ. referatur. malim tamen ἀπαγγέλλουσι παίζοντες — *nunciant id, quod deo videtur, ludentes.*
34) θεὸς] Osiris.
35) οὐ] malim οὐδὲ δι᾽ ὀλίγων ῥημάτων. *neque paucis verbis.*
36) πλέων] sic recte Ven. πλέον Mor.
37) ἡμᾶς] sic recte interpres. ὑμᾶς Ven. et Mor.

τοῖς ἐθέλουσι δέχεσθαι· τὰ κακὰ δὲ ἀλλαχόθεν, ὡς ἐξ ἑτέρας τινὸς πηγῆς ἔρχεται, τῆς πλησίον οὔσης παρ' ἡμῖν, ὥσπερ ἐπὶ τοῦδε τοῦ ὕδατος [38]), τὸ μὲν σῶζον καὶ τρέφον, καὶ γόνιμον, ὄντως ἄνωθέν ποθεν ἐκ δαιμονίου τινὸς πηγῆς κάτεισι· τοὺς ῥυπαροὺς δὲ ὀχετοὺς καὶ δυσώδεις αὐτοὶ ποιοῦμεν, καὶ ἀφ' ἡμῶν οὗτοι ἵστανται [39]). διὰ γὰρ ἀνθρώπων ἄνοιαν καὶ τρυφὴν καὶ φιλοτιμίαν δυσχερὴς ὁ βίος, καὶ μεστὸς ἀπάτης, πονηρίας, λύπης, μυρίων ἄλλων κακῶν. τούτων δὲ ἓν ἴαμα καὶ φάρμακον ἐποίησαν οἱ θεοὶ παιδείαν καὶ λόγον, ᾧ διὰ βίου μέν τις χρώμενος, καὶ συνεχῶς, ἦλθέ ποτε πρὸς τέλος ὑγιὲς καὶ εὔδαιμον· οἱ δὲ σπανίως καὶ διὰ χρόνου ποτὲ περιτυχόντες, ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε [40]) τεθνᾶσιν. ὅμως δὲ ἤδη ποτὲ ἐξαισίων [41]), δεινῶν ἐπικειμένων αὐτοῖς, ἀπετράπησαν. οἱ δὲ διὰ παντὸς ἄπειροι τοῦ φαρμάκου τούτου, καὶ μηδέποτε σωφρονοῦντι [42]) λόγῳ τὰς ἀκοὰς ὑπέχοντες, ὁλοκλήρως ἄθλιοι μηδεμίαν σκέπην μηδὲ προβολὴν ἔχοντες ἀπὸ τῶν παθῶν· ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ χειμαζόμενοι [43]), καθάπερ σκάφει σαθρῷ καὶ λελυμένῳ [44]), πάντων ἐν ἀγνώμονι γνώμῃ καὶ πονηρίᾳ. συμβαίνει δὲ τοὺς κακίστους καὶ ἀτυχεστάτους ὡς πορρωτάτω φεύγειν ἀπὸ τοῦ λόγου,

38) ὕδατος] Nilum designat.

39) ἵστανται] *restagnant.*

40) αὖτε] sic leg. esse, ex Homero admonuit Casaubonus, et metrum ipsum prodit. αὖ Ven. et Mor.

41) ἐξαισίων] sic recte Ven. ἐξ αἰσίων Mor.

42) σωφρονοῦντι non damno, conueniret tamen melius σωφρονίζοντι.

43) nobilis hic est versus Menandri, seruatus a Gellio 2, 23. et a Stobaeo. v. Gronov. ad Gellii l. c. et Vales. Emendat. p. 35.

44) lege et distingue sic: λελυμένῳ πάντως, *cymba modis omnibus dissuta*; ἐν ἀγνώμονι — nisi plura desunt.

καὶ μὴ ἐθέλειν ἀκούειν, μηδ᾽ ἂν βιάζηταί τις· ὥσπερ, οἶμαι, καὶ τῶν ἑλκῶν τὰ δυσχερῆ λίαν οὐκ ἐᾷ προσάψασθαι· καὶ τοῦτο αὐτὸ σημεῖόν ἐστι, τοῦ πάνυ πονήρως αὐτὰ ἔχειν. οἱ δὲ τοιοῦτοι παρ᾽ ἑτέρους ἴασιν, ἰατροὺς οὐκ ἔχοντες [45]), ἰσχυροτέρους. διττὴ γὰρ θεραπεία καὶ πρόνοια [46]) κακίας, καθάπερ τῶν ἄλλων νόσων· ἡ μὲν ἐοικυῖα διαίτῃ καὶ φαρμάκοις, ἡ δὲ καύσει καὶ τομῇ, προσήκουσα μᾶλλον ἄρχουσι καὶ νόμοις καὶ δικασταῖς, οἳ τὸ περιττὸν δὴ καὶ ἀνίατον ἐξαιροῦσι. βελτίους δέ εἰσιν, οἱ μὴ ῥᾳδίως αὐτὸ πράττοντες. τὴν δὲ ἑτέραν ἐπιμέλειαν ἔργον εἶναι φημὶ τῶν δυναμένων διὰ πειθοῦς καὶ λόγου ψυχὰς πραΰνειν καὶ μαλάττειν. οὗτοι δὲ σωτῆρες εἰσὶ καὶ φύλακες τῶν οἵων τε σώζεσθαι, πρὶν εἰς τέλος ἐλθεῖν τὴν πονηρίαν εἴργοντες καὶ κατέχοντες. δεῖ μὲν οὖν ἑκατέρων ταῖς πόλεσι, πολὺ [47]) δὲ ἐπιεικέστερον, τῶν ἐν ταῖς ἐξουσίαις. κολάζειν μὲν γὰρ προσήκει φειδόμενον, διδάσκειν δὲ μὴ φειδόμενον. καὶ χρηστοῦ μέν ἐστιν ἡγεμόνος συγγνώμη, φιλοσόφου δὲ κακοῦ, μὴ πικρὸν εἶναι. τὸ μὲν γὰρ τῆς τιμωρίας σκληρὸν [48]) ἀπόλλυσι, τὸ δὲ τοῦ λόγου πικρὸν σώζειν πέφυκε. κινδυνεύει μέντοι πολλή τις εἶναι σπάνις

ὑμῖν

45) οὐκ ἔχοντες] loco huic medicina opus esse vidit Casaubonus; sed quam ille attulit, ea minus oportuna videtur, praestantior illa, quam Anglus, οὐχ ἑκόντες. *non sponte sua, sed coacti.*

46) πρόνοια aut delend. est, aut transponend. ante κακίας. κακίας πρόνοια Mor.

47) post πολὺ δὲ desunt quaedam, quorum hanc fuisse sententiam tota loci ratio prodit: πολὺ δὲ μᾶλλον τῶν σφοδρῶν καὶ πικρῶν τῶν διὰ λόγου νουθετούντων, ἢ τῶν ἐπιεικεστέρων — *Ciuitates carere nequeunt vtroque genere medicorum,* [h. le. correctorum] *sed multo magis illorum, qui oratione castigant, acerbitate et seueritate, quam lenitate eorum opus habent, qui sunt in imperio, quos leniores esse oportet.*

48) σκληρὸν] sic recte Casaub. πλήρες Ven. et Mor.

ὑμῖν τῶν ὕστερον[49] ἐπισταμένων. οὔτε γὰρ χρήματα αὐτοῖς, οὔτε δύναμις περιγίγνεται διὰ τοῦτο, ἀλλ᾽ ἀπέχθεια μᾶλλον καὶ λοιδορία καὶ προπηλακισμός· ὧν ἴσως οὐκέτι δεῖ[50] φροντίζειν. τοιγαροῦν, διὰ τὴν ἐκείνων ἀναχώρησιν καὶ σιωπὴν, ἐρίδων ὑμῖν φύεται πλῆθος, καὶ δικῶν, καὶ βοὴ τραχεῖα, καὶ γλῶτται βλαβεραὶ, καὶ ἀκόλαστοι[51] κατήγοροι, συκοφαντήματα, γραφαὶ, ῥητόρων ὄχλος. καθάπερ, οἶμαι, δι᾽ ἔνδειαν ἰατρῶν, ἢ δι᾽ ἀπειρίαν, πλείους οἱ θάπτοντες γίγνονται. καὶ τούτων ἐν ἀρχῇ μὲν ᾐτιασάμην· τοὺς μὴ παριόντας[52] εἰς τὸ πλῆθος, μηδὲ τολμῶντας ὑμῖν διαλέγεσθαι· ἀλλὰ σεμνοὺς μὲν εἶναι βουλομένους, ἀνωφελεῖς δὲ ἐρωμένους· καὶ ὁμοίους[53] τοῖς ἀγεννέσι τῶν ἀθλητῶν, οἱ τὰς παλαίστρας ἐνοχλοῦσι καὶ τὰ γυμνάσια, χειρονομοῦντες καὶ παλαίοντες, εἰς δὲ τὸ στάδιον[54] οὐκ ἐθέλουσιν ἰέναι, τὸν ἥλιον καὶ τὰς πληγὰς ὑφορώμενοι. τὸ μέντοι πρᾶγμα δυσχερὲς ὄντως, καὶ δι᾽ ὑμᾶς. οὐ γὰρ ῥᾴδιον ἐνεγκεῖν τοσοῦδε πλήθους θόρυβον, οὐδὲ μυριάσιν ἀνθρώπων[55] ἀπείροις ἐναντίον βλέψαι, χωρὶς ᾠδῆς

49) Casaubonus vult: τῶν τὸ ἕτερον vel θἄτερον ἐπ. num τῶν τὸ ὕστερον ἐπ. *eorum, qui posteriore loco dictam medendi rationem tenent.* sed non satisfaciunt ista omnia.

50) malim οὐκ ἔδει.

51) f. sic distinguas et legas melius: γλῶσσαι βλαβεραὶ καὶ ἀκόλαστοι, *linguae nocentes* [cum ipsis, tum aliis] *et petulantes*; κατήγοροι συκοφάνται *accusatores, qui sunt calumniatores*, μάταιαι γραφαὶ *lites vanae*, ῥητόρων ὄχλος *turba caussidicorum.*

52) τοὺς μὴ παριόντας] non habent hic et insequentes accusatiui, a quo regantur et cui innitantur, adde itaque λέγω. *Et de his quidem iam statim ab exordio huius disputationis questus sum, illos dico, qui ad multitudinem non prodeunt.*

53) ὁμοίους] sic recte interpres. ὁμοίως Ven. et Mor.

54) Ven. et Mor. dant τὸν ς.

55) Ven. et Mor. dant ἀνθρώποις.

καὶ κιθάρας. τοῦτο μὲν γὰρ ἀλεξιφάρμακόν ἐστι πρὸς τὸν δῆμον ὑμῶν· καθάπερ στέαρ φασὶν ἐνίων ζώων ὠφελεῖν πρός τι τῶν χαλεπῶν. ἔγωγ' οὖν, εἰ ἦν ᾠδικὸς, οὐκ ἂν δεῦρο εἰσῆλθον δίχα μέλους τινὸς, ἢ ᾄσματος. νῦν δὲ τούτου μὲν ἀπορῶ τοῦ φαρμάκου· θεὸς δ', ὅπερ ἔφην, θαῤῥῆσαί μοι παρέσχεν,

Ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκης
Ῥηϊδίως, τοτὲ δ' αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.

εἰ οὖν τὰ τοῦ Ἑρμοῦ ἔπη κἀγὼ λέγοιμι πρὸς ὑμᾶς, οἷς [56]) ἐκεῖνος ἐν Ὀδυσσείᾳ πεποίηται Καλυψοῖ ἀπολογούμενος ὑπὲρ τῆς ἀγγελίας, ἣν ἀηδῆ οὖσαν ἐνόμιζε, τάχα ληρεῖν με φαίητε, ῥητέα δ' ὅμως·

Ζεὺς ἐμέ γ' ἠνώγει δεῦρ' ἐλθέμεν οὐκ ἐθέλοντα,
Τίς δ' ἂν ἑκὼν τοσσόνδε διαδράμοι ἁλμυρὸν ὕδωρ
Ἄσπετον; οὐδέ τις ἄγχι βροτῶν πόλις.

ἐκεῖνος μὲν θεὸς ὢν, καὶ πετόμενος δυσχεραίνει τὰ κύματα, καὶ τὸ πέλαγος, καὶ τὴν μεταξὺ τῶν πόλεων καὶ τῶν ἀνθρώπων ἐρημίαν· ἐγὼ δὲ ἄνθρωπος, οὐδεὶς οὐδαμόθεν, ἐν τριβωνίῳ φαύλῳ, μήτε ᾄδειν ἡδὺς, μήτε μεῖζον ἑτέρου φθεγγόμενος, οὐκ ἄρα ἔδεισα τὸν ὑμέτερον θροῦν, οὐδὲ τὸν γέλωτα, οὐδὲ τὴν ὀργὴν, οὐδὲ συριγμοὺς, οὐδὲ τὰ σκώμματα, οἷς πάντας ἐκπλήττετε, καὶ πανταχοῦ πάντων ἀεὶ περίεστε, καὶ ἰδιώτην, καὶ βασιλέα [57]); καὶ ταῦτα ἀκούων, Ὁμήρου τε καὶ τῶν ἄλλων ποιητῶν ὑμνούντων ἀεὶ τὸν ὄχλον, ὡς χαλεπόν τε καὶ ἀπειθῆ, καὶ πρὸς ὕβριν ἕτοιμον· τοῦ μὲν οὕτω λέγοντος·

Κινήθη δ' ἀγορὴ, ὡς κύματα μακρὰ θαλάσσης
Πόντου Ἰκαρίοιο, τὰ μέν τ' Εὖρός τε Νότος τε
Ὤρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων.

ἑτέρου

56) οἷς] sic recte interpres. ὡς Ven. et Mor.

57) verba καὶ ἰδιώτην καὶ βασιλέα aut sunt post ἐκπλήττετε collocanda, aut si quo stant loco sinuntur, leg. est καὶ ἰδιωτῶν καὶ βασιλέων.

ἑτέρου δὲ πάλιν αὖ·

— — δῆμος ἄστατον κακὸν,
Καὶ θαλάσσῃ πάνθ᾽ ὅμοιον, ὑπ᾽ ἀνέμου ῥιπίζεται.
Καὶ γαληνὸς ἔντ᾽ ἠχῷ 58), πᾶν πνεῦμα βραχὺ κορύσσεται.
Κἢν τις αἰτία γένηται τὸν πολίτην κατέπιεν.

τάχ᾽ οὖν καὶ ὑμεῖς ἐμὲ τῷ θορύβῳ καταπίοιτε καὶ τῇ ταραχῇ, βουλόμενον ὑμᾶς ὠφελεῖν. μείναντες δὲ, καὶ ἀκούσαντες διὰ τέλους, πᾶσι θαυμαστοὶ δόξετε· καὶ οὐ μόνον κρουμάτων ἔμπειροι, καὶ ὀρχημάτων, ἀλλὰ καὶ λόγων φρονίμων· ἵνα κἀμοὶ πρὸς τοὺς αἰτιωμένους καὶ καταγιγνώσκοντας, ὅτι δεῦρο εἰσῆλθον, ᾖ δικαίως ἀπολογεῖσθαι· αἰτιάσονται γὰρ, εὖ ἴστε, καὶ φήσουσι δοξοκόπον εἶναι, καὶ μαινόμενον, ὅστις ἐμαυτὸν ὄχλῳ καὶ θορύβῳ παρέβαλον. ὅπως οὖν ἔχω 59) λέγειν, ὅτι οὐ πᾶν πλῆθος ἀσελγές ἐστιν, οὐδὲ ἀνήκοον, οὐδὲ ἀπὸ παντὸς δεῖ τοὺς πεπαιδευμένους φεύγειν· σαφέστερον δ᾽ ὑμῖν, εἰ βούλεσθε, διελεύσομαι, περὶ δήμου φύσεως, τουτέστι περὶ ὑμῶν αὐτῶν. καὶ γὰρ ἕν τι τῶν χρησίμων ἐστὶ, καὶ μᾶλλον ἂν ὑμᾶς ὠφελήσειεν, ἢ περὶ οὐρανοῦ καὶ γῆς εἰ λέγοιμι. φημὶ δῆμον ἐοικέναι μάλιστα ἀνδρὶ δυνάστῃ, καὶ σφόδρα ἰσχυρῷ, μεγάλην τινὰ ἐξουσίαν καὶ ῥώμην ἔχοντι, καὶ τοσούτῳ μείζονι δυνάστῃ, καὶ ἄρχοντι πλεόνων, ὅσῳπερ ἂν αὐτὸς ᾖ πλείων ὁ δῆμος, καὶ πόλεως γενναιοτέρας. ἐκείνων μὲν οὖν εἰσὶ

58) In Veneta eſt ἐντ᾽ ἠχῶν πᾶν. num καὶ γαληνὸς ὢν (ſcil. ὁ δῆμος) ταχὺ πρὸς πνεῦμα βραχὺ κορύσσεται. *et tametſi tranquillus ſit, tamen ad leuem auram inſurgit, vt mare incipiens ſaeuire.* vel etiam in ἐντ᾽ ἠχῶν latet εὖ τ᾽ ἠχῶν *et bene ſonans*, vel ἐκήλως *pacate.* quae tamen minus probo.

59) ὅπως οὖν ἔχω] ſubaudi ὁρᾶτε. *videte igitur*, h. e. date operam, *vt dicere queam.*

βασιλεῖς[60]) θεοὶ ἐπὶ σωτηρίᾳ κοινῇ γεγονότες, κηδεμόνες ὄντως καὶ προστάται χρηστοὶ, καὶ δίκαιοι· τῶν μὲν ἀγαθῶν ἑκούσιοι ταμίαι, τῶν δὲ χαλεπῶν σπανίως μεταδιδόντες, καὶ κατὰ ἀνάγκην, κόσμῳ πόλεων ἡδόμενοι. οἱ δὲ τοὐναντίον σκληροὶ, καὶ ἄγριοι τύραννοι, χαλεποὶ μὲν ἀκοῦσαι, χαλεποὶ δὲ συμβαλεῖν· τούτων ἡ μὲν ὀργὴ πρὸς πάντα ἕτοιμος, ὥσπερ θηρίων ἀνημέρων· τὰ δὲ ὦτα ἐμπέφρακται, καὶ πάροδος οὐκ ἔστιν εἰς αὐτὰ, λόγοις ἐπιεικέσιν· ἀλλὰ κολακεία καὶ ἀπάτη κρατεῖ παρ᾽ αὐτοῖς. ὁμοίως δὲ καὶ δῆμος. ὁ μέν τις εὐγνώμων, καὶ πρᾷος, καὶ γαληνὸς ὄντως, οἷος γεύσασθαι παῤῥησίας, καὶ μὴ πάντα ἐθέλειν τρυφᾶν, ἐπιεικὴς, μεγαλόφρων, αἰδούμενος τοὺς ἀγαθοὺς, καὶ ἄνδρας, καὶ λόγους, τοῖς νουθετοῦσι καὶ διδάσκουσι χάριν εἰδώς· ὃν ἐγὼ τίθημι τῆς θείας καὶ βασιλικῆς φύσεως, καὶ προσιέναι φημὶ καὶ διαλέγεσθαι τούτῳ πρέπειν, καθάπερ ἵππον γενναῖον ἐξ ἡνίας εὐτελοῦς, πρᾴως ἄγοντα, οὐδὲν δεόμενον ψαλίων[61]). οἱ δὲ πλείους, καὶ οἱ θρασεῖς[62]) καὶ ὑπερήφανοι, δυσάρεστοι πρὸς ἅπαντα, ἀψίκοροι, τυράννοις ὅμοιοι, καὶ πολὺ χείρους· οἷα δὴ τῆς κακίας αὐτῶν οὔσης οὐ μιᾶς, οὐδὲ ἁπλῆς, ἀλλὰ συμπεφορημένης ἐκ μυρίων· ὥστε πάνυ ποικίλον τε[63]) καὶ δεινὸν εἶναι θηρίον, οἷα ποιηταὶ καὶ δημιουργοὶ πλάττουσιν Κενταύρους τε καὶ Σφίγγας, καὶ Χιμαίρας, ἐκ παντοδαπῶν φύσεων εἰς μίαν μορφὴν εἰδώλου ξυντιθέντες. τῷ δὲ τοιούτῳ τέρατι ξυμπλέκεσθαι καὶ ὁμόσε ἰέναι, μαινομένου

τινὸς

60) malim εἰσὶν οἱ μὲν βασιλεῖς. *Imperant ciuitatibus alii, vt reges, qui sunt dii — alii, vt tyranni.*

61) ψαλίων] *annulis* reddidit interpres. Valesius Emend. p. 60. vertit *frenis.* sed sunt *lupata* seu bacilli ferrei ori inserti.

62) οἱ δὲ πλείους θρασεῖς, sine καὶ οἱ interiecto.

63) τε] malim τι.

τινὸς ἀληθῶς ἔργον, ἢ σφόδρα ἀνδρείου, καὶ πτηνοῦ Περσέως, ἢ Βελλεροφόντου. τὸν γοῦν τῶν 64) Ἀλεξανδρέων δῆμον τὸν ἄπειρον, ὥς φασι, ποίας μερίδος θῶμεν; ἐγὼ μὲν γὰρ ὡς τῆς βελτίονος οὖσιν ὑμῖν παρέσχηκα ἐμαυτόν. ἴσως δὲ καὶ ἄλλος προαιρήσεται 65) τῶν ἐμοῦ κρειττόνων. καὶ μὴν οὐδὲ ἔχετε θέαμα κάλλιον καὶ παραδοξότερον αὐτῶν, σωφρονούντων καὶ προσεχόντων. θεῖον γὰρ δὴ καὶ σεμνὸν ἀληθῶς, καὶ μεγαλοπρεπὲς, δήμου πρόσωπον πρᾶον καθεστηκὸς, καὶ μήτε γέλωτι σφοδρῷ καὶ ἀκολάστῳ βρασσόμενον, μήτε θορύβῳ συνεχεῖ καὶ ἀτάκτῳ 66) τεταραγμένον· ἀλλ᾽ ἀκοὴ μία τοσοῦδε πλήθους. ἴδετε δὲ αὐτοὺς ἐν τῷ παρόντι, καὶ ὅταν τὰ συνήθη θεωρῆτε, οἷοι ἐστέ. ἐμοὶ γὰρ νῦν μὲν ἀξιοθέατοι δοκεῖτε εἶναι, καὶ ἰδιώταις καὶ βασιλεῦσι. καὶ οὐδείς ἐστιν, ὃς οὐκ ἂν, εἰσελθὼν, καταπλαγείη τε ὑμᾶς, καὶ τιμήσειεν· ὥστε, εἰ μηδὲν ἄλλο, τοῦτό γε ὑμῖν ὁ λόγος παρέσχηκεν οὐ σμικρὸν, μίαν ὥραν σωφρονῆσαι. καὶ γὰρ τοῖς νοσοῦσι μεγάλη ῥοπὴ πρὸς σωτηρίαν σμικρὸν ἡσυχάσασιν. ἐν δὲ ταῖς ἄλλαις σπουδαῖς 67), ὅταν ὑμῖν ἐμπέσῃ τὸ τῆς ἀταξίας πνεῦμα· ὥσπερ οὖν 68) ταχὺς ἄνεμος κινήσῃ θάλασσαν, ἰλυώδη καὶ ῥυπαρὰν, ἀτεχνῶς, οἶμαι, καθ᾽ Ὅμηρον ὁρᾶται ἀφρός τε καὶ ἄχνη, καὶ φυκίων πλῆθος ἐκχεομένων· ὡσαύτως δὴ καὶ παρ᾽ ὑμῖν σκώμματα, πληγαὶ, γέλως. τίς ἂν οὖν τοὺς οὕτω διακειμέ-

64) τῶν] Ven. et Mor. dant τὸν.

65) προαιρήσεται] scil. παρέχειν ἑαυτόν.

66) ἀτάκτῳ] *in quo locus non est ordini bono.* sed non valde placet. num ἀτέγκτῳ *baud cedenti*, qui se molliri, frangi non patitur. an ἀκαθέκτῳ *compesci haud facili*, aut ἀκαταπαύστῳ.

67) σπουδαῖς] sic Valesius Emend. p. 60. *studiis.* σπονδαῖς Ven. et Mor.

68) malim ὥσπερ ἂν εἰ, vel vna voce ὡσπερανεί.

κειμένους ἐπαινέσειεν; οὐ γὰρ διὰ τοῦτο καὶ τοῖς ἄρχουσιν εὐτελέστεροι φαίνεσθε; καὶ πρότερόν τινα εἰρηκέναι φασί· τὸ δὲ Ἀλεξανδρέων πλῆθος, τί ἂν εἴποι τις, οἷς μόνον δεῖ παραβάλλειν τὸν πολὺν ἄρτον· (οὕτω γὰρ εἰρῆσθαι πολὺ βέλτιον·) καὶ θέαν ἵππων, ὡς τῶν γε ἄλλων, οὐδενὸς αὐτοῖς μέλει. οὐ γὰρ ὑμεῖς μέν, ἄν τις ἀσχημονῇ τῶν μειζόνων ἐν τῷ μέσῳ πάντων ὁρώντων, καταφρονεῖτε 69) αὐτοῦ, καὶ νομίζετε οὐδενὸς ἄξιον, κἂν μυριάκις ὑμῶν ἔχῃ τινὰ ἐξουσίαν· αὐτοὶ δὲ δύνασθε σεμνοὶ δοκεῖν καὶ σπουδαῖοι, τοιαῦτα πράττοντες. οὐκ ἴστε, ὅτι, ὥσπερ ἡγεμὼν καὶ βασιλεὺς ὅταν προέλθῃ, τότε σαφέστατα ὁρᾶται, καὶ δεῖ μηδὲν ἀγεννὲς μηδὲ αἰσχρὸν ποιεῖν· παραπλησίως καὶ δῆμος, ὅταν εἰς τοῦτο 70) προέλθῃ, καὶ ἀθρόως 71) γένηται; χρὴ μὲν γάρ, οἶμαι, καὶ τὸν ἄλλον χρόνον σωφρονεῖν ὑμᾶς· ἀλλ᾽ ὅμως, ὅταν 72) πράττῃ τις καθ᾽ αὑτόν, οὐ κοινόν ἐστι τοῦτο, οὐδὲ τῆς πόλεως· ἐν τῷ θεάτρῳ δὲ βλέπεται τὸ δημόσιον ἦθος. ὑμεῖς δὲ μάλιστα ἐνταῦθα 73) ἀφυλάκτως ἔχετε, καὶ προΐεσθε 74) τὴν δόξαν τῆς πόλεως· ὥσπερ αἱ κακαὶ γυναῖκες, δέον αὐτάς, κἂν οἴκοι μὴ σωφρονῶσιν, ἔξω γε προϊέναι κοσμίως· αἱ δὲ μάλιστα ἐν ταῖς ὁδοῖς πλεῖστα ἁμαρτάνουσι. τί οὖν; τάχα ἐρεῖ τις, τοῦτο μόνον ἁμαρτάνομεν τὸ φαύλως θεωρεῖν; καὶ περὶ τούτου μόνου λέγεις ἡμῖν, ἄλλο δ᾽ οὐθέν; δέδοικας 75) ἅμα τὸ περὶ πάντων διεξελθεῖν; καίτοι,

τάχα

69) malim καταφρονήσετε.
70) malim εἰς ταὐτό. *in vnum conueniat.*
71) imo vero ἀθρόος in adiect.
72) ὅταν] malim ὅ, τι ἄν, vel ὅ γ᾽ ἄν. *quicquid agat aliquis domi suae, priuatim.* v. p. 672, 18.
73) ἐνταῦθα] ἐνταῦτα Ven. et ἐνθαῦτα Mor.
74) προΐεσθε] *proditis, omittitis vltro, abiicitis.* idem sensisse videtur interpres quoque, qui reddidit *destituitis.* Ven. et Mor. dant προήσεσθε.
75) malim ἢ δέδοικας. melius quoque hoc ipso versu τὸ absit.

τάχα φήσει τις, ὡς πολλὰ λέγων, οὐθὲν ὑμῖν συμβεβούλευκα, οὐδὲ εἴρηκα σαφῶς, ἐφ' ᾧ μάλιστα ἐπιτιμῶ· τοῦτο δὲ ἔργον εἶναι τοῦ διδάσκοντος. ἐγὼ δὲ καὶ νῦν μὲν ἡγοῦμαι, πολλὰ καὶ χρήσιμα εἰρηκέναι τοῖς προσέχουσι, καὶ περὶ θεοῦ, καὶ περὶ δήμου φύσεως, καὶ περὶ τοῦ δεῖν ἀκούειν, καὶ μὴ[76] πείθεσθαι λόγων. τοῦτο γάρ, οἶμαι, καὶ ἀναγκαιότατον ἦν, παρασκευάσαι πρῶτον ὑμᾶς ὑπομένοντας ἀκούειν. ὥστ', εἰ μηδὲν ἄλλο παρέσχηκεν ὑμῖν μέγα ὁ λόγος, τοῦτο γοῦν, ὅτι τοσοῦτον χρόνον κάθησθε[77] σωφρονοῦντες. καὶ γὰρ[78] τοῖς νοσοῦσι μεγάλη ῥοπὴ πρὸς σωτηρίαν, μικρὸν ἡσυχάσασι. καὶ μὴν περί γε τῶν ἄλλων, τὸ μὲν πάντα ἐπεξελθεῖν, καὶ ταῦτα ἐν ἡμέρᾳ μιᾷ, καὶ τελέως ὑμᾶς ἀναγκάσαι καταγνῶναι τῆς κακίας καὶ τῶν ἁμαρτημάτων, οὐ δυνατόν.

Οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν.
Εἰ μὴ Ὀλυμπιάδες Μοῦσαι, Διὸς Αἰγιόχοιο
Θυγατέρες, μνησαίαθ', ὅση κακότης παρὰ πᾶσιν.
οὐχ ὑμῖν μόνοις.

αὐτὸ δὲ τοῦτο, περὶ οὗ λέγειν ἠρξάμην, ὁρᾶτε ἡλίκον ἐστίν. ὅπως μὲν γὰρ ἑστιᾶσθε καθ' ἑαυτοὺς, ἢ κοιμᾶσθε, ἢ διοικεῖτε τὴν οἰκίαν, ἕκαστος οὐ πάνυ δῆλός ἐστιν· ὅπως μέντοι θεωρεῖτε, καὶ ποῖοί τινες ἐνθάδε ἐστὲ, ἅπαντες Ἕλληνες καὶ βάρβαροι ἴσασιν. ἡ γὰρ πόλις ὑμῶν τῷ μεγέθει καὶ τῷ τόπῳ πλεῖστον ὅσον διαφέρει, καὶ περιφανῶς ἀποδέδεικται δευτέρα

76) aut plane delendum est μὴ, aut cum δὴ mutandum, vt sit καὶ δὴ πείθεσθαι, λέγων: sic enim est pro λόγων legendum. cohaeret λέγων cum ἡγοῦμαι εἰρηκέναι. *qui de necessitate audiendi, et auditis itaque parendi, disputauerim.* minus placet hic Casaubonus.

77) κάθησθε] Ven. et Mor. dant κάθισθε.

78) tota haec sententia e p. 667, 19. repetita nescio an sit plane inducenda.

τέρα τῶν ὑπὸ τὸν ἥλιον. ἥ τε γὰρ Αἴγυπτος ὑμῶν [79], τηλικοῦτον ἔθνος, σῶμα τῆς πόλεώς ἐστι, μᾶλλον δὲ προσθήκη. τοῦ τε γὰρ [80] ποταμοῦ τὸ ἴδιον τῆς φύσεως καὶ παρὰ τοὺς ἄλλους ἅπαντας, λόγου μεῖζον, τό τε θαυμαστὸν αὐτοῦ καὶ τὸ ὠφέλιμον· τήν τε θάλατταν τὴν καθ' ὑμᾶς [81] ἅπασαν ἐκδέχεσθε [82], κάλλη τε λιμένων, καὶ μεγέθη στόλου, καὶ τῶν πανταχοῦ γιγνομένων ἀφθονία καὶ διάθεσις [83]· καὶ τὴν ἔξωθεν [84] ὑπερκειμένην ἔχετε, τήν τε Ἐρυθρὰν καὶ τὴν Ἰνδικήν, ἧς πρότερον τὸ ὄνομα ἀκοῦσαι χαλεπὸν ἦν· ὥστε τὰς ἐμπορίας, οὐ νήσων, οὐδὲ λιμένων, οὐδὲ πορθμῶν τινων καὶ ἰσθμῶν, ἀλλὰ σχεδὸν ἁπάσης τῆς οἰκουμένης γίγνεσθαι παρ' ὑμῖν. κεῖται γὰρ ἐν συνδέσμῳ τινὶ τῆς ὅλης γῆς, καὶ τῶν πλείστων [85] ἀπῳκισμένων ἐθνῶν· ὥσπερ ἀγορὰ μιᾶς πόλεως

79) ὑμῶν est aut plane del. aut malim ὑμῖν.

80) aut del. est γάρ, aut leg. τοῦ τε παρ' ὑμῖν ποταμοῦ.

81) ὑμᾶς bene habet, tametsi Anglus malit ἡμᾶς. eodem vtrumque redit. mare mediterraneum poterat Dio, memor se graecum esse, τὴν καθ' ἡμᾶς θάλατταν *mare nostrum* appellare; sed cum Alexandrinis, eidem mari assitis, agens, non minus recte τὴν καθ' ὑμᾶς idem mare potuit appellare.

82) ἐκδέχεσθε] sic recte interpres. et videtur Anglus quoque sic reliquisse, tametsi operae Wolfianae ἐκδέχησθε repraesentarint. ἐκδέχεσθαι Ven. et Mor. nil praeterea h. l. corruptum est. Alexandrini recte dicuntur Dioni totum mare mediterraneum excepisse, qui naues. ex omnibus huius maris oris illuc confluentes hospitio exciperent. Casaubonus h. l. a vero aberrauit.

83) διάθεσις] *distractio*, *venditio*. dicitur mercator merces suas διατίθεσθαι, cum eas extrudit, diuendit, argento mutat. nos dicimus *Vertrieb der Waaren*.

84) τὴν ἔξωθεν] mare mediterraneum veteres τὴν ἔσω, *internum*, oceanum, τὴν ἔξω *externum* vsurpabant.

85) l. πλείστων. *in nodo quasi vniuersi terrarum orbis et populorum, quam longissime a nobis et a semet dissitorum.*

πόλεως εἰς ταυτὸ ξυνάγουσα πάντας, καὶ δεικνύουσά γε[86]) ἀλλήλοις, καὶ καθ᾽ ὅσον οἷόν τε, ὁμοφύλους ποιοῦσα. ἴσως οὖν χαίρετε ἀκούοντες, καὶ νομίζετε ἐπαινεῖσθαι ταῦτα ἐμοῦ λέγοντος, ὥσπερ ὑπὸ τῶν ἄλλων τῶν ἀεὶ θωπευόντων ὑμᾶς; ἐγὼ δὲ ἐπήνεσα ὕδωρ, καὶ γῆν, καὶ λιμένας, καὶ τόπους, καὶ πάντα μᾶλλον, ἢ ὑμᾶς. ποῦ γὰρ εἶπον, ὡς ἐστὲ φρόνιμοι, καὶ σώφρονες, καὶ δίκαιοι; οὐχὶ τἀναντία τούτων; ἔστι γὰρ ἀνθρώπων ἔπαινος, εὐταξία, πρᾳότης, ὁμόνοια, κόσμος πολιτείας, τὸ προσέχειν τοῖς ὀρθῶς λέγουσι, τὸ μὴ πάντοτε ζητεῖν ἡδονάς. ἀναγωγαὶ δὲ καὶ ἀνακρίσεις[87]), καὶ πλήθους ὑπερβολὴ, καὶ ὠνίων, καὶ νεῶν, πανηγύρεως, καὶ λιμένος, καὶ ἀγορᾶς, ἔστιν ἐγκώμιον, οὐ πόλεως. οὐδὲ γὰρ, ἂν ὕδωρ ἐπαινῇ τις, ἀνθρώπων ἔπαινος οὗτός ἐστιν, ἀλλὰ φρεάτων. οὐδ᾽ ἂν περὶ εὐκρασίας λέγῃ τις, τοὺς ἀνθρώπους εἶναι φησὶν ἀγαθοὺς, ἀλλὰ τὴν χώραν.

86) γε] l. τε.

87) *ἀνακρίσεις* ſuſpectum eſt Caſaubono. mihi videtur defendi et probari poſſe. Quid e Plauto notius, quam in portum confluentes ciues, naue recens appulſa, ex appellentibus requirere, quid ille ſuorum amicorum illic degens, aut ille agat, qui valeant, qua ipſi fortuna itineris vſi ſint, quid mercium, quid nunciorum e peregrinis terris aduexerint, et quae ſunt alia huiusmodi. v. p. 392, 14. ed. Mor. vnum hoc obſtet, quod deſit oppoſitum ei, *ἐπιστάλματα*. vt ex appellentibus in portum requirimus iſta, quae modo diximus, ita contra ſoluentibus e portu iniungimus mandata amicis noſtris procul degentibus perferenda. ſic pariter vocabulo *ἀναγωγαὶ*, *excurſiones nauium e portu*, deſunt oppoſitae *καταγωγαί*, *appulſus in portum.* Ergone leg. *ἀναγωγαὶ δὲ καὶ καταγωγαὶ καὶ ἐπιστάλματα καὶ ἀνακρίσεις.* Si quid in hoc vocabulo ſit mutandum, ſuſpicer de *ἀναιρέσεις*. Eſt *ἀναίρεσις importatio mercium et onerum in naues, oneratio*, vt contra *ἐξαίρεσις exoneratio.*

χώραν. οὐδ' ἂν περὶ ἰχθύων[88]), τὴν πόλιν ἐπαινῇ[89]). πόθεν; ἀλλὰ θάλατταν, ἢ λίμνην, ἢ ποταμόν. ὑμεῖς δὲ, ἂν ἐγκωμιάζῃ τις τὸν Νεῖλον, ἐπαίρεσθε, ὥσπερ αὐτοὶ ῥέοντες ἀπὸ Αἰθιοπίας. σχεδὸν δὲ καὶ τῶν ἄλλων οἱ πλείους ἐπὶ τοῖς τοιούτοις χαίρουσι, καὶ μακαρίους ἑαυτοὺς κρίνουσιν, ἂν οἰκῶσι, καθ' Ὅμηρον, νῆσον δενδρήεσσαν, ἢ βαθεῖαν, ἤ τινα ἤπειρον εὔβοτόν τε καὶ εὔμηλον, ἢ πρὸς ὄρεσι σκιεροῖς, ἢ πηγαῖς διαυγέσιν· ὧν οὐδὲν ἴδιόν ἐστιν ἐκείνων. ἀρετῆς δὲ οὐδὲ ὄναρ αὐτοῖς μέλει. ἐγὼ δὲ τούτων ἐμνήσθην, οὔτε ὑμᾶς ἐπαίρων, οὔτε τοῖς συνήθως ὑμνοῦσιν αὐτὰ ῥήτορσιν, ἢ ποιηταῖς, παραβάλλων ἐμαυτόν. δεινοὶ γὰρ ἐκεῖνοι καὶ μεγάλοι σοφισταὶ καὶ γόητες· τὰ δ' ἡμέτερα φαῦλα, καὶ πεζὰ ἐν τοῖς λόγοις· οὐ μέντοι περὶ φαύλων. τὰ μὲν γὰρ λεγόμενα αὐτὰ, οὐ μεγάλα· περὶ μεγίστων δὲ, ὡς οἷόν τε. καὶ νῦν εἶπον τὰ περὶ τῆς πόλεως, δεῖξαι βουλόμενος ὑμῖν, ὡς, ὅ τι ἂν ἀσχημονῆτε, οὐ κρύφα γίγνεται τοῦτο, οὐδ' ἐν ὀλίγοις, ἀλλ' ἐν ἅπασιν ἀνθρώποις. ὁρῶ γὰρ ἔγωγε οὐ μόνον Ἕλληνας παρ' ὑμῖν, οὐδ' Ἰταλοὺς, οὐδὲ ἀπὸ τῶν πλησίον Συρίας, Λιβύης, Κιλικίας, οὐδ' ὑπὲρ[90]) τοὺς ἐκείνους Αἰθίοπας, οὐδὲ Ἄραβας· ἀλλὰ καὶ Βακτρίους, καὶ Σκύθας, καὶ Πέρσας, καὶ Ἰνδῶν τινας, οἳ συνθεῶνται καὶ πάρεισιν ἑκάστοτε ὑμῖν· ὥστε ὑμεῖς μὲν ἀκούετε ἑνὸς, ἂν οὕτω τύχῃ, κιθαρῳδοῦ, καὶ τοῦ συνήθους[91])· ἀκούεσθε δὲ ὑπὸ μυρίων

88) οὐδ' ἂν περὶ ἰχθύων] subaudi a communi λέγῃ. *neque si de piscibus commemoret, laudet urbem.*

89) pro ἐπαινῇ malim ἐπαινεῖ, ob praemissum φησίν.

90) Casaubonus vult ὑπερτάτους ad sententiam bene; sed nescio, an propius a manu Dionis sit ὑπάτους *summos* vel *extremos*, vt qui in extremo terrarum orbe, qui veteribus esset cognitus, habitarent.

91) καὶ τοῦ συνήθους non culpo, malim tamen καὶ τούτου σ. *eumque consuetum vobis*, quem iam saepissime audiueritis.

μυρίων ἐθνῶν οὐκ ἐπισταμένων ὑμᾶς· καὶ ὁρᾶτε μὲν τρεῖς, ἢ τέτταρας ἡνιόχους, ὁρᾶσθε δὲ ὑπὸ τοσούτων μὲν Ἑλλήνων, τοσούτων δὲ βαρβάρων. τί οὖν οἴεσθε τούτους ἐπὶ γῆς πέρατα ἐλθόντας λέγειν; οὐχ ὡς πόλιν εἶδον 92), τὰ μὲν ἄλλα θαυμαστὴν, καὶ τῶν ἀνθρωπίνων θεαμάτων πάντων κρεῖττον θέαμα, κόσμῳ τε ἱερῶν, καὶ πλήθει πολιτῶν, καὶ τῶν ἐπιτηδείων περιουσίᾳ, πάντα ἀκριβῶς διεξιόντας, ὡς ἂν δύνωνται, τοῖς αὐτῶν, ἃ καὶ μικρὸν ἔμπροσθεν εἶπον, τὰ 93) τοῦ Νείλου, καὶ τῆς χώρας, καὶ τῆς θαλάττης· καὶ τὸ μέγιστον, τὴν ἐπιφάνειαν τοῦ θεοῦ· μαινομένην δὲ ὑπὸ ᾠδῆς, καὶ δρόμων ἱππικῶν, καὶ μηδὲν ἄξιον πράττουσαν ἐν τοῖς ἑαυτῆς 94); οἱ γὰρ ἄνθρωποι θύοντες μέν εἰσι μέτριοι, καὶ βαδίζοντες καθ' ἑαυτοὺς, καὶ τἄλλα πράττοντες· ὅταν δὲ εἰς τὸ θέατρον εἰσέλθωσιν, ἢ τὸ στάδιον, ὥσπερ φαρμάκων αὐτοῖς ἐκεῖ κατορωρυγμένων 95), οὐδὲν οἴδασι τῶν προτέρων, οὐδὲ αἰσχύνονται λέγειν, ἢ ποιεῖν, ὅ τι ἂν αὐτοῖς ἐπέλθῃ· τὸ δὲ πάντων χαλεπώτατον, ἐσπουδακότες περὶ τὴν θέαν, οὐχ ὁρῶσι, καὶ ἀκούειν ἐθέλοντες οὐκ ἀκούουσι, σαφῶς ἐξεστηκότες καὶ παρανοοῦντες· οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ παῖδες

92) εἶδον] sic recte Casaub. εἴδομεν Ven. et Mor.

93) τὰ τοῦ Νείλου] sic recte Ven. quod coniectura Casaubonus est odoratus. poterat etiam, ni certiora daret Veneta, altera eiusdem Casauboni coniectura περὶ τοῦ νείλου probari, in qua consentientem habet Anglum. potest item vtraque lectio copulari, vt sit τὰ περὶ τοῦ ν.

94) Anglus vult ἐν τούτοις ἑαυτῆς, quod possit ferri. malim tamen ἐν τοῖς θεάτροις ἑαυτῆς.

95) κατορωρυγμένων] digitum intendit ad Talismanes vulgo sic dictos, τὰ τελέσματα, de quorum veritate Aegyptios et Arabas illis finitimos adhuc hodie certissime persuasos esse testantur libri omnes, qui de moribus et rebus illarum regionum exponunt, scripti ab oculatis testibus. conf. Gottfr. Olearius ad Philostratum p. 112, et 147.

δες καὶ γύναια. ἐπειδὰν δὲ παύσηται τὸ δεινὸν, καὶ διαλυθῶσι, τὸ μὲν ἀκμαιότερον ἔσβεσται τῆς ταραχῆς· ἔτι δὲ ἔν τε συνόδοις καὶ στενωποῖς μένει, καὶ δι' ὅλης τῆς πόλεως [96]) ἐπὶ συχνὰς ἡμέρας· καθάπερ ἐμπρησμοῦ μεγάλου λήξαντος, ἰδεῖν ἐστι μέχρι πολλοῦ τήν τε λιγνὺν, καὶ μέρη τινὰ φλεγόμενα. καίτοι τάχα ἐρεῖ τις τῶν Περσῶν, ἢ τῶν Βακτρίων, ὡς αὐτοὶ μὲν ἴσασιν ἱππεύειν, καὶ σχεδὸν ἄριστοι δοκοῦσιν ἱππεῖς· τὸ γὰρ πρᾶγμα ὑπὲρ ἀρχῆς καὶ ἐλευθερίας ἐπιτηδεύουσιν· ἀλλ' ὅμως οὐδὲν τοιοῦτον, οὐδ' αὖ ὅμοιον πεπόνθασιν· ὑμεῖς δὲ οὐδεπώποτε αὐτοὶ θιγόντες, οὐδ' ἐπιβάντες ἵππων, οὐ δύνασθε κατέχειν αὑτοὺς, ἀλλ' ἐστὲ ὅμοιοι χωλοῖς ὑπὲρ δρόμου ἐρίζουσι. τοιγαροῦν δειλοὶ ὄντες καὶ ἀστράτευτοι, πολλὰς ἤδη νενικήκατε ἱππομαχίας. σκοπεῖτε δὲ, μὴ περὶ ὑμῶν ἀληθέστερον οὗτοι λέγουσιν [97]), ἢ περὶ τῶν Ἑλλήνων Ἀνάχαρσιν τὸν Σκύθην φασὶν εἰπεῖν· ἐδόκει μὲν γὰρ εἶναι τῶν σοφῶν [98])· ἧκε δὲ εἰς τὴν Ἑλλάδα θεασόμενος, οἶμαι, τά τε ἤθη καὶ τοὺς ἀνθρώπους. ἔλεγεν οὖν, ὡς ἔστιν ἐν ἑκάστῃ πόλει τῶν Ἑλλήνων ἀποδεδειγμένον χωρίον, ἐν ᾧ μαίνονται καθ' ἡμέραν· τὸ γυμνάσιον λέγων· ἐπειδὰν [99]) γὰρ ἐλθόντες ἀποδύσωνται, χρίονται [100]) φαρμάκῳ. τοῦτο δὲ, ἔφη, κινεῖν αὐτοῖς τὴν μανίαν. εὐθὺς γὰρ οἱ μὲν τρέχουσιν, οἱ δὲ καταβάλλουσιν ἀλλήλους· οἱ δὲ τὼ χεῖρε ἀνατείναντες, μάχονται πρὸς οὐδένα ἀνθρώπων; οἱ δὲ παίονται. ταῦτα δὲ ποιήσαντες, ἀποξυσάμενοι τὸ φάρμακον, αὐτί-

κα

96) post πόλεως videtur χωρεῖ vel simile quoddam verbum deesse; tametsi hoc quidem pro certo asseuerare nolim. potest enim oratio vel sine eo integra esse.

97) malim λέγωσιν.

98) melius legatur τῶν ἐκεῖ σοφῶν.

99) ἐπειδὰν] sic recte Ven. ἐπειδὴ Mor.

100) malim χρίωνται.

κα σωφρονοῦσι, καὶ φιλικῶς αὐτοῖς ἤδη ἔχοντες, βαδίζουσι κάτω ὁρῶντες, αἰσχυνόμενοι τοῖς πεπραγμένοις. ἐκεῖνος μὲν παίζων καὶ καταγελῶν οὐ φαύλου πράγματος, ὡς ἐγὼ δοκῶ, ταῦτα ἔλεγε. περὶ δὲ ὑμῶν τί ἂν τις ἔχοι λέγειν; καὶ γὰρ ὑμεῖς ὅταν συνέλθητε; πυκτεύετε, βοᾶτε, ῥιπτεῖτε, ὀρχεῖσθε, ποίῳ χρησάμενοι 1) φαρμάκῳ; δηλονότι τῷ τῆς ἀνοίας· ὡς 2) οὐκ ἦν ὑμῖν ἐπιεικῶς αὐτὰ ὁρᾶν. μὴ γὰρ τοῦτο 3) οἴεσθε λέγειν, ὡς οὐ χρὴ καὶ τὰ τοιαῦτα γίγνεσθαι ἐν ταῖς πόλεσι· χρὴ γὰρ 4) ἴσως, καὶ ἀναγκαῖόν ἐστι, διὰ τὴν τῶν πολλῶν ἀσθένειαν καὶ σχολὴν, ἴσως δὲ καὶ τῶν βελτιόνων εἰσὶν οἱ δεόμενοί τινος διατριβῆς καὶ παραμυθίας ἐν τῷ βίῳ· δεῖ δὲ μετὰ κόσμου καὶ σχήματος πρέποντος ἀνθρώποις ἐλευθέροις. οὐ γὰρ παρὰ 5) τοῦτο, οὔτε τῶν ἵππων οὐδεὶς δραμεῖται βραδιον, οὐδὲ χεῖρον ᾄσεταί τις τῶν ᾀδόντων, ἂν εὐσχημονῆτε ὑμεῖς. νυνὶ δὲ τὸ μὲν τῶν ἡνιόχων τινὰ ἐκπεσεῖν ἐκ τοῦ δίφρου, δεινὸν ἡγεῖσθε καὶ συμφορὰν πασῶν μεγίστην· αὐτοὶ δὲ ἐκπίπτοντες ἐκ τοῦ κόσμου τοῦ προσήκοντος, καὶ τῆς ἀξίας τῆς ἑαυτῶν, οὐ φροντίζετε. κἂν μὲν ὑμῖν ὁ κιθαρῳδὸς ἐκμελῶς ᾄδῃ, καὶ παρὰ τὸν τόνον, συνίετε· αὐτοὶ δὲ παντελῶς ἔξω τῆς ἁρμονίας

1) χρησάμενοι potest vtique defendi, praefero tamen cum Petro Fabro Agonist. 2, 30. χρισάμενοι a verbo χρίω, *vngo.* v. p. 674. 6. a fin.

2) ὡς videtur delendum. *Non licebat vobis ista* [spectacula puta) *placide et modeste spectare?* est interrogatio stomachi plena.

3) malim τοῦτό με οἴεσθε.

4) malim sic distingui: χρὴ γάρ. *conuenit enim.* ἴσως καὶ ἀναγκαῖόν ἐστι. *fortasse quoque necesse sit.*

5) παρὰ] sic Casaub. et Anglus recte. *non enim ideo, quod vos ita clamare et contendere, veluti dementes, desinatis, sed decenter spectetis, neque current equi tardius, neque* — Ven. et Mor. dant περὶ.

τῆς κατὰ φύσιν γιγνόμενοι, καὶ σφόδρα ἀμέσως ἔχοντες, οὐδὲν διαφέρεσθε. καίτοι πόσοι διὰ ταῦθ' ὑμῶν ἀπολώλασιν; ἀδοξοῦσι μὲν γὰρ πάντες. αἱ δὲ Σειρῆνες ἄλλο τι ἐποίουν, ὡς ὁ μῦθος φησὶν, οὐκ ἀπώλλυον τοὺς σφόδρα ἡσθέντας αὐταῖς; ἀλλ' ἐκεῖναι μὲν ἐν ἐρήμῳ ἦσαν πελάγει, καὶ μακρὰν ἀπῳκισμέναι καθ' αὑτὰς, ἐπὶ σκοπέλου τινὸς, ὅπου μηδεὶς ῥᾳδίως παρέβαλλε· κἀκεῖ δ' ὁ νοῦν ἔχων ἐσώθη, καὶ μεθ' ἡσυχίας ἤκουσεν. οὗτοι δὲ [6]) σχεδὸν ἐν μέσῳ τῆς οἰκουμένης, ἐν τῇ πολυανθρωποτάτῃ πασῶν πόλει τοιαῦτα ἐργάζονται· μὰ Δί', οὐ δι' αὑτῶν τινα ἡδονὴν ἢ δύναμιν, ἀλλὰ διὰ τὴν ὑμετέραν ἀβελτηρίαν. διὰ τί γὰρ ἔξω [7]) παραπλησίως ἀκούονται τοῖς ἄλλοις, καὶ πολλάκις ἀηδεῖς ἔδοξαν, μὴ τὰ ὦτα ἐπαλήλιπται [8]) τῶν ἐκεῖ. τί οὖν τοῦτο δείκνυσι; μὰ Δί', οὐ μουσικῆς ἰσχὺν, οὐδ' ὑπερβολὴν τέχνης, ἀλλ' ἀκροατῶν κουφότητα, καὶ πόλεως ἀσθένειαν. φασὶ γοῦν ἤδη τινὰς τῶν ἀπολωλότων διὰ τὴν [9]) τοιαύτην πρόφασιν νεανιεύσασθαι, μὴ παραιτουμένους τὸν θάνατον, ἀλλὰ προσλιπαροῦντας, ὅπως ἀκούσωσιν ἐπιπλέον. τοῦτο δ' ἐστὶ θαυμαστὸν [10]) ἐπ' ὀνείδει καὶ καταγέλωτι τῆς πόλεως· εἰ παρὰ μὲν τοῖς ἄλλοις ἀριστεῖς καὶ τυραννοκτόνοι μνημονεύονται, σωτηρίας ἕνεκεν τῶν πατρίδων ἐπιδιδόντες αὑτούς· παρὰ δὲ ὑμῖν ὑπὲρ χορδῆς τοῦτο πάσχουσι, καὶ δι' ἡδονὴν μικρὰν, μᾶλλον δὲ δόξαν κενήν.

6) οὗτοι δὲ] citharoedi puta Alexandrinorum scenici.

7) ἔξω] *extra Alexandriam, in aliis oppidis aliarum regionum.* Aliter exponit Casaubonus, non multo tamen.

8) ἐπαλήλιπται] Ven. et Mor. dant ἐπαλήλειπται.

9) aut plane delendum est τὴν, aut cum τινα mutandum.

10) sententia est haec: *hoc autem mirandum quidem est, sed ita, ut ad dedecus et derisum ciuitatis pertineat.* idem est ac si dixisset: ἀλλὰ τοῦτό ἐστι μὲν θαυμαστόν τι, θαυμαστὸν δὲ, οὐκ ἐπὶ δόξῃ, ἀλλ' ἐπ' ὀνείδει τῆς πόλεως.

κενήν. οὐ γὰρ ἡδόμενοι τοσοῦτον, ὅσον οἰόμενοι, καὶ βουλόμενοι, προΐενται σφᾶς αὐτούς. τοσαύτη δ' ἐστὶ δυστυχία τῶν ταλαιπώρων, ὥστε ἀνδρεῖον ἡγοῦνται τὸ πάντων ἀνανδρότατον, καὶ σεμνὸν τὸ αἴσχιστον. ἑλοίμην γὰρ ἂν ἔγωγε ληστεύων ἀποθανεῖν, ἢ διὰ τοιαύτην αἰτίαν. τὸ μὲν γάρ ἐστιν ἀνδρὸς πονηροῦ θάνατος, τὸ δὲ ἀνδραπόδου δυστυχοῦς. κἀκεῖνος μὲν ἀδικηθεὶς ἴσως, ἐπὶ τοῦτο ἦλθεν, ὑπὲρ τοὺς νόμους ἀμύνασθαι προέμενος [11]), καὶ τάχα τι καὶ γενναῖον ἐδύνατο πράξας [12]), μὴ τοιούτου τυχὼν δαίμονος. ὁδὶ δὲ [13]) κραυγῇ μόνον καὶ ἀνοίᾳ δυστυχῆ φθόγγον, καὶ κακὴν ἔγκλισιν, καὶ τὰς ἐκμελεῖς καμπὰς, καὶ λήρους, καὶ κυνισμοὺς [14]), καὶ ὀλέθρους, ἀκλεῶς ἀπολλύμενος. ἔστι δὲ ὁ τοιοῦτος, μυίας θάνατος. καὶ γὰρ ἐκείναις ὅ, τι ἂν γευσαμέναις γλυκὺ φανῇ, πρὸς

11) Casaubonus vult προθέμενος, aut προελόμενος. existimem ego quidem, posse προέμενος probari et defendi, vt sententia sit: *forsitan ille latro, in crucem actus, ad hoc calamitatis deuenit eo, quod ab accepta nescio qua iniuria, dum eam vltum it, pateretur se ad tantam doloris atque ferociae immanitatem abripi, vt modum vltionis a legibus praescriptum excederet.*

12) l. πρᾶξαι in infinit., nisi si quid deest, e. c. εὐκλεῶς ἀποθανεῖν. *poterat re quadam insigni praeclare gesta gloriosam mortem obire, si minus durum minusque saeuum nactus esset genium.*

13) ὁδὶ δὲ] sic recte Veneta. sed hoc vnum est, quod illa praebet, fomentum loco huic desperato, qui sine melioribus libris restitui nequit: deesse enim nonnulla paret; diuinare licet multa, sed in incertum; cuiusmodi hoc est: ὁδὶ δὲ κραυγῇ μόνον καὶ ἀνοίᾳ ῥήγνυται, διὰ δυστυχῆ φθόγγον. Morell. dat ὁ δὲ, et Casaub. vult δυστυχεῖ διὰ φθ.

14) κυνισμοὺς si bene habet, de quo statuant alii, significabit idem atque κνυζηθμοὺς p. 380, 35. ed. Mor. voces subobscuras, querulas, imitantes gannitus canicularum prae frigore aut fame aut libidine gaudioue quiritantium.

αὐτὸ διαφθείρονται [15]). τί οὖν τοῦτο λαμπρὸν, ὦ κακοδαίμονες; ὑπὲρ μὲν γὰρ δικαιοσύνης, καὶ ἀρετῆς, καὶ πρώτων γερῶν, καὶ νόμων, καὶ χρηστοῦ βασιλέως, εἰ δέοι, πονεῖν καὶ ἀποθνήσκειν, ἀγαθῆς ἐστι καὶ οὐ φιλοζώου ψυχῆς· ὑπὲρ δὲ τῆς ψαλτρίας ἀπάγχεσθαι, καθάρματος ἀγεννοῦς, καὶ ζῆν οὐκ ἀξίου, πόσης αἰσχύνης; καὶ τούτους μὲν ἐάσωμεν· ἀλλ' ἐν αὐτῇ τῇ θέᾳ, τὰ γινόμενα αἰσχρὰ καὶ μετὰ πάσης ὕβρεως, ἀνατετάσθαι [16]) καὶ ἀποβλέπειν; μόνον οὐκ ἐπὶ τοῖς χείλεσι τὰς ψυχὰς ἔχοντες [17]), καθάπερ, οἶμαι, διὰ τῶν ὤτων τὴν εὐδαιμονίαν δεχομένους, σωτῆρα καὶ θεὸν καλοῦντες ἄνθρωπον ἄθλιον· πόσον τινὰ γέλωτα τοὺς θεοὺς ὑμῶν καταγελᾷν οἴεσθε, ὅταν πάλιν ἐκείνους προσκυνοῦντες, ταῦτα [18]) προσφέρεσθε, καὶ διὰ τῶν αὐτῶν ἀναγκάζεσθε τιμᾷν τὸ δαιμόνιον; ἀλλ' ἔστιν εὐγνώμων ὁ θεὸς, ὡς ὁ θεὸς [19]), οἶμαι, καὶ φέρει πρᾴως τὴν τῶν πολλῶν ἄνοιαν. τοιγαροῦν, ὡς παισὶν ὑμῖν, παιδαγωγοὺς δέδωκε τοὺς φρονιμωτέρους τῆς πόλεως, μεθ' ὧν καὶ θεωρεῖτε, καὶ τἆλλα ἄμεινον πράττετε. ἐπεὶ πῶς ἂν ἀπείχεσθε ἀλλήλων; καίτοι ποίους τινὰς ἂν ὑμεῖς ἡγεῖσθε ἀνθρώπους, οἷς ἐλευθερία μὴ συμφέρει; νὴ Δία [20]), τὸ γὰρ πρᾶγμα

ἐστὶ

15) aut πρὸς αὐτὸ φθείρονται, aut πρὸς αὐτῷ διαφθείρονται.

16) malim τὸ ἀνατετάσθαι. verbum ἀνατείνεσθαι h. l. significat ἐπ' ἄκροις τοῖς τῶν ποδῶν δακτύλοις στάντα εἰς τὰ ἄνω ὅση δύναμις τείνεσθαι, *stantem in extremis pedum digitis quam altissime corpus arrigere, ut si quis in extrema turba stans prospicere, quae in medio gerantur, contendat.* Sed nescio, an pluscula desint.

17) imo vero ἔχοντας, et paulo post καλοῦντας.

18) imo vero ταὐτά. *haec eadem verba*, scil. σωτὴρ καὶ θεός.

19) malim ὡς θεός.

20) νὴ Δία est obiectio, cui statim occurret Dio; *atqui, aitis, musices et histrionicorum agonum ea est natura, ut*

exsul-

ἐστὶ φύσει τοιοῦτον. οὐ γὰρ καὶ ἐν ἄλλαις πόλεσιν ᾄδουσι, καὶ νὴ Δία αὐλοῦσι, καὶ τρέχουσι, καὶ πάνθ', ὅσα γίνεται καὶ παρ' ὑμῖν, καὶ παρ' ἑτέροις τισίν; ἀλλ' οὐδαμοῦ τοιοῦτος ἔρως ἐστὶ τοῦ πράγματος, οὐδὲ οἶστρος. ἴστε Ῥοδίους ἐγγὺς οὕτως ὑμῶν ζῶντας ἐν ἐλευθερίᾳ, καὶ μετὰ πάσης ἀδείας· ἀλλὰ παρ' ἐκείνοις οὐδὲ τὸ δραμεῖν ἐν τῇ πόλει δοκεῖ μέτριον, ἀλλὰ καὶ τῶν ξένων ἐπιπλήττουσι τοῖς εἰκῇ βαδίζουσι. τοιγαροῦν εἰκότως εὐδοκιμοῦσι, καὶ πάσης τιμῆς τυγχάνουσιν. αἰδούμενοι γὰρ αὐτοὺς πρῶτον, καὶ μηδὲν ἀνόητον ποιοῦντες, εἰκότως, οἶμαι, παρά γε[21] τῶν ἄλλων καὶ τῶν ἡγουμένων, αἰδοῦς τυγχάνουσιν· ἐπεὶ καὶ τῶν ἄλλων εὑρήσομεν τὰ πλεῖστα ταυτὰ πράττοντας τοῖς ἀνοήτοις τοὺς σώφρονας· οἷον, ἐσθίοντας, βαδίζοντας, παίζοντας, θεωροῦντας. ἡ γὰρ φύσις ἀναγκάζει πολλῶν ὁμοίων δεῖσθαι· διαφέρουσι μέντοι περὶ ταῦτα πάντα[22]· αὐτίκα ἑστιώμενοι πρῶτον· οἱ μὲν οὔτε ἀμαθῶς, οὔτε ἀπρεπῶς διάγουσιν, ἀλλ' εὐσχημόνως ἅμα καὶ προσηνῶς, εὐωχίας, οὐ παροινίας, ἄρχοντες· φιλοφρονούμενοι τοὺς συνόντας, οὐ θρασυνόμενοι πρὸς αὐτούς· οἱ δὲ ἀπηνῶς καὶ ἀκολάστως, μετὰ βοῆς καὶ ἀταξίας ὀργιζόμενοι καὶ γελῶντες, πλεονεκτοῦντες ἀλλήλους, οὐ παρακαλοῦντες, τελευτῶντες ἀπίασι κακόν τι τοῖς συμπόταις δόντες, ἢ παρ' ἐκείνων λαβόντες· οἵαν ποτὲ γενέσθαι φασὶ Κενταύρων συνουσίαν. καὶ τί δεῖ τἄλλα ἐπεξιέναι καθ' ἕκαστον; ἀλλὰ τὸ βαδίζειν, οὐ[23])

exsultatione efferant, vnde tumultus et turpitudines necessario exsistunt.

21) γε] l. τε.

22) f. περὶ ταῦτα τὰ πάντα. *discrepant his in rebus stulti a sapientibus, modis omnibus.*

23) Casaubonus ὁ mauult. ego quidem malim οὗ in genitiuo articuli postpositiui. *cuius hominis incessus est communis, hoc est simplex, et a natura traditus, eius indicat lenitatem morum.*

κοινόν ἐστι καὶ ἁπλοῦν δήπουθεν· τοῦ μὲν ἐμφαίνει τὴν ἡσυχίαν τοῦ τρόπου, καὶ τὸ προσέχειν ἑαυτῷ· τοῦ δὲ ταραχὴν, ἀναίδειαν, σπουδῇ πρόσεισι, φθέγγεται βαδίζων, ἢ πεσών τινα ἔωσε [24]), μάχεται πρὸς ἕτερον. ὁμοίως καὶ περὶ τὰς θέας, οἱ μὲν εἰσὶν ἄπληστοι, καὶ λίχνοι, καὶ περὶ πάντα ὁμοίως ἐπτοημένοι τὰ τυχόντα· οἱ δὲ κοσμίως καὶ μετ' εἰρήνης μετέχουσιν. ἀλλ' οὐχ ὑμεῖς· ἀλλ' ἐκπεπληγμένοι κάθησθε, ἀναπηδᾶτε τῶν ὀρχηστῶν μᾶλλον, συντείνεσθε [25]) ὑπὸ τῶν ᾀσμάτων· τοὺς μὲν γὰρ ἄλλους ἀνθρώπους ἡ μέθη πρὸς ᾠδὴν τρέπει καὶ ὄρχησιν· παρ' ὑμῖν δὲ τοὐναντίον ἐστίν. ἡ γὰρ ᾠδὴ μέθην ἐμποιεῖ, καὶ παράνοιαν [26]). οἴνου μὲν οὖν τοιαύτη φύσις, τῷ [27]) μὴ δύνασθαι σωφρονεῖν, ἀλλὰ πολλὰ δυσχερῆ πράττειν ἀναγκάζεσθαι, τοὺς σκαιῶς αὐτῷ καὶ ἀμέτρως χρωμένους· ὑπὸ δὲ ᾠδῆς σφαλλομένους, καὶ πολὺ κάκιον ἔχοντας τῶν παροινούντων, εὐθὺς ἀπὸ τῆς ἀρχῆς, (οὐχ ὥσπερ ποτῷ προϊόντας [28]), οὐκ ἔστιν ἄλλους ἰδεῖν. παρὰ μὲν γὰρ ἐνίοις τῶν βαρβάρων μέθην [29]) φασὶ γίνεσθαι πραεῖαν, καὶ δι' ἀτμοῦ θυμιωμένων τινῶν· ἔπειτα χαίρουσι, καὶ ἀνίστανται γελῶντες, καὶ πάντα ποιοῦσιν, ὅσα ἂν οἱ πεπωκότες,

οὐ μέν-

24) ἔωσε] sic recte Casaubonus, a verbo ὠθέω. ἔσωσε Ven. et Mor.

25) συντ. ὑπὸ τῶν ᾀσμ.] *cum alii homines a modulationibus relaxentur, vos ab iisdem contendimini, ea vos reddunt tristes, asperos, truces, sanguinolentos.*

26) malim, hic loci quidem, παροινίαν, tametsi vis paene eadem huic atque illi vocabulo insit, dementiae puta.

27) τῷ aut del. est, aut cum ὥστε mutandum.

28) ποτῷ προϊόντας facile posse probari atque defendi arbitror, tametsi contemnendum in se non est ποτοῦ προϊόντος, quod Anglus commendat; sic enim graeci vulgo solent usurpare: sed et illum loquendi modum, tametsi minus usitatum, ferre potest linguae ratio.

29) designat Herodoti locum 4, 75.

οὐ μέντοι κακὸν οὐδὲν ἀλλήλους ἐργάζονται. τῶν δὲ Ἑλλήνων ὑμεῖς μόνοι δι' ὤτων καὶ φωνῆς αὐτὸ πάσχετε, μᾶλλον δὲ ληρεῖτε ἐκείνων κάκιον καὶ παραφέρεσθε, καὶ μᾶλλον ἐοίκατε κραιπαλῶσι. καίτοι τὰ τῶν Μουσῶν, καὶ τὰ τοῦ Ἀπόλλωνος ἤπια δῶρα καὶ προσηνῆ· τὸν μὲν γὰρ Παιήονα καὶ Ἀλεξίκακον προσαγορεύουσιν, ὡς ἀποτρέποντα τῶν κακῶν, καὶ ὑγείαν ἐμποιοῦντα ταῖς ψυχαῖς καὶ σώμασιν [30]· οὐ νόσον, οὐδὲ μανίαν· τὰς δὲ παρθένους ὡς ἂν αἰδουμένας τε καὶ σώφρονας. ἥ τε Μουσικὴ θεραπείας ἕνεκα τῶν ἀνθρώπων [31] εὑρῆσθαι δοκεῖ τῶν παθῶν, καὶ μάλιστα δὴ μεταστρέφειν ψυχὰς ἀπηνῶς καὶ ἀγρίως διακειμένας. διὰ τοῦτο καὶ τῶν φιλοσόφων ἔνιοι, πρὸς λύραν αὐτοὺς ἡρμόσαντο ἕωθεν, ἀποπαύοντες τῆς διὰ τῶν ὀνειράτων ταραχῆς. καὶ θεοῖς μετὰ μέλους θύομεν [32], ἂν εὔτακτοι καὶ καθεστηκότες ὦμεν. ἕτερος δὲ αὖ τρόπος αὐλοῦ τε καὶ ᾠδῆς ἐν πένθεσιν, ἰωμένων, οἶμαι, τὸ σκληρὸν καὶ ἄτεγκτον τοῦ πάθους, θηλυτέραν δὲ τὴν λύπην ἐργαζομένων, δι' ᾠδῆς λανθανούσης μετὰ γόων· ὥσπερ οἱ ἰατροὶ τὰ φλεγμαίνοντα τῶν ἑλκῶν, ὑγραίνοντες καὶ μαλακοποιοῦντες ἀνώδυνα ἔθηκαν. οὐχ ἧττον δὲ καὶ παρὰ [33] συνουσίας ἔδοξε πρέπειν ἡ Μουσικῆς δύναμις, ἁρμονίαν καὶ τάξιν αὐτόματον ταῖς ψυχαῖς ἐπεισάγουσα, καὶ τὸ σφαλερὸν τῆς ἐν οἴνῳ τέρψεως παραμυθουμένη μετὰ ξυγγενοῦς δυνάμεως· ὥσπερ [34]

 αὐτῷ

30) f. καὶ τοῖς σώμασι.

31) non improbabilis est Angli coniectura τῶν ἀνθρωπίνων. ea vero admissa, erit τῶν paulo post delendum; nisi malumus verba sic struere: ἥ τε μουσικὴ τοῖς ἀνθρώποις θεραπείας ἕνεκα εὑρῆσθαι δοκεῖ τῆς τῶν παθῶν.

32) post θύομεν addit Anglus ὅσοι. si quid est addendum, quod in dubio relinquam, malim ὅπως addi.

33) Veneta dat περί.

34) ὥσπερ —] satis habuit Casaubonus de vitio loci admonere. Anglus conatus est eum sanare, sed lusit operam.

αὐτῷ συγκεραννύμενον, ἐμμελὲς γίνεται καὶ μέτριον. ταῦτα δὴ πάντα ἀνέστραπται νῦν, καὶ μεθέστηκεν εἰς τοὐναντίον. οὐ γὰρ ἐκ Μουσῶν, ἀλλ' ἐκ Κορυβάντων τινῶν κατέχεσθε, καὶ πιστὰ ποιεῖτε τὰ τῶν ποιητῶν μυθολογήματα. ὡς ἐκεῖνοί τε γὰρ εἰσάγουσι[35]) Βάκχας τινὰς μαινομένας ὑπὸ μέλους, καὶ Σατύρους· οὐκοῦν ὑμῖν τὰ τῶν νεβρίδων τε καὶ θύρσων ἐνδεῖ, καὶ τὸ λέοντας φέρειν ἐν ταῖς ἀγκάλαις· τὰ δὲ ἄλλα καὶ πάνυ μοι δοκεῖτε ἐοικέναι Νύμφαις καὶ Σατύροις. ἱλαροί τε γὰρ ἀεὶ καὶ φιλογέλωτες[36]), καὶ φιλορχησταί· πλὴν οὐκ αὐτόματος ὑμῖν ἀναβλύζει[37]) διψήσασιν ὁ οἶνος, ἐκ πέτρας ποθέν τινος, ἢ νάπης, οὐδὲ γάλα καὶ μέλι δύνασθε εὐχερῶς οὕτως ἔχειν, ἄκροις δακτύλοις διασμῶντες[38]) χθόνα· ἀλλ' οὔτε τὸ ὕδωρ ἀφικνεῖται δεῦρο αὐτόματον, οὐδὲ τὴν μάζαν ἔχετε ἐν ἐξουσίᾳ δήπουθεν, ἀλλὰ καὶ ταύτην ἐκ τῆς τῶν κρειττόνων χειρὸς λαμβάνετε· ὥστε ἴσως καιρὸς ἦν ὑμᾶς παύσασθαι βακχειῶν, καὶ προσέχειν μᾶλλον αὐτοῖς. νυνὶ δὲ μόνον ἂν ἀκούσητε χορδῆς,

ram. mihi nunc quidem conuenientius nil succurrit, quam ἧσπερ [scil. δυνάμεως] αὐτῷ [scil. τῷ σφαλερῷ τῆς ἐν οἴνῳ τέρψεως] συγκεραννυμένης. *quae Musices vis si lubricitati admiscetur illi, quae est in delectatione a vini potu exsistente, tum illa lubricitas fit concinna et moderata.* redit enim ἐμμελὲς ad σφαλερὸν, quae est *facilitas in vitium prolabendi.*

35) ὡς — εἰσάγουσι] videntur quaedam deesse. Interim locum hunc vtcunque sic sarcias: ὡς ἐκεῖνοί γε παρεισάγετε. *vos quidem, pariter atque illi fecerunt, producitis in scenas vestras.*

36) φιλογέλωτες] videtur addendum ἐστέ. *estis.*

37) ἀναβλύζει] sic recte Casaub. et sic quoque Morellus in annotationibus. idem tamen e regio codice ἀναβλύειν profert; vnde possit suspicio nasci, πέφυκε, vel εἴωθεν, vel simile quid, hic excidisse.

38) In Veneta est διαμῶντες. v. Hemsterhus. ad Hesych. v. διαμώμενοι p. 955.

δῆς, ὥσπερ σάλπιγγος ἀκηκοότες, οὐκέτι δύνασθε εἰρήνην ἄγειν. ἆρά γε μὴ Λακεδαιμονίους μιμεῖσθε; φασὶ γοῦν αὐτοὺς τὸ ἀρχαῖον πρὸς αὐλὸν πολεμεῖν· ὑμεῖς δὲ πρὸς κιθάραν αὐτὸ δρᾶτε. ἢ βούλεσθε, ἐπειδὴ τοῖς βασιλεῦσι τοὺς δήμους κἀγὼ παρέβαλον, Νέρωνι φαίνεσθαι[39]) τὴν αὐτὴν ἔχοντες νόσον; ἀλλ᾽ οὐδ᾽ ἐκεῖνον ὤνησεν ἡ λίαν ἐμπειρία περὶ τοῦτο καὶ σπουδή. καὶ πόσῳ κρεῖττον μιμεῖσθαι τὸν νῦν ἄρχοντα παιδείᾳ καὶ λόγῳ προσέχοντα; οὐκ ἀποθήσεσθε τὴν αἰσχρὰν ταύτην καὶ ἄμετρον φιλοτιμίαν; οὐ φυλάξεσθε τοὺς ἄλλους σκώπτοντες, καὶ ταῦτα ἐν ἀνθρώποις, εἰ θεμιτὸν εἰπεῖν, οὐδὲν μέγα, οὐδὲ θαυμαστὸν ἔχουσιν; εἰ γὰρ Ἰσμηνίας ηὔλει παρ᾽ ὑμῖν, ἢ Τιμόθεος ᾖδεν ὁ παλαιὸς, ἢ Ἀρίων, ὑφ᾽ οὗ λέγουσιν ᾄδοντος ἐν τῷ πελάγει, τοὺς δελφῖνας ἀφικέσθαι πρὸς τὴν ναῦν, καὶ μετὰ ταῦτα ἐκπεσόντα αὐτὸν κατὰ τύχην τινὰ ἀναλαβεῖν καὶ σῶσαι, πῶς ἂν διέκεισθε; τούτων μὲν γάρ ἐστιν οὐδεὶς Ἀμφίων, οὐδὲ Ὀρφεύς· ὁ μὲν γὰρ υἱὸς ἦν Μούσης, οἱ δὲ ἐκ τῆς Ἀμουσίας αὐτοὶ γεγόνασι, διατρέψαντες[40]), καὶ κατάξαντες τὸ σεμνὸν τοῦ μέλους, καὶ πάντα τρόπον λωβησάμενοι τὴν ἀρχαίαν μουσικήν. τίς γὰρ αὐτῶν ᾠδὴν τέλειον, ἢ γενναῖον ῥυθμὸν, οἷός τε εἰπεῖν· ἀλλὰ ᾄσματα γυναικῶν, καὶ κρούματα ὀρχηστῶν, καὶ παροινίας τερετισμάτων[41]). ὥσπερ κακοὶ καὶ περίεργοι μάγειροι συντρίψαντες[42]) τοὺς νόμους ἰδιώτας καὶ λίχνους ἀκροατὰς κινοῦσι. τοιγαροῦν οὐκ ἀπὸ κύκνων, οὐδὲ ἀηδόνων, ὁ ζῆλος

39) φαίνεσθαι] Ven. et Mor. dant φαίνεσθε.
40) Casaub. et Anglus malunt διαστρέψαντες. Anglus etiam δὲ addit. Possit quoque διαθρύψαντες substitui a v. θρύπτω: ad quod propius accedit lectio marg. Mor. διατρίψαντες.
41) post τερετισμάτων videtur δι᾽ ὧν deesse.
42) συντρίβειν h. l. e culina repetitum. coqui sic dicuntur συντρίβειν τοὺς ἅλας, τὰ ἀρώματα, et alia.

λος αὐτῶν ὠνόμασαι παρ' ὑμῖν αὐτοῖς· ἀλλ' ὡς ἔοικε, κνυζηθμοῖς καὶ ὑλαγμοῖς 43) εἰκάζετε· καίτοι φιλοσόφους μὲν ᾔδειν οὕτως καλουμένους· κιθαρῳδοὶ δὲ Κυνικοὶ παρὰ μόνοις ὑμῖν γεγόνασιν. ὁ μὲν οὖν Ἀμφίων πρὸς τὸ μέλος, ὥς φασιν, ἤγειρε καὶ ἐπύργου τὴν πόλιν· οὗτοι δὲ ἀνατρέπουσι, καὶ καταλύουσι. καὶ μὴν ὅ γε Ὀρφεὺς τὰ θηρία ἡμέρου, καὶ μουσικὰ ἐποίει διὰ τῆς ᾠδῆς· οὗτοι δὲ ὑμᾶς, ἀνθρώπους ὄντας, ἀγρίους πεποιήκασι, καὶ ἀπαιδεύτους ἔχω, δὲ καὶ ἄλλον εἰπεῖν λόγον ἀνθρώπου Φρυγὸς ἀκούσας, Αἰσώπου συγγενοῦς, δεῦρο ἐπιδημήσαντος, ὃν εἰς Ὀρφέα καὶ ὑμᾶς ἔλεγεν. ἔστι δὲ τῶν ὑμετέρων σκωμμάτων ἀτοπώτερος καὶ μακρότερος. σκοπεῖτε οὖν, εἰ βούλεσθε ἀκοῦσαι, καὶ μὴ δυσχεράνητε. ἔφη τοίνυν ἐκεῖνος, περί τε Θρᾴκην καὶ Μακεδονίαν τὸν Ὀρφέα μελῳδεῖν, καθάπερ εἴρηται· κἀκεῖ τὰ ζῶα προσιέναι αὐτῷ, πολύ τι πλῆθος, οἶμαι, τῶν πάντων θηρίων· πλεῖστα δὲ ἐν αὐτοῖς εἶναι, τούς τε ὄρνιθας, καὶ τὰ πρόβατα. τοὺς μὲν γὰρ λέοντας, καὶ τὰ τοιαῦτα, διὰ τὴν ἀλκὴν καὶ τὴν ἀγριότητα δυσπιστότερα 44) εἶναι· καὶ τὰ μὲν οὐδ' ὅλως πελάζειν, τὰ δ' εὐθὺς ἀποχωρεῖν, οὐχ ἡδόμενα τῷ μέλει. τὰ δὲ πτηνὰ καὶ τὰ πρόβατα μᾶλλόν τε προσιέναι, καὶ μηκέτ' ἀπαλλάττεσθαι· τὰ μὲν, οἶμαι, διὰ τὸ εὔηθες καὶ τὴν φιλανθρωπίαν· τῶν δὲ ὀρνίθων μουσικὸν δήπου τὸ γένος αὐτὸ, καὶ φιλῳδόν. ζῶντος μὲν οὖν Ὀρφέως, συνέπεσθαι αὐτῷ πανταχόθεν, ἀκούοντα αὐτοῦ ὁμοῦ, καὶ νεμόμενα· καὶ γὰρ ἐκεῖνον ἐν τοῖς ὄρεσί τε καὶ περὶ τὰς νάπας τὰ πολλὰ διατρίβειν· ἀποθανόντος δὲ ἐρημωθέντα, ὀδύρεσθαι, καὶ χαλεπῶς

λεπῶς

43) κνυζηθμοῖς καὶ ὑλαγμοῖς] sic recte Casaubonus. κνυζηθμοῖς καὶ ὑλεγμοῖς Ven. et Mor.

44) malim δυσπειστότερα, a πείθω, non a πίστις. *aegrius obsequentia, difficilius parentia.*

λεπῶς φέρειν· ὥστε τὴν μητέρα αὐτοῦ Καλλιόπην, διὰ τὴν πρὸς τὸν υἱὸν εὔνοιαν καὶ φιλίαν, αἰτησαμένην παρὰ Διὸς, τὰ σώματα αὐτῶν μεταβαλεῖν εἰς ἀνθρώπων τύπον, τὰς μέντοι ψυχὰς διαμένειν, οἷαι πρότερον ἦσαν. χαλεπὸν οὖν ἤδη ἐστὶ τὸ λειπόμενον τοῦ λόγου, καὶ δέδοικα ὑμᾶς 45) σαφῶς αὐτὸ εἰπεῖν. ἔλεγε γὰρ ἐξ ἐκείνων γένος τι φῦναι Μακεδόνων, καὶ τοῦτο εὐθὺς ὕστερον μετὰ Ἀλέξανδρον διαβὰν, ἐνθάδε οἰκῆσαι. καὶ διὰ τοῦτο δὴ τὸν τῶν Ἀλεξανδρέων δῆμον ἄγεσθαι μὲν ὑπὸ ᾠδῆς, ὡς οὐδένας ἄλλους· κἂν ἀκούσωσι κιθάρας ὁποιασοῦν, ἐξεστάναι, καὶ φρίττειν, κατὰ μνήμην τοῦ Ὀρφέως. εἶναι δὲ τῷ τρόπῳ κοῦφον καὶ ἀνόητον, ὡς ἐκ τοιούτου σπέρματος· ἐπεὶ τούς γε ἄλλους Μακεδόνας ἀνδρείους καὶ πολεμικοὺς γενέσθαι, καὶ τὸ εἶδος 46) βαρβάρους. ἔλεγε δὲ καὶ περὶ τῶν κιθαρῳδῶν τῶν παρ' ὑμῖν ὕστερον 47), τοιοῦτόν τινα λόγον. τὰ γὰρ ζῶα ἐν τῇ συνουσίᾳ τῇ πρὸς τὸν Ὀρφέα, τὰ μὲν ἄλλα ἥδεσθαι μόνον καὶ ἐκπεπλῆχθαι, μιμεῖσθαι δὲ μηδὲν ἐπιχειρεῖν· τῶν κυνῶν δὲ ἐνίους, οἷα δὴ γένος ἀναιδὲς καὶ περίεργον, ἐπιθέσθαι τῇ μουσικῇ, καὶ μελετᾷν τότ' εὐθὺς ἀπιόντας καθ' αὐτοὺς, καὶ τὰ εἴδη μεταβαλόντας 48) εἰς ἀνθρώπους, διαφυλάττειν τὴν ἐπιμέλειαν. εἶναι δὲ τοῦτο αὐτὸ τὸ γένος τῶν κιθαρῳδῶν· διὸ μὴ δύνασθαι παντάπασιν ἐκβῆναι τὴν αὐτοῦ φύσιν, ἀλλὰ μικρὸν μέν τι διασώζειν τῆς Ὀρφέως διδασκαλίας. τὸ πολὺ 49) δ' αὐτοῖς ἐμμένειν κύνειον τοῦ μέλους. ταῦτα

45) videtur leg. esse δέδοικα πρὸς ὑμᾶς.
46) εἶδος] Anglus vult ἦθος, non video, qua de causa. *ipsa specie, ipso adspectu referentes barbaricam rusticitatem et scaeuitatem.* margo Mor. dat εἶδος βεβαίους.
47) ὕστερον] scil. γεγονότων. cogitaui aliquando ἕτερον.
48) μεταβαλόντας redit ad κύνας. Ven. et Mor. dant μεταβάλλοντα.
49) malim πολὺ δ' αὐτοῖς ἐμμ. τὸ κύνειον.

τα μὲν ἐκεῖνος ἔπαιζεν ὁ Φρύξ. ἐγὼ δ᾽ ὑμῖν βούλομαι Λακεδαιμονίων ἔργον εἰπεῖν, ὡς ἐκεῖνοι προσηνέχθησαν ἀνδρὶ κιθαρῳδῷ θαυμαζομένῳ τότε ἐν τοῖς Ἕλλησιν. ὅτι γὰρ λίαν ἡδὺς ἐδόκει καὶ περιττὸς, μὰ Δί᾽, οὐκ ἐτίμησαν αὐτὸν, ἀλλ᾽ ἀφείλοντο τὴν κιθάραν, καὶ τὰς χορδὰς ἐξέτεμον, ἀπεῖναι προσειπόντες 50) ἐκ τῆς πόλεως. ἐκεῖνοι μὲν οὖν τὸ πρᾶγμα οὕτως ὑφεωρῶντο, καὶ ἐφύλαττον τὰ ὦτα, ὡς ἂν μὴ διαφθαρῶσιν αἱ ἀκοαὶ, μηδὲ τρυφερώτεραι γένωνται τοῦ δέοντος. ὑμεῖς δὲ οὕτως ἀγεννῶς δεδούλωσθε ὑπὸ τῆς τοιαύτης ἡδονῆς. δι᾽ ὑμᾶς δὲ ἤδη μοι δοκεῖ τὸ πρᾶγμα καὶ τῶν ῥητόρων ἔσεσθαι, καὶ φιλοσόφων ἐνίων· μᾶλλον δὲ τοὺς ῥήτορας οὐδὲ γνῶναι ῥᾴδιον. ὡς γὰρ ὁρῶσι τὴν σπουδὴν ὑμῶν τὴν περὶ τοῦτο, καὶ τὴν ἐπιθυμίαν, πάντες δὴ ᾄδουσι καὶ ῥήτορες, καὶ σοφισταὶ, καὶ πάντα περαίνεται δι᾽ ᾠδῆς· ὥστ᾽, εἴ τις παρίοι δικαστήριον, οὐκ ἂν γνώη ῥᾳδίως, πότερον ἔνδον πίνουσιν, ἢ δικάζονται· κἂν σοφιστοῦ δὲ οἴκημα πλησίον ᾖ, οὐκ ἔσται γνῶναι τὴν διατριβήν. δοκεῖ δέ μοι, καὶ ἐν τῷ γυμνασίῳ προϊόντες 51), ἤδη γυμνάσονται καὶ πρὸς μέλος, καὶ τοὺς κάμνοντας ἰάσονται. περὶ γὰρ τῆς τέχνης καὶ νῦν ὑμῖν διαλέγονται ᾄδοντες. κινδυνεύει δ᾽ ὁ βίος σχεδὸν ἅπας γεγονέναι κῶμος εἷς, οὐχ ἡδὺς, οὐδὲ πρᾶος, ἀλλ᾽ ἄγριος καὶ χαλεπὸς, ἅμα ὀρχουμένων, τερετιζόντων, μιαιφονούντων. οἱ δ᾽ οὖν Λακεδαιμόνιοι πλεῖστον ὅσον ὑμῶν διέφερον, περὶ ταῦτα, ὡς ἔφην, εὐλαβῶς ἔχοντες. οἱ μὲν γὰρ ἄρχειν ἦσαν ἱκανοὶ, καὶ τῶν μὲν Ἑλλήνων προέστησαν πολλὰ ἔτη, τοὺς δὲ βαρβάρους ἐνίκων ἀεὶ πάν-

τας

50) lego nil cunctans ἀπιέναι προειπόντες. legum et magistratuum est non προσειπεῖν, sed προειπεῖν, *edicere cum interminatione, quid agendum, quid omittendum sit.* nil curo Angli subtilitates h. l. a graecitate abhorrentes.

51) προϊόντες] sic recte Ven. *si hoc modo pergent, si increbrescet hic morbus.* Mor. dat προϊέντες.

τας· ὑμεῖς δὲ οὔτε[52]) ἄρχεσθαι καλῶς ἐπίςασθε. τοιγαροῦν, εἰ μὴ τῶν προεςηκότων ἐτύχετε, χαλεπῶς ἄν, οἶμαι, καὶ ἐσώζεσθε[53]). τεκμήριον δὲ τὰ τελευταῖα συμβάντα περὶ ὑμᾶς. ὅτε γὰρ καθ' αὑτοὺς ἦτε[54]), οὐχ ὁ μὲν βασιλεὺς ὑμῶν περὶ αὔλησιν ἠσχολεῖτο καὶ μόνῳ τούτῳ προσεῖχεν; ὑμεῖς δὲ πρὸς ἐκεῖνον ἀπεχθῶς, πρὸς ἀλλήλους δὲ ςασιαςικῶς διέκεισθε; χωρὶς ἕκαςοι καὶ καθ' ἑαυτοὺς διαφθείροντες τὰ πράγματα, Σειμαριςοὶ, καὶ τοιαῦθ' ἕτερα ἑταιρειῶν[55]) ὀνόματα, ὥςε φυγεῖν αὐτὸν ἠναγκάσατε; καὶ μετὰ ταῦτα κατιέναι πολέμῳ καὶ διὰ Ῥωμαίων. καὶ τέλος, ἐκεῖνος μὲν αὐλῶν, ὑμεῖς δὲ ὀρχούμενοι, τὴν πόλιν ἀπωλέσατε. καὶ νῦν οὕτως ἐπιεικεῖς ἔχοντες ἡγεμόνας, εἰς ὑποψίαν αὐτοὺς καθ' ὑμῶν αὐτῶν ἠγάγετε, ὥςε ἐπιεικεςέρας[56]) χρῆναι

52) ſi ſeruatur οὔτε, neceſſe eſt legi ſic: ὑμεῖς δὲ οὔτε ἄρχειν, οὔτε ἄρχεσθαι καλῶς ἐπίςασθε. *vos autem neque imperare noſtis, neque parere cum decore.* ſin autem nolim quicquam inferciri, erit pro οὔτε ſufficiendum οὐδὲ, *vos autem ne parere quidem decenter et honeſte noſtis, nedum vt imperare ſciatis.*

53) ἐσώζεσθε] ſic recte Caſaub. *ſeruaremini, ſalui eſſetis.* σώζεσθε Ven. et Mor.

54) καθ' αὑτοὺς ἦτε] *cum adhuc veſtri iuris eſſetis, reges haberetis veſtri generis, nondum Romanis pareretis.*

55) ἑταιρειῶν] ſic recte Ven. ἑταιρεῶν Mor. poſt ὀνόματα videtur aliquod participium deſiderari, e. c. ὀνομαζόμενοι, aut ἀκούοντες, aut κεκλημένοι, aut tale quid.

56) ἐπιεικεςέρας ſuſpectum Caſaubono fuit immerito. ſuſpicabatur ille ἐπιμελεςέρας aut ἀκριβεςέρας melius ſententiae conuenturum. poſtulat iſta quidem ſententia; ſed idem vulgata ſignificat. ἐπιεικής non tantum eſt *lenis, commodus, benignus*, ſed etiam *copioſus, ſpiſſus*, vnde fit, vt φυλακὴ ἐπιεικεςέρα ſignificet h. l. quidem *cuſtodiam acriorem, diligentiorem.* Valeſius, qui totum h. l. non ſine graui Naogeorgi increpatione latine vertit, Emendat. p. 61. recte *ſollicitiore* reddidit. ſaepe occurrit ἐπιεικῶς pro *crebro, ſaepenumero, maiorem in modum*; qua de re nos alibi admonuimus.

χρῆναι φυλακῆς ᾠήθησαν, ἢ πρότερον· καὶ τοῦτο εἴργασθε δι' ἀγερωχίαν, οὐκ ἐπιβουλεύοντες. ὑμεῖς γὰρ ἂν ἀποσταίητέ τινος; πολεμήσαιτε[57]) δ' ἂν ὑμεῖς μίαν ἡμέραν; οὐκ ἐν τῇ[58]) γενομένῃ ταραχῇ, μέχρι σκωμμάτων ἐθρασύνοντο οἱ πολλοὶ, τινὲς δὲ ὀλίγοι βάλλοντες ὅ τι ἔτυχον ἅπαξ ἢ δὶς, ὥσπερ οἱ καταχέοντες[59]) τῶν παριόντων, κατέκειντο εὐθὺς ᾄδοντες· οἱ δ' ἐπὶ τοὺς ὅρμους[60]) ᾔεσαν, ὥσπερ ἐν ἑορτῇ, πιούμενοι[61]). καὶ μὴν ἐκεῖνο μέμνησθε τὸ γελοῖον, ὡς ὁ βέλτιστος ὑμῖν Κόνων ἐχρήσατο προελθὼν, οὗ μάλιστα τὸ πλῆθος ὑμῶν συνειστήκει, καὶ δείξας τινὰ τόπον βραχὺν προηγόρευεν· ὡς, εἰ μὲν αὐτὸς ἐκεῖ προέλθοι, νενικηκὼς εἴη· καὶ δέοι[62]) ὑμᾶς ἀπαλλάττεσθαι καθ' αὑτοὺς καὶ παραχωρεῖν· εἰ δ' ὑμεῖς, ἔφη, τέτταρα ἢ πέντε βήματα νικᾶτε[63]),

κἀγὼ

57) πολεμήσαιτε, vt modo ἀποσταίητε. Ven. et Mor. dant πολεμήσετε. oratio eſt cauillatoria. *vos vero ii ſitis, qui a quoquam deficiatis? vos vero cuiquam bellum inferatis? Fortes eſſe decet eos, qui deficere et bellum parare velint, nauos, induſtrios, ſobrios, vigiles, intrepidos. vos vero ignaui et imbelles eſtis; ne per vnum quidem diem arma gerere audeatis.*

58) paret aliquid deeſſe poſt τῇ, e. c. πρώην, aut τότε. v. p. 687, 4. Valeſius vertit *heſterna*; ergone ille χθὲς, aut reperit in aliquo Dionis codice manuſcripto, aut ſuo marte adiecit?

59) ὥσπερ οἱ τὰς ἀμίδας καταχέοντες malim. *vt qui matulas ſuper capita praetereuntium defundunt e feneſtris.*

60) ἐπὶ τοὺς ὅρμους] *in vrbis partem mari aſſitam, vbi appulſus ſunt nauibus appellentibus.* bene ſenſit Caſaubonus et ſententiam loci et vitium interpretationis latinae, tametſi ſatis habuit, digito velut, e longinquo demonſtrare. In Ven. eſt vitioſe ἐπὶ τοῖς ὁρμοῖς.

61) πιούμενοι] ſic recte Caſaubonus, a verbo πίνειν. ποιούμενοι Ven. et Mor.

62) δέοι] ſic recte Anglus in optat. δέον Ven. et Mor.

63 Anglus poſt βήματα aut addi vult προσέλθοιτε, aut ſaltim tacite repeti; haud male id quidem, poſſit tamen

vulgata

κἀγὼ βαδιοῦμαι· ταῦτα δὲ ἔλεγε, φειδόμενος ὑμῶν καὶ καταγελῶν, καὶ καθάπερ παισὶ προσπαίζων. ἐπὶ [64]) τὸ στράτευμα ἐφειστήκει κἀκεῖνος οὐδένα [65]) εἴα ἅπτεσθαι, γυμνοὺς ἅπαντας [66]) ὁρῶν, καὶ ἑτοίμους ἀπολλυσθαι. τί οὖν ἐβιάσαντο μετὰ ταῦτα οἱ προπετεῖς καὶ ἀκόλαστοι, καὶ ἐπίτηδες ἀναστρέψαι [67]) καὶ συγχέαι πάντα ἐπιβουλεύσαντες, καὶ ὃ πρότερον ὑμᾶς ἀνῆκαν, ἕως ἐγεύσασθε πολέμου· καὶ τὸ δεινὸν ἄχρι πείρας προῆλθε. τί δὴ καὶ τούτων ἐπεμνήσθην; ὅπως εἰδῆτε τὰ φυόμενα ἐκ τῆς περὶ τὸν βίον ταύτης ἀταξίας. οὐ γάρ ἐστι τοὺς οὕτως ἐπτοημένους περὶ τὰ μικρὰ καὶ μηδενὸς ἄξια, φαύλως καὶ ἀκρατῶς ἔχοντας, ἐν τούτοις ἃ πράττουσι καθ᾽ ἡμέραν, τἆλλα σωφρονεῖν, καὶ περὶ τῶν μειζόνων ὀρθῶς βουλεύεσθαι. ἡ γὰρ τῶν τρόπων κουφότης καὶ τὸ ἀλόγιστον οὐκ ἐᾷ μένειν ἐπὶ τοῖς ἐλάττοσιν· οὐδ᾽ ἔχει μέτρον οὐδὲν ἡ ἄνοια τῶν ἁμαρτημάτων, ἀλλ᾽ ἐπὶ πᾶν ὁμοίως πρόεισι, καὶ παντὸς ἅπτεται, μετὰ ἴσης εὐχερείας. μὴ οὖν οἴεσθε περὶ μικρῶν εἶναι τὸν λόγον, ὅταν τις ὑμῖν διαλέγηται περὶ τῶν ἐν τοῖς θεάτροις θορύβων. οὐ γὰρ οὕτως ἡ πενία ταχὺ πέφυκε συμβαίνειν διὰ τὰς κατ᾽ ὀλίγον ζημίας, ὡς ἡ κακία πρόεισιν ἐκ τῶν κατὰ μέρος τούτων ἁμαρτημάτων· καὶ τελευταῖον, ἐπ᾽ αὐτὸ τὸ πέρας, καὶ

τὸν

vulgata satis bene defendi. νικᾷν βήματα τέτταρα non video quid impediat, quo minus significet *praeuenire aliquem aliquo quatuor passibus.* in βαδιοῦμαι subauditur οἴκαδε. *tum ego quoque cum militibus meis me domum recipiam.*

64) pro ἐπὶ lego ἔτι, *adhuc adstabat exercitus in armis immotus, nondum faciebat caedis initium.*

65) post οὐδένα malim οὐδενὸς addi.

66) γυμνοὺς ἅπαντας] subaudi ὑμᾶς *videns vos omnes nudos, inermes.*

67) imo vero ἀνατρέψαι a verbo τρέπω.

τὸν ὄλεθρον αὐξηθεῖσα ἤγαγε. καὶ ταῦτα μὲν ἤδη τὰ περὶ τὸ θέατρον. ἀλλ᾽ ὅταν εἰς τὸ στάδιον ἔλθητε, τίς ἂν εἰπεῖν δύναιτο τὰς ἐκεῖ κραυγὰς, καὶ θόρυβον, καὶ ἀγωνίαν, καὶ σχημάτων μεταβολὰς, καὶ χρωμάτων, καὶ βλασφημίας, οἵας καὶ ὅσας ἀφίετε; εἰ γὰρ μὴ τοὺς ἵππους [68]) ἑωρᾶτε ἁμιλλωμένους, καὶ τούτους συνήθεις, αὐτοὶ δ᾽ ὑπὸ μαστίγων ἠλαύνεσθε τῶν ἐν ταῖς τραγῳδίαις, οὐκ ἂν οὕτως χαλεπῶς διέκεισθε. αὐτὸν γὰρ, οἶμαι, τὸν Ἰξίονα λῆρον ἀποφαίνετε, τὸν ἐν τῷ τροχῷ παρὰ τοῖς ποιηταῖς ἐνδεδεμένον καὶ κολαζόμενον, διὰ ταύτην [69]) τινὰ ἀσέβειαν. φέρε οὖν, εἰ μεταξὺ [70]) θεῶν τις ὑμῖν ἐπιστὰς, εἴποι διατεινάμενος·

Δαιμόνιοι μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ
Βρωτὺν οὐδὲ ποτῆτα.

τί σφόδρα οὕτω κυκᾶσθε; τίς ἡ σπουδή; τίς ὁ ἀγών. οὐ γὰρ Πέλοψ ἐστὶν ὁ διώκων [71]), οὐδ᾽ Οἰνόμαος, οὐδὲ Μυρτίλος. ὁ μὲν, δεύτερος ἀπὸ Διὸς γεγονὼς, ὁ δὲ Ἑρμοῦ παῖς. οὐδὲ περὶ βασιλείας, οὐδὲ γυναικὸς, οὐδὲ θανά-

68) ſententia eſt: *Etſi quis fingat, vos ipſos agitari, non autem equos, non poſſetis tamen tam miſerabilem in modum conteri et contorqueri, atque artus veſtri nunc ab illis veſtris violentiſſimis conteruntur, ad ſpectaculum equorum, quorum corpora non poſſunt tam defatigari curſus contentione, atque veſtra defatigari conſentaneum eſt ab illa dira veſtra contentione clamandi, et terram pulſandi, et pugnandi, tametſi non vos agitamini in circo, ſed equi agitantur, iique veſtris oculis familiares, quos ſaepiſſime iam vidiſtis. Quod autem quis aſſidue ſpectat, eius ſpectandi taedium cito ipſum capit. Vos autem eorundem equorum ſpectaculo non ſatiamini.*

69) malim τοιαύτην.

70) μεταξὺ [ſcil. θορυβούντων ὑμῖν, aut θορυβοῦσιν] *in medio tumultu veſtro.*

71) διώκων h. l. eſt, non *perſequens, inſectans*, ſed *agitans currum verſus metam.*

θανάτου πρόκειται κρίσις· ἀλλ᾽ ἐστὶν ὁ ἀγὼν ἀνδραπόδων, ὑπὲρ τοῦ τυχόντος ἀργυρίου, νῦν μὲν ἡττωμένων, νῦν δὲ νικώντων, ἀεὶ τῶν αὐτῶν. εἰ λέγοι ταῦτα, τί ἐρεῖτε; ἢ δῆλον, ὅτι οὐδ᾽ ἀκούσεσθε παρ᾽ ἐκεῖνον τὸν καιρὸν, οὐδὲ ἐὰν αὐτὸς ὑμῖν ὁ τοῦ Πέλοπος [72]) διαλέγηται πρόγονος; τίνα οὖν εὕρῃ τις ἐπικουρίαν, ἢ τίνα ἐξιλάσασθαι δεῖ δαιμόνων; ἔστιν Ὀλυμπιάσι κατὰ μέσον [73]) τὸν ἱππόδρομον, ταραξίππου Ποσειδῶνος βωμὸς, ἔνθα [74]) μάλιστα συνέβαινε τοὺς ἵππους πτοεῖσθαι, καὶ πλεῖστα [75]) διαφθείρεσθαι τῶν ἁρμάτων. ἔδοξεν οὖν τοῖς Ἠλείοις, ὡς δαιμονίου τινὸς ὄντος [76]), ἱδρύσασθαι βωμόν. καὶ τὸ λοιπόν φασιν ἀπ᾽ [77]) ἐκείνου γεγονέναι τὸν τόπον ἀσφαλῆ. πολὺ δὴ μᾶλλον ἔγωγε ὑμῖν συμβουλεύω, τὸν θεὸν τοῦτον ἐξιλάσασθαι, καὶ βωμὸν ἱδρύσασθαι τὸν αὐτόν· μὰ Δί᾽, οὐχ ὑπὲρ τῶν ἵππων, ἀλλ᾽ ὑπὲρ ὑμῶν αὐτῶν· ὅπως μὴ ταράττησθε, μηδὲ ἐκπίπτητε τῆς τάξεως. μὴ γὰρ [78]) δαιμόνια πάντη τὰ τοιαῦτα, καὶ μείζονος δεόμενα ἀποτροπῆς; φασὶ καὶ ἀρχαίαν βασιλίδα ἐν Κρήτῃ τῶν Ἡλιαδῶν ἐρασθῆναι ταύρου, καὶ συγγενομένην χαλεπόν τι καὶ

72) Pelopis atauus quis est? quaere. Num Iupiter?

73) κατὰ μέσον] sic recte Casaub. et margo Mor. κατὰ νεμέων Ven. et t. Mor.

74) ἔνθα] *vbi*; in medio nempe stadio, vbi postmodum condita est illa ara, *euenit*, illa ara scil. nondum condita.

75) καὶ τὰ πλεῖστα.

76) ὄντος] subaudi *αἰτίου τούτων*. cogitaui quoque de χαλεπαίνοντος, aut νεμεσῶντος *numen aliquod sibi succensere*. vel et ἐκεῖ ὄντος. *numen aliquod ibi loci versari.*

77) ἀπ᾽ ἐκείνου] sic recte Anglus, scil. τοῦ χρόνου, vel γεγονότος. possit quoque corrigi ἐξ ἐκείνου, vel ἐπ᾽ ἐκείνῳ, scil. συμβάντι. sententiam bene h. l. interpres reddidit, qui autem existimarit leg. esse, ex interpretatione nequit satis certo colligi.

78) μὴ γὰρ] subaudi ante μὴ, aut ὁρᾶτε *videte, ne*, aut δέδοικα *vereor, ne* — possit quoque ἦ legi, *profecto enim.*

μέγα τεκεῖν τέρας. δέδοικα δὲ κἀγὼ τὸν ἱππικὸν ἔρωτα τῆς πόλεως, μή τι δυσχερὲς ὑμῖν καὶ ξένον ἐνέγκῃ τῷ χρόνῳ. πάλιν δὲ ἑτέραν παρθένον ποταμοῦ τινος ἐρασθεῖσαν 79), ὁσημέραι φοιτᾷν ἐπὶ τὸ ῥεῦμα, καὶ τόν τε ἀφρὸν ἐντίθεσθαι ταῖς ἀγκάλαις, καὶ τὸ ὕδωρ ὑποδέχεσθαι τοῖς κόλποις. Ἀθήνησι δὲ αὐτὸ τοῦτο τὸ ζῶον ἀγαπηθῆναι, τὸ καὶ παρ' ὑμῖν εὐδοκιμοῦν· καὶ νῦν ἐστιν ἐν τῇ πόλει τόπος καλούμενος οὕτως, Ἵππου καὶ κόρης ἄβατον. ὁ γὰρ πατὴρ συγκαθεῖρξε 80) τὴν παῖδα τῷ ἵππῳ, καὶ φασὶν οὕτω διαφθαρῆναι τὴν κόρην. σκοπεῖτε δὲ, μὴ καὶ ὑμεῖς ὑπὸ τῆς τοιαύτης ἐπιθυμίας ἀπόλησθε. ποῖος γὰρ Ὅμηρος, ἢ τίς ἀνθρώπων δύναται τὰ συμβαίνοντα εἰπεῖν; οὐ γὰρ οὕτως ἐκεῖνος φησὶ τὰ ἅρματα ταπεινὰ γίνεσθαι μεταξὺ, καὶ σφόδρα ὑψηλὰ κατὰ τὸν δρόμον· ὡς τὰς ὑμετέρας ψυχάς ἐστιν ἰδεῖν πασχούσας. φησὶ δ' οὕτως, ἵν' ὑμῖν καὶ χαρίσωμαί 81) τι μικρόν.

Ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' ἀΐξασκε μετήορα, τοὶ δ' ἐλατῆρες
Ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
Νίκης ἱεμένων, κέκλοντο δὲ οἷσιν ἕκαστος
Ἵπποις.

ἐνταῦθα τοὺς μὲν ἡνιόχους πεποίηκεν ἀγωνιστὰς, καὶ φιλοτιμουμένους· τοὺς δὲ θεατὰς καθ' ἡσυχίαν θεωροῦντας,

79) ἐρασθεῖσαν] repete tacite a communi φασίν. quaerit Anglus, quid haec similitudo hic loci sibi velit. Hoc vult, vt demonstret nempe, tametsi multi ferantur in historiis in equos insano amore exarsisse, neminem tamen illorum omnium ita furiose deperisse equos, atque Alexandrinos.

80) συγκαθεῖρξε] v. Wesseling. ad Diodor. Sic. II. 550. Ven. et Mor. dant συγκαθεῖρξαι.

81) καὶ χαρίσωμαι] Ven. et Mor. dant κεχαρίσωμαι.

ροῦντας, ὥσπερ καὶ προσῆκε. μόνον δ' ἐπὶ τῷ τέλει φησὶν Αἴαντα τὸν Λοκρὸν ὁρᾶν ἀπρεπέστερον, καὶ λοιδορεῖσθαι Ἰδομενεῖ περὶ τῶν ἵππων τῶν Εὐμήλου. οὗτος μέντοι ἐστὶν ὁ περὶ τὴν Ἀθηνᾶν αὖθις ἀσεβήσας, ἁλισκομένης τῆς Τροίας· καὶ αὐτὸς δὲ, διὰ τοῦτο κεραυνωθεὶς, καὶ τοῦ χειμῶνος καὶ τῆς ναυαγίας τοῖς πᾶσιν αἴτιος γενόμενος. ὁ γὰρ ἐν τοιούτοις θρασὺς καὶ προπετὴς, οὐδὲ τἄλλα εἶναι δύναται σώφρων· ὥσπερ καὶ εἶπον ἤδη. τοῦτο μὲν οὖν, τοιοῦτο παράδειγμα κακίας καὶ ἀνοίας, ὁμοίως ἐκ τῶν 82) τοιούτων ἀνθρώπων, τοῖς παρ' ὑμῖν. ὅτι μάχεσθαί γε οὐδεὶς ἱκανός ἐστιν, οὐδὲ ἀριστεύειν, οὐδὲ αἱρεῖν πόλεις, ὡς ἐκεῖνος. ἡμῶν δὲ οὐδεὶς ἐν τῇ θέᾳ καθέστηκεν, ἀλλὰ πολὺ μᾶλλον πέτεσθε τῶν ἵππων, καὶ τῶν ἡνιόχων, καὶ γελοῖοί ἐστε, καὶ ἡγεῖσθε 83), καὶ πίπτετε. τοιγαροῦν οὐ κακῶς τις παρεποίησε τῶν σαπρῶν τούτων ποιητῶν·

Ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' ἀΐξασκε μετήορα· τοὶ δὲ θεαταὶ
Θώκοις ἐν σφετέροις, οὔθ' ἕστασαν οὔδ' ἐκάθηντο,
Χλωροὶ ὑπαὶ δείους πεφοβημένοι, οὐδ' ὑπὸ νίκης 84)
Ἀλλήλοισί τε κεκλόμενοι, καὶ πᾶσι θεοῖσι
Χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστοι.
Ἠΰτε περ κλαγγὴ γεράνων πέλει, ἠὲ κολοιῶν,
Αἵ τ' ἐπεὶ οὖν ζῦθόν τ' ἔπιον, καὶ ἀθέσφατον οἶνον,

82) ὁμοίως ἐκ τῶν] variis modis hunc locum tentarunt Casaub. Anglus, interpres, nos ipsimet quoque, quibus alias nouas coniecturas addere possimus, verum his quidem armis causa haec vinci nequit. libri meliores soli hoc vulnus sanabunt.

83) ἡγεῖσθε] proxime ad vestigia literarum foret κινεῖσθε. verum non satisfacit. num κλονεῖσθε. *agitamini*, *percellimini*, *conturbamini*, *aestuatis*.

84) οἱ δ' ὑπὸ] *hi vero prae studio vincendi.* paulo aliter Anglus ἠδ' ὑπὸ. Ven. et Mor. dant οὐδ' ὑπό.

Κλαγγῇ ταί γε πέτονται [85]) ἀπὸ σαδίοιο κελεύθε.
Οἱ δ' ὥςε ψαρῶν νέφος ἔρχεται, ἠὲ κολοιῶν,
Οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
Ἵππον, ὃς ἀνθρώποισι φόνε φέρει ἠλιθίοισιν·
Ὡς οἱ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ἔπιπτον.
Ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς·
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ,
Πάντη τ' εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
Πρόῤῥιζοι πίπτεσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
Ὡς οἱ μὲν μάρναντο πυρὸς δέμας. ἐδέ κε φαίης
Οὐδέποτ' ἠέλιον σῶον ἔμμεναι, ἔτε σελήνην.
Οἵηπερ φύλλων γενεὴ, τοίηδε καὶ ἀνδρῶν,
Ἀνδρῶν κεφονόων, φιλαοιδοτάτων, ἀγερώχων.
Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς. [85b])
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
Τί πτώσσεις; τί δ' ὀπιπτεύεις κατὰ ἅρμ' ἐν ἀγῶνι;
Εἰ δ' ἄγε νῦν πείρησαι, ἵνα καμφθεὶς ἀποτίνῃς [86]).
Τὸν δ' αὖθ' Ἱπποκόων ἀπαμειβόμενος προσέειπε,
Τέττα σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ,
Ἠπεδανὸς δὲ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
Τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος·
Οὐχ ὁράας, οἷος κἀγὼ καλός τε μέγας τε,
Ἀλλ' ἔπι τοι κἀμοὶ θάνατος καὶ μοῖρα κραταιή.
Αἲ γάρ πως ὑμᾶς γε καὶ αὐτὲς ἐνθάδε πάντας
Ὁπλήεντας ἔθηκε θεὰ λευκώλενος Ἥρη.
Ὡς μή μοι τρύζητε καθήμενοι, ἄλλοθεν ἄλλος.
Ὡς ἔφαθ'· οἱ δ' εὔχοντο Διὶ Κρονίωνι ἄνακτι.

ταῦτα

85) κλαγγῇ ταί γε πέτονται] habeatne bene, an leg. sit κλαγγηταί, quaere apud Homerum. In Veneta est κλαγγητέ (sic) γε πέττονται.

85 b) imo vero αὐλάς. *ad Iouis aedes.*

86) ἀποτίνῃς] sic recte interpres. ἀποτείνῃς Ven. et Mor.

ταῦτα μὲν ὑμῖν ἀπὸ πολλῶν καὶ φαύλων ὀλίγα, ὅπως μὴ μόνοι [87]) δοκῆτε εἶναι γελοῖοι. καὶ μὴν αἰσχρόν ἐστιν, ἄνδρες Ἀλεξανδρεῖς, τοὺς πυνθανομένους περὶ τῆς πόλεως, τὰ μὲν ἄλλ' ἀκούειν θαυμαστὰ οἷα· περὶ δὲ ὑμῶν αὐτῶν μηδὲν σεμνὸν λέγεσθαι, μηδ' ἄξιον ζήλου· τοὐναντίον δέ, ὡς φαύλους τοὺς ἀνθρώπους [88]) διαβεβλῆσθαι, μίμους καὶ γελωτοποιοὺς μᾶλλον, οὐκ ἄνδρας ἐρρωμένους, ὡς τῶν κωμικῶν [89]) ἔφη τις ἐπὶ τοῖς τοιούτοις· ἀκόλαστος ὄχλος, ναυτική τε ἀταξία. ἔστι γὰρ ὅμοιον, ὥσπερ εἰ οἰκίαν μέν τις ἴδῃ πάνυ καλήν, τὸν δὲ δεσπότην αὐτὸν [90]) ἀνδράποδον, μηδὲ θυρωρεῖν ἄξιον. τῷ παντὶ γὰρ κρεῖττον ἐρημίαν καθορᾶν, καὶ δεκαπέντε ἀνθρώπους εὐπόρους, ἢ πλῆθος ἀνήριθμον ἀνθρώπων ἀθλίων, καὶ μαινομένων· ὥσπερ τινὰ κόπρον βαθεῖαν, ἐν ταὐτῷ νενημένην ἐκ παντοδαπῶν λυμάτων. οὐδὲ γὰρ πόλιν εἴποι τις ὀρθῶς τὴν ἐκ τοιούτων, οὐδέ γε χορόν, τοὺς ὁποίους δήποτε συνελθόντας, οὐδὲ στρατόπεδον πάντα ὄχλον. οὐδὲ γὰρ τὸ τοῦ Ξέρξου στράτευμα λαμπρὸν ἦν, πλὴν [91]) εἰ μή τις διο-

87) μόνοι] sic recte margo Mor. sed t. Mor. et Ven. dant μόνῳ. *ne soli vos videamini hoc in conuentu esse ridiculi, sed ego quoque in partem huius laudis quodammodo veniam, dum similis vobis fiam, ridicule me gerendo.*

88) τοὺς ἀνθρώπους] subaudi τοὺς ἐνθάδε. *homines hic loci,* Alexandriae, *degentes.*

89) τῶν κωμικῶν] aut memoria hic fefellit Dionem, aut manus librariorum. Versus enim ille ἀκόλαστος ὄχλος — ἀταξία est Euripidis ex Hecuba vers. 607. v. Vales. Emendat. p. 36. et Abresch ad Aeschyl. p. 56.

90) αὐτὸν] Ven. et Mor. dant αὐτῶν.

91) primum aut πλὴν aut μὴ est delendum, deinde pro τις scrib. est τι, eique δέῃ addendum, denique verba ἢ διασκάπτειν sunt inducenda, quae certe quoque a Veneta absunt, et aut scholium sunt, aut varians lectio verbi διορύττειν. Ita nobis hoc de loco videtur. Anglus de

ῥύττειν, ἢ διασκάπτειν, ἢ τοιοῦτον ἕτερον ἔργον πράττειν. οὐδὲ ἡ τῶν Τρώων πόλις εὐδαίμων, ὅτι πονηρῶν καὶ ἀκολάστων ὑπῆρξε πολιτῶν. καίτοι μεγάλη τε καὶ ἔνδοξος ἦν· ἀλλ' ὅμως ὁ τῆς Ἰθάκης πολίτης ἐπόρθησεν αὐτὴν, ὁ τῆς μικρᾶς καὶ ἀδόξου, σφόδρα οὖσαν εὐρύχωρον. Φοβοῦμαι δὴ, μὴ καὶ ὑμεῖς ἀπόλησθε 92) ἐκείνοις παραπλησίως· εἰ καὶ ψυχρότερόν ἐστιν εἰπεῖν· ὅτι κἀκείνην ὑπὸ ἵππου τινὸς φθαρῆναι λέγεται· πλὴν οἱ μὲν ἴσως ὑφ' ἑνὸς, ὑμεῖς δὲ ὑπὸ πλειόνων ἑαλώκατε. μὴ γὰρ τοῦτο μόνον ἡγεῖσθε ἅλωσιν εἶναι πόλεως, ἄν τινες τὸ τεῖχος καταβαλόντες, ἀποσφάττωσι τοὺς ἀνθρώπους, καὶ τὰς γυναῖκας ἀπάγωσιν, καὶ τὰς οἰκίας κατακαίωσιν. αὕτη μὲν ἴσως τελευταία 93), καὶ πρὸς ὀλίγον γιγνομένη, καὶ μᾶλλον ἐλεεῖσθαι τοὺς παθόντας, ἢ καταγελᾶσθαι παρασκευάζουσα. παρ' οἷς δ' ἂν ᾖ πάντων ἀμέλεια τῶν καλῶν, ἑνὸς δὲ πράγματος ἀγεννοῦς ἔρως, καὶ πρὸς μόνον τοῦτο ἀποβλέπωσι, καὶ περὶ τοῦτο διατρίβουσιν 94), ἢ πηδῶντες, καὶ μαινόμενοι, καὶ παίοντες ἀλλήλους, καὶ ἀπόῤῥητα λέγοντες, καὶ τοὺς θεοὺς αὐτοὺς πολλάκις λοιδοροῦντες, καὶ τὰ ὄντα 95) ῥιπτοῦντες, καὶ γυμνοὶ βαδίζοντες ἀπὸ τῆς θέας ἐνίοτε· τοῦτ' ἐστιν αἰσχρὰ πόλεως καὶ ἐπονείδιστος ἅλωσις. καὶ γὰρ ἀνθρώπους ἑαλωκέναι φαμὲν οὐχ ὑπὸ λῃστῶν μόνον, ἢ ἑταίρων 96), ἀλλὰ

τις cum τι mutando consentit. Casaubonus aliter paulo constituit.

92) ἀπόλησθε] sic recte Ven. ἀπόλεσθε Mor.

93) malim ἡ τελευταία, scil. ἅλωσις.

94) malim διατρίβωσιν ἀεὶ πηδῶντες, aut διατρίβωσι πηδῶντες.

95) τὰ ὄντα] subaudi ἐν χερσί. *quicquid ad manum est, quicquid in manus venit.* pro παρόντα vel ὑπάρχοντα.

96) verba ἢ ἑταίρων delendum. in aliis libris Dionis fuit ἑταίρας, in aliis ἑταιρῶν, ab ἑταίρα *meretrix.* adscripsit ali-

ἀλλὰ καὶ ἑταίρας, καὶ γαστρὸς, καὶ ἄλλης τινὸς φαύλης ἐπιθυμίας. αἰχμάλωτος οὖν γενέσθαι καλῶς ἂν λέγοιτο καὶ ἀνὴρ καὶ πόλις, ἥτις ἂν τῶν κρειττόνων ἐπιτηδευμάτων ἀφεμένη, καὶ μήτε ὁρῶσα μηδὲν, μήτε ἀκούουσα τῶν εἰς σωτηρίαν· ἀλλ' αἱρεθεῖσα ὑπὸ μέθης, ἢ ᾠδῆς γυναικῶν, ἢ ἁρμάτων, ἄγηται καὶ φέρηται, καὶ πᾶσα δι' ὅλης θορυβῆται 97) περὶ τοῦτο, καὶ ἐκφωνεῖ 98). καὶ, νὴ Δία, ἑαλωκέναι λέγοιτ' ἂν, καὶ κατὰ κράτος, ὡς οὐθ' ἑαλωκέναι 99) καὶ περιηγκωνίσθαι. οὐ γὰρ, ἂν μὲν τὸ σῶμά τινος κρατῆται, καὶ περιέχηται 100) δεσμοῖς τισιν ἢ φρουροῖς, τὰ δυσχερῆ δεῖ ταῦτα νομίζειν, αἰχμαλωσίαν καὶ δουλείαν καὶ ἀπάτην, τῆς δὲ ψυχῆς 1) ἠνδραποδισμένης καὶ ἀπολωλυίας, εἰρωνεύεσθαι καὶ ὑποτιμᾶσθαι 2). καίτοι δεινὰ μέν που καὶ ἐφ' ἑκάστῳ τὰ τοιαῦτα, τῷ παντὶ δὲ αἰσχίω, δημοσίᾳ φαινόμενα. καὶ γὰρ αἱ λοιπαὶ νόσοι, μέχρι μὲν τῶν καθ' ἕνα εἰσὶν, οὐ μεγάλης οὐδὲ φοβερᾶς προση-

aliquis lector hanc varietatem; ex eo factum, vt in textum ea irreperet, locum alienum occupans.

97) θορυβῆται] ſic recte Ven. θορυβεῖται Mor.

98) ἐκφωνεῖ] Veneta dat ἐκφωνῇ et margo Mor. ἐκφρονεῖ. leg. ἔκφρων ᾖ.

99) ὡς οὐθ' ἑαλωκέναι] haec verba videntur delenda, aut leg. ὡς οὐδ' ἄλλη τις, καὶ περιηγκωνίσθαι.

100) περιέχηται] in Ven. ſic eſt: κρατῆται, καὶ περὶ δουλείαν — caeteris omnibus omiſſis. Mor. dat περιέχεται.

1) lego ſic: καὶ δουλείαν· ἀπάτην δὲ ψυχῆς —

2) εἰρωνεύεσθαι καὶ ὑποτιμᾶσθαι] verba Demoſthenica. prius ſignificat, rem improbam, turpem, flagitioſam, infamem, honeſto velare verbo. poſterius, fateri quidem haud eſſe laudandam, appellationem tamen tam contumelioſam nolle pati, atque negare eam rei conuenire, ſed molliorem minusque inuidioſam poſtulare, vt ſi qui condemnatus nil recuſet quidem poenam omnino omnem, ſed hanc ſibi irrogatam recuſet, ceu nimis atrocem, minorisque aeſtimari, aut lenius puniri poſtulet.

τα μὲν ἐκεῖνος ἔπαιζεν ὁ Φρύξ. ἐγὼ δ' ὑμῖν βούλομαι Λακεδαιμονίων ἔργον εἰπεῖν, ὡς ἐκεῖνοι προσηνέχθησαν ἀνδρὶ κιθαρῳδῷ θαυμαζομένῳ τότε ἐν τοῖς Ἕλλησιν. ὅτι γὰρ λίαν ἡδὺς ἐδόκει καὶ περιττὸς, μὰ Δί', οὐκ ἐτίμησαν αὐτὸν, ἀλλ' ἀφείλοντο τὴν κιθάραν, καὶ τὰς χορδὰς ἐξέτεμον, ἀπεῖναι προσειπόντες 50) ἐκ τῆς πόλεως. ἐκεῖνοι μὲν οὖν τὸ πρᾶγμα οὕτως ὑφεωρῶντο, καὶ ἐφύλαττον τὰ ὦτα, ὡς ἂν μὴ διαφθαρῶσιν αἱ ἀκοαὶ, μηδὲ τρυφερώτεραι γένωνται τοῦ δέοντος. ὑμεῖς δὲ οὕτως ἀγεννῶς δεδούλωσθε ὑπὸ τῆς τοιαύτης ἡδονῆς. δι' ὑμᾶς δὲ ἤδη μοι δοκεῖ τὸ πρᾶγμα καὶ τῶν ῥητόρων ἔσεσθαι, καὶ φιλοσόφων ἐνίων· μᾶλλον δὲ τοὺς ῥήτορας οὐδὲ γνῶναι ῥᾴδιον. ὡς γὰρ ὁρῶσι τὴν σπουδὴν ὑμῶν τὴν περὶ τοῦτο, καὶ τὴν ἐπιθυμίαν, πάντες δὴ ᾄδουσι καὶ ῥήτορες, καὶ σοφισταὶ, καὶ πάντα περαίνεται δι' ᾠδῆς· ὥστ', εἴ τις παρίοι δικαστήριον, οὐκ ἂν γνοίη ῥᾳδίως, πότερον ἔνδον πίνουσιν, ἢ δικάζονται· κἂν σοφιστοῦ δὲ οἴκημα πλησίον ᾖ, οὐκ ἔσται γνῶναι τὴν διατριβήν. δοκεῖ δέ μοι, καὶ ἐν τῷ γυμνασίῳ προϊόντες 51), ἤδη γυμνάσονται καὶ πρὸς μέλος, καὶ τοὺς κάμνοντας ἰάσονται. περὶ γὰρ τῆς τέχνης καὶ νῦν ὑμῖν διαλέγονται ᾄδοντες. κινδυνεύει δ' ὁ βίος σχεδὸν ἅπας γεγονέναι κῶμος εἷς, οὐχ ἡδὺς, οὐδὲ πρᾶος, ἀλλ' ἄγριος καὶ χαλεπὸς, ἅμα ὀρχουμένων, τερετιζόντων, μιαιφονούντων. οἱ δ' οὖν Λακεδαιμόνιοι πλεῖστον ὅσον ὑμῶν διέφερον, περὶ ταῦτα, ὡς ἔφην, εὐλαβῶς ἔχοντες. οἱ μὲν γὰρ ἄρχειν ἦσαν ἱκανοὶ, καὶ τῶν μὲν Ἑλλήνων προέστησαν πολλὰ ἔτη, τοὺς δὲ βαρβάρους ἐνίκων ἀεὶ πάν-

τας·

50) lego nil cunctans ἀπιέναι προειπόντες. legum et magistratuum est non προσειπεῖν, sed προειπεῖν, *edicere cum interminatione, quid agendum, quid omittendum sit.* nil curo Angli subtilitates h. l. a graecitate abhorrentes.

51) προϊόντες] sic recte Ven. *si hoc modo pergent, si increbrescet hic morbus.* Mor. dat προϊέντες.

τας· ὑμεῖς δὲ οὔτε[52]) ἄρχεσθαι καλῶς ἐπίστασθε. τοιγαροῦν, εἰ μὴ τῶν προεστηκότων ἐτύχετε, χαλεπῶς ἄν, οἶμαι, καὶ ἐσώζεσθε[53]). τεκμήριον δὲ τὰ τελευταῖα συμβάντα περὶ ὑμᾶς. ὅτε γὰρ καθ' αὑτοὺς ἦτε[54]), οὐχ ὁ μὲν βασιλεὺς ὑμῶν περὶ αὔλησιν ἠσχολεῖτο καὶ μόνῳ τούτῳ προσεῖχεν; ὑμεῖς δὲ πρὸς ἐκεῖνον ἀπεχθῶς, πρὸς ἀλλήλους δὲ στασιαστικῶς διέκεισθε; χωρὶς ἕκαστοι καὶ καθ' ἑαυτοὺς διαφθείροντες τὰ πράγματα, Σειμαριστοὶ, καὶ τοιαῦθ' ἕτερα ἑταιρειῶν[55]) ὀνόματα, ὥστε φυγεῖν αὐτὸν ἠναγκάσατε; καὶ μετὰ ταῦτα κατιέναι πολέμῳ καὶ διὰ Ῥωμαίων. καὶ τέλος, ἐκεῖνος μὲν αὐλῶν, ὑμεῖς δὲ ὀρχούμενοι, τὴν πόλιν ἀπωλέσατε. καὶ νῦν οὕτως ἐπιεικεῖς ἔχοντες ἡγεμόνας, εἰς ὑποψίαν αὐτοὺς καθ' ὑμῶν αὐτῶν ἠγάγετε, ὥστε ἐπιεικεστέρας[56])

χρῆναι

52) si seruatur οὔτε, necesse est legi sic: ὑμεῖς δὲ οὔτε ἄρχειν, οὔτε ἄρχεσθαι καλῶς ἐπίστασθε. *vos autem neque imperare nostis, neque parere cum decore.* sin autem nolim quicquam inferciri, erit pro οὔτε sufficiendum οὐδὲ, *vos autem ne parere quidem decenter et honeste nostis, nedum vt imperare sciatis.*

53) ἐσώζεσθε] sic recte Casaub. *seruaremini, salui essetis.* σώζεσθε Ven. et Mor.

54) καθ' αὑτοὺς ἦτε] *cum adhuc vestri iuris essetis, reges haberetis vestri generis, nondum Romanis pareretis.*

55) ἑταιρειῶν] sic recte Ven. ἑταιρεῶν Mor. post ὀνόματα videtur aliquod participium desiderari, e. c. ὀνομαζόμενοι, aut ἀκούοντες, aut κεκλημένοι, aut tale quid.

56) ἐπιεικεστέρας suspectum Casaubono fuit immerito. suspicabatur ille ἐπιμελεστέρας aut ἀκριβεστέρας melius sententiae conuenturum. postulat ista quidem sententia; sed idem vulgata significat. ἐπιεικὴς non tantum est *lenis, commodus, benignus,* sed etiam *copiosus, spissus,* vnde fit, vt φυλακὴ ἐπιεικεστέρα significet h. l. quidem *custodiam acriorem, diligentiorem.* Valesius, qui totum h. l. non sine graui Naogeorgi increpatione latine vertit, Emendat. p. 61. recte *sollicitiore* reddidit. saepe occurrit ἐπιεικῶς pro *crebro, saepenumero, maiorem in modum;* qua de re nos alibi admonuimus.

κἀγὼ βαδιοῦμαι· ταῦτα δὲ ἔλεγε, φειδόμενος ὑμῶν καὶ καταγελῶν, καὶ καθάπερ παισὶ προσπαίζων. ἐπὶ [64]) τὸ στράτευμα ἐφειστήκει κἀκεῖνος οὐδένα [65]) εἴα ἅπτεσθαι, γυμνοὺς ἅπαντας [66]) ὁρῶν, καὶ ἑτοίμους ἀπόλλυσθαι. τί οὖν ἐβιάσαντο μετὰ ταῦτα οἱ προπετεῖς καὶ ἀκόλαστοι, καὶ ἐπίτηδες ἀναστρέψαι [67]) καὶ συγχέαι πάντα ἐπιβουλεύσαντες, καὶ οὐ πρότερον ὑμᾶς ἀνῆκαν, ἕως ἐγεύσασθε πολέμου· καὶ τὸ δεινὸν ἄχρι πείρας προῆλθε. τί δὴ καὶ τούτων ἐπεμνήσθην; ὅπως εἰδῆτε τὰ φυόμενα ἐκ τῆς περὶ τὸν βίον ταύτης ἀταξίας. οὐ γάρ ἐστι τοὺς οὕτως ἐπτοημένους περὶ τὰ μικρὰ καὶ μηδενὸς ἄξια, φαύλως καὶ ἀκρατῶς ἔχοντας, ἐν τούτοις ἃ πράττουσι καθ' ἡμέραν, τἆλλα σωφρονεῖν, καὶ περὶ τῶν μειζόνων ὀρθῶς βουλεύεσθαι. ἡ γὰρ τῶν τρόπων κουφότης καὶ τὸ ἀλόγιστον οὐκ ἐᾷ μένειν ἐπὶ τοῖς ἐλάττοσιν, οὐδ' ἔχει μέτρον οὐδὲν ἡ ἄνοια τῶν ἁμαρτημάτων, ἀλλ' ἐπὶ πᾶν ὁμοίως πρόεισι, καὶ παντὸς ἅπτεται, μετὰ ἴσης εὐχερείας. μὴ οὖν οἴεσθε περὶ μικρῶν εἶναι τὸν λόγον, ὅταν τις ὑμῖν διαλέγηται περὶ τῶν ἐν τοῖς θεάτροις θορύβων. οὐ γὰρ οὕτως ἡ πενία ταχὺ πέφυκε συμβαίνειν διὰ τὰς κατ' ὀλίγον ζημίας, ὡς ἡ κακία πρόεισιν ἐκ τῶν κατὰ μέρος τούτων ἁμαρτημάτων· καὶ τελευταῖον, ἐπ' αὐτὸ τὸ πέρας, καὶ τὸν

vulgata satis bene defendi. νικᾶν βήματα τέτταρα non video quid impediat, quo minus significet *praevenire aliquem aliquo quatuor passibus.* in βαδιοῦμαι subauditur οἴκαδε. *tum ego quoque cum militibus meis me domum recipiam.*

64) pro ἐπὶ lego ἔτι, *adhuc adstabat exercitus in armis immotus, nondum faciebat caedis initium.*

65) post οὐδένα malim οὐδενὸς addi.

66) γυμνοὺς ἅπαντας] subaudi ὑμᾶς *videns vos omnes nudos, inermes.*

67) imo vero ἀνατρέψαι a verbo τρέπω.

τὸν ὄλεθρον αὐξηθεῖσα ἤγαγε. καὶ ταῦτα μὲν ἤδη τὰ περὶ τὸ θέατρον. ἀλλ᾽ ὅταν εἰς τὸ στάδιον ἔλθητε, τίς ἂν εἰπεῖν δύναιτο τὰς ἐκεῖ κραυγὰς, καὶ θόρυβον, καὶ ἀγωνίαν, καὶ σχημάτων μεταβολὰς, καὶ χρωμάτων, καὶ βλασφημίας, οἵας καὶ ὅσας ἀφίετε; εἰ γὰρ μὴ τοὺς ἵππους 68) ἑωρᾶτε ἁμιλλωμένους, καὶ τούτους συνήθεις, αὐτοὶ δ᾽ ὑπὸ μαστίγων ἠλαύνεσθε τῶν ἐν ταῖς τραγῳδίαις, οὐκ ἂν οὕτως χαλεπῶς διέκεισθε. αὐτὸν γὰρ, οἶμαι, τὸν Ἰξίονα λῆρον ἀποφαίνετε, τὸν ἐν τῷ τροχῷ παρὰ τοῖς ποιηταῖς ἐνδεδεμένον καὶ κολαζόμενον, διὰ ταύτην 69) τινὰ ἀσέβειαν. φέρε οὖν, εἰ μεταξὺ 70) θεῶν τις ὑμῖν ἐπιστὰς, εἴποι διατεινάμενος·

Δαιμόνιοι μαίνεσθε, καὶ οὐκέτι κεύθετε θυμῷ
Βρωτὺν οὐδὲ ποτῆτα.

τί σφόδρα οὕτω κυκᾶσθε; τίς ἡ σπουδή; τίς ὁ ἀγών. οὐ γὰρ Πέλοψ ἐστὶν ὁ διώκων 71), οὐδ᾽ Οἰνόμαος, οὐδὲ Μυρτίλος. ὁ μὲν, δεύτερος ἀπὸ Διὸς γεγονὼς, ὁ δὲ Ἑρμοῦ παῖς. οὐδὲ περὶ βασιλείας, οὐδὲ γυναικὸς, οὐδὲ θανά-

68) sententia est: *Etsi quis fingat, vos ipsos agitari, non autem equos, non possetis tamen tam miserabilem in modum conteri et contorqueri, atque artus vestri nunc ab illis vestris violentissimis conteruntur, ad spectaculum equorum, quorum corpora non possunt tam defatigari cursus contentione, atque vestra defatigari consentaneum est ab illa dira vestra contentione clamandi, et terram pulsandi, et pugnandi, tametsi non vos agitamini in circo, sed equi agitantur, iique vestris oculis familiares, quos saepissime iam vidistis. Quod autem quis assidue spectat, eius spectandi taedium cito ipsum capit. Vos autem eorundem equorum spectaculo non satiamini.*

69) malim τοιαύτην.

70) μεταξὺ [scil. θορυβούντων ὑμῖν, aut θορυβοῦσιν] *in medio tumultu vestro.*

71) διώκων h. l. est, non *persequens*, *insectans*, sed *agitans currum versus metam.*

θανάτου πρόκειται κρίσις· ἀλλ᾽ ἐστὶν ὁ ἀγὼν ἀνδραπόδων, ὑπὲρ τοῦ τυχόντος ἀργυρίου, νῦν μὲν ἡττωμένων, νῦν δὲ νικώντων, ἀεὶ τῶν αὐτῶν. εἰ λέγοι ταῦτα, τί ἐρεῖτε; ἢ δῆλον, ὅτι οὐδ᾽ ἀκούσεσθε παρ᾽ ἐκεῖνον τὸν καιρὸν, οὐδὲ ἐὰν αὐτὸς ὑμῖν ὁ τοῦ Πέλοπος 72) διαλέγηται πρόγονος; τίνα οὖν εὕρῃ τις ἐπικουρίαν, ἢ τίνα ἐξιλάσασθαι δεῖ δαιμόνων; ἔστιν Ὀλυμπιάσι κατὰ μέσον 73) τὸν ἱππόδρομον, Ταραξίππου Ποσειδῶνος βωμὸς, ἔνθα 74) μάλιστα συνέβαινε τοὺς ἵππους πτοεῖσθαι, καὶ πλεῖστα 75) διαφθείρεσθαι τῶν ἁρμάτων. ἔδοξεν οὖν τοῖς Ἠλείοις, ὡς δαιμονίου τινὸς ὄντος 76), ἱδρύσασθαι βωμόν. καὶ τὸ λοιπόν φασιν ἀπ᾽ 77) ἐκείνου γεγονέναι τὸν τόπον ἀσφαλῆ. πολὺ δὴ μᾶλλον ἔγωγε ὑμῖν συμβουλεύω, τὸν θεὸν τοῦτον ἐξιλάσασθαι, καὶ βωμὸν ἱδρύσασθαι τὸν αὐτόν· μὰ Δί᾽, οὐχ ὑπὲρ τῶν ἵππων, ἀλλ᾽ ὑπὲρ ὑμῶν αὐτῶν· ὅπως μὴ ταράττησθε, μηδὲ ἐκπίπτητε τῆς τάξεως. μὴ γὰρ 78) δαιμόνια πάντη τὰ τοιαῦτα, καὶ μείζονος δεόμενα ἀποτροπῆς; φασὶ καὶ ἀρχαίαν βασιλίδα ἐν Κρήτῃ τῶν Ἡλιαδῶν ἐρασθῆναι ταύρου, καὶ συγγενομένην χαλεπόν τι καὶ

72) Pelopis atauus quis est? quaere. Num Iupiter?

73) κατὰ μέσον] sic recte Casaub. et margo Mor. κατὰ νεμέων Ven. et t. Mor.

74) ἔνθα] *vbi*; in medio nempe stadio, vbi postmodum condita est illa ara, *euenit*, illa ara scil. nondum condita.

75) καὶ τὰ πλεῖστα.

76) ὄντος] subaudi αἰτίου τούτων. cogitaui quoque de χαλεπαίνοντος, aut νεμεσῶντος. *numen aliquod sibi succensere*. vel et ἐκεῖ ὄντος. *numen aliquod ibi loci versari.*

77) ἀπ᾽ ἐκείνου] sic recte Anglus, scil. τοῦ χρόνου, vel γεγονότος. possit quoque corrigi ἐξ ἐκείνου, vel ἐπ᾽ ἐκείνῳ, scil. συμβάντι. sententiam bene h. l. interpres reddidit, qui autem existimarit leg. esse, ex interpretatione nequit satis certo colligi.

78) μὴ γὰρ] subaudi ante μὴ, aut ὁρᾶτε *videte, ne*, aut δέδοικα *vereor, ne* — possit quoque ἦ legi, *profecto enim.*

μέγα τεκεῖν τέρας. δέδοικα δὲ κἀγὼ τὸν ἱππικὸν ἔρωτα τῆς πόλεως, μή τι δυσχερὲς ὑμῖν καὶ ξένον ἐνέγκῃ τῷ χρόνῳ. πάλιν δὲ ἑτέραν παρθένον ποταμοῦ τινος ἐρασθεῖσαν 79), ὁσημέραι φοιτᾶν ἐπὶ τὸ ῥεῦμα, καὶ τόν τε ἀφρὸν ἐντίθεσθαι ταῖς ἀγκάλαις, καὶ τὸ ὕδωρ ὑποδέχεσθαι τοῖς κόλποις. Ἀθήνησι δὲ αὐτὸ τοῦτο τὸ ζῶον ἀγαπηθῆναι, τὸ καὶ παρ' ὑμῖν εὐδοκιμοῦν· καὶ νῦν ἐστιν ἐν τῇ πόλει τόπος καλούμενος οὕτως, Ἵππου καὶ κόρης ἄβατον. ὁ γὰρ πατὴρ συγκαθεῖρξε 80) τὴν παῖδα τῷ ἵππῳ, καί φασιν οὕτω διαφθαρῆναι τὴν κόρην. σκοπεῖτε δὲ, μὴ καὶ ὑμεῖς ὑπὸ τῆς τοιαύτης ἐπιθυμίας ἀπόλησθε. ποῖος γὰρ Ὅμηρος, ἢ τίς ἀνθρώπων δύναται τὰ συμβαίνοντα εἰπεῖν; οὐ γὰρ οὕτως ἐκεῖνος φησὶ τὰ ἅρματα ταπεινὰ γίνεσθαι μεταξὺ, καὶ σφόδρα ὑψηλὰ κατὰ τὸν δρόμον· ὡς τὰς ὑμετέρας ψυχὰς ἐστιν ἰδεῖν πασχούσας. φησὶ δ' οὕτως, ἵν' ὑμῖν καὶ χαρίσωμαί 81) τι μικρόν.

Ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' ἀΐξασκε μετήορα, τοὶ δ' ἐλατῆρες
Ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
Νίκης ἱεμένων, κέκλοντο δὲ οἷσιν ἕκαστος
Ἵπποις.

ἐνταῦθα τοὺς μὲν ἡνιόχους πεποίηκεν ἀγωνιστὰς, καὶ φιλοτιμουμένους· τοὺς δὲ θεατὰς καθ' ἡσυχίαν θεωροῦντας,

79) ἐρασθεῖσαν] repete tacite a communi φασίν. quaerit Anglus, quid haec ſimilitudo hic loci ſibi velit. Hoc vult, vt demonſtret nempe, tametſi multi ferantur in hiſtoriis in equos inſano amore exarſiſſe, neminem tamen illorum omnium ita furioſe deperiſſe equos, atque Alexandrinos.

80) συγκαθεῖρξε] v. Weſſeling. ad Diodor. Sic. II. 550. Ven. et Mor. dant συγκαθεῖρξαι.

81) καὶ χαρίσωμαι] Ven. et Mor. dant κεχαρίσωμαι.

ρῶντας, ὥσπερ καὶ προσῆκε. μόνον δ' ἐπὶ τῷ τέλει φησὶν Αἴαντα τὸν Λοκρὸν ὁρᾶν ἀπρεπέστερον, καὶ λοιδορεῖσθαι Ἰδομενεῖ περὶ τῶν ἵππων τῶν Εὐμήλου. οὗτος μέντοι ἐστὶν ὁ περὶ τὴν Ἀθηνᾶν αὖθις ἀσεβήσας, ἁλισκομένης τῆς Τροίας· καὶ αὐτὸς δὲ, διὰ τοῦτο κεραυνωθεὶς, καὶ τοῦ χειμῶνος καὶ τῆς ναυαγίας τοῖς πᾶσιν αἴτιος γενόμενος. ὁ γὰρ ἐν τοιούτοις θρασὺς καὶ προπετὴς, οὐδὲ τἄλλα εἶναι δύναται σώφρων· ὥσπερ καὶ εἶπον ἤδη. τοῦτο μὲν οὖν, τοιοῦτο παράδειγμα κακίας καὶ ἀνοίας, ὁμοίως ἐκ τῶν [82]) τοιούτων ἀνθρώπων, τοῖς παρ' ὑμῖν. ὅτι μάχεσθαί γε οὐδεὶς ἱκανός ἐστιν, οὐδὲ ἀριστεύειν, οὐδὲ αἱρεῖν πόλεις, ὡς ἐκεῖνος. ἡμῶν δὲ οὐδεὶς ἐν τῇ θέᾳ καθέστηκεν, ἀλλὰ πολὺ μᾶλλον πέτεσθε τῶν ἵππων, καὶ τῶν ἡνιόχων, καὶ γελοῖοί ἐστε, καὶ ἡγεῖσθε [83]), καὶ πίπτετε. τοιγαροῦν οὐ κακῶς τις παρεποίησε τῶν σαπρῶν τούτων ποιητῶν·

Ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' ἀΐξασκε μετήορα· τοὶ δὲ θεαταὶ
Θώκοις ἐν σφετέροις, οὔθ' ἕστασαν οὔδ' ἐκάθηντο,
Χλωροὶ ὑπαὶ δείους πεφοβημένοι, οὐδ' ὑπὸ νίκης [84])
Ἀλλήλοισί τε κεκλόμενοι, καὶ πᾶσι θεοῖσι
Χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστοι.
Ἠΰτε περ κλαγγὴ γεράνων πέλει, ἠὲ κολοιῶν,
Αἵ τ' ἐπεὶ οὖν ζῦθόν τ' ἔπιον, καὶ ἀθέσφατον οἶνον,

82) ὁμοίως ἐκ τῶν] variis modis hunc locum tentarunt Casaub. Anglus, interpres, nos ipsimet quoque, quibus alias nouas coniecturas addere possimus, verum his quidem armis causa haec vinci nequit. libri meliores soli hoc vulnus sanabunt.

83) ἡγεῖσθε] proxime ad vestigia literarum foret *κινεῖσθε.* verum non satisfacit. num *κλονεῖσθε. agitamini, percelliminі, conturbamini, aestuatis.*

84) οἱ δ' ὑπὸ] *hi vero prae studio vincendi.* paulo aliter Anglus ἠδ' ὑπὸ. Ven. et Mor. dant οὐδ' ὑπὸ.

Κλαγγῇ ταί γε πέτονται [85]) ἀπὸ ςαδίοιο κελεύθȣ.
Οἱ δ' ὥςε ψαρῶν νέφος ἔρχεται, ἠὲ κολοιῶν,
Οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
Ἴππον, ὃς ἀνθρώποισι φόνȣ φέρει ἠλιθίοισιν·
Ὡς οἱ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ἔπιπτον.
Ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωάς·
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ,
Πάντη τ' εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι
Πρόῤῥιζοι πίπτȣσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ·
Ὡς οἱ μὲν μάρναντο πυρὸς δέμας. ȣδέ κε φαίης
Οὐδέποτ' ἠέλιον σῶον ἔμμεναι, ȣ̓́τε σελήνην.
Οἵηπερ φύλλων γενεὴ, τοίηδε καὶ ἀνδρῶν,
Ἀνδρῶν κȣφονόων, φιλαοιδοτάτων, ἀγερώχων.
Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς. [85b])
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
Τί πτώσσεις; τί δ' ὀπιπτεύεις κατὰ ἅρμ' ἐν ἀγῶνι;
Εἰ δ' ἄγε νῦν πείρησαι, ἵνα καμφθεὶς ἀποτίνῃς [86]).
Τὸν δ' αὖθ' Ἱπποκόων ἀπαμειβόμενος προσέειπε,
Τέττα σιωπῇ ἧσο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ,
Ἠπεδανὸς δὲ νύ τοι θεράπων, βραδέες δέ τοι ἵπποι.
Τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος·
Οὐχ ὁράας, οἷος κἀγὼ καλός τε μέγας τε,
Ἀλλ' ἔπι τοι κἀμοὶ θάνατος καὶ μοῖρα κραταιή.
Αἲ γάρ πως ὑμᾶς γε καὶ αὐτȣ̀ς ἐνθάδε πάντας
Ὁπλήεντας ἔθηκε θεὰ λευκώλενος Ἥρη.
Ὡς μή μοι τεύξητε καθήμενοι, ἄλλοθεν ἄλλος.
Ὡς ἔφαθ'· οἱ δ' εὔχοντο Διῒ Κρονίωνι ἄνακτι.

ταῦτα

85) κλαγγῇ ταί γε πέτονται] habeatne bene, an leg. sit κλαγγηταὶ, quaere apud Homerum. In Veneta est κλαγγητέ (sic) γε πέττονται.

85 b) imo vero αὐλάς. ad Iouis aedes.

86) ἀποτίνῃς] sic recte interpres. ἀποτείνῃς Ven. et Mor.

ταῦτα μὲν ὑμῖν ἀπὸ πολλῶν καὶ φαύλων ὀλίγα, ὅπως μὴ μόνοι [87]) δοκῆτε εἶναι γελοῖοι. καὶ μὴν αἰσχρόν ἐστιν, ἄνδρες Ἀλεξανδρεῖς, τοὺς πυνθανομένους περὶ τῆς πόλεως, τὰ μὲν ἄλλ' ἀκούειν θαυμαστὰ οἷα· περὶ δὲ ὑμῶν αὐτῶν μηδὲν σεμνὸν λέγεσθαι, μηδ' ἄξιον ζήλου· τοὐναντίον δὲ, ὡς φαύλους τοὺς ἀνθρώπους [88]) διαβεβλῆσθαι, μίμους καὶ γελωτοποιοὺς μᾶλλον, οὐκ ἄνδρας ἐῤῥωμένους, ὡς τῶν κωμικῶν [89]) ἔφη τις ἐπὶ τοῖς τοιούτοις· ἀκόλαστος ὄχλος, ναυτική τε ἀταξία. ἔστι γὰρ ὅμοιον, ὥσπερ εἰ οἰκίαν μέν τις ἴδῃ πάνυ καλὴν, τὸν δὲ δεσπότην αὐτὸν [90]) ἀνδράποδον, μηδὲ θυρωρεῖν ἄξιον. τῷ παντὶ γὰρ κρεῖττον ἐρημίαν καθορᾶν, καὶ δεκαπέντε ἀνθρώπους εὐπόρους, ἢ πλῆθος ἀνήριθμον ἀνθρώπων ἀθλίων, καὶ μαινομένων· ὥσπερ τινὰ κόπρον βαθεῖαν, ἐν ταυτῷ νενημένην ἐκ παντοδαπῶν λυμάτων. οὐδὲ γὰρ πόλιν εἴποι τις ὀρθῶς τὴν ἐκ τοιούτων, οὐδέ γε χορὸν, τοὺς ὁποίους δήποτε συνελθόντας, οὐδὲ στρατόπεδον πάντα ὄχλον. οὐδὲ γὰρ τὸ τοῦ Ξέρξου στράτευμα λαμπρὸν ἦν, πλὴν [91]) εἰ μή τις διο-

87) μόνοι] ſic recte margo Mor. ſed t. Mor. et Ven. dant μόνῳ. *ne ſoli vos videamini hoc in conuentu eſſe ridiculi, ſed ego quoque in partem huius laudis quodammodo veniam, dum ſimilis vobis fiam, ridicule me gerendo.*

88) τοὺς ἀνθρώπους] ſubaudi τοὺς ἐνθάδε. *homines hic loci, Alexandriae, degentes.*

89) τῶν κωμικῶν] aut memoria hic fefellit Dionem, aut manus librariorum. Verſus enim ille ἀκόλαστος ὄχλος — ἀταξία eſt Euripidis ex Hecuba verſ. 607. v. Valeſ. Emendat. p. 36. et Abreſch ad Aeſchyl. p. 56.

90) αὐτὸν] Ven. et Mor. dant αὐτῶν.

91) primum aut πλὴν aut μὴ eſt delendum, deinde pro τις ſcrib. eſt τι, eique δέῃ addendum, denique verba ἢ διασκάπτειν ſunt inducenda, quae certe quoque a Veneta abſunt, et aut ſcholium ſunt, aut varians lectio verbi διορύττειν. Ita nobis hoc de loco videtur. Anglus de

τις

ῥύττειν, ἢ διασκάπτειν, ἢ τοιοῦτον ἕτερον ἔργον πράττειν. οὐδὲ ἡ τῶν Τρώων πόλις εὐδαίμων, ὅτι πονηρῶν καὶ ἀκολάστων ὑπῆρξε πολιτῶν. καίτοι μεγάλη τε καὶ ἔνδοξος ἦν· ἀλλ' ὅμως ὁ τῆς Ἰθάκης πολίτης ἐπόρθησεν αὐτὴν, ὁ τῆς μικρᾶς καὶ ἀδόξου, σφόδρα οὖσαν εὐρύχωρον. Φοβοῦμαι δὴ, μὴ καὶ ὑμεῖς ἀπόλησθε 92) ἐκείνοις παραπλησίως· εἰ καὶ ψυχρότερόν ἐστιν εἰπεῖν· ὅτι κἀκείνην ὑπὸ ἵππου τινὸς φθαρῆναι λέγεται· πλὴν οἱ μὲν ἴσως ὑφ' ἑνὸς, ὑμεῖς δὲ ὑπὸ πλειόνων ἑαλώκατε. μὴ γὰρ τοῦτο μόνον ἡγεῖσθε ἅλωσιν εἶναι πόλεως, ἂν τινες τὸ τεῖχος καταβαλόντες, ἀποσφάττωσι τοὺς ἀνθρώπους, καὶ τὰς γυναῖκας ἀπάγωσιν, καὶ τὰς οἰκίας κατακαίωσιν. αὕτη μὲν ἴσως τελευταία 93), καὶ πρὸς ὀλίγον γιγνομένη, καὶ μᾶλλον ἐλεεῖσθαι τοὺς παθόντας, ἢ καταγελᾶσθαι παρασκευάζουσα. παρ' οἷς δ' ἂν ᾖ πάντων ἀμέλεια τῶν καλῶν, ἑνὸς δὲ πράγματος ἀγεννοῦς ἔρως, καὶ πρὸς μόνον τοῦτο ἀποβλέπωσι, καὶ περὶ τοῦτο διατρίβουσιν 94), ἢ πηδῶντες, καὶ μαινόμενοι, καὶ παίοντες ἀλλήλους, καὶ ἀπόρρητα λέγοντες, καὶ τοὺς θεοὺς αὐτοὺς πολλάκις λοιδοροῦντες, καὶ τὰ ὄντα 95) ῥιπτοῦντες, καὶ γυμνοὶ βαδίζοντες ἀπὸ τῆς θέας ἐνίοτε· τοῦτ' ἐστιν αἰσχρὰ πόλεως καὶ ἐπονείδιστος ἅλωσις. καὶ γὰρ ἀνθρώπους ἑαλωκέναι φαμὲν οὐχ ὑπὸ λῃστῶν μόνον, ἢ ἑταίρων 96),

ἀλλὰ

τις cum τι mutando consentit. Casaubonus aliter paulo constituit.

92) ἀπόλησθε] sic recte Ven. ἀπόλεσθε Mor.

93) malim ἡ τελευταία, scil. ἅλωσις.

94) malim διατρίβωσιν ἀεὶ πηδῶντες, aut διατρίβωσι πηδῶντες.

95) τὰ ὄντα] subaudi ἐν χερσί. *quicquid ad manum est, quicquid in manus venit.* pro παρόντα vel ὑπάρχοντα.

96) verba ἢ ἑταίρων delendum. in aliis libris Dionis fuit ἑταίρας, in aliis ἑταιρῶν, ab ἑταίρα *meretrix*. adscripsit ali-

ἀλλὰ καὶ ἑταίρας, καὶ γαστρὸς, καὶ ἄλλης τινὸς φαύλης ἐπιθυμίας· αἰχμάλωτος οὖν γενέσθαι καλῶς ἂν λέγοιτο καὶ ἀνὴρ καὶ πόλις, ἥτις ἂν τῶν κρειττόνων ἐπιτηδευμάτων ἀφεμένη, καὶ μήτε ὁρῶσα μηδὲν, μήτε ἀκούουσα τῶν εἰς σωτηρίαν· ἀλλ' αἱρεθεῖσα ὑπὸ μέθης, ἢ ᾠδῆς γυναικῶν, ἢ ἁρμάτων, ἄγηται καὶ φέρηται, καὶ πᾶσα δι' ὅλης θορυβῆται[97]) περὶ τοῦτο, καὶ ἐκφωνεῖ[98]). καὶ, νὴ Δία, ἑαλωκέναι λέγοιτ' ἂν, καὶ κατὰ κράτος, ὡς οὐθ' ἑαλωκέναι[99]) καὶ περιηγκωνίσθαι. οὐ γὰρ, ἂν μὲν τὸ σῶμά τινος κρατῆται, καὶ περιέχηται[100]) δεσμοῖς τισιν ἢ φρουροῖς, τὰ δυσχερῆ δεῖ ταῦτα νομίζειν, αἰχμαλωσίαν καὶ δουλείαν καὶ ἀπάτην, τῆς δὲ ψυχῆς[1]) ἠνδραποδισμένης καὶ ἀπολωλυίας, εἰρωνεύεσθαι καὶ ὑποτιμᾶσθαι[2]). καίτοι δεινὰ μέν που καὶ ἐφ' ἑκάστῳ τὰ τοιαῦτα, τῷ παντὶ δὲ αἴσχιω, δημοσίᾳ φαινόμενα. καὶ γὰρ αἱ λοιπαὶ νόσοι, μέχρι μὲν τῶν καθ' ἕνα εἰσὶν, οὐ μεγάλης οὐδὲ φοβερᾶς προση-

aliquis lector hanc varietatem; ex eo factum, vt in textum ea irreperet, locum alienum occupans.

97) θορυβῆται] sic recte Ven. θορυβεῖται Mor.

98) ἐκφωνεῖ] Veneta dat ἐκφωνῇ et margo Mor. ἐκφρονεῖ. leg. ἔκφρων ᾖ.

99) ὡς οὐθ' ἑαλωκέναι] haec verba videntur delenda, aut leg. ὡς οὐδ' ἄλλη τις, καὶ περιηγκωνίσθαι.

100) περιέχηται] in Ven. sic est: κρατῆται, καὶ περὶ δουλείαν — caeteris omnibus omissis. Mor. dat περιέχεται.

1) lego sic: καὶ δουλείαν· ἀπάτην δὲ ψυχῆς —

2) εἰρωνεύεσθαι καὶ ὑποτιμᾶσθαι] verba Demosthenica. prius significat, rem improbam, turpem, flagitiosam, infamem, honesto velare verbo. posterius, fateri quidem haud esse laudandam, appellationem tamen tam contumeliosam nolle pati, atque negare eam rei conuenire, sed molliorem minusque inuidiosam postulare, vt si qui condemnatus nil recuset quidem poenam omnino omnem, sed hanc sibi irrogatam recuset, ceu nimis atrocem, minorisque aestimari, aut lenius puniri postulet.

προσηγορίας τυγχάνουσιν· ὅταν δὲ κοινὸν γένηται τὸ πρᾶγμα, τότε λοιμὸς καλεῖται. καθόλου γὰρ πάντα 3) ἁμαρτήματα εἴποι τις ἄν. καὶ γὰρ πανταχοῦ καὶ οἰνόφλυγες, καὶ πόρνοι, καὶ γυναιμανεῖς ἐν πάσαις εἰσὶ ταῖς πόλεσιν· ἀλλ' οὐδὲ τοῦτο χαλεπὸν οὐδὲ ὑπερβάλλον· ὅταν δὲ ἐπικρατῇ τὸ πάθος, καὶ βλέπηται κοινὸν, τότε ἐπίσημον, καὶ μέγα, καὶ δημοσίᾳ γίνεται 4). ποία γὰρ πόλις ἐστὶ τῶν μὴ σφόδρα ἐρήμων καὶ μικρῶν, ἐν ᾗ μὴ καθ' ἡμέραν τις πυρέττει πάντως· ἀλλὰ Καυνίους μόνον παρείληφε· κἀκείνων ἐστὶ τὸ ὄνειδος, ὅτι πάντες αὐτὸ πάσχουσιν· ὥσπερ καὶ ἀπὸ τῶν βελτιόνων τινὲς ἐθαυμάσθησαν, καὶ δόξαν ἔσχον. πόσους γὰρ οἴεσθε Ἀθηναίων, ἢ Μεγαρέων, ἢ Κορινθίων, τὰ σώματα ἀσκεῖν, καὶ ζῆν φιλοπόνως; πολλοὺς δηλονότι, καὶ ταῦθ' ὅτ' ἀναγκαῖον ἦν αὐτοῖς, ἄνδρας ἀγαθοὺς ὑπὲρ τῶν πατρίδων γίγνεσθαι. τί οὖν μόνον 5) Λακεδαιμόνιοι τοῦτ' ἔσχον τὸ ὄνομα, καὶ τῆς δόξης ἀπολαύουσιν ἔτι καὶ νῦν; ὅτι 6) ἐκτήσαντο τὴν φιλοτιμίαν. τοὺς δὲ Ἀθηναίους τὰ περὶ τοὺς λόγους μᾶλλον ἐπιτηδεύοντας, καὶ ποίησιν, καὶ χοροὺς, ἐπὶ τούτῳ 7) αὐτοὺς ἐποίησε θαυμάζεσθαι. διὰ τὴν αὐτὴν αἰτίαν σκοπεῖτε δὲ, μὴ ἡμεῖς οὐχ ὁμοίως

3) aut ſic legi poteſt: πανταχοῦ ἁμαρτήματα εὕροι τις ἄν, aut πάντα ἁμαρτημάτων μεστὰ εἴποι τις ἄν. *vbique errores et peccata inuenias.* aut *omnia peccatis plena dicas.*

4) καὶ δημοσίᾳ γίγνεται] aut haec verba poſt τὸ πάθος collocanda ſunt, ſic tamen, vt γίγνηται exaretur, aut ſi ſuo loco manent, leg. eſt καὶ δημοσία νόσος γίγνεται. *et fit morbus publicus.*

5) μόνον poteſt teneri. melius tamen conueniat μόνοι.

6) κοινῇ] ſic recte Caſaub. et interpres. καὶ [illegible] Ven. et Mor

7) ἐπὶ τούτῳ] ſic recte Caſaub. et interpres. ἐπὶ τοῦτο Ven. et Mor.

ὁμοίως 8) μεταλάβητε δόξης τοῖς Ἀθηναίοις καὶ Λακεδαιμονίοις, ἀλλὰ μᾶλλον ἑτέροις τισίν. οὐ βούλομαι γὰρ ὀνομάσαι. ὅπερ γὰρ ἤδη πολλάκις εἶπον, αἰσχίω τὰ αἰσχρὰ, καὶ καταγέλαστα μᾶλλον, ὅταν ᾖ περὶ τὰς πόλεις. ὥσπερ ἐν ταῖς κωμῳδίαις καὶ διασκευαῖς, Καρίωνα μὲν εἰσάγοντες μεθύοντα καὶ Δᾶον, οὐ σφόδρα κινοῦσι γέλωτα· τὸν δὲ Ἡρακλέα τοιοῦτον ὁρῶσι γελοῖον δοκεῖ, παραφερόμενον, καὶ, καθάπερ εἰώθασιν 9)), ἐν κροκωτῷ. παραπλησίως καὶ δῆμος οὕτως μέγα 10)) μινυρίζων διὰ βίου, καὶ πάλιν ἡνιοχῶν χωρὶς ἵππων, αἰσχρὸν γίγνεται καὶ καταγέλαστον. αὐτὸ γὰρ τοῦτο Εὐριπίδης τὸν Ἡρακλέα φησὶ παθεῖν μαινόμενον.

Ἐκ τοῦ 11)) δὲ βαίνων, ἅρματ' οὐκ ἔχων 12)) ἔχειν
Ἔφασκε, δίφρου δ' εἰσέβαινεν ἄντυγας,
Καὶ ἔτεινε 13)) κέντρον δῆθεν, ὡς ἔχων χερί.

μὴ οὖν καὶ ὑμᾶς 14)) κατὰ ζῆλον τὸν Ἀλεξάνδρου. καὶ

8) ὁμοίως an ὁμοίας legas, ad fententiam non multum refert, tametfi hoc malim.

9) εἰώθασιν] hiftriones puta, vel poetae fcenici, in fuis fabulis Herculem producere.

10) malim οὕτω μέγας. Anglus item μέγας volebat. poftulat hoc comparatio inter Herculem et populum Alexandrinum, in quibus ambobus, cum ridiculos fe praebent, rifum et deformitatem ipfa creat magnitudo rerum ad eos pertinentium.

11) ἐκ τοῦ] fic leg. ex Euripidis Hercule furente. αὐτοῦ Ven. et Mor. videtur in aliis Euripidis codicibus fuiffe ἐκ τοῦ, in aliis ἀπὸ τοῦ, vnde αὐτοῦ natum eft.

12) ἔχων] fic recte Ven. vt eft in Euripide. ἔχω Mor.

13) καὶ ἔτεινε] fic Ven. κ' ἔτεινε Mor.

14) ὑμᾶς] videtur hic aliquid deeffe; nam etiamfi Cafauboni ὑμεῖς affumas, quod non infcitum eft, fcil. αἰσχροὶ γίνεσθε καὶ καταγέλαστοι, δίφρους ἀναβαίνοντες, quae

γὰρ αὐτὸς ἔλεγε Διὸς υἱὸς εἶναι. μᾶλλον δ' ἴσως οὐχ Ἡρακλεῖ προσέοικεν ὑμῶν ὁ δῆμος, ἀλλὰ Κενταύρῳ τινὶ ἢ Κύκλωπι πεπωκότι [15]) καὶ ἐρῶντι, τὸ μὲν σῶμα ἰσχυρῷ καὶ μεγάλῳ, τὴν δὲ διάνοιαν ἀμαθεῖ. πρὸς τοῦ Διὸς, οὐχ ὁρᾶτε, ὅσην ὁ αὐτοκράτωρ ὑμῶν πεποίηται τῆς πόλεως ἐπιμέλειαν; οὐκοῦν χρὴ καὶ ὑμᾶς ἀντιφιλοτιμεῖσθαι, καὶ τὴν πατρίδα κρείττω ποιεῖν· μὰ Δί', οὐ κρήναις, οὐδὲ προπυλαίοις· εἰς ταῦτα [16]) μὲν γὰρ οὐ δύνασθε ὑμεῖς ἀναλίσκειν, οὐδ' ἂν ὑπερβάλλοισθέ ποτε, οἶμαι, τὴν ἐκείνου μεγαλοψυχίαν· ἀλλ' εὐταξίᾳ, κόσμῳ, τῷ δεικνύειν ὑμᾶς σώφρονας καὶ βεβαίους. οὕτω γὰρ ἂν οὔτ' ἐπὶ τοῖς γεγονόσι μετανοήσει, καὶ πλείονα ὑμᾶς ἀγαθὰ ἐργάσεται. καὶ ἴσως ἂν αὐτῷ καὶ τῆς ἐνθάδε ἀφίξεως παράσχοιτε πόθον. οὐ γὰρ οὕτως τὸ κάλλος τῶν οἰκοδομημάτων προσάγειν [17]) αὐτὸν δύναται· πάντα γὰρ κρείττω καὶ πολυτελέστερα ἔχει τῶν ὁποιδήποτε· ἀλλ' ὅταν ἀκούσῃ τοὺς ὑποδεξομένους αὐτὸν, εὐνοίας καὶ πίστεως ἀξίους, καὶ [18]) τῶν πεμπομένων ἕκαστος καὶ διοικούν-

των

quae ſint repetenda e ſuperioribus, tamen non concinit inſequentibus; quid enim ſibi volunt illa de Alexandro, etiam ipſo Iouis filium ſe gerente, perinde vt Hercules geſſit. Aliena haec ſunt.

15) πεπωκότι] ſic recte interpres. πεπτωκότι vitioſe Ven. et Mor.

16) εἰς ταῦτα] ſic recte Caſaub. ſed Ven. et Mor. omittunt εἰς. Sententia eſt: *neque enim veſtrum eſt, neque in poteſtate veſtra, in eiusmodi res ſumtus facere.*

17) προσάγειν] aut lapſus hic eſt librariorum, aut ſi Dio ſic dedit, diſceſſit, aetatis ſuae vitio, a bona graecitate. Atticus quidem homo dixiſſet προσάγεσθαι, pro *allicere.*

18) poſt καὶ videtur a communi tacite repetendum, ὅταν ἀκούσῃ. *et imperator, et quotquot ab eo ciuitati veſtrae gubernatores immittuntur, quum audiuerint ad ſe fama perlatum,*

των ὑμᾶς προτιμήσει. μὴ γὰρ οἴεσθε ὑμᾶς μὲν πυνθάνεσθαι περὶ τῶν καταπλεόντων, ὁποῖοί τινες τυγχάνουσιν ὄντες, καὶ τοιαύτην ἔχειν γνώμην εὐθὺς πρὸς αὐτοὺς, ἧς ἂν μετάσχοιτε τῆς φήμης· ἐκείνους δὲ περὶ ὑμῶν μὴ πολυπραγμονεῖν, ὁποῖος ὁ τῶν Ἀλεξανδρέων δῆμος. οὐκοῦν ἂν ἀκούσωσιν, ὅτι φρόνιμος, ἀλλ' οὐχ οἷα τὰ νῦν λεγόμενα, ὡς ἐπτοημένος, ὡς εὐχερὴς τὰ μικρὰ θαυμάζων, ἢ τῶν τοῦ τυχόντος [19]) πραγμάτων ἐραστὴς, ἡνιόχων, καὶ κιθαρῳδῶν· οὐκ ἄδηλοι, ὅπως ἕξουσιν. Θεόφιλόν [20]) φασι παρ' ὑμῖν γενόμενον ἄνδρα σοφὸν, σιωπᾶν πρὸς ὑμᾶς, καὶ μηδὲν ἐθέλειν διαλέγεσθαι· καίτοι τίνα γνώμην νομίζετε αὐτὸν ἔχειν; πότερον ὡς σοφοὺς ὑμᾶς καὶ μὴ δεομένους θεραπείας· ἢ μᾶλλον ὡς ἀνιάτων ἀπεγνωκέναι; παραπλήσιον γὰρ, ὥσπερ εἴ τις τῶν ἐμπόρων πολλὰ καὶ τίμια ἔχων καταπλεύσειεν εἰς πόλιν· ἔπειθ' ὑπ' ἀνέμων τινῶν, ἢ τύχης ἄλλης κρατούμενος, καὶ διατρίβων ἐκεῖ χρόνον συχνὸν, μήτε προθείη [21]) τῶν ὠνίων μηδὲν, μήτε δείξειε μηδέποτε· δῆλον γὰρ, ὡς ἐσχάτην τινὰ αὐτῶν πενίαν κατεγνωκὼς, ἢ ἀπορίαν, οὐκ ἂν θέλοι μάτην ἐνοχλεῖσθαι· σαφῶς εἰδὼς, ὅτι οὔτ' ἂν ὠνήσαιτο τῶν ἀνθρώπων τούτων οὐδεὶς, οὔτ' ἂν ἴσως

tum, dignos vos ſtudio ſuo fideque ſua eſſe, qui ſe ſuis hoſpitio excepturi, tum vos in honore habebunt aliisque praeferent.

19) diſtinguo ſic et addita literula lego: ἥττων τοῦ τυχόντος. *qui a re quaque minima et contemtiſſima duci et dementari ſe patiatur, ut ei ſerviat,* πραγμάτων ἐραστὴς *amans turbarum et negotiorum moleſtorum atque tumultuoſorum.*

20) Θεόφιλος, ni memoria fallit, fuit Pompeii familiaris.

21) προθείη] ſic recte Ven. interpres, et Anglus. προσθείη Mor.

προέλθοι [22]). καὶ Θεόφιλος τοίνυν πολλὰ ἔχων, καὶ μεγάλα ἔνδον ὤνια παρ' αὐτῷ ταῦτα [23]), συνειδὼς ὑμῖν τὴν ἐσχάτην ἀπορίαν, οὐ χρημάτων, ἀλλὰ νοῦ καὶ συστάσεως [24]), τοιγαροῦν τέθνηκε κατασιωπήσας [25]) ὑμῶν τὴν πόλιν· τουτέστι καταδικάσας αὐτὴν [26]), καὶ ὑμεῖς τοῦ δεῖνος μὲν πολλάκις ἀκηκόατε, καὶ διαμέμνησθε τῶν σκωμμάτων [27])· Θεοφίλου δὲ οὐκ οἶδα εἴ ποτε ἠκούσατε. ὥσπερ ἔφη τις τοὺς ἐν τῇ Ἀττικῇ κανθάρους, τοῦ καθαρωτάτου μέλιτος ὄντος [28]), τοῦ μὲν μηδέποτε γεύσασθαι, μηδ' ἂν ἐκχέηται, τῆς δὲ ἑτέρας τροφῆς· ἀλλ' ἐστὶ

ἰλα-

22) imo vero προσέλθοι. *accessurus ad se sit emendi ergo.*

23) sententia postulat ὤνια σοφίας, κατεῖχε παρ' αὐτῷ ταῦτα. *multas et magnas sapientiae opes pectore conclusas cum haberet venales, noluit eas apud vos expromere, verumque proponere.* Anglus τηρεῖ ταῦτα coniecit, teste Wolfio. saltim ἐτήρει dedisset, vt constructioni conueniret.

24) συστάσεως] miror, fateorque mihi hoc vocabulum eo sensu, quo hic est vsurpatum, pro *grauitate mentis*, aut, vt interpres reddidit, *constantia*, non occurrisse alibi.

25) κατασιωπήσας] posteaquam pertinacia, qua disputationem ciuitati poscenti denegabat, ciuitatis flagitationes vicisset. Alexandrini poscebant, vt Theophilus ad se prodiret, et verba pro concione faceret. Sed recusabat Theophilus, neque patiebatur disputationem ad Alexandrinos a se inuito extorqueri.

26) dubito, seruandane sint verba τουτέστι καταδικάσας αὐτὴν, an pro scholio v. κατασιωπήσας habenda, eoque delenda. Si prius malumus, non rarae sunt in veterum scriptis explanationes verborum obscuriorum et ambiguorum ab ipsis auctoribus perspicuitatis ergo additae. Esset ad hunc modum sententia Dionis haec: *quo declarauit Theophilus, se de Alexandrinorum correctione atque salute desperasse, atque pro perditis obiecisse.* Sed, quod dixi, redolent haec scholium.

27) σκωμμάτων] Ven. dat vitiose σωμάτων, et Mor. σκωμάτων.

28) ὄντος] id est παρόντος, ὑπάρχοντος, ἑτοίμου ὄντος.

ἱλαροὶ, καὶ σκῶψαι πάντων δεινότατοι· ὁ οὐ δήμου τὸ [29]) ἐπιτήδευμα· πόθεν; οὐδὲ πόλεως, ἀλλὰ Θερσίτου τινός· αὐτὸν γοῦν ἐκεῖνον εἴρηκεν Ὅμηρος ἐν τοῖς πᾶσιν Ἕλλησιν ἀφικέσθαι γελωτοποιόν· ἀλλ᾽ ὅτι οἱ εἴσαιτο [30]) γελοίϊον Ἀργείοισιν ἔμμεναι. ἀλλ᾽ οὐ τὸ γελοῖον ἀγαθόν ἐστιν, οὐδὲ τίμιον, ἀλλὰ τὸ χαίρειν, ἀπορίᾳ δὲ καὶ ἀγνοίᾳ τῆς χαρᾶς [31]) ἄνθρωποι διώκουσι [32]) γέλωτα. τὴν γοῦν βοτάνην ἀκηκόατε, τὴν Σαρδόνιον καλουμένην, ἣ γέλωτα μὲν ποιεῖ, χαλεπὸν δὲ τοῦτον, καὶ ἐπ᾽ ὀλέθρῳ. μὴ οὖν σφόδρα οὕτω περιέχεσθε τούτου· μηδὲ ἀμούσους, καὶ φορτικὰς, καὶ ἀμαθεῖς ποιεῖτε τὰς Χάριτας, ἀλλὰ μᾶλλον Εὐριπίδην μιμεῖσθε, οὕτω λέγοντα·

Μὴ παυσαίμην τὰς Χάριτας Μούσαις
Ἀναμιγνὺς, ἁδίσταν συζυγίαν.

ἵνα μὴ τὸ μουσεῖον ὑμῖν ἄλλως εἶναι δοκῇ [33]) τόπος ἐν τῇ πόλει· καθάπερ οἶμαι καὶ ἄλλοι τόποι μάτην [34]) προσαγορεύονται, τὸ πρᾶγμα μὴ ἔχοντες μετὰ τοῦ ὀνόματος. ἀλλὰ γὰρ δέδοικα, μὴ κἀμοὶ συμβέβηκεν, ὅ φασιν Αἰγυπτίων τινὶ τῶν σφόδρα ἀρχαίων μουσικῶν. ἐκείνῳ γάρ ποτε τὸ δαιμόνιον προειπεῖν καθ᾽ ὕπνον, ὡς εἰς ὄνου ὦτα ᾄσεται. καὶ δὴ

29) Casaubonus ὁ seruat, τὸ tollit; ego contra malim οὐ δήμου τὸ ἐπ. *non hoc est studium populo dignum.*

30) in Veneta est οἱ εἴσετο, vnde facile est efficere οἱ εἴσαιτο. οἱ est pro αὐτῷ. *si quid ei videretur, eiusmodi esse, vt risum Graecorum excitaret.* Mor. dat οἰήσαιτο.

31) τῆς χαρᾶς] Ven. et Mor. dant καὶ χαρᾷ.

32) διώκουσι] *Non* τὸ γελοῖον *rediculum est res bona, neque magni facienda,* sed τὸ χαίρειν *gaudere, Homines autem quod nesciant, quid gaudere sit, et rationes, vera quibus gaudia comparentur, ignorent, ideo risum sectantur.* διοικοῦσι Mor.

33) δοκῇ] sic recte Anglus. δοκεῖ Ven. et Mor.

34) τόποι μάτην] sic recte Casaubonus. τὸ ποιμάτην Ven. et Mor.

δὴ τὸν μέλλοντα χρόνον 35) οὐ προσεῖχεν, οὐδὲ ἐφρόν-
τισε τοῦ ὀνείρατος, ὡς οὐδενὸς ὄντος. ἐπεὶ δὲ τύραν- 40.
νος τῶν Σύρων 36) ἧκεν εἰς Μέμφιν, ἐκπληττομέ-
νων αὐτὸν 37) τῶν Αἰγυπτίων, ἐκάλεσεν. ἐπεδεί-
κνυτο οὖν πάσῃ προθυμίᾳ, καὶ τἀκριβέστερα τῆς
τέχνης· ὁ δέ· οὐ γὰρ ἦν οἱ σύνεσις 38) μουσικῆς·
ἐκέλευε παύσασθαι αὐτὸν ἀτιμάσας. ὁ δὲ ἀνα-
μνησθεὶς ἐκείνου τοῦ ὀνείρατος, τοῦτ' ἄρα ἦν, ἔφη,
τ' εἰς ὄνου ὦτα ᾄδειν 39). ὁ δὲ τύραννος ἀκούσας τῶν
ἑρμηνέων οἷα ἔλεγεν, ἔδει καὶ ἐμαστίγου τὸν ἄνδρα,
καὶ τοῦ 40) πολέμου λέγουσιν αἴτιον γενέσθαι.

35) videtur leg. τὸν μὲν ἄλλον χρόνον.

36) *regulus aliquis e regulis Syriacis.*

37) αὐτὸν] ſic recte margo Mor. quod non ad regulum illum, ſed ad muſicum referendum eſt, hac ſententia: *videns ille regulus, muſicum iſtum ſumma omnium Aegyptiorum admiratione florere, ad ſe vocauit.* Ven. et t. Mor. dant αὐτῶν.

38) οἱ σύνεσις] ſic recte Caſaub. *non enim erat penes eum intelligentia* (ſcil. artis muſicae), aut ſi mauis, *carebat enim ſenſu communi.* ἡ σύνεσις Ven. et Mor.

39) poſt ᾄδειν videtur ἦν deſiderari.

40) malim καὶ τοῦτο πολέμου.





